ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τού-
των τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρῃ τὴν χεῖρα εἰς
τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος, ὅτι πλέα σοι
6 ἀπ' αὐτῶν ἐγένετο. Πρὸς ταῦτα δὴ τὸν Ἀστυάγην

§. 5. ὁρῶ, ὦ πάππε] ita optimi, ceteris ὁρῶ post βρώματα collocantibus.

πλέα] sic optimi. κατάπλεα in editt. inventum primus mutaverat Steph. in καταπλέα.

ὅπη ἡμεῖς – ἥκομεν] ὅπου scribatur nihil opus est. vid. Stallbaum ad Plat. Eutyphr. p. 94 sq.

§. 5. ἐπερέσθαι] Caret hoc verbum tempore praesente apud Atticos, qua de re ut dubitat Buttm. §. 101. p. 279. ita certiorem te faciet Hermann. ad Soph. Oed. Col. v. 563.

Καὶ τίνι δή] Ambabus iunctis particulis interrogatio paulo maiorem vim habet hic, et §. 10. I. 6, 16. 22. De dicendi formula τεκμαίρεσθαί τινι vide Matthiae §. 401.

ὦ παῖ, λέγεις] scil. καὶ ἐμὲ μυσάττεσθαι ταῦτα τὰ βρώματα.

ἀποκαθαίρῃ] Nota mutari constructionem; nam sequi debuisset ἀποκαθαιρόμενον – ὡς πάνυ ἀχθόμενον. Memorab. I. 4, 15. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν (οἱ θεοί), οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς; – ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται; ubi Schneiderus: »Consequi debebat κατατίθεσθαι, sed variatur oratio.« Cf. Cyr. II. 3, 8. 17.

πλέα σοι ἀπ' αὐτῶν ἐγένετο] Intellige cum Stephano manum sordibus plenam ex illis, i. e. ex illorum contactu. Insolentiorem praepositionem in ἀπ' αὐτῶν tum allatus a Matthiaeo in Gr. § 329. p. 451. locus Demosth. tuetur, tum Athenae. XIII. p. 569. Καὶ Ἀσπασία δὲ ἡ Σωκρατικὴ ἐνεπορεύετο πλήθη καλῶν γυναικῶν καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἕλλας, ubi, quia ἀπό abundet, frustra editor emendare voluit ἐπλήθ. τῶν ἀπὸ ταύτης ἑταιρ. [πλέα h. l. sensu singulari usurpatur pro κατῃσχυμένη, μεμολυσμένη, inquinata, ut nostrum voll pro beschmutzt, qua significatione saepius occurrit compositum ἀνάπλεως, simplex autem legitur apud Sophocl. Philoct. v. 39. ῥάκη βαρείας του νοσηλείας πλέα. Notionem igitur habet per se constantem, nec est cur addatur substantivum ad eam plene exprimendam, quod alias fieri solet addito genitivo. ἀπό autem indicat causam, qua nata est sor-

εἰπεῖν· Εἰ τοίνυν οὕτω γινώσκεις, ὦ παῖ, ἀλλὰ κρέα
γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. Ἅμα δὲ
ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια
καὶ τῶν ἡμέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ
τὰ κρέα, εἰπεῖν· Ἦ καὶ δίδως, φάναι, ὦ πάππε, πάν-
τα ταῦτά μοι τὰ κρέα, ὅ τι βούλομαι, αὐτοῖς χρῆ-
σθαι; Νὴ Δία, φάναι, ὦ παῖ, ἔγωγέ σοι. Ἐνταῦθα 7
δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς
ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ·
Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις·
Σοὶ δέ, ὅτι μοι παλτὸν ἔδωκας· νῦν γὰρ τοῦτ᾽ ἔχω·
Σοὶ δέ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις· Σοὶ δέ,
ὅτι μου τὴν μητέρα τιμᾷς· τοιαῦτα ἐποίει, ἕως διεδί-
δου πάντα, ἃ ἔλαβε, κρέα. Σάκᾳ δέ, φάναι τὸν 8
Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν
δίδως; Ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε, καὶ
τιμὴν ἔχων προσάγειν τοὺς δεομένους Ἀστυάγους, καὶ

§. 6. *ὅ τι βούλομαι*] sic optimi. *ὅ τι βούλωμαι* Brem. *ὅ τι ἂν βούλωμαι* libri impressi.

φάναι, ὦ παῖ] *φάναι* sine causa invitisque libris ad unum omnibus omisit Poppo.

§. 7. *τοιαῦτα ἐποίει*] sic plurimi libri. *τοιαῦτα ποιεῖν* post Iunt. Ald. editiones ante Zeunium. *τοιαῦτα ἐπειπεῖν* Muret. ex coniect. *ταῦτα ἐποίει, ἕως διέδω* Schneid. Sed *διεδίδου* fere ubique legitur; *ταῦτα* autem mirer si haberet m. Vict. apud Iacobs ad Achill. Tat. p. 566. [Quum in ed. Ald. *τοιαῦτα* legatur, neque in margine exemplaris, quo usus est P. Victor., ad hoc vocabulum aliquid notatum sit, apparet eum in libro suo *τοιαῦτα* invenisse. F. I.].

dis, ideoque haud abundat. Loci autem ex Athen. allati ratio non est eadem. V. C. F. R.].

§. 6. *Εἰ τοίνυν — ἀλλὰ κρέα γε*] Ergo si ita sentis, carnibus saltem vescere, ut validus domum redeas. Gabr.

δίδως, φάναι] Abundat *φάναι* post verba dicendi, ut §. 8. *ἔφη*, §. 11. III. 1, 8. et in iis, quae laudarunt Heindorf. ad Plat. Phaedon. §. 148. p. 253. Iacobs ad Achill. Tat. p. 992, et Frotscher. ad Xenoph. Hier. I. 7.

§. 7. *λαβόντα τῶν κρεῶν*] Partitivum hunc genitivum vocant grammatici. v. Matth. §. 356. p. 481. Rost. §. 108. 2. d. p. 405.

νῦν γὰρ τοῦτ᾽ ἔχω] Interpres Eugebinus: hoc enim nunc tantum habeo quod dem, quocum faciunt Phil. et Weisk. Unice probanda Heindorfii explicatio: Nunc demum (quod dudum exoptavi) *παλτὸν* hoc habeo. Nimirum ephehorum hoc erat apud Persas, ut patet ex c. 2, 9. Cf. VI. 2, 16.

ἀποκωλύειν, οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προςάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι προπετῶς, ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, Διὰ τί δή, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν, Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρείως ἐγχέουσι, καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην, καὶ προςφέρουσιν, ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλ-
9 λοντι πίνειν. Κέλευσον δή, φάναι, ὦ πάππε, τὸν Σάκαν καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς

§. 8. καθαρείως] alii καθαρίως et καθαρῶς. Cf. Comment. in Strab. T. VII. p. 664.

οὓς μὴ – δοκοίη] Vid. Buttm. §. 126. 14. n. 6. p. 400. Matth. §. 527. 1.

ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων] Buttmann ad Demosth. Mid. p. 189 sq. haec annotavit: »καὶ θόρυβον καὶ κρότον τοιοῦτον, ὡς ἂν ἐπαινοῦντές τε καὶ συνησθέντες, ἐποιήσατε. Conf. Xen. Cyrop. I. 3, 8. καὶ τὸν Κῦρον ἐπ. – ὑποπτήσσων. In tali sermone ἂν non reddit incertum, an is fuerit animus eorum, de quibus loquimur; sed formula ὡς ἂν hypothetice respicit id, quod fieri solet. Plenius: ὡς ἂν ἐπαινοῦντές τε καὶ συνησθέντες ποιήσαιτε –: ὡς ἂν μηδέπω ὑποπ. ἔροιτο –: „sicut par, consentaneum est vos facere, cum laudatis aliquem.“ „facere puerum, qui vereri nondum didicerit“ aut etiam brevius: sicut soletis, cum laudatis – sicut solet puer etc.« Cf. Krueger. de Authent. et Integr. Anab. Xen. p. 51.

εἰπεῖν, – φάναι] Citavit Hermann ad Viger. p. 887. cf. not. ad §. 6.

κομψῶς τε οἰνοχοοῦσι] vinum scite in cratere aqua miscent, καὶ καθαρείως ἐγχέουσι, et temperatum aqua e cratere in poculum (φιάλην) polite infundunt.

ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτ.] i. e. τούτῳ τῷ τρόπῳ, ᾧ, εἰ ἐνδοῖεν τὸ ἔκπωμα, εὐληπτ. ἂν ἐνδοῖεν s. ὡς οἴονται εὐληπτ. ἐνδοῦναι ἂν τὸ ἔκπ. interprete Poppone in Miscell. crit. Vol. I. p. 1. p. 40. ed. Friedem. et Seeb. Vocem ἔκπωμα a φιάλη nihil discrepare, nisi Schneiderus docuisset ad §. 9., veteres grammatici testarentur. Zonar. ἔκπωμα, ποτήριον, φιάλη. Bekker. Anecdot. p. 245. ἐκπώματα, φιάλαι, ποτήρια, et quos commemoravit Osann. ad Philem. p. 171. Xenophon infra V. 3, 3. dixit ἐκ χρυσῶν πίνομεν φιαλῶν.

§. 9. τὸν Σάκαν] Contra Xenophontis consuetudinem Iunt. Ald. Steph. aliique τῷ Σάκᾳ. vid. Matthiae §. 380. p. 509. Pro ἀνακτήσωμαι Schneid. aliquando cum Castal. Basil. et Argent. futurum reposuerat, canonem Dawesianum, ut arbitror, secutus, quem pridem viri docti reiiciendum putarunt, Buttm. §. 126. 4. not. p. 395. Thiersch. §. 342. 13. p. 532. Rost. §. 122. 9. not. 4. p. 475 sqq.

σοι πιεῖν ἐγχέας ἀνακτήσωμαί σε, ἢν δύνωμαι. Καὶ τὸν κελεῦσαι δοῦναι. Λαβόντα δὴ τὸν Κῦρον οὕτω μὲν δὴ εὖ κλύσαι τὸ ἔκπωμα, ὥςπερ τὸν Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ πρόςωπον σπουδαίως καὶ εὐσχημόνως πως προςενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥςτε τῇ μητρὶ καὶ τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε ἐκ τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ δ' ἄρα τῶν

§. 9. *εὐσχημόνως πως*] *πώς* omittit Iunt. Ald. probante Schaefero ad Greg. Cor. p. 1025.
οἱ δ' ἄρα] optimi pro vulg. *οἱ γάρ*.

καὶ τὸν κελ.] Buttm. §. 113. 5. p. 358. Rost. §. 98. 11. p. 356.
λαβόντα δὴ — οὕτω μὲν δή] Bis habes *δή* in eodem membro etiam Anab. V. 4, 25. *ἐνταῦθα δὴ οἱ πολέμιοι ὁμοῦ δὴ πάντες γενόμενοι ἐμάχοντο.* Enimvero prius *δή* post *λαβόντα* vertendum igitur, alterum in *μὲν δή* asseverationi inservire puta.
οὕτω δὲ στήσαντα] ita vero composito vultu cum gravitate quadam et concinnitate attulisse, i. e. tam serio et concinne attulisse. Ad Demosth. Lept. *οὕτω γάρ, ὡς ἀληθῶς ἔμοιγε φαίνεται, βεβαίως πως ἐκεῖνος ἐγένετο φιλόπολις* p. 299. Wolfius in eos invectus, qui *πώς* omiserant, voculae vim his verbis explicuit: er war so ganz Patriot. Vid. praeter ea, quae ad Sympos. III. 10. p. 95. observavimus, etiam Buttmanni Ind. ad Demosth. Mid. p. 180 sq.
ἐκβαλῶ σε ἐκ τῆς τιμῆς] Herodot. V. 67. *ἐκβαλεῖν ἐκ τῆς χώρας.* Plat. Gorg. §. 53. *ἐκβάλλειν ἐκ τῶν πόλεων* et *ἐκβάλλῃ ἐκ πόλεως.* §. 61. *ἐκβάλλειν με ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς.* Anabas. III. 4, 41. *ἀπελᾷ ἀπὸ τοῦ λόφου.* VII. 2, 1. *ἐπέμενον ἐπὶ τῇ στρατιᾷ.* Supra *εἰςέρχονται εἰς τοὺς τελείους.* Non minus crebro praepositio reticetur, ut apud Plut. in Ages. c. 3. *ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου.* c. 6. *ἐκβαλεῖν τῆς θαλάσσης.* c. 30. *τῆς βασιλείας ἐκβαλόντες.* supra c. 2, 15. *ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν.* Sed haec innumera sunt tam in Graecis quam in Latinis scriptoribus, de quibus scripsit Ruddimann. in Institut. Gramm. Lat. P. II. p. 330. 22.
τά τε γὰρ ἄλλα] nam et in ceteris pincernae officio praeclarius, quam tu, fungar, nec ipse vini quidquam exhauriam, i. e. praeterquam quod vinum te pulchrius infundam, neque ipse ebibam. cf. Buttm. §. 137. p. 441. de *ἐκπίομαι* autem Lobeck. ad Phryn. p. 30 sq.
Οἱ δ' ἄρα] Ita §. 8. *ὁ δὲ Σάκας ἄρα.* c. 4, 10. *ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν.* c. 6, 41. *Ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται.* III. 3, 42. IV. 4, 13. VI. 3, 13. VIII. 3, 2. Memor. I. 6, 7. *ἐμὲ δὲ ἄρα οὐκ οἴει.* Plat. Lys. §. 40. p. 48 ed. Heind. *τὸ δ' ἐνδεὲς ἄρα φίλον ἐκείνου, οὗ ἂν ἐνδεὴς ᾖ;* Plato

βασιλέων οἰνοχόοι, ἐπειδὰν διδῶσι τὴν φιάλην, ἀρύ-
σαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα
ἐγχεάμενοι καταῤῥοφοῦσι, τοῦ δή, εἰ φάρμακα ἐγχέοιεν,
10 *μὴ λυσιτελεῖν αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης*
ἐπισκώπτων, Καὶ τί δή, ἔφη, ὦ Κῦρε, τἄλλα μιμού-
μενος τὸν Σάκαν οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; Ὅτι,
ἔφη, νὴ Δία, ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα
μεμιγμένα εἴη. Καὶ γάρ, ὅτε εἱστίασας σὺ τοὺς φί-
λους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα
ὑμῖν αὐτὸν ἐγχέαντα. Καὶ πῶς δὴ σὺ τοῦτο, ἔφη,
ὦ παῖ, κατέγνως; Ὅτι νὴ Δί' ὑμᾶς ἑώρων καὶ ταῖς
γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν
γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐ-
τοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμαν-
θάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ᾔδετε δὲ καὶ μάλα γε-

nica complura habent Heindorf. ad Phaedon. p. 52 sq. et Stallbaum ad Phileb. p. 124. Cf. Reisig. in Enarrat. Oedipi Col. p. CLXXV. Nunc voculae hae coniunctae respondent vernaculae indeſs, nunc so denn, nunc etiam nämlich, ut h. l.

ἐπειδὰν διδῶσι] wenn sie den Becher überreichen wollen. Schneidero scribendum videbatur *ἐπειδὰν ἐνδῶσιν* propter coniunctionis *ἐπειδάν* nescio quem usum et propter narrationis seriem. Nam nec tentavit idem de re equestr. VI. 16. *ἐπειδάν γε μὴν ὁ ἱπποκόμος τὸν ἵππον παραδιδῷ τῷ ἀναβάτῃ, — οὐ μεμφόμεθα,* et parum probabile est tum demum vini aliquid trullae ope in manum fudisse pocillatorem, cum regi poculum tradidisset. Imo facere hoc potuit conspiciente rege in abaco aliove loco conspicuo. De v. *κύαθος* adi interprett. ad Horat. Serm. I. 6, 117.

ἐγχεάμενοι] Antea *ἐγχέουσι, ἐγχέας* et paulo post *ἐγχέοιεν*, ut nemini possit obscurum esse, quid activum et medium differant.

τοῦ — μὴ λυσιτελεῖν αὐτοῖς] ut, si venenum infuderint, ipsis quoque exitio sit. Gabr. recte; etenim consilium, quod quis secutus sit, hoc genitivo exprimitur, testantibus Buttm. §. 127. 6. n. 1. Rost. §. 109. n. 1.

§. 10. *εἱστίασας*] Natalem d'em prae ceteris Persas celebrasse patet ex his Platon. in Alcib. I. p. 121. (p. 148 ed. Buttm.) *βασιλέως γενέθλια ἅπασα θύει καὶ ἑορτάζει ἡ Ἀσία*, quibuscum consentit Herodot. I. 133. quaeque ex Brissonii libro collegit h. l. Hutchins. Utrum autem *γενέθλια* veteres dixerint an *γενέσια*, disceptarunt Lobeck ad Phryn. p. 103 sq. et Buttmann. l. l. De seqq. dativis *καὶ ταῖς γνώμαις καὶ τοῖς σ.* dicam ad II. 1, 11.

οὐκ ἐᾶτε] prohibetis, vetatis. vid. Hermann. ad Soph. Philoct. v. 441. Buttm. §. 135. n. 2. p. 428.

ἐκεκράγειτε] clamabatis redde duce Buttn. anno §. 100. 2. n. 5. Rost. p. 311.

οὐδὲ ἓν ἀλλήλων] Alii *οὐδὲν ἀλ.* vulgato deterius. vid. Buttm. §. 64. 1. p. 98.

λοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος ὠμνύετε ἄριστα ᾄδειν· λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἔπειτ' εἰ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Ἐπελέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρ' ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε. Καὶ ὁ Ἀστυά- 11
γης λέγει, Ὁ δὲ σὸς πατήρ, ἔφη, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γάρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ

§. 10. ἀκροώμενοι δέ] ἀκρ. μέν et δὲ ᾄδειν nonnulli, unde non male legeris ἀκρ. μὲν τοῦ ᾄδοντος ὠμνύετε δὲ ᾄδειν ἄριστα. Vid. Hermann. ad Vig. p. 841, 334. ad Soph. Electr. v. 1059. et Buttm. ad Demosth. Mid. p. 149. Postea pro ἐπεὶ ἀνασταίητε quod dedi, ad Anab. I. 2, 25. commendaveram.

ἐπελέλησθε] prius augmentum omittitur a multis.

ἔπειτ' εἰ] Post participium ἔπειτα hic et §. 11. infertur ea potestate, quam indicarunt Buttm. §. 131. n. 6. §. 136. p. 436. Matth. §. 566, 3. §. 521. p. 740. §. 525. 6.

μὴ ὅπως ὀρχ.] v. Buttm. §. 137. p. 439. Viger. p. 465.

ἐπελέλησθε] VIII. 3, 8. τοῦ μὲν φθόνου ἐπελέλησθο. Plat. Phaed. §. 49. p. 78. ἐπελέλησθο. In his καὶ πρῶτον vocula καί non minus quam in καὶ μάλα, καὶ πάνυ aliisque similibus, quae ad Conviv. II. 25. et p. 241. contuli, intendendi vim habere videtur: sogar zuerst.

ἄρ' ἦν] Non quod putem ἦν habere temporis praesentis significatum, sed ut huius formulae usum cognoscant, inspicere tirones iubeo Buttm. §. 124. n. 8. Viger. p. 746. Schaef. ad Apoll. Rhod. T. II. p. 162. Reisig. Enarrat. Soph. Oed. C. p. CCVIII.

§. 11. πῶς ποιεῖ;] quomodo facit? wie macht s. wie fängt er es an? Sic c. 4, 13. πῶς ποιήσεις; Plenius dixisset πῶς ποιῶν πίνων οὐ μεθύσκεται; Cyrus respondet διψῶν παύεται, i. e. Gabrielio interprete facit finem bibendi adhuc sitiens. Itidem explicavit Fischerus: »credo, inquiens, part. διψῶν non cohaerere cum παύεται, tum enim scripsisset Xen. παύεται διψῶν, imo intell. πίνειν, aut πίνων, ita: sitiens bibere desinit.« Vulgo interpretantur: sitire desinit, quasi Astyages interrogasset τί πάσχει; – ἄλλο δὲ – πάσχει. etenim iucundissimum sine dubio est siti satisfacere.

οἶμαι] »Ponitur οἶμαι cum ironia, ut Latinorum si recte memini, quod affirmandi vim habet, non dubitandi.« Iacobs ad Achill. Tat. p. 597. Eadem docent Monk. ad Eurip. Alcest. v. 363. et Heindorf. ad Platon. Phaedon. §. 116. p. 197.

Σάκας αὐτῷ οἰνοχοεῖ] Sacas, Sacae similis (ein Sakas), pocula ei ministrat.

εἶπεν, Ἀλλὰ τί ποτε σύ, ὦ παῖ, τῷ Σάκᾳ οὕτω πολεμεῖς; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προςδραμεῖν οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἄν, ὥςπερ οὗτος, ἐπὶ τῇ εἰςόδῳ, ἔπειτα, ὁπότε βούλοιτο παριέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκοι ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἄν, ὅτι λοῦται. Ἐπειδὰν δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν, ἕως παρατεί-

§. 11. παριέναι] sic optimi pro εἰςιέναι. Malui παρεῖναι ad Anab. I. 2, 2.

ὁπόταν ἥκοι] alii ὁπ. ἥκει et ἥκῃ. Tum alii εἰ δὲ πάνυ σπουδάζοι; alii ἐπειδὰν δὲ σπ. et ἐπ. - σπουδάζει.

ἄρξαις] Hac optativi forma nihil apud hunc scriptorem ceterosque Atticos usitatius. Consulendi Matth. Gr. §. 198. 6. p. 361. ed. secund. Buttm. §. 93. II. 4.

στὰς ἄν, ὥςπερ οὗτος, - λέγοιμ' ἄν] i. e. σταίην ἄν, ὥςπερ οὗτος ἕστη (consistere solet) - καὶ ἔπειτα λέγοιμ' ἄν. [Prius ἄν mihi haud coniungendum videtur cum partic. στάς, sed referendum aeque ac posterius ad λέγοιμι, ita ut sit repetitio particulae, quae in eiusmodi enuntiationibus haud raro occurrit. cf. quae monuimus in gr. Gr. ed. 3. §. 120. not. 4. V. C. F. R.]. Illud ἔπειτα ad §. 10. attigi. Pro ἐπ' ἄριστον Schneid. ἐπὶ τὸ ἄριστον scribendum proposuit, sed frustra, nisi forte ad Conviv. I. 13. p. 57. erravi. Recte autem Meyerus post Fischerum monuit pocillatorem regi epulanti non modo praesto fuisse, verum etiam ipsum simul cum eo epulatum esse: apparere id cum e verbis σπουδάζοι φαγεῖν, tum ex VIII. 4, 2.

τῷ ἀρίστῳ ἐντυχεῖν] nondum potest adiri prandium. Gabr. ἐντυχεῖν τινι esse consequi, nancisci aliquid si qui negaverint, hos erroris convincent Heindorf. ad Plat. Lysid. §. 24. p. 29. et Matth. Gr. §. 363. not. p. 489.

σπουδάζει γὰρ πρός τινας] i. e. operam dat quibusdam, er gibt einigen Audienz. Platon. Gorg. §. 140. p. 220. Heind. καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειε.

ὁπόταν ἥκοι] probabunt Hermann ad Viger. p. 922. 786 sq. 822. ad Eurip. Bacch. 1244. Buttmann §. 126. 8. p. 396 sq. Rost. §. 121. not. 2. Formis λούεται, ἐλούοντο, λουόμενος, quas veteres et recentiores grammatici reiiciunt, a Lobeck. ad Phryn. p. 189. Buttm. in gr. Gr. max. Vol. II. p. 182 sq. et Rost. §. 77. annot. 4. p. 259 sq. allati, vereor ne Xenophon ubique usus sit.

ναιμι τοῦτον, ὥςπερ οὗτος ἐμὲ παρατείνει, ἀπὸ σοῦ κωλύων. Τοσαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν 12
ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς ἀδελφόν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

Matrem in Persidem redituram exorat Cyrus, ut se relinquat apud avum.

Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦ- 13
σα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν εἶναι νομίζειν καταλιπεῖν. Ἔν- 14
θα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ,

§. 12. τοσαύτας] sic optimi pro τοιαύτας. Non scripserim τοσαύτας μὲν καὶ τοιαύτας αὐτοῖς.
δύναιτο ὁ Κῦρος] rectius δύναιτο, ὁ Κῦρος.

§. 13. βούλοιτο μέν] Annectunt ἄν editi ante Popp. ab optimis libris praetermissum.

§. 12. τὰς δὲ ἡμέρας] Opposita haec sunt verbis ἐπὶ τῷ δείπνῳ; nam vesperi et noctu coenabant. Accusativus est temporis, de quo vid. Buttm. §. 118. 8.

τὸν τῆς μητρὸς ἀδελφόν] Cyaxarem intelligit, quem hoc loco nominari oportuit, non c. 4, 9. Plus excusationis habent verba σὺν τῷ θείῳ c. 4, 5.

φθάσαι τοῦτο ποιήσαντα] Viger. p. 318. 763. Matth. §. 553.

ὅ τι γὰρ δύναιτο] supra §. 8. οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι, ad quae vide not.

§. 13. παρ. ὡς ἀπιοῦσα] vid. Matth. §. 568. 1. Rost. §. 130. not. 8.

πρὸς τὸν ἄνδρα] ad maritum suum, qua de significatione egit Hermann ad Soph. Trachin. 547. p. 106.

εἶναι νομίζειν καταλιπεῖν] Non ita raro Graeci et quidem sine corruptelae suspicione, ut arbitror, tres infinitivos coniunxisse deprehenduntur. Memorab. III. 6, 15. δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι. Platon. Protag. §. 118. p. 634. Heind. ἐπὶ ἃ οἴεται κακὰ εἶναι ἐθέλειν ἰέναι ἀντὶ τῶν ἀγαθῶν. Demosth. orat. de Rhod. lib. p. 198. (148. l. 10. ed. Dind.) προςήκειν οἶμαι παραινέσαι κατάγειν. Ad fin. orat. Philipp. I. ἐπὶ τῷ συνοίσειν ὑμῖν ταῦτα πεπεῖσθαι λέγειν αἱροῦμαι infinitivorum concursus parum placuit Schaefero in Apparat. crit. I. p. 380. Ceterum quod hic factum vides, ut coniunctionem ὅτι nunc optativus βούλοιτο, nunc infinitivus νομίζειν sequatur, eius transitionis exempla cupientibus propinabunt Matth. §. 538. 1. Rost. §. 122. not. 8. et Poppo de elocut. Thucyd. p. 270.

ἢν μένῃς παρ' ἐμοί, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰςόδου
σοι οὐ Σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰςιέναι ὡς
ἐμέ, ἐπὶ σοὶ ἔσται· καὶ χάριν σοι εἴσομαι, ὅσῳ ἂν
πλεονάκις εἰςίῃς ὡς ἐμέ. Ἔπειτα δὲ ἵπποις τοῖς ἐμοῖς
χρήσῃ καὶ ἄλλοις, ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς,
ἔχων ἄπει οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ ἐν τῷ
δείπνῳ ἐπὶ τὸ μετρίως σοι δοκοῦν ἔχειν ὁποίαν ἂν
βούλῃ ὁδὸν πορεύσῃ. Ἔπειτα τά τε νῦν ὄντα ἐν τῷ
παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ
συλλέξω, ἃ σύ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώ-
ξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥςπερ οἱ
μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίκτορας
παρέξω· καὶ ἄλλα, ὁπόσα ἂν βούλῃ, λέγων πρὸς ἐμὲ
15 οὐκ ἀτυχήσεις. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ
μήτηρ διηρώτα τὸν Κῦρον, πότερον βούλοιτο μένειν,
ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν,

§. 14. *σοι εἴσομαι*] sic libri optimi, aliis *σοι, ἔφη, μᾶλλον εἴσομαι* exhibentibus.

ἔχων ἄπει] libri ducunt ad *ἔχων ἀπίοις*, hoc ut sit instar imperativi, quo tamen sensu *ἄν* abesse nequit. Vid. ad Anab. III. 2, 37.

ὁποίαν ἂν βούλῃ] dederat Steph., ceteri *ὁποίαν βούλει*.

νῦν ὄντα] *ὄντα*, quod ex Alt. accessit, melius fortasse intelligas.

συμπαίκτορας] alii *συμπαίστορας*. Vid. annot. ad Conviv. p. 219 sq. Matth. §. 177. p. 319. et Phryn. p. 249.

§. 15. *ἐπεὶ δέ*] om. *δέ* nonnulli. Postea *ἐμέλλησεν* Steph. cum recentioribus [cf. Buttm. gr. Gr. max. §. 83. n. 8.]. edd. vett. *ἐμέλησεν* ediderant, *ἠμέλησεν* Guelf. m. pr. teste Zeunio, contra *ἠμέλλησεν* apud Schneid. Illud non dubium, quin in Vat. *ἠμέλλησεν* lateat.

§. 14. *τῆς παρ' ἐμὲ — ἄρξει*] Gabriel. non poterit Sacas aditum (ad me) tibi praecludere. Dativus *σοί* est familiaris, quem vocant, ut V. 3, 35. *Γωβρύας δὲ ἡμῖν ἀρχέτω αὐτῶν*.

ἐπὶ τὸ μετρίως — πορεύσῃ] i. e. *ἐπὶ τοῦτο, ὅ σοι δοκεῖ μετρίως ἔχειν* (vid. §. 4.), *ὁδὸν πορεύσῃ ὁποίαν ἂν βούλῃ*, secundum Stephani interpretationem: »insuper vero in coena ad id, quod intra mediocritatem consistere tibi videbitur, quamcunque libebit viam tenebis.«

καὶ ἄλλα — οὐκ ἀτυχήσεις] quaecunque te velle mihi ostenderis, nihil omnium tibi negabo. Caselius. Verbum *ἀτυχεῖν* ut passim cum quarto casu iungatur, hic tamen *ἄλλα* commodissime cum *λέγων* copulari poterit.

§. 15. *διηρώτα*] sedulo e Cyro sciscitabatur. Casel. fragte aus.

ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρός, διὰ τί, εἰπεῖν λέγεται· Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ ἀκοντίζων καὶ τοξεύων· ἐνταῦθα δὲ οἶδ' ὅτι ἱππεύων ἥσσων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ὦ μῆτερ, ἔφη, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω ἐνθάδε, πειράσομαι τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεύς, συμμαχεῖν αὐτῷ. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν 16
δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς ταῦτά γε ἤδη οἶδα. Πῶς σὺ οἶσθα; τὴν Μανδάνην εἰπεῖν. Ὅτι, φάναι, ὁ διδάσκαλός με ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην καὶ ἄλλοις καθίστη δικάζειν. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας.
Ἦν δὲ ἡ δίκη τοιαύτη· Παῖς μέγας, μικρὸν ἔχων χι- 17
τῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκ-

§. 16. *ταῦτά γε ἤδη οἶδα*] alii *ταῦτά γε*, aut *ταῦτά τε*, et *τ. γ. ἤδη γιγνώσκω*. cf. ad Conviv. p. 133. *ταῦτά γε οἶδα* Vat., *ταύτην γε οἶδα* Schneid. cum edd.

τὴν Μανδάνην εἰπεῖν] hunc bonorum libr. ordinem invertunt impressi.

ἐκείνους] scil. *Πέρσας*. In seqq. ambiguum est, *ἐνθάδε* post *ἔλθω* ad praegressa an ad *πειράσομαι* - *συμμαχεῖν* trahas. Posteriorem rationem secutus est Schaeferus et ante eum editio Amstelodam., prior mihi simplicitati, qua hic locus insignis est, melius respondere videtur. Adde quod *εἰς Μήδους ἐνθάδε* veteres non magis cogitando dirimere potuerunt, quam *οἴκαδε εἰς Σκύθας*, *οἴκοι παρὰ σεαυτῷ* quaeque simillimi generis composuit Iacob. in Quaest. Lucian. Specim. I. p. 22. In fine sect. *αὐτῷ* post nomen *τῷ πάππῳ*, interiecto alio membro, pariter repetitur atque in exemplorum nube a Matthiaeo §. 467. 2. p. 645. et Wyttenbach. ad Plat. Phaedon. p. 311. collecta.

§. 16. *εἰπεῖν*] Repete cogitatione *λέγεται*, ut §. 11. §. 8. §. 9.

ταῦτά γε] nempe quae mihi discenda esse de institia putas. Vulgo ad *δικαιοσύνην* vel *τὰ δίκαια* neutrum referunt, quod dicendi genus illustrarunt Iacobs ad Porson. Advers. p. 310. et Achill. Tat. p. 543.

δύσας αὐτόν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ οὖν τούτοις δικάζων ἔγνων βέλτιον εἶναι ἀμφοτέροις, τὸν ἁρμόζοντα ἑκάτερον χιτῶνα ἔχειν. Ἐν τούτῳ αὖ με ἔπαισεν ὁ διδάσκαλος, λέξας, ὅτι, ὁπότε μὲν τοῦ ἁρμόζοντος εἴη κριτής, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι, ποτέρου ὁ χιτὼν εἴη, τοῦτ᾽ ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί, πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι· ἔπειτα δ᾽ ἔγνω, ἔφη, τὸ μὲν νόμιμον δίκαιον εἶναι, τὸ δὲ ἄνομον βίαιον· σὺν τῷ νόμῳ οὖν ἐκέλευεν ἀεὶ τὸν δικαστὴν

§. 17. *ἐν τούτῳ αὖ*] probavit Poppo praeeuntibus codd. pro *ἐν δὲ τούτῳ.* Equidem diu conieceram *ἐν τούτῳ δ᾽ οὖν*, da schlug mich denn.

λέξας, ὅτι, ὁπότε μὲν τοῦ ἁρμόζοντος εἴη] plurimi *λέξας ὁπότε μὲν τοῦ ἁρμόζοντος εἴη* (alii *εἴης* et *εἴην*) *κριτής.* Vulgatur *λέγων, ὅτι, ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτής*, unde in promptu est coniectura *λέξας, ὅτι, ὁπότε μὲν κατασταθεὶς εἴην τοῦ ἁρμ. κρ.* Pro *ὁποτέρου* lectionem *ποτέρου* ex libris restituimus.

ἔπειτα δ᾽ ἔγνω] dedi quae maximam partem meliorum fide librorum continentur, qui exhibent: *ἐπειδὰν δ᾽ ἔγνω τὸ – βίαιον, σὺν τ. ν. ἐκ. ἀεὶ τὸν δικ. ψῆφ. τίθ.* aut *ἐπεὶ δ᾽ ἔφη*, et *ἔπειτα δ᾽ ἔφη. ἐπειδή, ἔφη* scripsit Heind., ut infinitivus ab *ἐπειδή* pendeat, quo modo vereor ne *ἔφη* duriuscule, non dicam perperam, intrudatur. Rarissime vero etiam Xenoph. hac ratione locutus est. vid. not. ad. Apol. §. 4. Suspicor igitur olim lectum fuisse ut dedi. In edd. ante Popp. curatis est *ἔπειτα δέ, ἔφη.* Ante *ψῆφον* quae praegreditur syllaba in nonnullis codd. articulum *τήν* absorpsit.

§. 17. *ἠμφίεσε*] Cod. Guelf. *ἀμφίασε*, Vat. *ἠμφίασε* scripserunt, quam formam serioribus putant propriam esse Sturz. de ling. Maced. p. 146. et Iacobs post Goeller. Dionys. de Compos. verb. p. 259. Ob verbi constructionem locum excitarunt Matth. §. 412. 7. et Rost. §. 104. 4.

εἴη κριτής] si *εἴη* genuinum est, *τὶς* suppleas necesse est non nolentibus linguae legibus, de quibus vid. Matthiae §. 294. 2. Inter *ἁρμόζειν* et *ἁρμόττειν* libri apud Xen. tam multis modis variant, nihil ut certi audeam statuere, tametsi Lobeckium video Atticae formae patrocinium suscepisse ad Phryn. p. 241. Cf. Buttm. gr. max. §. 92. n. 9. p. 383.

πότερα] sc. *δίκαιόν ἐστι*, utrum is, qui vi rapuerit, habere (behalten) debeat, an possidere, qui vel conficiendum sibi curaverit vel emerit.

τὸ μὲν νόμιμον δίκαιον] Socratis praecepta sunt in Memor. IV. 4, 13. *ὁ μὲν ἄρα νόμιμος δίκαιός ἐστιν, ὁ δὲ ἄνομος ἄδικος.*

τὴν ψῆφον τίθεσθαι. Οὕτως ἐγώ σοι, ὦ μῆτερ, τά
γε δίκαια παντάπασιν ἤδη ἀκριβῶ· ἢν δέ τι ἄρα προσ-
δέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει. Ἀλλ' οὐ 18
ταὐτά, ἔφη, ὦ παῖ, παρὰ τῷ πάππῳ καὶ ἐν Πέρ-
σαις δίκαια ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μή-
δοις πάντων ἑαυτὸν δεσπότην πεποίηκεν· ἐν Πέρσαις
δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. Καὶ ὁ σὸς πρῶ-
τος πατὴρ τὰ τεταγμένα μὲν ποιεῖ τῇ πόλει, τὰ τε-
ταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχή,
ἀλλ' ὁ νόμος ἐστίν. Ὅπως οὖν μὴ ἀπολῇ μαστιγού-
μενος, ἐπειδὰν οἴκοι ᾖς, ἂν παρὰ τούτου μαθὼν ἥκῃς
ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικόν, ἐν ᾧ ἔστι τὸ πλεῖον
οἴεσθαι χρῆναι πάντων ἔχειν. Ἀλλ' ὅ γε σὸς πατήρ,
εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν
μεῖον ἢ πλεῖον ἔχειν. Ἦ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μή-
δους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον ἔχειν; Ὥςτε θάρ-

§. 18. *πατὴρ τὰ τεταγμένα μὲν ποιεῖ τῇ πόλει, τὰ τεταγμένα δὲ*] Vulg. *πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ, τῇ πόλει, τεταγμένα δέ.* sensu parum apto. Nostrum est in melioribus, quanquam alteri *τεταγμένα* articulus *τά* in paucis eorum non praemittitur.

οἴκοι ᾖς] vulgatum *εἴης*, defensum ab Herm. ad Vig. p. 787. 922, mutavit Poppo in *ᾖς*, sed in *ἴῃς* Med. Vat.

§. 18. *ὁμολογεῖται*] omnium consensu censentur. Ita Buttm. in Ind. ad Plat. Men. p. 225.

ἐν Πέρσαις δὲ τὸ ἴσον] apud Persas vero lege sancitum est, ut aequo quisque et pari iure cum ceteris vivat. Gabr.

ὁ σὸς πρῶτος πατήρ] i. e. secundum Schneid. *ὁ σὸς πατὴρ πρῶτος*, idque aptius esse quam *πρῶτον* iam Stephanus contendit, quasi eum, inquit, suo illis exemplo praeire dicat. Hic enim sensus est: ac primus est pater tuus, qui a civitate constituta (civitatis leges) observat, quaeque constituta sunt, accipit.

οὐχ ἡ ψυχή] »non animi appetentia, (verba sunt Stephani) perinde ac si diceret: non eo usque progreditur, quo libido animi impellit, sed tantum quousque lex permittit.« Ad hanc vocis *ψυχή* potestatem adstruendam idem comparari iussit Oecon. VI. 14. Memor. I. 2, 4. 3, 14., quibus accedat Ast. ad Platon. Phaedr. p. 325.

Ὅπως οὖν μὴ ἀπολῇ] Vid. Matth. §. 520. p. 738. Rost. §. 122. not. 7. et Hermann. ad Soph. Oed. Col. v. 155.

σει, ὡς ὅ γε σὸς πατὴρ οὔτ' ἄλλον οὐδένα οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψει.

CAPUT IV.

1 Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥςτε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο, προςιὼν, καὶ ἔνδηλος ὢν, ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥςτε, εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον τοῦ Κύρου δεῖσθαι, διαπράξασθαι σφίσιν. Ὁ δὲ Κῦρος, εἴ [τι] δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν περὶ παντὸς
2 ἐποιεῖτο διαπράσσεσθαι. Καὶ ὁ Ἀστυάγης, ὅ τι δέοι-

ὡς ὅ γε σὸς π.] quidam ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλ. οὐδ. οὔτ' ἐμὲ μὴ διδάξας πλ. ἀποπέμψεται. ubi μή a quibusdam omittitur. οὔτ' ἐμὲ πλ. μαθόντα ἀποπέμψεται Steph. Leuncl. ὡς ὅ γε σὸς π. – ἀποπέμψει multi boni codd. Videtur μή post ἐμέ interserendum esse. cf. Herm. et Elmsl. ad Eurip. Med. 1120.

§. 1. ὥςτε, εἴ τι τοῦ] ὥςτε ἐπεὶ τοῦ alii. iidem articulum τοῦ addunt ad Κύρου.
Κῦρος, εἴ [τι]] τι omissum in pluribus codd.

ὡς ὅ γε σὸς π.] ὡς est nam, ut III. 2, 8. I. 4, 13.

Cap. IV. §. 1. Καὶ ταχὺ – συνεκέκρατο, ὥςτε] »Et quidem in aequalium suorum consuetudinem brevi se insinuavit ita, ut quam familiarissime iis uteretur.« Gabr.

ἀνήρτητο] Stephanus postquam ostendit ἀνακτᾶσθαι nihil significare aliud et ἀναρτᾶσθαι, num ἀνεκτήσατο aut potius ἀνέκτητο scriptum fuerit, dubitandum esse ait, ceteroquin nihil neque in annot. neque in marg. annotans, ἀνεκτήσατο se pro alterius lectionis interpretamento habere.

τοὺς υἱεῖς] vid. Lobeck. ad Phryn. p. 69. et not. ad cap. 1, 2.

τοῦ βασιλέως] Adverte articulum huic nomini praepositum, quem, ubi de rege Persarum sermo sit, vulgo omitti docent Schaefer. in Appar. crit. et exeg. ad Demosth. p. 472. 644. 738. et Iacob. ad Lucian. Tox. p. 75 sq.

περὶ παντὸς ἐπ. διαπρ.] nihil ei erat potius, quam ut omnia perficeret, quae ab illis rogaretur. Vide Viger. p. 653.

το αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντέχειν, μὴ οὐ χαρίζεσθαι. Καὶ γάρ, ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλιπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· ἀλλὰ δῆλος ἦν πᾶσιν, ὅτι ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνῃ. Καὶ γὰρ ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο ὁ Κῦρος, καὶ πάντων ἀοκνότατος ἀνεπήδα ὑπηρετήσων ὅ τι οἴοιτο χαριεῖσθαι· ὥςτε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα 3
μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ καί, διὰ τὸ φιλο-

§. 2. ἀντέχειν] Poppo cum codd. nonnullis pro ἀντιλέγειν.
ἀλλὰ δῆλος ἦν] nonnulli ἀλλὰ δῆλός τε ἦν. Coniunctivum ἀποθάνῃ boni codd. optativo praeferunt.
ὁ Κῦρος] articulum restitui.
ἀοκνότατος] vulgo ἀοκνότατα. Cf. Iacobs ad Achill. Tat. p. 763.

§. 2. ἀντέχειν, μὴ οὐ χαρ.] Secutus sum codices praestantissimos, licet non ignorem ad vulgatum defendendum cum alia, tum II. 2, 16. ἅμα δὲ καὶ αἰσχρὸν τὸ ἀντιλέγειν, μὴ οὐχὶ τὸν πλεῖστα καὶ πονοῦντα καὶ ὠφελοῦντα τὸ κοινόν, τοῦτον καὶ μεγίστων ἀξιοῦσθαι, et Symp. III. 3. Ἀλλ' οὐδείς σοι ἀντιλέγει, τὸ μὴ οὐ λέξειν. afferri a quopiam posse. Eodem, quo hic, sensu verbum ἀντέχειν a Xenoph. usurpatum esse Hist. Graec. 2, 10. auctor est Schneiderus, in animo habens, ut opinor, II. 2, 16. εἰδὼς ἥξει Λακεδαιμονίους, πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν ἀντέχουσι περὶ τῶν τειχῶν, ἢ πίστεως ἕνεκα. Magis huc facit locus Cyrop. VII. 1, 34. De negationibus μὴ οὐ egerunt Herm. ad Viger. p. 800 sq. Buttmann. §. 135. n. 6. 2. Thiersch. §. 301. 4. Rost. §. 135. 7. b. δ. p. 541. et Matth. §. 601.

ἀσθεν. αὐτοῦ – τὸν πάππον] Exspectasses potius ἀσθενήσαντα τὸν πάππον οὐδ. ἀπέλιπεν vel certe ἀσθενήσαντος τοῦ πάππου οὐδ. ἀπέλιπεν αὐτόν, sed alias etiam pronomen demonstrativum ipsi nomini videas praepositum, ut Anab. I. 9, 15. τοιγαροῦν πολλὴ ἦν ἀφθονία αὐτῷ τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις Κῦρον αἰσθάνεσθαι οἴοιτο.

ἀποθάνῃ] Legitimus post imperfectum fuisset optativus, usus tamen etiam subiunctivum admisit, sive quod historici, quae res praeteriit, saepe eam ut praesentem animo informarunt, sive quod verbum timendi praecessit, cuiusmodi verbis frequentius quam aliis coniunctivus apponitur. Vid. Matthiae ad Eurip. Phoeniss. v. 70. Suppl. v. 149. et not. ad Conviv. II. 11. p. 70.

ἐκ νυκτός] noctu, ut Latini de nocte, et infra VIII. 5, 12. ὅπως καὶ ἐκ νυκτῶν. Vocis ἀοκνότατος interpretationem agnoscas in vulgata. cf. Buttm. §. 109. 3. n. 2.

μαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνατο· ὥςτε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ' ὥςπερ γὰρ ἐν σώματι, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεται τὸ νεαρὸν αὐτοῖς, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης τις καὶ φιλοστοργία· ὥςτ' ἐπιθυμίαν τις εἶχεν ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

Cyrus, exactis pueritiae annis, gravitatem et verecundiam induit: aequales obsequio et comitate sibi devincit, inter quos unice tenetur equitandi et venandi studio.

4 Ὡς δὲ προῆγεν αὐτὸν ὁ χρόνος σὺν τῷ μεγέθει εἰς ὥραν τοῦ πρόςηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς

§. 3. ἀπεκρίνατο] A. B. Guelf. Stob. Cast.; ἀπεκρίνετο ceteri.

ἐν σώματι] non potuit temere in G. A. B. V. marg. Vill. intrudi pro ἐν σώμασιν.

ἐπιθυμίαν τις εἶχεν] »Sic legitur, inquit Fischerus ad Well. T. III. P. 2. p. 86., in cod. Brem. et Guelf. (Steph. A. B. V. margg. Vict. Vill.), sed in huius marg. notata erat scriptura ἐπεθύμει ἄν τις, quae est in cod. Alt. Iunt. Ald. et in libris Stobaei, fuitque in cod. Philelphi, haud dubie vera.«

§. 3. πολλὰ μὲν αὐτὸς κ. τ. λ.] de multis ipse rebus solebat eos, quibuscum erat, interrogare, quomodo se haberent. Gabr. Cf. Matth. §. 411. Illud ἀεί vulgaris loquendi usus inter articulum τούς et participium sequens collocari iubet eo sensu, quem laudati ad cap. 5, 9. indicabunt. Subiicitur καί in his καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρ. licet antea non scriptum sit πολλά τε αὐτός. vid. Hermann. ad Viger. p. 841, 335. b. Reisig. Coniectan. in Aristoph. I. p. 234. et Thiersch. §. 312. 9. p. 467.

ἀπεκρίνατο] Imperfectum non tam ab antec. imperfecto, quam a sensu requiri putat Zeun. Tu verte: respondere solebat, et cf. not. ad cap. 2, 2.

ἐν σώματι, ὅσοι] i. e. ἐν σώματι ἐκείνων, ὅσοι νέοι ὄντες vel ἐν σ. τῶν νέων ὄντων, ὅσοι. Cum his comparari possunt notata a Porsono et Schaefero in edit. tert. ad illa Euripidis Orest. 910. αὐτουργός, οἵπερ καὶ μόνοι σῴζουσι γῆν. Singularem tuetur etiam interpres: quemadmodum in corpore, si quis in adolescentia praeter modum creverit, apparet tamen in eo iuvenile quiddam, quod annorum paucitatem arguit. Dativus αὐτοῖς ob praegressum ὅσοι tantum non necessarius est.

μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαι-
τέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥςτε καὶ ἐρυθραίνεσθαι,
ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· καὶ τὸ σκυλα-
κῶδες, τὸ πᾶσιν ὁμοίως προςπίπτειν, οὐκέθ' ὁμοίως
προπετὲς εἶχεν. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ
ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα δια-
γωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ, ἃ
κρείσσων ᾔδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας,
ἀλλ', ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥσσονα ὄντα, ταῦτα ἐξῆρ-
χε, φάσκων κάλλιον αὐτῶν ποιήσειν· καὶ κατῆρχεν
ἤδη διαναπηδῶν ἐπὶ τοὺς ἵππους ἢ διατοξευσόμενος ἢ
διακοντιούμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος
ὤν· ἡσσώμενος δὲ αὐτὸς ἐφ' ἑαυτῷ μάλιστα ἐγέλα.
Ὡς δ' οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡσσᾶσθαι εἰς τὸ μὴ 5
ποιεῖν ὃ ἡσσῷτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι
αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο
τῇ ἱππικῇ τοῖς ἥλιξι, ταχὺ δὲ παρῄει, διὰ τὸ ἐρᾶν τοῦ
ἔργου· ταχὺ δὲ καὶ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνη-
λώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥςτε ὁ

§. 4. *βραχυτέροις*] Cod. Alt. *μανοτέροις*, de quo vid. not. ad VII. 5, 6.

ἤδη διαναπηδῶν] vulgo: *ἤδη ἀναπηδῶν*; multi libri *ἢ διαναπηδῶν*; unde illam concinnavi. [Mihi *ἢ διαναπηδῶν* videtur verum; nam quae Schneiderus contra hanc lectionem obmovit, nihil ad rem faciunt. F. I.].

ἐφ' ἑαυτῷ] vulgat. *ἐφ' ἑαυτοῦ* male defendit Zeun.

§. 5. *ἐκαλινδεῖτο*] alii *ἐκυλινδεῖτο*. Vid. ad Conviv. VIII. 32. p. 208.

§. 4. *ταῦτα προὐκαλεῖτο*] Stephanus veretur, ne desit particula *εἰς* ante *ταῦτα*. Sed meliora disces ex Matth. Gr. §. 413. n. 4. Rost. §. 104. not. 5.

ᾔδει ἑαυτὸν ἥσσονα ὄντα] variandae orationis causa scripsit, cum antea dedisset *ἃ κρείσσων ᾔδει ὤν*. vid. Buttm. §. 131. 4. Matth. §. 547. p. 788 sq.

καὶ κατῆρχεν ἤδη διαν.] Ut *ἐξάρχω* magis valet de oratione et primo initio, i. e. consilio, ita *κατάρχω* de facto et quasi posteriore initio.

ἐφ' ἑαυτῷ ἐγέλα] se deridebat, interprete Herm. ad Viger. p. 859. 393.

§. 5. *τῇ ἱππικῇ τοῖς ἥλιξι*] Illius ut dativi rationem perspicias, non necesse est ad ellipsin praepositionis *ἐν* confugere, de qua cogitari vetat Matth. §. 404. 6. De altero dativo ad cap. 3, 4. diximus.

ἀνηλώκει] Iniuria Atticis solam formam *ἀναλώκει* vindicare volunt, in quibus est etiam Buttm. §. 101. p. 263. Rost. §. 84. p. 289. Vid. Matth. §. 166. n.

Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος, ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα παρέχειν πολλά, ἔλεγε πρὸς αὐτόν, Ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα πράγματα ἔχειν; Ἀλλ' ἐὰν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα
6 ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφεσθαι. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ' ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥςπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον προςῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προςῄει, εἰ μὴ ἴδοι, εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐγχωροίη [εἰςιέναι, καὶ ὁπότε οὐ καιρὸς εἴη·] ὥςτε ὁ Σάκας ὑπερεφίλει ἤδη αὐτὸν, καὶ οἱ ἄλλοι πάντες.
7 Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα ἔξω θηρᾶν, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυςχωριῶν φυλάσσοιεν αὐτόν, καὶ εἰ τῶν ἀγρίων τι φανείη θηρίων. Ὁ οὖν Κῦρος

ἐπὶ θήραν] τὴν quidam libri interserunt. cf. Epilog. p. 43.

§. 6. ὀκνηρότερον] γέ addit Med., τέ m. Vict., quo recepto arctius hoc membrum cum seqq. iungetur.

ἴδοι] ita codd., edd. nonnullae προΐδοι.

ὁπότε ἐγχωροίη] Lectionum in proximis verbis varietas dubitare non patitur Xenophontem scripsisse tantum: ὁπότε ἐγχωροίη, ὥςτε κ. τ. λ. In proximis libri ducunt ad hanc scripturam: ὥςτε ὁ Σάκας ὑπερεφίλει ἤδη καὶ οἱ ἄλλοι πάντες.

2. p. 303. et p. 434 ed. 2. Buttm. Gr. max. T. II. p. 76 sq. et nos ad Anab. IV. 7, 10.

§. 6. παρίει] »Verbo προςίημι, inquit Steph., non παρίημι ad eam rem significandam utitur Anabas. IV. 5, 5. Οἱ οὖν πάλαι ἥκοντες καὶ πῦρ καίοντες οὐ προςίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας.« Adde Cyrop. VII. 5, 38. Sed falli Stephanum patet ex Lex. Xen. s. v. παριέναι p. 459. et not. ad Anab. VII. 2, 15.

οὐ γὰρ προςῄει – εἴη] indicativus est de re certa factaque, optativus de cogitata et dubia. Cf. Matth. §. 524. 3. p. 747.

§. 7. ὅπως – φυλάσσοιεν] mittit veteranos equites, qui eum a locis difficilibus ac periculosis servarent. Gabr. Optativi vim magis sentics reddendo: ut, si possent, vel si necesse esset, eum servarent. Vid. Herm. ad Viger. p. 850 sq. Matth. §. 518. p. 734 sq. Rost. §. 122. n. 5.

τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ποῖα χρὴ θαρσοῦντα διώκειν. Οἱ δ' ἔλεγον, ὅτι καὶ ἄρκτοι πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν καὶ κάπροι καὶ λέοντες καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι καὶ δορκάδες καὶ οἱ ἄγριοι ὄϊες καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυςχωρίας ὅτι δέοι φυλάσσεσθαι οὐδὲν ἧσσον ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Καὶ ὁ Κῦρος πάντα ταῦτα 8
ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος, ὧν ἤκουσεν, ἐδίωκεν, οὐδὲν ἄλλο ὁρῶν ἢ ὅποι ἔφευγε. Καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ' ἐπέμεινεν ὁ Κῦρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προςελάσαντες ἐλοιδόρουν αὐτόν, καὶ ἔλεγον, εἰς οἷον κίνδυνον ἔλθοι, καὶ ἔφασαν κατερεῖν αὐτοῦ. Ὁ οὖν Κῦρος εἱστήκει καταβεβηκώς, καὶ ἀκούων ταῦτα ἠνιᾶτο. Ὡς δ' ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον, ὥςπερ ἐνθουσιῶν· καὶ ὡς

§. 7. ποίοις – ποῖα] sic optimi pro ὁποίοις – ὁποῖα.

§. 8. ἐκπηδήσασαν] alii ἐκπηδήσαντα.

κατερεῖν αὐτοῦ] editt. ante Schneid. adiiciunt τῷ πάππῳ.

ποίοις – ποῖα] Non inusitata in obliqua oratione pronomina interrogativa. c. 2, 10. οὐ ῥᾴδιον εὑρεῖν ἐν τῇ θήρᾳ τί ἄπεστι τῶν ἐν τῷ πολέμῳ παρόντων. §. 11. ἀναμνησθήτω, πῶς ἡδὺ μὲν μάζα καὶ ἄρτος. c. 3, 17. κρῖναι δέοι, πότερον ὁ χιτὼν εἴη. Factum indidem, ut in eodem membro Graeci utriusque generis particulas coniungerent, cuius rei exemplorum quod satis est habet Lobeck. ad Phryn. p. 57.

ὅτι – διέφθειραν] de usu indicat. post partic. ὅτι in oratione obliqua vid. Rost. §. 122. 6.

οἱ ἄγριοι ὄϊες] aut potius οἶες. cf. Buttm. §. 45. n. 6. Matth. §. 80. n. 7.

αὐτοῖς τοῖς ἵπποις] una cum equis transtulit Gabr. usu pervulgato, de quo Viger. p. 861. 409. Matth. §. 400. p. 540 sq.

§. 8. καί πως] Et casu nescio quo. Viger. p. 446 sq. not.

ἐλοιδόρουν αὐτόν] Victor. in marg. αὐτῷ, male. vid. Matth. §. 383. p. 513.

εἶδεν ἐκ τοῦ ἀντίου κάπρον προςφερόμενον, ἀντίος
ἐλαύνει· καὶ διατεινάμενος εὐστόχως βάλλει εἰς τὸ μέ-
9 τωπον, καὶ κατέσχε τὸν κάπρον. Ἐνταῦθα μέντοι
ἤδη καὶ ὁ θεῖος αὐτῷ ἐλοιδορεῖτο, τὴν θρασύτητα
ὁρῶν. Ὁ δ' αὐτοῦ λοιδορουμένου ὅμως ἐδεῖτο, ὅσα
αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι εἰςκομίσαντα δοῦναι τῷ
πάππῳ. Τὸν δὲ θεῖον εἰπεῖν φασιν, Ἀλλ' ἢν αἴ-
σθηται, ὅτι ἐδίωκες, οὐ σοὶ μόνον λοιδορήσεται, ἀλλὰ
καὶ ἐμοί, ὅτι σε εἴων. Καί, ἢν βούληται, φάναι
αὐτόν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ· καὶ
σύ γε, εἰ βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος, ὅ τι
βούλει, ταῦτα ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης
μέντοι τελευτῶν εἶπε, Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν
10 γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι. Οὕτω δὴ ὁ Κῦρος
εἰςκομίσας τὰ θηρία ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν,
ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια
ἐπεδείκνυε μὲν οὔ, κατέθηκε δὲ ᾑματωμένα, ὅπου
ᾤετο τὸν πάππον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἄρα εἶ-
πεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως, ὅσα
σὺ δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενός, ὥςτε
σε κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη· Εἰ τοίνυν μὴ σὺ
δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτά, ὅπως τοῖς
ἡλικιώταις ἐγὼ διαδῶ. Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης,
καὶ ταῦτα λαβὼν διαδίδου ὅτῳ σὺ βούλει, καὶ τῶν

ἐκ τοῦ ἀντίου] sic boni codd., vulgo *ἐκ τ. ἐναντίου*. Cf. ad Anab. I. 8, 23.

§. 9. *ἐᾶσαι*] vulgatum *αὐτόν* post *ἐᾶσαι* omittunt optimi quique.

δῶ αὐτῷ] m. Vict. et Phil. *αὐτά*, non male.

ὅ τι βούλει] haec verba omissa a nonnullis libris defendi ad Anab. V. 6, 20. p. 369.

ταῦτα ὅμως χ. μ.] *ταῦτα* ex libris bonae notae reposui pro vulg. *τοῦτο*.

§. 10. *ἐπεδείκνυε μὲν οὔ*] sic G. *ἐπιδεικνύμενος* boni codd. Vulgo: *ἐδείκνυε μ. οὔ*.

διαδῶ] Brem. *διαδιδῶ*, quod praestat.

διατεινάμενος εὐστόχως β.] iaculum recte periteque intensum iecit in frontem. Gabr.

§. 10. *ἐπεδείκνυε μὲν οὔ*] In hoc verbo ostentandi inest notio, multo ea huic loco convenientior, quam monstrandi, verbo simplici propria.

διαδίδου] de forma hac vid. Matth. §. 210. n. 5. et Buttm. §. 95. b. n. I. 5. p. 215.

ἄλλων ὁπόσα θέλεις. Καὶ ὁ Κῦρος λαβὼν ἐδίδου τε 11
ἄρας τοῖς παισί, καὶ ἅμα ἔλεγεν·
Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ
παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον ἔμοιγε δοκεῖ εἶναι,
οἷόνπερ εἴ τις δεδεμένα ζῶα θηρῴη. Πρῶτον μὲν γὰρ
ἐν μικρῷ χωρίῳ ἦν· ἔπειτα λεπτὰ καὶ ψωραλέα· καὶ
τὸ μὲν αὐτῶν χωλὸν ἦν, τὸ δὲ κολοβόν· τὰ δ' ἐν τοῖς
ὄρεσι καὶ λειμῶσι θηρία ὡς μὲν καλά, ὡς δὲ μεγάλα,
ὡς δὲ λιπαρὰ ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι ὥςπερ
πτηναὶ ἥλλοντο εἰς τὸν οὐρανόν· οἱ δὲ κάπροι, ὥςπερ
τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὁμόσε ἐφέροντο·
ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τ' ἦν αὐ-
τῶν· καλλίω δή, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα εἶ-
ναι ταῦτα ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα.
Ἀλλ' ἆρα ἄν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ
θήραν; Καὶ ῥᾳδίως γ' ἄν, ἔφασαν, εἰ Ἀστυάγης κε-
λεύοι. Καὶ ὁ Κῦρος εἶπε· Τίς οὖν ἂν ἡμῖν Ἀστυά- 12
γει μνησθείη; Τίς γὰρ ἄν, ἔφασαν, σοῦ γε ἱκανώτε-
ρος πεῖσαι; Ἀλλὰ μὰ τὸν Δία, ἔφη, ἐγὼ μὲν οὐκ

§. 11. *ἐδίδου τε ἄρας*] *ἄρας* pro *ἄρα* bonorum codd. multi, quo admisso *λαβών* erit: accepto et probato munere.

ὅμοιον ἔμοιγε] Vulgo: *ὅμοιον γάρ*, quam voculam boni codd. omittunt.

ἔπειτα λεπτὰ καὶ ψωραλέα] *λεπτά* optimi; vulgo *μικρά*. Utramque lect. iunxit Schneid.

καλλίω δή] *καλλίω δέ* edd.

§. 12. *τίς οὖν ἂν ἡμῖν Ἀστυάγει*] *τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην* edd. ante Schneid.

καὶ τῶν ἄλλων] intellige *θηρίων*, eas feras, quas praeter Cyrum reliqui venati erant.

§. 11. *τοὺς ἄνδρας φασὶ τ. ἀνδ.*] sc. *τοῖς πολεμίοις ὁμόσε φέρεσθαι*. »Cum nondum proelio interfuisset, sed tantum rem aliunde accepisset, recte dicit *φασί*.« Zeun.

Καὶ ῥᾳδίως γ' ἄν] *καὶ — γε* suum hic locum obtinent. vid. Schaef. et Porson. ad Eurip. Phoen. v. 619; saltem voculas *τοὶ ἄν*, quae per crasin in *τἄν* coeant, ab hoc loco cur alienas dicam, patet ex nota Porsoni ad. Eurip. Med. 863.

§. 12. *ἡμῖν Ἀστυάγει*] Si genuina verba sunt, cum Zeunio *ἡμῖν* puta dativum esse commodi, *Ἀστυάγει* non differre ab *πρὸς Ἀστυάγην* et *τῆς θήρας* vel *τοῦ πράγματος τούτου* intelligendum esse. Quis nobis, inquit, apud Astyagem hac de re agat? Wer könnte denn für uns beim Ast. desswegen anhalten?

ἱκανώτερος] Scil. *εἴη*, qua omissione post *ἱκανός*, *δίκαιος*,

οἶδ᾽ ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ οἷός τ᾽ εἰμὶ λέγειν ἔγωγε, οὐδ᾽ ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι· παιδάριον δὲ ὢν δεινότατος λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες εἶπον, Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσει πράσσειν, ἀλλ᾽ ἄλλον τινὸς τὸ ἐπὶ σὲ ἀνάγκη ἔσται δεῖσθαι
13 ἡμᾶς. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος ἐδήχθη· καὶ σιγῇ ἀπελθών, διακελευσάμενος ἑαυτῷ τολμᾶν, εἰςῆλθεν, ἐπιβουλεύσας, ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε.

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδρᾷ σε τῶν οἰκετῶν, καὶ λάβῃς αὐτόν, τί αὐτῷ χρήσῃ; Τί ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω; Ἢν δὲ αὐτόμα-

οὐδὲ γὰρ οἷός τ εἰμὶ λέγειν ἔγωγε] sic optimi. Alii ordinem verborum varie mutant.

τὸ ἐπὶ σέ] vid. Fisch. ad Well. T. III. P. I. p. 234. vulgo *τὸ ἐπὶ σοί.*

§. 13. *ἀποδρᾷ σε τῶν οἰκ.*] sic libri optimi. Vulgo: *ἀποδράσῃ τῶν οἰκ.* Schneider cum Wyttenb. et Fisch. *ἀποδρᾷ σοι τῶν οἰκ.* Deinde quidam et scripti et impressi libr. *χρῇ, ἀναγκάζω, δυνατός, ἄξιος* aliaque nihil frequentius. vid. Lamb. Bos. de ellips. p. 605. Schaef. Buttm. §. 116. n. 7.

ἐκ τοῦ ἴσου ἔτι δύναμαι] Hutchinsono interpretes huius loci vim haud assecuti esse videntur. Sensus, uti recte indicat, est: »Cyrum tandem ὑποπτήσσειν incipere, et revereri avum, quem non iam amplius, ut aequalis aequalem, adire atque alloqui sustinuit.« Cf. Viger. p. 597 sq.

Ἢν δὲ τοσ. ἐπιδιδῶ] si verecundia mea tantillum creverit. Hoc sensu *ἐπιδιδόναι* habes apud Plat. Theaet. §. 10. §. 20. Viger. p. 611. b.

παιδάριον δὲ ὢν δειν.] Eurip. Hec. 286. *ὦ φίλον γένειον – ἐλθών*, ubi vid. Porson. ad v. 293. p. 25 ed. Schaef. tert. Matth. §. 434. 1.

τὸ ἐπὶ σέ] quod ad te attinet, quantum in te est, interprete Hermanno ad Viger. p. 860. 398. cui adde Matth. §. 282. p. 392. et §. 586. p. 861.

§. 13. *τί ἄλλο – ἢ δήσας*] v. Matth. §. 612. III. p. 903. Viger. p. 147. Buttm. §. 137. p. 441.

τός σοι πάλιν ἔλθῃ, πῶς ποιήσεις; Τί δέ, ἔφη, εἰ μὴ μαστιγώσας γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἐξ ἀρχῆς χρήσομαι; Ὥρα ἄν, ἔφη ὁ Κῦρος, σοι παρασκευάζεσθαι εἴη ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαί γε, πῶς σε ἀποδρῶ λαβὼν τοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν γάρ, ἔφη, ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χάριεν γάρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι. Ἀκούσας ταῦτα ὁ Κῦρος 14
ἐπείθετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίζεσθαι, ἐξάγει ἐπὶ θήραν· καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς δή, παρὼν αὐτός, ἀπηγόρευε μηδένα

ποιεῖς, χρῶμαι. – Post μαστιγώσας Schneid. ex edd. vett. αὐτόν interseruit, cum iisdem retinens ἔπειτα ἐξ ἀρχῆς πάλιν αὐτῷ χρῶμαι. Nollem codices praeter cetera etiam illud ἔπειτα damnassent.

μαστιγώσεις] μαστιγώσῃς Schneid. ad Memor. II. 3, 19. assentiente Vat. Cf. Monk ad Eurip. Alcest. 76.

χάριεν γάρ, ἔφη, εἰ ἕνεκα] valde hic turbant codd. et editt. χάριεν γάρ, ἔφη, εἴη ἂν Heindorf. Retinuimus nos quidem lectionem Steph., sed genuinam non habemus. Cf. ad Conviv. p. 126.

§. 14. ἔμενεν] ἔμεινεν codd. nonnulli.

χαρίζεσθαι] Sic Schneid. pro vulg. χαρίσασθαι.

βασιλικῶς δή] sic omnes codd. praeter Alt. ubi βασ. δέ.

Τί δέ, ἔφη, εἰ μὴ μ.] Simillima ad Viger. p. 148. interpretantur.

Ὥρα ἄν, ἔφη ὁ Κ.] tempus iam fuerit, ut pares, quo me caesurus sis.

λαβὼν τοὺς ἡλικιώτας] cum aequalibus. Sic ἔχων, φέρων, παραλαβών in iis, quae protulerunt Schaef. ad Eurip. Phoeniss. v. 782. ed. Porson. Thiersch. §. 314. 6. b. et Rost. §. 130. not. 5.

καλῶς ἐποίησας προειπών] v. Matth. §. 554. p. 803 sq.

ἔνδοθεν γὰρ ἀπ. σοι μὴ κιν.] domo enim ne pedem efferas, interdico tibi. Legitimus hic usus est negationis μή, cuius rationem explicuerunt Matth. §. 533. n. 3. Buttm. §. 135. n. 9. Ceterum χάριεν an χαρίεν scribendum sit, ambiguum est: illud praeferunt veteres Grammatici, quos vide in Maittair. Dial. Att. p. 56. et Fischeri Animadverss. ad Weller. T. I. p. 297.

§. 14. Καὶ βασιλικῶς δή] Non debebat Schneidero praeeunte immutari, quod adiecta particu-

βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη θηρῶν. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν, ἀλλ', εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾶν, ἄφες τοὺς κατ' ἐμὲ πάντας διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος κράτιστα δύναιτο.
15 Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι· καὶ στὰς ἐθεᾶτο ἁμιλλωμένους ἐπὶ τὰ θηρία, καὶ φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ Κύρῳ ἥδετο οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥςπερ σκύλακι γενναίῳ ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ᾐσθάνετο οὐδ' ὁπωςτιοῦν φθονερῶς.

ἐμπλησθείη] ἐμπλησθῇ nonnulli; ἐμπλησθείη βάλλων deteriores. διαγωνίζεσθαι] ἀγωνίζεσθαι G. A. B. Vat.
§. 15. ἐθεᾶτο ἁμιλλωμένους] sic optimi libr. pro ἐθ. τοὺς ἁμ.

larum καὶ – δή explicatione laudavit Herm. ad Viger. p. 839. Astyages autem ex regia auctoritate, quae ei suppetebat, quemquam iaculari vetuit. Priusquam enim rex telum emisisset, nemini Persarum vel Medorum feram ferire licuit. Vid. infra IV. 6, 3 sq. Brisson. p. 44. et 233. not. ad Anab. I. 9, 6.

οὐκ εἴα κωλύειν] non passus est quemquam prohiberi, quominus feras venaretur. Vid. ad cap. 3, 10.

καὶ διαγωνίζεσθαι] Aemulationem venantium aptius profecto compositum quam simplex verbum exprimit: atque constat in permutando utroque verborum genere mirum in modum librarios lusisse. Denique, ut alia praeteream, supra ipsi legimus c. 2, 12. διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν.

ὅπως ἕκαστος κράτ. δύναιτο] quia, quod in plerisque locis additur, ἄν deest, si Matthiaei praecepta omnium simplicissima sequamur ad Eurip. Hipp. 468. p. 43. prolata, sensus est: ut quisque maxime poterit. Contra interserto ἄν fieri non potest, quin εἰ καὶ βούλοιτο cogitando suppleas, minus apte ad sensum.

§. 15. ἁμιλλωμένους ἐπὶ τὰ θηρία] decertantes contra feras, φιλονεικοῦντας, cupide pugnantes, ita ut alter alterum vincere studeret. Supple αὐτούς, cuius pronominis vestigia in lectione antiqua τοὺς ἁμιλλ. agnoscas.

ὁπότε πλησιάζοι] quoties appropinquaret, ut paulo post ὁπότε οἷόν τ' εἴη et II. 1, 5. Vid. ad c. 3, 8. 12.

ἕκαστον] sc. τῶν ἡλικιωτῶν, ut acriter venationi instarent. Verba οὐδ' ὁπωςτιοῦν (vid. Devar. de partic. p. 258) φθονερῶς ambigitur utrum ad Cyrum ἐπαινοῦντα an ad Astyagem αἰσθανόμενον referenda sint. Posterius iure Weiskius praetulit, nisi αἰσθανόμενος quis corrigere maluerit. Intellige cum voluptate, s. cum iucundo favoris sensu Cyrum auditum esse. [Mihi multo magis videtur consentaneum, Cyrum dici reliquos pueros sine invidia laudasse, quam Astyagem hoc οὐ φθονερῶς audivisse. Cf. II. 3, 12.

Τέλος δ' οὖν πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπήει. Καὶ τὸ λοιπὸν οὕτως ἥσθη τῇ τότε θήρᾳ, ὥςτε ἀεί, ὁπότε οἷόν τ' εἴη, συνεξήει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν οὖν πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενός.

Cyrus sedecim annos natus tirocinium ponit, et documentum artis imperatoriae edit adversus Assyrios.

Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη γενομένου αὐτοῦ, ὁ υἱὸς τοῦ Ἀσσυρίων βασιλέως, γαμεῖν μέλλων, ἐπεθύμησεν αὐτὸς θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν ἐν τοῖς μεθορίοις τοῖς τε αὐτῶν 16

κακοῦ δὲ οὐδενός] ita Schneid. cum Fisch. et Heind. auctoritate codd. pro editionum οὐδενί. – οὐδενὸς οὐδενί Weisk. et Weckherl. recte, opinor, nisi forte οὐδενί subaudiveris ut contrarium vocis πᾶσιν. Ineptum est enim dicere: omnibus nullius mali auctor fuit.

§. 16. τοῖς τε αὐτῶν] scripsi pro τοῖς τε αὐτῶν.

Ad ἥσθάνετο ex praecedenti εὐφραίνετο intelligitur, Astyagem nepotis liberalitatem cum gaudii sensu animadvertisse. F. I.].

καὶ τὸ λοιπὸν οὕτως ἥσθη – Κύρῳ] Gabr. atque adeo delectatus est venatione, ut in posterum semper, cum liceret, venatum una cum Cyro egrederetur. Traxit igitur illud τὸ λοιπόν ad seqq., verum simplicius est reddi ceterum cum Hermanno ad Viger. p. 706.

§. 16. τὰ πέντε ἢ ἑκκαίδεκα] Tetigimus ad c. 2, 8.

ὁ υἱὸς τοῦ Ἀσσυρίων βασ.] »nempe Evilmerodachus, inquit Hutchins., filius Nebuchadnesaris, cuius in ditione tunc temporis erant Chaldaea, Assyria, Arabia, Syria, Palaestina. De venatione hac et proelio, cuius exstiterat causa, Usserius accidisse ea existimat ad annum M. 3421. Iulianae periodi 4131. ante aeram Christianam 581.« Eadem sententia fuit Fischeri et Meyeri; atqui non iniuria mirati sunt alii, quid causae fuerit, cur Xen., si ad historiae fidem Cyri vitam exigere voluisset, quum alia nomina tum haec silentio praetermisisset. Ne temporum quidem ratio satis convenire videtur, ni Cyrum, quum Babylonem in suam potestatem redegisset, circiter quinquaginta annos natum fuisse statuimus. Quanquam certi aliquid in his rebus erui vix poterit. vid. Rosenmueller. Handbuch der bibl. Alterth. T. I. P. II. p. 40. 88 et de Wette Lehrbuch der hebr. jüd. Archäologie. §. 44. §. 46. p. 51. 53.

αὐτὸς θηρᾶσαι] Non per alios sibi colligi feras voluit, sed ipse (in eigner Person, persönlich) statuit venatum proficisci, εἰς τοῦτον τὸν χρόνον, sub tempus nuptiarum.

καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι ἀθήρευτα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστάς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὔηλατα. Ἀφικόμενος δὲ ὅπου ἦν αὐτοῖς τὰ φρούρια καὶ ἡ φυλακή, ἐνταῦθα ἐδειπνοποιεῖτο, ὡς πρῲ τῇ ὑστεραίᾳ θηράσων.

17 Ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως, καὶ ἱππεῖς καὶ πεζοί. Ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι· [δύο γὰρ ὁμοῦ ἦσαν φυλακαί, καὶ πολλούς τε αὐτὸς ἧκεν ἔχων ἱππέας καὶ πεζούς]. Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς· καὶ λαμπρότερόν τ' ἂν φανῆναι τὸ ἔργον τῆς θήρας, καὶ ἱερείων ἂν παμπόλλην ἀφθονίαν ἐνόμιζε γενέσθαι. Οὕτω δὴ

εἶναι ἀθήρευτα διὰ] sic optimi libr. *εἶναι ἅτε ἀθήρευτα ὄντα διά* editt.

§. 17. *δύο γὰρ ὁμοῦ*] *δύο μὲν φυλακαὶ ὁμοῦ οὖσαι, πολλοὶ δέ, οὓς αὐτὸς ἔχων* editi ante Schneid. Tum mira lectionum in his verbis varietate, tum quod novi nihil verba continent, facile adducor, ut totum locum credam adulterinum esse.

ἱερείων ἂν παμπόλλην – γενέσθαι] *ἱερ. πολλὴν – γενήσεσθαι* edd. ante Zeun., qui iussu bonorum codd. *παμπόλλην* dederat; quod

διὰ τὸν πόλεμον] Bellum intelligunt a Nebuchadnesare gestum cum Iudaeis, quasi vero Palaestina ad Medorum confinia iacuisset, aut Medis cum Assyriis arta iunctis societate in confiniis istis venari non licuisset.

ἔμελλον – ἐξελᾶν] Antea *γαμεῖν μέλλων*. VI. 1, 40. *μελλήσαντά τι παθεῖν* et VII. 1, 17. *μελλούσης τῆς μάχης γίγνεσθαι*. Haec enim omnia Graecitatem admisisse tirones cognoscant ex Parergis ad Lobeckii Phryn. p. 745 sqq. Matth. §. 502. p. 701. ut futura *ἐξελᾶν* et *γαμεῖν* e Buttm. §. 86. n. 11. p. 143 sq. Rost. §. 73a. p. 216 sq.

ἦν αὐτοῖς] Assyriorum scil. regi, eiusque populo.

§. 17. *ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ*] excubiae (nocturnae), quae priores (diurnas) exciperent. vid. Matth. §. 398. p. 538.

ἐκ πόλεως] Babylonem putant intelligi. Ceterum *πόλις* in iis est nominibus, in quibus, ubicunque de urbe dicitur, perinde est omittatur articulus an adiiciatur. Docuit Schaef. ad Soph. Tom. I. p. 254. et in Apparatu crit. et exeg. Demosth. I. p. 384.

καὶ πολλούς τε] Illud *καί*, quod ad Anab. I. 8, 3. in dubitationem vocavi, non minus quam paulo post in *καὶ λαμπρότερόν τε* duo membra copulat, *τέ* ad seq. *καί* respicit: et multos ipse non solum equites, sed etiam pedites adduxit. Cf. not. ad c. 2, 10.

καὶ λαμπρ. – γενέσθαι] interpres reddidit: putavitque ta-

πρωῒ ἀναστὰς ἦγε τὸ στράτευμα· καὶ τοὺς μὲν πεζοὺς κατέλιπεν ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προςελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ ἐνταῦθα κατέμεινεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας· τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοσε καταθεῖν· καὶ ἐκέλευε περιβαλομένους, ὅπως τις ἐπιτυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. Οἱ μὲν δὴ ταῦτα ἔπρασσον.

18 Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτόν, καὶ ὁ υἱὸς αὐτοῦ ὡςαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἔχοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦ-

ex ἂν πολλ. ortum putavit Fisch. Aut hoc verum, quod Alt. habet, aut quod nos ex Med. et Margg. Vill. Vict. recipere non dubitavimus [ἂν παμπόλλην γενέσθαι marg. Vill.].

τὸ στράτευμα] pro τὸν στρατόν ex optim. libr. reposui.

ἐκέλευε – ἐπιτυγχάνοι] περιβαλομένους A. B. pro vulg. περιβαλλομένους. Codd. fluctuant inter ἐπιτυγχάνοι, ἐπιτυγχάνει et ἐπιτυγχάνειν. ὅτῳ τις ἐπιτυγχάνοι Schneid. et edd., idque nescio an praestet.

le opus splendidius omnino fore, quam venationem, et victimarum inde sibi magnam copiam affuturam. Pari modo accepit Brownius Batavus in Specim. lit. inaug. continente Observ. in Xen. Symp. et Cyrop. statuens τῆς θήρας non ab ἔργον, sed a comparativo λαμπρότερον suspensum esse. Miror hoc unum, quod non scriptum est καὶ λαμπρότερόν τε ἂν τῆς θήρας φανῆναι τοῦτο τὸ ἔργον. Particula ἄν infinitivo addita quid sibi velit, vide exponentes Buttm. §. 126. 14. et Rost. §. 120.

τοῖς ἵπποις προςελ.] cum equitatu advectus. vid. Thiersch. §. 264, 1. et Matth. §. 400. c.

ὡς μὴ – καταθέοντας] ne Medi, qui in praesidiis erant, auxilium suis contra praedatores ferrent. Gabr.

περιβαλομένους, ὅπως τις ἐπ.] ut, prout quis incideret (in pecudes, servitia), ablata et correpta ad se adduceret.

§. 18. Σημανθέντων] Matth. §. 563. p. 820 sq. Buttm. §. 132. n. 7.

Ὡς δὲ εἶδον – συντεταγμένους] sed ubi conspexere magnam Assyriorum multitudinem (Mannschaften, τοὺς πεζούς, οὓς κατέλιπεν ἀθρόους ἐν τοῖς μεθορίοις §. 17.) instructam.

ρος, ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδί, ἐκβοηθεῖ καὶ αὐτὸς, πρῶτον τότε ὅπλα ἐνδὺς, οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι· μάλα δὲ καλὰ ἦν καὶ ἁρμόζοντα αὐτῷ, ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. Οὕτω δὴ ἐξοπλισάμενος προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀστυάγης ἐθαύμασε μὲν, τίνος κελεύσαντος ἥκοι· ὅμως δ' εἶπεν αὐτῷ μένειν
19 παρ' ἑαυτόν. Ὁ δὲ Κῦρος ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, Ἦ οὗτοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; Κἀκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ

§. 18. *οὔποτε οἰόμενος*] eleganter Steph. coniecerat *ὡς* vel *ὅσον οὔπ. ἡδόμενος.*
καὶ ὁ Ἀστυάγης] *ἰδὼν* addunt edd., quod omittunt libri optimi.
παρ' ἑαυτόν] *παρ' ἑαυτῷ.* Steph. Brod. Schneid.

§. 19. *ἱππαρίων ἄγουσιν*] *ὀχούμενοι* interseruit Steph. duce Hermogene, etiam Gabr. Nae isti medius fidius ignavi esse videntur, et ignavis *insidere* equulis, qui bona nostra auferunt.

καὶ τοὺς ἄλλους] i. e. et eos, qui cum Astyage et Cyaxare egressi nunc e regione Assyriorum stabant, et ceteros milites, rege proficiscente nondum paratos, *οἷς ἐσήμαινεν ὁ βασιλεὺς πᾶσιν ἐκβοηθεῖν.*

οὔποτε οἰόμενος] sc. *ἐνδύσεσθαι.* Stephanus: »qui tum primum arma induebat, quorum induendorum ita desiderio flagrabat, ut exspectato diu tempore ne adfuturum quidem (nempe puero sibi) unquam speraret.« Brevius Muretus ait, tum primum Cyrum induisse arma, quod tempus ipse nunquam venturum putabat. Similia breviter dicta comparavit Schaef. in Mell. critt. p. 97.

ἃ ὁ πάππος – ἐπεποίητο] »quae avus illi ad corpus tegendum arma facienda curaverat.« Ex his Gabrielii verbis fluxisse puto Weiskii coni. *ἅ οἱ ὁ πάππος*, a Schaefero aliquando receptam, sed vel ob praegressum *αὐτῷ* minus necessariam.

παρ' ἑαυτόν] tuebitur Matthiae ad Eurip. Med. 1048.

§. 19. *Νὴ τὸν Δί', ἔφη – ἀλλ' οὖν πον. γε*] Plat. Gorg. §. 48. p. 56. *Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς συνίημι ὅ τι λέγεις*, ubi *ἀλλά* interpositum asseverandi vim quodammodo auget. Ibid. §. 132. p. 205. *ἀλλ' οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου.* Germani reddere possunt: in der That aber erscheinen sie sonach doch elend.

στῖφος τῶν ἱππέων ἕστηκε συντεταγμένον; οἵ, ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται ἡμᾶς πάλιν ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προςβοηθοῦντας, φοβήσονται οὗτοι, καὶ οὐ κινήσονται· οἱ δ' ἄγοντες εὐθὺς ἀφήσουσι τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

20 Ταῦτα εἰπόντος αὐτοῦ, ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. Καὶ ἅμα θαυμάζων, ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κελεύει τὸν υἱὸν λαβόντα τάξιν ἱππέων ἐλαύνειν ἐπὶ τοὺς ἄγοντας τὴν λείαν. Ἐγὼ δέ, ἔφη, ἐπὶ τούςδε, ἢν ἐπὶ σὲ κινῶνται, ἐλάσω· ὥςτε ἂν ἀναγκασθῆναι ἡμῖν προςέχειν τὸν νοῦν. Οὕτω δὴ ὁ Κυαξάρης, λαβὼν τῶν ἐῤῥωμένων ἵππων τε καὶ ἀνδρῶν,

συντεταγμένον] Post συντεταγμένον vulgo legitur σὺν τοῖς ἵπποις; quidam om. συντεταγμένον. Languidum additamentum σὺν τ. ἵ. haud scio, utrum antegressis ἐφεστήκασι τοῖς ἵπποις, an verbis ἐλαύνειν τινὰς ἐπ' αὐτ. illustrandis inservierit.

§. 20. ταῦτα εἰπόντος αὐτοῦ] ταῦτ' εἰπών Schneid. et edd.
ἐλάσω] ita libri opt., ἐλῶ edd.
ὥςτε ἂν ἀναγκασθῆναι] ita libri boni; vulg. ὥςτε ἀναγκασθήσονται.

οἵ, ἢν ἐπ' ἐκείνους — ἐκεῖνοι] qui, si nos irruamus in illos, ipsi nos rursus intercludent: nimirum ἐκείνους ad equites palantes, ἐκεῖνοι ad catervam equitum refer, quae instructa constiterat. Posterius abundat. cf. Matth. §. 468. p. 648.

§. 20. Ταῦτα εἰπόντος αὐτοῦ] Citavit Herm. ad Viger. p. 770. Cf. Matth. p. 818. et annot. ad §. 2. et Apol. §. 4. p. 38.

τι λέγειν] dicere, quod alicuius momenti esset. v. Viger. p. 152. 731.

ἐλάσω] improbant vulgo Atticistae, sed invito Xen. Anab. VII. 7, 55. ἐλάσοντας. cf. Lobeck. ad Phryn. p. 746.

ὥςτε ἂν ἀναγκασθῆναι] Ita si scripsit Xen., subaudias e praecedentibus necesse est ὥςτε ἄν, εἰ ἐπὶ σὲ κινοῖντο, ἀναγκασθῆναι. Infra III. 1, 27. ἔχει μὲν προφάσεις τὰ ἡμέτερα ἁμαρτήματα, ὥςτε ἀπιστεῖν ἡμῖν libri integerrimi ὥςτε ἂν ἀπιστεῖν exhibent hoc sensu: ita ut, si quis velit, nobis diffidat. Additur conditio I. 6, 18. ὥςτε, ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι.

τῶν ἐῤῥωμ. ἵππων τε καὶ ἀνδρῶν] v. Matth. §. 356. Rost §. 108. 2. d. p. 405 sq.

προςελαύνει. Καὶ ὁ Κῦρος ὡς εἶδεν ὁρμωμένους,
ἐξορμᾷ· καὶ αὐτὸς πρῶτος ἡγεῖτο ταχέως, καὶ ὁ Κυα-
ξάρης μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελεί-
ποντο. Ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ λεηλα-
21 τοῦντες, εὐθὺς ἀφέντες τὰ χρήματα ἔφευγον. Οἱ
δ' ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο, καὶ οὓς μὲν κατε-
λάμβανον εὐθὺς ἔπαιον, πρῶτος δὲ ὁ Κῦρος· ὅσοι δὲ
παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τούτους ἐδίω-
κον, καὶ οὐκ ἀνίεσαν, ἀλλὰ καὶ ᾕρουν τινὰς αὐτῶν.
Ὥςπερ δὲ κύων γενναῖος, ἄπειρος, ἀπρονοήτως φέ-
ρεται πρὸς κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο, μό-

ὁρμωμένους (G. ὁρμώμενος) ἐξορμᾷ, καὶ αὐτὸς πρῶτος] ita boni codd., ὁρμ., συνεξορμᾷ εὐθύς, καὶ αὐτὸς πρ. Sch. cum edd., ὁρμωμένους, ὁρμώμενος καὶ αὐτός, πρ. coniicit Popp. Quidni ὡς εἶδεν, ὁρμώμενος καὶ αὐτὸς πρῶτος?

καὶ ὁ Κυαξ. – ἀπελείποντο] haec suspecta habuit Schneid.; Weckherl. tantum verba μέντοι ἐφείπετο.

Καὶ ὁ Κῦρος ὡς εἶδεν – ἐξορμᾷ – ταχέως] Gabr. ac Cyrus, ut vidit alios magno impetu moveri, movetur et ipse, atque omnium primus admirabili celeritate praeibat, ante oculos habuit lectionem Popp. *ἐξορμᾷ καὶ αὐτὸς, καὶ πρῶτος ἡγεῖτο ταχ.* Receptam verte: quos ut Cyrus ruentes vidit, proruit; et ipse primus omnium concitato equo agmen duxit. Pronomen *αὐτός* tantum abest ut frigeat, ut propter seq. *Κυαξάρης* tantum non sit necessarium. Repetitionem vero copulae *καί* granditatis aliquid habere quis non sponte sentiat?

καὶ ὁ Κυαξάρης μέντοι ἐφ.] Non temere haec Xen. adnexuit: nam post verba *πρῶτος ἡγεῖτο ταχέως* nemo non dubius haerere debebat, Cyrumne Cyaxares, quem equitibus pater praefecerat, secutus fuerit, an remanserit, utrum ingressioni interfuerit nec ne. Illud *μέντοι* autem hic et §. 22. non sine ironia dici, vix est quod moneam post Herm. ad. Viger. p. 844. Adde quod vulgata mirifice facit ad Cyri alacritatem et fortitudinem depingendam, qua avunculum adeo iuvenis praestitit; quandoquidem per totam Cyropaediam hoc potissimum egit scriptor, ut perfectum virtutis exemplum in Cyro, ignaviae vero in Cyaxare ob oculos nobis poneret.

§. 21. *Οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπ.*] Cyrus autem eiusque comites viam iis praecludebant.

ὅσοι δὲ παρ. αὐτῶν ἐφθ.] quotquot autem hostes praetervecti erant prius, quam Medi ad eos pervenissent.

κύων γενναῖος, ἄπειρος] Nihil opus particula δέ post ἄπειρος interposita. Anab. I. 5, 4. *ἐνταῦθα ἦν πόλις ἐρήμη, μεγάλη.* V. 4, 25. *δόρατα ἔχοντες παχέα, μακρά.* Infra VI. 4, 2. *καὶ χιτῶνα πορφυροῦν, ποδήρη, στολιδωτὸν τὰ κάτω.* cf. Matth. §. 444. p. 618 sq.

νον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν προνοῶν. Οἱ δὲ πολέμιοι ὡς ἑώρων πονοῦντας τοὺς σφετέρους, προὐκίνησαν τὸ στῖφος, ὡς παυσομένους τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν προορμήσαντας. Ὁ 22
δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνιείς, ἀλλ' ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον ἐδίωκε, καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς κατέχων ἐποίει. Καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, ἴσως καὶ αἰσχυνόμενος τὸν πατέρα, καὶ οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ τοιούτῳ εἰς τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι ὄντες. Ὁ δὲ Ἀστυάγης ὡς ἑώρα τοὺς μὲν ἀπρονοήτως διώκοντας, τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμένους ὑπαντῶντας, δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου, μὴ εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόντες πάθοιέν τι, ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. Οἱ δ' αὖ πολέμιοι 23
ὡς εἶδον τοὺς Μήδους προκινηθέντας, διατεινάμενοι οἱ μὲν τὰ παλτά, οἱ δὲ τὰ τόξα εἱστήκεσαν, ὡς ἄν,

§. 21. ὡς παυσομένους] sic libri. Schneid. ὡς παυσομένου.

§. 22. In magna lectionis varietate quid Xen. scripserit, nondum satis constat. Schn. geminam huius loci scripturam fuisse in libris suspicatur: ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἐποίει; alteram: ἐδίωκε, καὶ ἰσχυρῶς κατεῖχε, καὶ φυγεῖν πάντας ἐποίει. Ipse mallit: κατεῖχεν ἰσχυρῶς διώκων καὶ φυγεῖν πάντας ἐποίει.

ὡς παυσομένους τοῦ διωγμοῦ] sc. αὐτούς, τοὺς ἀμφὶ Κῦρον. Pronominis defectum observare licet etiam in Anab. VII. 1, 40. προσελθὼν δὲ Τιμασίων — ἔλεγον Κοιρατάδῃ, μὴ θύειν, ὡς οὐχ ἡγησόμενον τῇ στρατιᾷ, εἰ μὴ δώσει τὰ ἐπιτήδεια et I. 8, 10. Ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλώντων καὶ διακοψόντων, sive hoc probes sive cum bonis codd. ἐλῶντα καὶ διακόψοντα (τὰ ἅρματα). Cf. sect. seq. ὡς ἂν — στησομένους. Recte Gabr. arbitrati fore, ut illi statim (?) desisterent persequi, ut (si) ipsos accedere conspexissent.

§. 22. οὐδὲν μᾶλλον] i. e. οὐδαμῶς. Ita explicant ad Gregor. Cor. p. 60. ed. Schaef.

καὶ ἰσχυρὰν — ἐποίει] et acriter urgens duram reddebat hostibus fugam. Consule de hoc verbi κατέχειν significatu Schneid. ad Cyneg. VI. 22.

ὑπαντῶντας] Distinguitur inter ἀπαντᾶν, quod olim h. l. legerunt, et ὑπαντᾶν sic, ut illud esse dicatur: casu obviam fieri, hoc consulto ire obviam. Euphemismum, quem vocant, in verbis μὴ πάθοιέν τι illustravit Viger. p. 278 sq.

ἐπειδὴ εἰς τόξευμά γε ἀφίκοιντο, στησομένους, ὥςπερ
τὰ πλεῖστα εἰώθεσαν ποιεῖν. Μέχρι γὰρ τοσούτου,
ὁπότε ἐγγύτατα γένοιντο, προςήλαυνον ἀλλήλοις, καὶ
ἠκροβολίζοντο πολλάκις μέχρις ἑσπέρας. Ἐπεὶ δὲ ἑώ-
ρων τοὺς μὲν σφετέρους φυγῇ εἰς ἑαυτοὺς φερομέ-
νους, τοὺς δ' ἀμφὶ τὸν Κῦρον ἐπ' αὐτοὺς ὁμοῦ φε-
ρομένους, τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς
γιγνόμενον ἤδη τοξεύματος, ἐκκλίνουσι καὶ φεύγουσιν
ὁμόθεν διώκοντας ἀνὰ κράτος· ᾖρουν δὲ πολλούς, καὶ
τοὺς μὲν ἁλισκομένους ἔπαιον καὶ ἵππους καὶ ἄνδρας,
τοὺς δὲ πίπτοντας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστη-
σαν, πρὶν ἢ πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένον-
το. Ἐνταῦθα μέντοι δείσαντες, μὴ καὶ ἐνέδρα τις
24 μείζων ὑπείη, ἐπέσχον. Ἐκ τούτου δὴ ἀνῆγεν ὁ Ἀστυά-
γης, μάλα χαίρων καὶ τῇ ἱπποκρατίᾳ, καὶ τὸν Κῦρον
οὐκ ἔχων ὅ τι χρὴ λέγειν, αἴτιον μὲν ὄντα εἰδὼς τοῦ

§. 23. *εἰς ἑαυτούς*] optimi quidam libri. *αὐτούς* vulgo. *φεύγουσιν ὁμόθεν διώκοντας ἀνὰ κράτος*] bonam hanc bonorum librorum lectionem interpolarunt ii, qui subiecti mutationem in *ᾖρουν* concoquere noluerunt.

§. 24. *χαίρων καὶ*] *καί* accessit ex libris optimis.

§. 23. *ὡς ἄν – στησομένους*] Interpres I. ea ratione adducti, quod crederent fore, ut Medi, cum ad teli iactum venissent, consisterent. cf. Rost. §. 131. 4.

Μέχρι γὰρ τοσ., ὁπότε ἐγγύτατα γένοιντο] h. e. *μέχρι γὰρ τοῦ τοξεύματος, ὁπότε ἐγγύτατα ἀλλήλων γένοιντο.* Cf. II. 1, 7.

ᾖρουν δὲ πολλούς] fugerunt quidem Assyrii, sed multos eorum ceperunt Medi. Non raro ita Graeci ab uno ad alterum subiectum transeunt, licet Grammatici talia passim aegre toleraverint, ut in Anab. II. 4, 2. *ὥςτε καὶ διὰ τοῦτο τοῖς μὲν πολλοῖς τῶν Ἑλλήνων οὐκ ἤρεσκον, ἀλλὰ προςιόντες τῷ Κλεάρχῳ ἔλεγον.*

καὶ τοὺς μὲν ἁλισκομένους – κατέκαινον] et alios, quos assecuti essent, gladiis feriebant, et equos et homines, alios, qui cecidissent (de equis?), interficiebant.

μείζων] »Medi timebant, inquit Fischer., non tantum, ne forte inciderent in insidias, sed vel maxime, ne forte milites numero plures alicubi considerent in insidiis.« Nimis magnae vertit Schn. non invito Matth. §. 457. 2.

§. 24. *καὶ τῇ ἱππ.*] Illud *καί* ita positum, ut si statim subiectum esset *καὶ τῷ Κύρῳ, καίπερ αὐτὸν οὐκ ἔχων ὅ τι χρὴ λέγειν*, laudaretne Cyrum an vituperaret. Trita est dicendi formula *λέγειν τινά τι*, quam non praeteriit Matth. §. 410. p. 558.

ἔργον, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε, μόνος τῶν ἄλλων ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο· καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες προςήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προςάγοντας, ὅτι ἑώρα τὸ πρόςωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ.

Cyrum in Persas redeuntem deducunt Medi magno comitatu, quorum unus eius pulchritudine captus aegre ab eo discedit.

Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο· καὶ οἵ τε 25
ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς, ὅ τε Ἀστυάγης, καὶ πρόσθεν τιμῶν αὐτόν, τότε ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ. Καμβύσης δέ, ὁ τοῦ Κύρου πατήρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα· ἐπεὶ δ' ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαχειριζόμενον τὸν Κῦρον, ἀπεκάλει δή, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἐπιτελοίη. Καὶ ὁ Κῦρος δὲ ἐνταῦθα λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο αὐτῷ. Καὶ τῷ Ἀστυάγει δὲ ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν.

§. 25. *καὶ ὁ Κῦρος δέ*] alii *καὶ ὁ Κ. δή*; *καὶ τὸν Κῦρον δή* Schneid. Vid. ad Anab. I. 2, 21.

μέμφοιτο αὐτῷ] ab uno Alt. servatum est pronomen, quod in obliquis maxime cass. dici non potest quoties Graeci reticuerint.

μαινόμενον τῇ τόλμῃ] iam Stephanus iis locutionibus adnumerat, quas ex Homero Xenophon mutuatus sit.

ἀπιόντων οἴκαδε] sc. *αὐτῶν*. quum domum abire vellent, ille solus inter ceteros (Rost. §. 108. 2.) nihil aliud quam cadavera circumeundo spectavit. *Οὐδὲν ἄλλο ἤ* contrarium est eius, quod §. 13. legimus *τί ἄλλο ἢ δήσας*, ubi quae adscripsimus, iis accedat Viger. p. 475.

οἱ ἐπὶ τοῦτο ταχθέντες] quibus id negotii datum erat. Lectione marg. Vict. *ἐπὶ τούτῳ* nihil opus esse testabitur Lobeck. ad Phryn. p. 475. Cf. Iacobs ad Achill. Tat. p. 965.

μάλα ἐπίπ. ποιούμενον τοὺς πρ.] multum praecedere iussit eos, qui ducebant, s. post hos se occultabat. Vid. praeter Viger. p. 406. Ast. ad Platonis Legg. p. 84.

ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ] quod Cyrus occisos spectaverat Assyrios.

§. 25. *ἀπεκάλει δή*] Zonar. *ἀπεκάλει ἀντὶ τοῦ ἐνεκάλει (ἀνεκάλει), Ξενοφῶν δὲ ἀντὶ τοῦ μετεπέμπετο.*

Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς, οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευάσας πολλὰ, ἔπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτόν, καὶ ἅμα ἐλπίδας ἔχων μεγάλας ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾶν. Ἀπιόντα δὲ τὸν Κῦρον προὔπεμπον ἅπαντες, καὶ παῖδες καὶ ἥλικες καὶ ἄνδρες καὶ γέροντες, ἐφ' ἵππων, καὶ Ἀστυάγης αὐτός· καὶ οὐδένα ἔφασαν ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι.
26 Καὶ Κῦρον δὲ αὐτὸν λέγεται σὺν πολλοῖς δακρύοις ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναί φασιν αὐτὸν τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει· τέλος δὲ καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, δηλῶν, ὅτι τοῦτον μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα λέγεται Ἀστυάγει

συσκευάσας πολλὰ, ἔπεμπε] ita libri optimi; *συσκ. παντοδαπὰ ἀπέπεμπε* Schneid. Fortasse *συσκ. πολλὰ καὶ παντοδαπά* vel *παντοδαπὰ πολλὰ ἔπεμπε*, ut de Vectig. V. 12. Gabr. et aliis multis ac diversis rebus.

§. 26. *δηλῶν, ὅτι τοῦτον*] *δηλονότι τούτῳ, ὃν μάλιστα ἠσπ.* ex Alt. Schaef.

ἥλικες] »ephebi. Nam etsi Cyrus tum puer erat, vid. c. 5, 1. tamen quia erat pubertati proximus, Xen. eum iam ephebum facit.« Fisch.

καὶ οὐδένα ἔφασαν – ἀποστρέφεσθαι] Sequitur tempus praesens *λέγεται*, nec desunt qui iudicent imperfectum *ἔφασαν* esse instar praesentis etiam c. 3, 4. Ut dicam, quod res est, cum *ἔφην* ab aoristi significatione nihil discrepet, (Matth. §. 215. n. 1. p. 410 ed. 2.) commode *ἔφασαν* reddi poterit: dictum volunt, ut *εἶπον* apud Herm. ad Viger. p. 746. Gabriel. neminemque fuisse dicunt, quin lacrimans se ab eo distraxerit. Vid. Viger. p. 709. Rost. §. 100. not. 4. p. 369 sq.

§. 26. *ὧν Ἀστυάγης*] i. e. *τούτων, ἃ Ἀστ.*

δοῦναί τινι, δηλῶν, ὅτι – ἠσπάζετο] Intelligi Araspam patet ex V. 1, 2. Ad *δηλῶν* supplevit Stephanus cogitatione *λέγεται*, ut cui et nominativus adiungatur et accusativus cum infinitivo; non tamen se fatetur refragaturum esse legere cupienti *δηλοῦντα*. Cave mutes. Parthen. XXXI. *Λέγεται δὲ καὶ Διμοίτην ἁρμόσασθαι· – αἰσθανόμενος δὲ – δηλῶσαι* dixit utraque confusa constructione. vid. edit. Passov. p. 73. Valckenar. ad Eurip. Phoeniss. v. 481. Poppo de Eloc. Thucyd. p. 117. Thiersch §. 338. 10. p. 525.

τοὺς μέντοι λαβόντας καὶ δεξαμένους] Stephanus illud denotare ait simpliciter sumere, quod in manus traditur, hoc in accipiendo ea se grata habere et beneficientiam ea tradentis agnoscere ostendere (accepter). Aliis discrimen utrinsque verbi quum alias tum h. l. neglectum videtur. Saltem quae significatione

ἀπενεγκεῖν· Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι· τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους, καὶ εἰπεῖν, Εἰ βούλει, ὦ πάππε, ἐμὲ καὶ αὖθις ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν, εἴ τῳ τι ἐγὼ δέδωκα· Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι, ὥσπερ Κῦρος ἐπέστειλεν.

Εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου ἐπιμνησθῆναι, λέ- 27
γεται, ὅτε Κῦρος ἀπήει καὶ ἀπηλλάσσοντο ἀπ' ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τῷ στόματι ἀποπέμπεσθαι αὐτὸν νόμῳ Περσικῷ· καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι· ἄνδρα δέ τινα τῶν Μήδων, μάλα καλὸν κἀγαθὸν ὄντα, ἐκπεπλῆχθαι πολὺν δή τινα χρόνον ἐπὶ τῷ κάλλει τοῦ Κύρου· ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτόν, ὑπολειφθῆναι· ἐπεὶ δὲ

ὦ πάππε] quidam libri collocant post εἰπεῖν; pro αὖθις nonnulli habent πάλιν. Fort. πάλιν αὖθις. Tum pro ὡς σέ nonnulli εἰς σέ, addito etiam ἡδέως καί.

§. 27. πολὺν δή τινα] sic Alt. alii δή omittunt, alii τινά.

maxime cognata sunt, sexcenties coniuncta videas. Demosth. περὶ τῆς παραπρεσβ. p. 384. (346. Bek.) οὐκ ἐδέξαντο οὐδ' ἔλαβον ταῦτα οἱ τῶν Θηβαίων πρέσβεις. Eodem ex genere ut ad Conviv. VIII. 21. p. 199 sq. nonnulla ipse composui, ita qui plura cupiat, huic satisfacturum esse confido Bremium ad Demosth. Orat. Phil. I. p. 41. v. 1. in Schaeferi Apparatu crit. T. I. p. 320 sqq.

Κύρῳ ἀποπέμψαι] sc. ad Persas reverso. Ad rem ipsam, quae hic narratur, quod attinet, fallor magnopere, aut exemplum habemus eius tyrannidis, cuius Mandane patrem incusaverat ad finem cap. tertii.

§. 27. Εἰ δὲ δεῖ – ἐπιμνησθῆναι] quodsi amatorii etiam sermonis mentio insuper facienda est.

ἀπηλλάσσοντο] Medi et Persae.

τοὺς συγγενεῖς] »Sc. a regibus Persarum συγγενεῖς, cognati (v. Curt. III. 3, 14. Iustin. X. 3, 7.) dicti sunt amici eorum et familiares intimi, qui ut aliis honoribus et commodis praecipuis gaudebant, ita etiam iure osculandi regis, iure gerendi diademata. VIII. 3, 13. Brisson. 1, 207. (p. 289. et 519 sqq.). Xen. igitur Medos illos, quibuscum contraxerat in Media amicitiam et familiaritatem intimam, mores Persarum secutus, vocat συγγενεῖς, omninoque familiares alicuius intimos. VI. 1, 9.« Fischerianis his addantur Schmieder. ad Curt. p. 18. et Heeren. Ideen. Tom. I. 1. Opp. T. X. p. 214. et 463 sq.

νόμῳ Περσικῷ] iungendum cum verbis φιλοῦντας τῷ στόματι, quo pertinent a Brissonio allati loci Herodot. I. 134. Strabo. XV. p. 233. Tzsch. et Xenoph. Ages. V. 4.

ἄνδρα δέ τινα] Artabazum nomine VI. 1, 9., cuius mores laudantur ideo, ut ne quis de honesto eius amore dubitet. Sequens τίς in verbis πολὺν δή τινα illustrant Matth. §. 487. p. 673. et Viger. p. 149.

οἱ ἄλλοι ἀπῆλθον, προςελθεῖν τῷ Κύρῳ, καὶ εἰπεῖν· Ἐμὲ μόνον οὐ γιγνώσκεις, ὦ Κῦρε, τῶν συγγενῶν; Τῷ δὲ εἰπεῖν τὸν Κῦρον, Ἦ καὶ σὺ συγγενὴς εἶ; Μάλιστα, φάναι. Ταῦτ' ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι· πολλάκις γάρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. Προςελθεῖν γάρ σοι ἀεὶ βουλόμενος, ἔφη, ναὶ μὰ τοὺς θεούς, ᾐσχυνόμην. Ἀλλ' οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγγενῆ γε ὄντα· ἅμα δὲ προςελ-
28 θόντα φιλῆσαι αὐτόν. Καὶ τὸν Μῆδον φιληθέντα ἐρέσθαι, Ἦ καὶ ἐν Πέρσαις νόμος ἐστὶν οὗτος συγγενεῖς φιλεῖν; Μάλιστα, φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου, ἢ ἀπίωσί ποι ἀπ' ἀλλήλων. Ὥρα ἂν εἴη, ἔφη ὁ Μῆδος, μάλα πάλιν σε φιλεῖν ἐμέ· ἀπέρχομαι γάρ, ὡς ὁρᾷς, ἤδη. Οὕτω καὶ τὸν Κῦρον πάλιν φιλήσαντα ἀποπέμπειν, καὶ ἀπιέναι. Καὶ ὁδόν τε οὔπω πολλὴν διηνύσθαι αὐτοῖς, καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ· καὶ τὸν Κῦρον ἰδόντα, Ἀλλ' ἦ, φάναι, ἐπελάθου τι, ὧν ἠβούλου εἰπεῖν; Μὰ Δία, φάναι, ἀλλ' ἥκω διὰ χρόνου. Καὶ τὸν Κῦρον εἰπεῖν, Νὴ Δί', ὦ σύγγενες, δι' ὀλίγου γε. Ποίου ὀλίγου; εἰπεῖν τὸν Μῆδον. Οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον,

§. 28. *ὥρα ἂν εἴη, ἔφη*] sic optimi. Post *εἴη* quidam *σοι* inserunt, *μάλα* et *σέ* nonnulli omittunt.

διηνύσθαι αὐτοῖς] Vid. Fisch. ad. Veller. III. a. p. 93. Editt. vett. *διεληλύσθαι*. Tum codd. fluctuant inter *αὐτοῖς*, *αὐτούς* et *αὐτῷ*.

ὧν ἠβούλου] optimi. *ἐβούλου* vulgo.

Ταῦτ' ἄρα] vid. Gregor. Corinth. p. 29 sq. et Matth. §. 471, 8.

προςελθεῖν γάρ σοι] Quo melius particulae *γάρ* potestatem sentias, fac Artabazum plene dixisse: mirum hoc non est; nam quoties accedere ad te volebam, pudore deterrebar. Cf. Viger. p. 496. et Buttm. §. 136. p. 435 sq. quos eosdem de iurandi formula *ναὶ μὰ τὸν Δία* consulere poteris, illum videlicet p. 424. hunc §. 136. p. 437.

§. 28. *μάλα πάλιν*] eodem sensu copulanda sunt, quo *μάλ' αὖθις*, *μάλ' αὖ* apud Herm. ad Viger. p. 782. 235.

ὅτι καὶ ὅσον σκ. – δοκεῖ εἶναι] *ὅτι καὶ τοσοῦτος χρόνος, ὅσον σκαρδαμύττω, πάνυ πολύς μοι δοκεῖ εἶναι*. Casel. quamdiu

πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε τοιοῦτον ὄντα; Ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ τῶν ἔμπροσθεν δακρύων, καὶ εἰπεῖν αὐτῷ θαρσεῖν ἀπιόντι, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου, ὥςτε ὁρᾶν ἐξέσται κἂν βούληται ἀσκαρδαμυκτεί.

CAPUT V.

Cyrus, transactis modeste et strenue legitimis usque ad aetatem virilem annis, a Persis praeficitur exercitui, qui Cyaxari mittitur auxilio contra Assyrios.

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν ἐν Πέρσαις 1 ἐνιαυτὸν λέγεται ἐν τοῖς παισὶν ἔτι γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτόν, ὡς ἡδυπαθεῖν ἐν Μήδοις μεμαθηκὼς ἥκοι· ἐπεὶ δὲ καὶ ἐσθίον-

θαρσεῖν ἀπιόντι] boni quidam libri *ἀπιόντα*. vere, opinor.
ὥςτε – ἀσκαρδαμυκτεί] sic praestantissimi. Vulgo: *σοι ἐξέσται κἂν βούλῃ ἀσκαρδαμυκτί.*

§. 1. *ἐν Πέρσαις*] vulgatum *εἰς Πέρσας*, *μέν* ante *λέγεται* insertum, et ordinem in verbis *ἔτι ἐν τοῖς π.* probant codd.

oculis nicto, id mihi longum esse tempus videtur. Cf. Buttm. §. 138. 4.
ἐκ τῶν ἔμπροσθεν δακρύων] post priores lacrimas, abstersis prioribus lacrimis.
αὐτῷ θαρσεῖν ἀπιόντι] Matth. §. 535. p. 770.
ὥςτε ὁρᾶν – ἀσκαρδ.] ut liceret ei, si luberet, nec conniventibus oculis se intueri. Gabr. Pertinet enim *καί*, quod cum *ἄν* coaluit, ad *ἀσκαρδαμυκτεί*, cuiusmodi adverbia adhuc viri docti litigant in *ί* an in *εί* terminanda sint, Dindorf. ad Aristoph. Equit. v. 292. Reisig. in Enarrat. Oed. Col. p. CC. sq. et Hermann. ad Soph. Aiac. 1206. p. 183. ed. 2. Huic recte videntur ii statuere, qui quae a verbis fiant adverbia, in *ί* exire debere iudicent.

Cap. V. §. 1. *οὕτως ἀπελθών*] Annum aetatis tertium decimum agens (c. 3, 1.) Cyrus cum matre ad avum venerat, cuius in regia quum annos tres vel quattuor (4, 16) commoratus esset, fieri non potuit, quin domum reversus annum inter pueros versaretur. Antequam enim pueri apud Persas sex vel septem et decem annos nati essent (2, 8.), in epheborum numerum non solebant adscribi.
ἐν Πέρσαις – ἐν τοῖς παισίν] non maiori offensioni est quam Anab. IV. 3, 11. *ἐν τῷ πέραν ἐν πέτραις καθηκούσαις.* V. 3, 8. *ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ.*

τα αὐτὸν ἑώρων, ὥςπερ καὶ αὐτοί, ἡδέως, καὶ πίνοντα, καὶ εἴποτ' ἐν ἑορτῇ εὐωχία γένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο ἢ προςδεόμενον, καὶ πρὸς τούτοις δὲ τἄλλα κρατιστεύοντα αὐτὸν ἑώρων ἑαυτῶν· ἐνταῦθα δὴ πάλιν ὑπέπτηςσον αὐτῷ οἱ ἥλικες. Ἐπεὶ δὲ, διελθὼν τὴν παιδείαν ταύτην, ἤδη εἰςῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν καὶ μελετῶν ἃ χρῆν, καὶ καρτερῶν, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ
2 πειθόμενος τοῖς ἄρχουσι. Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει· ὁ δὲ Κυαξάρης, ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου

εὐωχία γένοιτο] ita plurimi codd. edd. vett. προςγένοιτ' ἄν; Steph. et Schneid. προςγένοιτο.

τἄλλα κρατιστεύοντα αὐτὸν ἑώρων] post haec ap. Schneid. habetur περὶ ἅπαντα ἑαυτῶν; quum verba περὶ ἅπαντα omittant optimi, his deletis ἑαυτῶν solum retinui.

καρτερῶν καὶ] quae interserunt cdd. ἃ ἔδει, ignorant optimi.

ὥςπερ καὶ αὐτοί] Supple ἤσθιον καὶ ἔπινον sc. panem nasturtiumque et aquam, v. c. 2, 8. De genitivis τοῦ ἑαυτοῦ μέρους ad c. 4, 20 diximus.

καὶ πρὸς τούτοις δὲ – ἑαυτῶν] atque adeo ceteris omnibus in rebus longe ipsis praestare. Gabr. non omissis, quae codex obliteraverat. τἄλλα illud nonnulli grammatici vocibus περὶ τἄλλα ἅπαντα explicatum voluerunt, melius adverbialiter dictum accipitur, ut c. 3, 10. τἄλλα μιμούμενος τὸν Σάκαν, c. 6, 26. VII. 4, 1. Buttm. §. 137. p. 441. qui §. 119. p. 375. docebit etiam, quo iure κρατιστεύειν cum genitivo copuletur. Cf. Matth. §. 336. et Rost. §. 108. 2. b.

ὑπέπτησσον αὐτῷ οἱ ἡλ.] »Sic in nostris exemplaribus legitur ὑπέπτησσον οἱ ἡλ. αὐτῷ, at p. 16 (I. 6, 8.) verbum ὑπέπτησσον accusativo iunxit.« Steph. cui addantur Matth. §. 381. Blomf. ad Aesch. Prom. Gloss. v. 29.

§. 2. Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει] Ab his quantopere Herodotus I. 130. dissentiat, neminem latet. Cf. Rosenmueller. Handbuch T. I. P. I. p. 290. qui circa annum 556. a. Ch. n. imperio decessisse censet Astyagem.

ὁ δὲ Κυαξάρης] Quidam Cyaxarem II. esse statuunt, ab Iudaeis (Daniel. VI. 1. Ioseph. Arch. X. 11, 4.) Darium Medum appellatum, quem, ut a Medis nihil metuens Lydis et Babyloniis bellum inferret, Cyrus Mediae administrandae socium sibi adoptaverit. Vid. Rosenmueller. p. 321 sq. et 369. et interpretes ad Aeschyl. Pers. 771. ed. Blomf. (720. ed. Lang. et Pinzg.) Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ. Recte fortasse illi, modo ne ex Cyropaediae loco opinionem suam confirmari putent.

μητρὸς ἀδελφός, τὴν βασιλείαν ἔσχε τῶν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεύς, καταστρεψάμενος μὲν πάντας Σύρους, φῦλον οὐ μικρόν, ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Ὑρκανίους, πολιορκῶν δὲ καὶ Βακτρίους, ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε ἂν τῶν πέριξ ῥαδίως ἄρξειν· ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο ἐδόκει εἶναι. Οὕτω δὴ διαπέμπει 3
πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας, καὶ πρὸς Κροῖσον,

§. 2. τὴν βασιλ. ἔσχε τῶν Μ.] sic optimi codd., quorum tamen nonnulli εἶχε pro ἔσχε exhibent. Vulgatur τὴν ἀρχὴν ἔλαβε τῶν Μ.

πάντας Σύρους] πάντ. Ἀσσυρίους alii et φῦλον πάμπολυ. Vid. Fisch. ad Vell. II. p. 126.

πάντων γε ἄν] ἂν omittunt plures et boni libri.

τὴν βασ. ἔσχε] Zonaras: ἔσχεν ἀντὶ τοῦ ἔλαβεν. Herod. I. 7. ἔσχον τὴν ἀρχήν. Plura dabit Heindorf. ad Plat. Soph. §. 26. p. 310. Promiscue ἡ ἀρχή et ἡ βασιλεία adhibentur etiam VIII. 6, 21. 8, 1.

πάντας Σύρους] »Syria terminabatur Cilicia et Amano, Euphrate, Arabia et Aegypto, atque adeo complectebatur Commagenem, Seleucida, Coelen Syriam, Phoenicen, Iudaeam. v. Cellar. p. 337. T. II. Ex quo intelligitur, cur Xen. scripserit πάντας Σύρους.« Fisch. Sed de huius terrae finibus alii in alias partes abierunt. vid. Tzschuck. ad Pomp. Mel. I. 11. Mannert. Geograph. T. VI. p. 432 sqq. Heeren. Ideen. T. I. P. I. p. 178 sqq. et Rosenmueller. T. I. P. II. p. 232 sqq. 300 sq.

τὸν Ἀραβίων βασιλέα] Maragdus nominatur II. 1, 5. Arabes sunt Scenitae, de quibus disseruerunt Ritter. Erdkunde. II. p. 123 sq. Heeren. p. 185. egoque ad c. 1, 4. De Hyrcaniis Cyropaediae dictum ad IV. 2, 1., sed de Bactris s. Bactrianis apud Baehr. ad Ctes. p. 93 sq. Tzschuck. ad Mel. I. 2, 5. et Heeren. p. 85. 316 sq.

πάντων γε ἂν τῶν – ἄρξειν] Non solum alias sexcenties γέ et ἂν iunguntur, I. 6, 3. III. 1, 15. V. 5, 30. VI. 3, 18. VIII. 2, 23. Hellen. IV. 8, 12. Soph. Trach. 414. ed. Herm., qui etiam ad Viger. p. 825. comparandus est, sed etiam ipse Schneiderus, cui harum coniunctio vocularum incommoda visa est, VIII. 2, 11. e codicibus eam restituit. Nec ἂν infinitivo futuri iunctum quicquam habere insolentiae ad Anab. II. 3, 18. p. 122. demonstratum est, quanquam grammaticae quoque nostrae exemplis neutiquam careant, Matth. §. 597. p. 880. Thiersch. §. 335. 6. Rost. §. 120. 5. c. p. 461.

§. 3. πρὸς Κροῖσον] Herodoto auctore I. 46. 77. Croesus potius inita societate cum Babyloniis bellum Persis intulit. Lydorum ceterorumque populorum in seqq. commemoratorum mores praeter compendia geographica, quae omnium in manibus sunt, describuntur apud Heeren. p. 152 sqq. p. 337 sqq. et Rosenmueller. T. I. P. II. p. 171 sqq.

τὸν Λυδῶν βασιλέα, καὶ πρὸς τὸν Καππαδοκῶν, καὶ πρὸς Φρύγας ἀμφοτέρους, καὶ πρὸς Παφλαγόνας καὶ Ἰνδούς, καὶ πρὸς Κᾶρας καὶ Κίλικας, τὰ μὲν διαβάλλων τοὺς Μήδους καὶ Πέρσας, τὰ δὲ καὶ λέγων, ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρά, καὶ συνεστηκότα εἰς τὸ αὐτό, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν, καὶ κινδυνεύσοιεν, εἰ μή τις αὐτοὺς φθά-

§. 3. τὰ δὲ καὶ λέγων] verba τὰ δὲ καί, quae vulgo desunt, accesserunt ex libris praestantissimis.

καὶ συνεστηκότα εἰς τὸ αὐτό] vulgo post πεποιημένοι εἶεν leguntur verba καὶ συνεστήκοιεν εἰς ἕν, quae primus impugnavit Steph., optimi libri omittunt. Inservierunt haec aliquando verbis καὶ συνεστηκότα εἰς τὸ αὐτό illustrandis.

κινδυνεύσοιεν] alii κινδυνεύσειεν, et κινδυνεύοιεν.

τὰ δὲ καὶ λέγων] A vero aberravit Schneiderus, ut cui persuasum esset apodosin membro τὰ μὲν διαβ. subiici demum, sed aliter figuratam, in verbis οἱ δὲ καὶ δώροις, quae nonnisi ad proxime antegressa spectare possunt: οἱ μὲν δὴ καὶ τοῖς. Iam vero quamvis non ignorem saepe τὰ μέν, τοῦτο μέν similiaque dici non sequentibus τὰ δέ, vel τοῦτο δέ, sed aliis quibusdam particulis, adversativis maxime, v. Viger. p. 701 sq. et Matth. §. 288. p. 400 sq., ex locis tamen, quos eius locutionis causa colligere VV. DD. studuerunt, luculentissime intelligitur Graecos tum demum ista dicendi ratione usos esse, cum et structuram repente mutarent, neque membrum deesset, cuius ne dicam verba, at sententia alteri membro responderet. Neutrum huic loco congruit, in quo neminem vidisse mirum est, verissima esse, quae deinceps dicta afferuntur: nam et potentes erant Medi et Persae, et connubiorum vinculis inter se iuncti, item arctiorem societatem contra hostes inierant. Quemadmodum autem τὰ μὲν διαβάλλων refero ad τοὺς ὑφ' ἑαυτὸν πάντας, ita τὰ δὲ λέγων ad Croesum reliquosque principes adversus Medos conspiraturos.

ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη] ὡς μεγάλα ἔθνη καὶ ἰσχυρὰ ταῦτα (τὰ ἔθνη) εἴη. Sic c. 4, 28. Ἦ καὶ ἐν Πέρσαις νόμος ἐστὶν οὗτος. Hellen. II. 3, 56. οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα. Anab. IV. 8, 4. οἶμαι ἐμὴν ταύτην πατρίδα εἶναι. Mox ad πεποιημένοι εἶεν e nomine ἔθνη subaudiatur oportet οἱ Μῆδοι καὶ Πέρσαι. I. 2, 12. Αἱ δ' αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι — καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Praeter laudatum ibi Matthiaeum cf. infra c. 6, 45. Thiersch. §. 278. p. 397 sq. et Rost. §. 100. not. 5.

κινδυνεύσοιεν] Medi et Persae, a quibus periculum erit, ne, nisi quis prior eos labefactaverit, singulas gentes aggrediendo omnes subigant. Verbi κινδυνεύω usum hunc explanavit Buttm. ad Plat. Men. p. 222. quocum cf. Thiersch. §. 314. 6. b. Neque vero futurorum optativi in oratione hypothetica tam insolentes habendi sunt, quin quavis in pagina occurrant. Hellen. II. 3, 17. ἔλεγεν ὁ Θηραμένης, ὅτι, εἰ μή τις κοινωνοὺς ἱκανοὺς λή-

σας ἀσθενῶσοι, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες κα-
ταστρέψασθαι. Οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις
πειθόμενοι συμμαχίαν αὐτῷ ἐποιοῦντο, οἱ δὲ καὶ δώ-
ροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ τοι-
αῦτα ἦν αὐτῷ. Κυαξάρης δὲ, ὁ τοῦ Ἀστυάγους παῖς, 4
ἐπεὶ ᾐσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν
τῶν συνισταμένων ἐφ' ἑαυτόν, αὐτός τε εὐθέως ὅσα
ἐδύνατο ἀντιπαρεσκευάζετο, καὶ εἰς Πέρσας ἔπεμπε
πρός τε τὸ κοινὸν, καὶ πρὸς Καμβύσην, τὸν τὴν ἀδελ-
φὴν ἔχοντα καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ
καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα
ἐλθεῖν τῶν ἀνδρῶν, εἴ τινας πέμποι στρατιώτας τὸ
Περσῶν κοινόν. Ἤδη γὰρ καὶ ὁ Κῦρος, διατετελε-
κὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη, ἐν τοῖς τελείοις ἀν-
δράσιν ἦν. Οὕτω δὴ δεξαμένου τοῦ Κύρου, οἱ βου- 5
λεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς
Μήδους στρατείας. Ἔδοσαν δὲ αὐτῷ καὶ προσελέ-
σθαι διακοσίους τῶν ὁμοτίμων· τῶν δ' αὖ διακοσίων
ἑκάστῳ τέσσαρας ἔδοσαν προσελέσθαι, καὶ τούτους ἐκ
τῶν ὁμοτίμων· γίγνονται δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ
χιλίων τούτων ἑκάστῳ ἔταξαν ἐκ τοῦ δήμου τῶν Περ-
σῶν δέκα μὲν πελταστὰς προσελέσθαι, δέκα δὲ σφεν-
δονήτας, δέκα δὲ τοξότας· καὶ οὕτως ἐγένοντο μύριοι
μὲν τοξόται, μύριοι δὲ πελτασταί, μύριοι δὲ σφενδο-
νῆται· χωρὶς δὲ τούτων οἱ χίλιοι ὑπῆρχον. Τοσαύτη

ἰόντες] edd. ante Zeun. *ἰόντας*.

§. 5. *στρατείας*] ante Steph. *στρατιᾶς*. *βοηθείας* Schn. cum cod. Alt.

φοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν. §. 50. *γνοὺς ὁ Κριτίας, ὅτι, εἰ ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο.* §. 56. *ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν.* c. 4, 4. *γιγνώσκοντες δὲ, ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο.*

§. 4. *πρός τε τὸ κοινόν*] ad primores civitatis, qui §. 5. audiunt *οἱ βουλεύοντες γεραίτεροι*, de quibus v. c. 2, 14.

§. 5. *τῶν ὁμοτίμων*] hi erant primores civitatis Persarum, ad fores regiae commorantes, si rex forte fieri aliquid vellet, ita dicti ab aequalitate honoris et dignitatis. v. Brisson. I. 208. p. 281.

οἱ χίλιοι ὑπῆρχον] scil. *ὁμότιμοι*.

6 μὲν δὴ στρατιὰ τῷ Κύρῳ ἐδόθη. Ἐπεὶ δὲ ᾑρέθη τάχιστα, ἤρχετο πρῶτον ἀπὸ τῶν θεῶν· καλλιερησάμενος δέ, τότε προςῃρεῖτο τοὺς διακοσίους. Ἐπεὶ δὲ προςείλοντο καὶ οὗτοι δὴ τοὺς τέσσαρας ἕκαστοι, συνέλεξεν αὐτούς, καὶ εἶπε τότε πρῶτον ἐν αὐτοῖς τάδε.

Cyri oratio ad mille duces sui exercitus.

7 »Ἄνδρες φίλοι, ἐγὼ προςειλόμην μὲν ὑμᾶς, οὐ νῦν πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς, ἃ μὲν καλὰ ἡ πόλις νομίζει, προθύμως ταῦτα ἐκπονοῦντας, ἃ δὲ αἰσχρὰ ἡγεῖται, παντελῶς τούτων ἀπεχομένους. Ὧν δ' ἕνεκα αὐτός τε οὐκ ἄκων εἰς τόδε τὸ τέλος κατέστην, καὶ ὑμᾶς παρεκάλεσα, δηλῶσαι
8 ὑμῖν βούλομαι. Ἐγὼ γὰρ κατενόησα, ὅτι οἱ πρόγονοι χείρονες μὲν ἡμῶν οὐδὲν ἐγένοντο· ἀσκοῦντες γοῦν κἀκεῖνοι διετέλεσαν ἅπερ ἔργα ἀρετῆς νομίζεται· ὅ τι μέντοι προςεκτήσαντο τοιοῦτοι ὄντες ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθὸν, ἢ αὐτοῖς, τοῦτ' οὐκέτι δύναμαι
9 ἰδεῖν. Καίτοι ἐγὼ οἶμαι οὐδὲ μίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλεῖον ἔχωσιν οἱ ἐσθλοὶ γενόμενοι τῶν πονηρῶν· ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι οὐχ, ἵνα μηδέποτε εὐφρανθῶσι, τοῦτο

§. 6. ἤρχετο πρῶτον] ita boni libri. ἤρχετο μὲν πρ. edd. ante Schneid.

§. 7. ἡγεῖται] εἶναι in edd. ante Schneid., qui εἶναι, in optimis codd. omissum, uncis inclusit.

§. 8. χείρονες] ita boni libri. χείρους edd. cf. Matth. §. 115. n. p. 233. ed. 2.

οὐκέτι δύναμαι ἰδεῖν] οὐκέτι optimi libri tuentur. Pro ἰδεῖν reperitur κατιδεῖν et εὑρεῖν.

§. 9. οὐδὲ μίαν] ita Vat., οὐδεμίαν edd.

§. 8. τοῦτ' οὐκέτι δύναμαι ἰδεῖν] hoc nequaquam possum intelligere. Plat. Protag. §. 33. Τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰςελθεῖν, in quibus explicandis mire se torsit Heindorf. Vid. Friedemann. ad Strabon. T. VII. p. 182.

§. 9. τῶν παραυτίκα ἡδονῶν] αἱ παραυτίκα ἡδοναί vel αἱ ἐκ τοῦ παραχρῆμα ἡδοναί non sunt deliciae et voluptates, quae statim et sine labore parantur, sed quarum in praesens est fructus, quaeque cito pereunt. Videatur Heindorf. ad Plat. Protag. p. 620.

πράσσουσιν, ἀλλ', ὡς διὰ ταύτην τὴν ἐγκράτειαν πολ-
λαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφρανούμενοι, οὕτω
παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ
γενέσθαι οὐχ, ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται,
τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζουσι τῷ λέγειν εὖ πεί-
θοντες ἀνθρώπους πολλὰ καὶ μεγάλα ἀγαθὰ διαπρά-
ξασθαι· καὶ οἱ ταῦτα τὰ πολεμικὰ ἀσκοῦντες οὐχ, ὡς
μαχόμενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦσιν, ἀλλὰ
νομίζοντες καὶ οὗτοι, τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι,
πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ
τιμὰς καὶ αὑτοῖς καὶ τῇ πόλει περιάψειν. Εἰ δέ τινες 10
ταῦτα ἐκπονήσαντες, πρίν τινα καρπὸν ἀπ' αὐτῶν κο-
μίσασθαι, περιεῖδον αὑτοὺς γήρᾳ ἀδυνάτους γενομέ-
νους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις,
γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ εὖ σπεί-
ρων καὶ εὖ φυτεύων, ὁπότε καρποῦσθαι ταῦτα δέοι,
ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν κα-
ταῤῥεῖν. Καὶ εἴ τίς γε ἀσκητής, πολλὰ πονήσας, καὶ

ἀλλ' ὡς – εὐφρανούμενοι] ἀλλ' ὅπως – εὐφραίνωνται edd. ante Zeun.

ἀλλ' ἐλπίζουσι] sic optimi libr., ἀλλ' ἐλπίζοντες edd. Aperte scriptor cavere voluit, ne rhetorum praeceptis anxie obtemperare videretur.

πείθοντες ἀνθρώπους] πολλούς interseruit Schneid.

διαπράξασθαι] sic boni libri; διαπράξεσθαι edd.

καὶ οἱ ταῦτα τὰ πολ.] sic boni codd., οἵ τ' αὖ τὰ πολ. Schneid.

§. 10. ἀσκητής] Schneid. cum bonis codd., ἀθλητής Zeun. cum edd.

τοῦτο πράσσουσιν] nempe ἀπέχονται τῶν ἡδονῶν.

ὡς – εὐφρανούμενοι] Hanc lectionem alteri anteponendam censuit Stephanus, quod hoc modo, non illo loqui soleat Xenophon, allatis locis V. 1, 26. 5, 47. VII. 5, 45. quibus addatur Matthiae §. 568.

τοῦτο μελετῶσιν] τὸ εὖ λέγειν. Seqq. ἀλλ' ἐλπίζουσι proprie dicenda erant ἀλλὰ μελετῶσιν, ὅτι ἐλπίζουσι.

λέγειν εὖ πείθοντες] εὖ cum λέγειν ut §. 12. ἡδέως cum ζῆν iunges, et, si libet, comparabis Schaef. ad Dionys. de Compos. verb. p. 112 sq.

διαπράξασθαι] Bene habet infinitivus aoristi, quem tum ea tuebuntur, quae ad Plat. Phaed. §. 32. p. 48. πολλὴ ἐλπὶς ἀφικομένῳ οἷ ἐγὼ πορεύομαι – κτήσασθαι τοῦτο notavit Heind., tum Buttm. ad Platon. Crit. 14. p. 102. Thiersch. §. 425. 5.

ταῦτα τὰ πολεμικά] bellicae artes, quas nunc tractamus.

ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατελέσειεν, οὐδ᾽ ἂν οὗτός μοι δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης.
11 Ἀλλ᾽ ἡμεῖς, ὦ ἄνδρες, μὴ πάθωμεν ταῦτα· ἀλλ᾽ ἐπείπερ σύνισμεν ἡμῖν αὐτοῖς, ἀπὸ παίδων ἀρξάμενοι, ἀσκηταὶ ὄντες τῶν καλῶν κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὓς ἐγὼ σαφῶς ἐπίσταμαι, αὐτὸς ἰδὼν, ἰδιώτας ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. Οὐ γάρ τοί πω οὗτοι ἱκανοί εἰσιν ἀγωνισταί, οἳ ἂν τοξεύωσι καὶ ἀκοντίζωσι καὶ ἱππεύωσιν ἐπιστημόνως, ἢν δέ που πονῆσαι δέῃ, τούτῳ λείπωνται· ἀλλ᾽ οὗτοι ἰδιῶταί εἰσι κατὰ τοὺς πόνους· οὐδέ γε οἵτινες, ἀγρυπνῆσαι δέον, ἡσσῶνται τούτου· ἀλλὰ καὶ οὗτοι ἰδιῶ-

§. 11. ἐπείπερ σύνισμεν] εἴπερ σύν. edd. vett. et Alt.
αὐτὸς ἰδὼν] haec verba in bonis quibusdam libris exciderunt. Aperte ad c. 4, 16 sqq. respicitur.
οὐ γάρ τοί πω] hoc revocavi. Alii οὐ γάρ πω et οὐ γάρ τί πω.
τούτῳ λείπωνται] τοῦτο nonnulli.
οὐδέ γε οἵτινες] οὐδέ γε εἴτινες Alt.

§. 10. οὐδ᾽ ἂν οὗτος] i. q. οὐδ᾽ ἂν οὗτος, ὡς ἐμοὶ δοκεῖ, δ. ἀναίτιος εἴη ἀφρ. Cum εἶναι enim ἂν copulandum. vid. Matth. §. 597. Buttm. §. 126. n. 4.

§. 11. Ἀλλ᾽ ἡμεῖς – μη πάθωμεν ταῦτα] At nos, socii, ne committamus, ut idem nobis accidat. Gabr. Buttm. §. 135. n. 5. Matth. §. 520. Dass uns dies ja nicht widerfährt, nos sine ellipsi dicimus.

ἀλλ᾽ ἐπείπερ σύνισμεν] sed cum conscii nobis ipsi simus, ad honesta nos ac praeclara instituta ab ineunte aetate incubuisse. Gabr. Nec verbi σύνοιδα structuram illustrare neglexerunt grammatici nostri, Buttm. §. 131. n. 2. Matth. §. 547. Rost. §. 129. not. 2.

ἰδιώτας ὄντας ὡς] imperitiores esse quam ut nobiscum decertent. Dicendi genus idem est et quod tractarunt Matth. §. 448. Thiersch §. 281. 4. Cavit tamen Hermannus ad Viger. p. 885. ne quis μᾶλλον in talibus omitti putet, ita, ut Graecos diceret, quum vocabulum, quo nimis significarent, non habuissent, eam notionem nunc comparativo, nunc positivo attribuisse.

Οὐ γάρ τοί πω οὗτοι] Denn das sind ja noch nicht.

ἢν δέ που] sed sicubi; illud δέ ita dicitur, ut si μέν post τοξεύωσι non deficeret. Pariter statuas de Anabas. VI. 6, 5. Καὶ ἐν τούτῳ Κλέανδρος ἀφικνεῖται, δύο τριήρεις ἔχων, πλοῖον δ᾽ οὐδέν. IV. 8, 9. Ἐνταῦθα ἦν ὄρος μέγα, προσβατὸν δέ. Compara interpretes Vigeri p. 536. 841. Thiersch. §. 312. 6. et Rost. §. 134. 5. c.

τούτῳ λείπωνται] hac in re, i. e. in laboribus, inferiores sint, vinci se patiantur.

οὐδέ γε] sc. οὗτοι ἱκανοί εἰσιν ἀγωνισταί.

ἀγρ. δέον] cum vigilare oporteat. Matth. §. 564. Rost. §. 131. 5.

ται κατὰ τὸν ὕπνον· οὐδέ γε οἱ ταῦτα μὲν ἱκανοί, ἀπαίδευτοι δέ, ὡς χρὴ καὶ συμμάχοις καὶ πολεμίοις χρῆσθαι· ἀλλὰ καὶ οὗτοι δῆλον ὡς τῶν μεγίστων παιδευμάτων ἀπείρως ἔχουσιν. Ὑμεῖς δὲ νυκτὶ μὲν δή- 12
που, ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ, δύναισθ' ἂν χρῆσθαι· πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε· λιμῷ δὲ ὅσαπερ ὄψῳ διαχρῆσθε· ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων φέρετε· κάλλιστον δὲ πάντων καὶ πολιτικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. Τοὺς δ' ἐπαίνων ἐραστὰς ἀνάγκη κτᾶσθαι τὰ αἴτια, καὶ διὰ τοῦτο πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ἡδέως ὑποδύεσθαι. Εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν ἄλλῃ γι- 13

§. 12. *πολιτικώτατον*] alii *πολεμικώτατον*. Cf. Schaefer ad Greg. Cor. p. 934.

ἀνάγκη κτᾶσθαι – πάντα] *ἀνάγκη ἐπὶ τούτῳ πάντα* ante Zeun., qui locum mutilum e bonis libr. restituit.

ἀλλὰ καὶ οὗτοι ἴδ. κατὰ τὸν ὕπνον] sed et hi imbecilles sunt ad resistendum somno. Gabr.

§. 20. Τό γε μὴν πειθ. – ὦ πάτερ] Attigi constructionem ad §. 16. Persequitur Cyrus id, quod §. 13. Cambyses in medium protulerat, tanquam de quo edocendus fuisset filius.

ἐν τοῖς ἐφήβοις ἦμεν] ego cum aequalibus. Supra I. 2. 8. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς.

ἄρχειν τε καὶ ἄρχεσθαι] Infinitivi hi pronomini ταῦτα sine articulo per epexegesin adduntur, quemadmodum Germani dicunt: die meisten Gesetze scheinen mir vornehmlich diese letzten Stücke zu lehren: herrschen und gehorchen. Exempla dabimus ad II. 2, 8.

περὶ τούτων] de iis rebus, quibus efficitur, ut magistratui homines obediant.

ἐν πᾶσιν] vel ἐν ἅπασιν hic est omnino, sed III. 3, 56. coram omnibus.

καὶ κολάζειν. Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ ἕπεσθαι αὕτη, 21
ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ κρεῖσσον τούτου πολύ, τὸ ἑκόντας πείθεσθαι, ἄλλη ἐστὶ συντομωτέρα. Ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. Γνοίης δ' ἄν, ὅτι τοῦθ' οὕτως ἔχει, ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δέ, ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται· καὶ οὕς γ' ἂν νομίσωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυρῶς τούτου οὐδ' ἀπολείπεσθαι ἐθέλουσιν· ὅταν δὲ οἴωνται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίαις πάνυ τι θέλουσιν εἴκειν, οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ δῶρα ἐπὶ τῷ αὑτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει. Λέγεις σύ, ἔφη, ὦ πάτερ, 22
εἰς τὸ πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς δή τις ἄν, ὦ πάτερ, τοιαύτην δόξαν τάχιστα περὶ αὑτοῦ παρασχέσθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁδός, περὶ ὧν

§. 21. ἕπεσθαι αὕτη] ita libri optimi; πείθεσθαι, ἔφη, αὕτη Schneid.
περὶ τοῦ συμφέροντος] περὶ τὰ συμφέροντα libri nonnulli et edd. vett.

§. 21. ὡς ἰσχυρῶς τούτου – ἐθέλουσιν] quam vehementer ab hoc ne discedere quidem cupiunt, nedum aliam ingredi viam, quam monstratam. Singularis τούτου ut invitis grammatices legibus dicatur, tamen usui non repugnat, de quo vid. not. §. 43.

πάνυ τι] vid. ad I. 1, 1.

ἑκὼν οὐδεὶς λαμβάνει] nemo vult accipere. Hom. Iliad. III. 66. ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο.

§. 22. Λέγω γαρ οὖν] dico sane. Exempla habent interpretes Viger. p. 449. b. explicationem autem Buttmann. ad Soph. Philoct. 756.

πῶς δή τις ἂν – ἂν δύναιτο] Cf. §. 36. not. Thiersch. §. 337. 4. Rost. §. 120. n. 4.

Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντ. – φρόνιμον] Sensum percepit Caselius: »Non est, inquit, fili, ratio magis compendiaria, quam ut sis prudens, quibus in rebus esse prudens videri velis.« Quemadmodum hic ἤ, ita praeter ceteras particulas imprimis ὅτι traiectum videas similiter Anab. V. 6, 34. ἠπείλουν αὐτῷ, εἰ λήψονται ἀποδιδράσκοντα, ὅτι τὴν δίκην ἐπιθήσοιεν.

βούλει δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Καθ᾽ ἓν δὲ ἕκαστον σκοπῶν γνώσῃ, ὅτι ἀληθῆ λέγω. Ἢν γὰρ βούλῃ, μὴ ὢν ἀγαθὸς γεωργός, δοκεῖν εἶναι ἀγαθός, ἢ ἱππεύς, ἢ ἰατρός, ἢ αὐλητής, ἢ ἄλλ᾽ ὁτιοῦν, ἐννόει, πόσα σε δέοι ἂν μηχανᾶσθαι τοῦ δοκεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλούς, ὅπως δόξαν λάβοις, καὶ κατασκευὰς καλὰς ἐφ᾽ ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξεληλεγμένος ἂν

§. 22. περὶ ὧν βούλει] sic optimi libri, alii περὶ ὧν ἂν βούλῃ.

ἐξεληλεγμένος ἂν προσέτι καὶ ἀλ. φ.] vulgat. ἐξεληλεγμένος τ᾽ ἂν εἴης, καὶ προσέτι ἀλ. φ. damnant praestantissimi codd., nec nisi receptae continet interpretationem.

Καθ᾽ ἓν δὲ ἕκαστον σκοπῶν] Buttm. in Ind. ad Demosth. Mid. p. 177.: »Demosth. pro Cor. 230, 20. βούλομαι δὲ καθ᾽ ἓν ἕκαστον αὐτῶν ἐξετάσαι: et in nostra or. 39. c. ὥςτε δύνασθαι καθ᾽ ἕνα ὑμῶν ἕκαστον ἀποστερεῖν. In his enim vox ἕκαστον non iungenda illa est cum vocula ἓν vel ἕνα, sed a verbo pendet et ab ipsa genitivus, formula autem καθ᾽ ἕν, καθ᾽ ἕνα est instar adverbii, quo pacto nihil a naturali verborum structura recedit.«

ἢ ἄλλ᾽ ὁτιοῦν] i. e. ἢ ἢν βούλῃ ἄλλ᾽ ὁτιοῦν ἀγαθὸς δοκεῖν εἶναι, μὴ ὤν.

Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλούς] Non videtur τέ habere in seqq. quod ei respondeat; sequi enim alius infinitivus debebat, indicaturus, quid praeter laudem persuadendo nescio quis impetraverit. Sed liberius, ut in verbis unam modo sententiam conformantibus, collocasse voculam Xenophon putandus est. Sic in Anabas. II. 5, 27. Ἐκ τούτων δὴ τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρονούμενος τότε μὲν μένειν τε αὐτὸν ἐκέλευσε καὶ σύνδειπνον ἐποιήσατο apparet scribendum fuisse ἐκέλευσέ τε καὶ σ. ἐπ. vel μένειν τε αὐτὸν ἐκέλευσε καὶ σύνδειπνον γίγνεσθαι. Qui sequitur optativus λάβοις, quoniam ab cogitatione Cambysis omnia pendent, legitimus est, vid. II. 4, 17. et, licet paulo diversa collegerit, Thiersch. §. 342. 3.

ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν – φαίνοιο] vixdum eos deceperis, quum paulo post, ubi facultatis tuae periculum feceris, inscitiae convictus insuper etiam ostentator apparebis. Male enim alii a verbis καὶ ὀλίγῳ ὕστερον apodosin exorsi sunt, non perpendentes particularum ἄρτι τε – καί vim nihil differre ab ea, qua ἤδη τε – καί, σχεδόν τε – καί aliaque a Graecis usurpantur. Anabas. I. 8, 3. Καὶ Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνέδυ, καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε.

ὅπου ἂν πεῖραν δοίης] Matth. §. 527. n. 2. Buttm. §. 126. n. 3. Rost. §. 123. 4.

προςέτι καὶ ἀλαζὼν φαίνοιο. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι γένοιτο; Δῆλον, ἔφη, ὦ παῖ, ὅτι ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἄν, ὥςπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος φρονιμώτερος ἄλλων εἴης· ὅ τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελούμενος ἂν τούτου, ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς ἢ τὸ ἀμελεῖν. 23

24 Ἀλλὰ μέντοι ἐπί γε τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δῆλον ὅτι ἡ αὐτὴ ὁδός, ἧπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη· εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ παῖ, χαλεπόν, τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν οὓς ἄν τις θέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακόν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον, μή τι

§. 23. φρονιμώτερος ἄλλων εἴης] φρον. ἄλλ. ἂν εἴης Schneid. βέλτιον ὂν πραχθῆναι] ὂν omittunt libri praestantiores.

§. 23. Φρόνιμος – γένοιτο] Cyri haec sunt verba patrem interrogantis.

μαθὼν ἄν] scil. φρονιμώτερος εἴης, quod ad finem sententiae demum infertur. Sic etiam postea ἐπιμελούμενος ἂν τούτου intelligendum.

ὅ τι δὲ γνοίης βέλτιον ἂν πραχθῆναι] sed quod cognoveris melius esse factu. Deest ὂν in optimae codicibus notae, linguae legibus minime repugnantibus, quas licet disci ex Matth. §. 550. p. 794. §. 568. 5. Lobeck. ad Phryn. p. 278.

ὡς ἂν πραχθείη] vid. not. ad I. 2, 6. Ad haec οὗ ἂν δέῃ non ποιεῖν cum nonnullis interpretibus, sed ἐπιμελεῖσθαι cogitando supplebis.

§. 24. Εὖ γὰρ – εἶναι] οἶμαι γὰρ δεῖν φανερὸν εἶναι εὖ ποιοῦντα: arbitror enim de eius, imperatoris, beneficentia constare oportere. quanquam non nimis urgenda esse illa φανερὸν εἶναι non iniuria monet Weiskius.

τὸ δὲ συνηδ. – τε φαίνεσθαι] est nominativus absolutus, quum non subiiciatur ταῦτά πως δεῖ μᾶλλον ἀσκεῖν, verum ἐπὶ ταῦτά πως δεῖ μ. συμπαρομαρτεῖν, quorum verborum sensus est: imperatorem oportet quodammodo magis agere hoc, ut videatur et in gaudii eorum societatem venire, si quid boni iis contingat etc. Aliter verbum συμπαρομαρτεῖν struitur VII. 5, 84. sed ἐπὶ ταῦτα nescio an eo modo praepositum sit, quo Graeci dixerunt ἔρχεσθαι ἐπί τι, παρεῖναι ἐπί τι.

σφαλῶσι, καὶ προνοεῖν πειρώμενον, ὡς μὴ σφάλλωνται,
25 ἐπὶ ταῦτά πως δεῖ μᾶλλον συμπαρομαρτεῖν. Καὶ ἐπὶ τῶν πράξεων δέ, ἣν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι· ἣν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ διὰ μόχθων, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων εἶναι. Λέγω γὰρ οὖν, ἔφη. Θάρρει μέντοι τοῦτο, ὦ παῖ· εὖ γὰρ ἴσθι, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου· ἀλλ' ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι, καὶ αὐτὸ τὸ εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ τι ἂν ποιῇ.

§. 25. *ἢν δὲ διὰ μόχθων*] ita **A. B. G.** man. prim. margg. Steph. Leuncl. 1. 2., *ἢν δὲ δέῃ μοχθεῖν* cum Vat. et Med. Schneid., qui coniecit *ἢν δὲ δέῃ μόχθων*. Equidem praefero lectionem Vat., qui deinde habet *φιλεῖσθαι παρὰ τῶν ἀρχ.*

ὡς καὶ καρτερώτερον] *ὡς καὶ καρτερόν*, adiecto *μᾶλλον* post *ἀρχομένων*, Stob., cui convenit Alt., nisi quod *καρτερότερον* ab alia manu supra scriptum est. Equidem *μᾶλλον* delevi, quoniam patet hoc vocabulum iis deberi, qui *καρτερόν* habuissent.

ὅ τι ἂν ποιῇ] Stephanus: »Stobaeus legit *ὅ τι ἄν ποτε ποιῇ*. Habent itidem aliquot nostri codd. *ποιῇ* pro *ποιοίη*, sed absque particula *ποτέ*. Certe *ποιῇ* malim.« Consensit Brod. et marg. Leuncl. 3.

§. 25. *ἐπὶ τῶν πράξεων*] Vid. Matth. §. 584. p. 856. in rebus gerendis. Gabr.

ἐν θέρει ὦσι] sc. *αἱ πράξεις*: si aestate peraguntur.

ἢν δὲ διὰ μόχθων] si cum laboribus coniunctae, si molestae sunt. Hanc interpretationem confirmant locutiones *διὰ φόβον εἶναι, δι' ὄχλου γίγνεσθαι, διὰ γλώσσης ἰέναι*, de quibus dixerunt Matth. §. 580. p. 848. Thiersch. §. 261. 6. Rost. §. 110. 2.

Λέγεις σύ, ἔφη, – εἶναι] His, inquit, pater, imperatorem oportere in omnibus rebus esse tolerantiorem, quam qui eius imperio parent. Caselius.

Θάρρει μέντοι, ἔφη, τοῦτο] Vid. quae ad cap. 5, 14. notavi.

εὖ γὰρ ἴσθι, ὅτι – ἰδιώτου] nam, mihi crede, similes labores non sunt aeque graves similibus corporibus: eius scilicet, qui cum imperio sit, ac privati viri. Gabr.

f) de variis artibus superandi hostes.

Ὁπότε δέ, ὦ πάτερ, σοι ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δέ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δέ γε πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν τηνικαῦτα σωφρονεῖν ἄν τίς σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μή, ἔγωγε, ὅσῳ ἂν οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι καὶ τοὺς ἑπομένους βελτίονας ἔχειν, τόσῳ ἂν μᾶλλον φυλασσοίμην· ὥσπερ καὶ τἄλλα, 26

§. 26. ὦ πάτερ, σοι ἤδη] σοι addidimus ex optimis libris.
ἔγωγε, ὅσῳ ἂν οἰοίμην] ἔγωγ' ἂν ὅσῳ οἰοίμην. editt. ante Zeun. qui ἔγωγε ὅσῳ οἰοίμην dedit. ὅσῳ ἂν οἰ. Brem. Schn.
τἄλλα] optimi pro τὰ ἄλλα.

§. 26. σοι ἤδη ἔχοιεν] Dativus σοί familiari colloquio, si quid aliud, quam maxime accommodatum est, Matth. §. 392. p. 525. Buttm. §. 120. n. 2. Rost. §. 105. n. 2. Ceterum antequam ad novam materiam oratio convertatur, quae inde a §. 12. copiosius disputata sunt, aptissime hic paucis in lectorum memoriam revocantur.

φιλοτίμως δ' ἔχοιεν – φαίνεσθαι] si studiosissime hoc agant, ut appareat ipsos esse fortes. Ad nominativi ἀγαθοί rationem cognoscendam inserviunt laudata a Matth. §. 535. p. 769 sq. Buttm. §. 129, 3. Thiersch. §. 338. 8. a. Rost. §. 127.

τὸ δέ γε πείθεσθαι] Voculas δέ γε hic reddas quin, noch mehr, utpote augendi vim habentes. Cf. V. 5, 26. VII. 5, 30. VIII. 2, 5. et not. ad §. 18.

εἰ μέλλοι γε πλεῖον ἕξειν] certe si superior sit evasurus, si praevideat se superaturum esse. De verbi μέλλειν usu et structura non est, quod praeter Lobeck. ad Phrynich. p. 745 sq. Buttmann. §. 137. p. 45. Matth. §. 502. p. 701. Thiersch. §. 291. 5. alios auctores circumspicias.

ὅσῳ ἂν οἰοίμην – φυλασσοίμην] quanto et me ipsum meliorem esse existimarem et meliores mecum habere, tanto maiorem cautionem adhiberem. Patet igitur ἄν prius ad optativum appositum, non ad infinitivum εἶναι.

ὥσπερ καὶ τἄλλα, – ποιεῖσθαι] quemadmodum etiam in ceteris rebus, quaecunque plurimi facienda esse putamus, ea in loco quam tutissimo collocanda curamus. Etenim ποιεῖσθαι non multum h. l. differt a τίθεσθαι, et ὡς ἐν ἐχυρωτάτῳ dictum puta pro ἐν ὡς ἐχυρωτάτῳ. Isocrat. Nicocl. p. 29. §. 2. ed. Bekker. ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν. Demosth. περὶ τῆς παραπρ. p. 423. ἵν' ὡς μετὰ πλείστης συγγνώμης. Thucyd. I. 63. ὡς ἐς ἐλάχιστον χωρίον.

ἃ ἂν οἰώμεθα πλεῖστον ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώ-
27 μεθα ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. Πλεῖον δ' ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἂν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ' ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι, ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν καὶ ἐπίβουλον εἶναι καὶ κρυψίνουν καὶ δολερὸν καὶ ἀπατεῶνα καὶ κλέπτην καὶ ἅρπαγα καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ
28 νομιμώτατος ἀνὴρ εἴης. Πῶς μήν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε, πρὸς τοὺς φίλους τε καὶ πολίτας· ὅπως δέ γε τοὺς πολεμίους δύναισθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς πολλὰς κακουργίας; Οὐ δῆτα, ἔφη, ἔγωγε, ὦ πάτερ. Τίνος μὴν ἕνεκα, ἔφη, ἐμανθάνετε τοξεύειν; Τίνος δ' ἕνεκα ἀκοντίζειν; Τίνος δ' ἕνεκα δολοῦν ὗς ἀγρίους καὶ πλέγμασι καὶ ὀρύγμασι; Τί δὲ ἐλάφους ποδάγραις καὶ ἁρπεδόναις;

§. 28. *τίνος δ' ἕνεκα ἀκοντ.*] *τίνος δὲ ἀκοντίζειν.* Vat.

§. 27. *οὐκέτι τοῦτο φαῦλον — ἐρωτᾷς*] non levem iam (vid. ad c. 5, 8.) neque simplicem rem quaeris. Gabr. i. e. quae una tantum arte contineatur.

τοῦτο ποιήσειν] i. e. *πλέον ἕξειν τῶν πολεμίων.*

Οἷος ἂν — ἀνὴρ εἴης] talem te fieri oportet, qualis cum sis, iustissimus legumque observantissimus eris. Frustra enim fuit qui pro *οἷος ἂν* reponendum *οἷος ὢν* suaderet.

§. 28. *τἀναντία τούτων*] Infra V. 5, 12. *τἀναντία τούτου δοκῶ ἐξεργάζεσθαι.* De rep. Lac. I. 7. *τἀναντία καὶ τούτου ἐνόμισε.* Adverbialiter usurpatum habes Memor. I. 2, 60. *Ἀλλὰ Σωκράτης γε τἀναντία τούτων φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν.* Matth. §. 344. n. 2. Iustitiam potius pueri apud Persas docebantur, c. 2, 6. c. 3, 16 sq.

καὶ νῦν γε] et nunc adeo, vit. not. ad §. 8.

Οὐ δῆτα, ἔφη, ἔγωγε] scil. *οἶδα μανθάνοντας ἡμᾶς ταύτας τὰς κακουργίας.* Sequens *δολοῦν* Stephanus transferri iubet captare, non capere, *δολοῦν* enim de dolo, *δουλοῦν*, quod veteres editiones habent, de vi dici. Consulendus Creuzer. ad Bekkeri specim. var. lect. Philostr. vit. Apollon. p. 34 sq.

Τί δέ] hic et postea variandae orationis causa pro *τίνος δὲ ἕνεκα* s. *διὰ τί δέ* dici quis non videat? Recte igitur Gabr. cur non aequo certamine

Τί δὲ λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς
τὸ ἴσον καθιστάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονε-
ξίας τινὸς ἀεὶ ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά;
Ἢ οὐ πάντα γιγνώσκεις ταῦτα ὅτι κακουργίαι τέ εἰσι
καὶ ἀπάται καὶ δολώσεις καὶ πλεονεξίαι; Ναὶ μὰ Δί', 29
ἔφη, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δόξαιμι βούλε-
σθαι ἐξαπατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβά-
νων. Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντί-
ζειν ἄνθρωπον ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν
βάλλειν ἐδιδάσκομεν, ἵνα γε νῦν μὲν μὴ κακουργοίητε
τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ
ἀνθρώπων στοχάζεσθαι. Καὶ ἐξαπατᾶν καὶ πλεονεκτεῖν
οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις,
ἵνα μηδ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε, εἰ δέ ποτε
πόλεμος γένοιτο, μηδὲ τούτων ἀγύμναστοι εἴητε. Οὐκ- 30

§. 29. ἔφη, θηρίων] ἔφη ὁ Κῦρος, θηρίαν. Schn.
οἶδα λαμβ.] οἶδ' ἂν λαμβάνων. coni. Heindorf. probante Schn.

cum leonibus, ursis et pardis pugnabatis, sed semper nitebamini superiore aliqua conditione adversus has feras certare?

πρὸς αὐτά] neutro genere dixit, quoniam in praegressis belluis nomen θηρία latet. Citavit locum Matth. §. 439. p. 609. cf. Viger. p. 178. Proxime ab hac Graecae aliarumque linguarum proprietate abest etiam, quod sequitur, neutrum in πάντα ταῦτα, de quo vid. Matth. §. 440. 8. Thiersch. §. 308. 4.

§. 29. θηρίων γε] Genitivus maxime spectare videtur ultimum nomen πλεονεξίαι, nisi forte de hoc quoque loco idem valet, quod de genitivo absoluto, quem vocant, exposuit Matth. §. 320. p. 439.

οἶδα λαμβάνων] i. e. οἶδα, ὅτι ἐλάμβανον πολλὰς πληγάς, εἰ καὶ δόξαιμι. Bene interpres vernaculus: wenn ich aber nur das Ansehn hatte, einen Menschen betrügen zu wollen, so weiſs ich, daſs ich viel Schläge bekam. Alludit Cyrus ad id, quod I. 3, 16. ipse narraverat. In optativo δόξαιμι ne quis haereat, tum Matth. §. 524. 3. tum quae ad I. 3, 8. 12. laudavimus, inspiciat.

Οὐδὲ γὰρ τοξ.] »Rationem reddit γάρ sententiae eleganter omissae, Non mirum, s. Recte vapulasti.« Zeunius. Equidem attigi ad cap. 4, 27.

ἐν ἀνθρώποις] an Menschen, propositis hominibus. Contra in his μηδ' ἐν τούτοις praepositio est per haec, mittelst, nempe ἐν τῷ ἐξαπατᾶν καὶ πλεονεκτεῖν.

μηδὲ τούτων ἀγύμναστοι] ne in his quidem artibus inexercitati. Legitimum in talibus esse casum secundum testentur Matth. §. 317. p. 435 sq. Buttm. §. 119. 6. 1.

οὖν, ἔφη, ὦ πάτερ, εἴπερ χρήσιμά ἐστιν ἀμφότερ' ἐπίστασθαι, εὖ τε ποιεῖν ἀνθρώπους καὶ κακῶς, καὶ δι-
31 δάσκειν ἀμφότερα ταῦτα ἔδει ἐπ' ἀνθρώποις. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ, ἐπὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας τὴν δικαιοσύνην, ὥςπερ σὺ κελεύεις, μὴ ψεύδεσθαι καὶ ψεύδεσθαι, καὶ μὴ ἐξαπατᾶν καὶ ἐξαπατᾶν, καὶ μὴ διαβάλλειν καὶ διαβάλλειν, καὶ μὴ πλεονεκτεῖν καὶ πλεονεκτεῖν. Διώριζε δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον, καὶ ἃ πρὸς τοὺς ἐχθρούς. Καὶ ἔτι δὲ ταῦτα ἐδίδασκεν, ὡς καὶ τοὺς φίλους δίκαιον εἴη ἐξαπατᾶν ἐπί γε ἀγαθῷ, καὶ κλέπτειν τὰ τῶν φίλων ἐπὶ
32 ἀγαθῷ. Καὶ τάδε διδάσκοντα ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν· ὥςπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾶν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι

§. 30. *ἐπ' ἀνθρώποις*] optimi pro *ἐν ἀνθρ.* quod ex superioribus irrepsit.

§. 31. *διώριζε*] *διωρίζετο* editt. vett. *διορίζεται.* Vat.

καὶ ἃ πρὸς τοὺς ἐχθρούς] *καὶ ἃ πρὸς ἐχθρούς.* optimi.

καὶ ἔτι δὲ ταῦτα] *καὶ ἔτι δὲ προβὰς ταῦτα.* Schn. Participium omittunt libri, qui inter *ἔτι*, *ἐπί*, *ἐπεί* fluctuant.

§. 30. *ἐπ' ἀνθρώποις*] adversus homines, qua praepositionis significatione nihil frequentius. §. 39. *τὰς μηχανάς, ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ.* §. 41. Hom. Iliad. V. v. 882. *Μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσιν.* Schaefer. ad Soph. Antig. v. 57. et Buttm. ad eiusdem Philoct. v. 197. cf. Matth. §. 585. p. 858.

§. 31. *τὴν δικαιοσύνην – ψεύδεσθαι*] Sensus est: docuit pueros magister ille iustitiam eo modo, quo tu iubes pueros doceri, ut non mentirentur (amicis) et mentirentur (inimicis) etc. Infinitivi *ψεύδεσθαι καὶ μὴ ψεύδεσθαι* ceterique a *διδάσκων* pendent, quod suppleri mente iussit Heindorf. Cf. §. 33. Articulus *τήν* ante *δικαιοσύνην* non sine ironia quadam videtur additus esse, qualem hic illic articulum exprimere observes.

Καὶ ἔτι δὲ ταῦτα ἐδ.] quin haec etiam docebat, ja sogar noch dieses lehrte er.

ἐπί γε ἀγαθῷ] boni nimirum alicuius gratia. Gabr. Vide Viger. p. 620. Matth. §. 585. p. 858.

§. 32. *Καὶ τάδε διδ. – ποιεῖν*] Construe *καὶ ἀνάγκη ἦν* (*τὸν διδάσκαλον*) *τάδε διδάσκοντα καὶ* (etiam) *γυμνάζειν τοὺς παῖδας ποιεῖν ταῦτα πρὸς ἀλλήλους.*

ὥςπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας – ποιεῖν] »Apud Grae-

ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς καὶ πρὸς
τὸ εὖ ἐξαπατᾶν, καὶ πρὸς τὸ εὖ πλεονεκτεῖν, ἴσως δὲ
καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπέ-
σχοντο οὐδ' ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν
παρ' αὐτῶν πειρᾶσθαι. Ἐγένετο οὖν ἐκ τούτων ῥήτρα, 33
ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας,
ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν, ἀλη-
θεύειν, καὶ μὴ ἐξαπατᾶν, καὶ μὴ πλεονεκτεῖν· εἰ δὲ
παρὰ ταῦτα ποιοῖεν, κολάζειν· ὅπως σὺν τοιούτῳ ἔθει

§. 32. *εὐφυεῖς καὶ πρὸς τὸ εὖ ἐξαπατᾶν*] *εὐφυεῖς πρὸς τὸ κλέπτειν καὶ πρὸς τὸ ἐξ.* nonnullorum libr. Schn. probat.
ἀπέσχοντο] libri optimi pro *ἀπείχοντο*.

§. 33. *ἐξαπατᾶν, καὶ μὴ πλεον.*] *ἐξ. μηδὲ κλέπτειν μηδὲ πλεον.* Schn. Nostra lectio est in optimis. Tum Alt. ingeniose: *τὸν δὲ παρὰ ταῦτα ποιοῦντα.*

eos pueri iam septennes luctari discebant, luctando exercebantur a magistris, qui *παιδοτρίβαι* dicebantur, v. Axioch. 7. Luctae autem, *πάλης*, ratio haec erat, ut alter complecteretur alterum, nitereturque in terram prosternere; hinc *ἐξαπατᾶν* supplantando, h. e. pede supposito in terram deiiciendo, quod proprie *ὑποσκελίζειν* dicitur.« Fischer. Multas omnino fallacias ut habebant palaestricae artes, ita saepe pueri narrantur pancratio et lucta victores discessisse, ut Autolycus initio Convivii Xenoph.

οὕτως εὐφυεῖς] hoc modo, hac institutione, ingeniosi, *καὶ πρὸς τὸ εὖ ἐξαπατᾶν – πλεονεκτεῖν*, et ad bene decipiendum et ad plus habendum. Philelf. Sublato *εὖ* vide ne magnam partem faceta loci ironia pereat, qua pater filii opiniones refellere se posse non minus sperare poterat, quam luculentissimis argumentationibus. Hoc enim sibi voluit: tam scite quidam decipere et plus habere didicerunt, ut a natura viderentur ad fraudes facti esse (*εὐφυεῖς*).

τὸ μὴ οὐχὶ πλ.] De particulis *μὴ οὐ* infinitivo additis post verba negativa, quibus adiecta est negatio, cf. Herm. ad Viger. p. 800 sq. Buttm. ad Demosth. Mid. p. 144. et gr. Gr. §. 137. p. 440. Rost. §. 135. 7. *δ.* p. 541.; de articulo autem, qui praepositus est infinitivo, cf. Rost. §. 125. 3. b. *β.* p. 493.

παρ' αὐτῶν] ex eorum bonis s. facultatibus. Loquitur enim Xen. de iis, qui vel ex amicorum incommodis damnisque commoda et lucra comparare conantur.

§. 33. *πρὸς ἡμᾶς αὐτούς*] quod ad nosmet ipsos attinet, in Absicht auf uns. Nam quae sequuntur, *ἀληθεύειν – πλεονεκτεῖν*, non ad *διδάσκομεν*, sed ad *διδάσκειν τοὺς παῖδας* scriptorem relata voluisse documento sunt verba *ὅπως σὺν τ. – γένοιντο*, quae de servis dici nequeunt.

παρὰ ταῦτα] non offendit post nomen feminini generis *ῥήτρα*, cum praesertim hoc decretum non unam modo rem complectatur. Loquendi ratio haec *σὺν*

34 ἐθισθέντες πρᾳότεροι πολῖται γένοιντο. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἣν σὺ νῦν ἔχεις, ἤδη καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. Οὐ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μή, πρὸς τὴν ἰσχυρὰν ἐπιθυμίαν αὐτοῖς ῥᾳδιουργίας προςγενομένης, ἀμέτρως αὐτῇ χρῷντο
35 οἱ νέοι. Νὴ Δί', ἔφη· ὡς τοίνυν ὀψιμαθῆ με ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου, εἴ τι ἔχεις, διδάσκειν, ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μηχανῶ τοίνυν, ἔφη, ὁπόση ἐστὶ δύναμις, τεταγμένοις

§. 34. ἀλλήλους συντ.] ἀλλήλοις συντ. Guelph. bene, ut arbitror.

πρὸς τὴν ἰσχυρὰν ἐπιθυμίαν] vulgo πρὸς τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ. Nostrum est in praestantissimis.

ῥᾳδιουργίας προςγενομένης] ῥᾳδ. γενομένης plures libri. – χρῷνται coni. Heind.

§. 35. με ὄντα] Alii ὄντα ἐμέ. praestat vulgata, si modo inter μέ et ἐμέ discrimen intercedat.

τοιούτῳ ἔθει ἐθισθέντες multiplicem habet excusationem: aut enim duo constructionis genera coaluerunt, alterum σὺν τοιούτῳ ἔθει πρᾳότεροι πολ. γένοιντο, in quo σὺν τοιούτῳ ἔθει valet: eiusmodi consuetudine usi; alterum τοιοῦτο ἔθος ἐθισθέντες κ. τ. λ., aut formulae συνεθίζεσθαί τινι exemplum secutus Xen. dedit, quod Graece docti hodie mirantur tanquam linguae legibus parum adstrictum. Utramcunque interpretationem praeferas, non tam breviloquentiae quam verbositatis vestigia in his inesse dixerim, haud absimilia iis, quae conspiciuntur Anab. V. 1, 9. ἐὰν οὖν κατὰ μέρος μερισθέντες φυλάττωμεν καὶ σκοπῶμεν.

§. 34. ὥςπερ γε καί] so wie wir denn auch.

πρὸς τὴν ἰσχυρὰν ἐπιθυμίαν] praeter vehementem cupiditatem, vid. Herm. ad Viger. p. 863. n. 426.

ἵνα μή – ῥᾳδιουργίας προςγ. ἀμέτρως αὐτῇ χρῷντο] i. e. εἰ ῥᾳδιουργία (facilitas, quam disciplina praebeat) προςγένοιτο, ἀμέτρως αὐτῇ χρῷντο. »Cum praesenti vel futuro optativus construitur ibi, ubi tantummodo finis, quem quis in mente habet, significatur, non etiam illud, fieri hoc, quod ille cogitat.« Herm. ad Soph. Electr. 57. Cf. quae ad I. 4, 7. eadem de re notavimus.

§. 35. ὡς τοίνυν ὀψιμαθῆ με ὄντα] accusativi ὀψιμ. με ὄντα pendent a διδάσκειν. De particula ὡς coniuncta cum particip. vid. Rost. §. 130. n. 8.

ὁπόση ἐστὶ δύναμις] quantum potes. Gabr. [Si vera est haec interpretatio, scribamus necesse est ἔστι, non ἐστί. V. C. F. R.]

τοῖς αὐτοῦ ἀτάκτους λαμβάνειν τοὺς πολεμίους, καὶ ὡπλισμένοις ἀόπλους, καὶ ἐγρηγορόσι καθεύδοντας· καὶ φανερούς σοι ὄντας ἀφανὴς ὢν αὐτὸς ἐκείνοις, καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομένους ἐν ἐρυμνῷ αὐτὸς ὢν
ὑποδέξῃ. Καὶ πῶς ἄν, ἔφη, τὶς τοιαῦτα, ὦ πάτερ, 36
ἁμαρτάνοντας δύναιτ' ἂν τοὺς πολεμίους λαμβάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους παρασχεῖν· σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀνάγκη ἀμφοτέρους, καὶ ἕωθεν ἐπὶ τὰ ἀναγκαῖα σχεδὸν ἅμα πάντας ἀποχωρεῖν, καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι. Ἃ χρή σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γιγνώσκῃς ἀσθενεστάτους γιγνομένους, ἐν τούτῳ μάλιστα φυλάσσεσθαι· ἐν ᾧ δ' ἂν τοὺς πολεμίους αἰσθάνῃ εὐχειροτάτους γιγνομένους, ἐν τούτῳ μάλιστα
ἐπιτίθεσθαι. Πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις 37
μόνον ἔστι πλεονεκτεῖν, ἢ καὶ ἐν ἄλλοις τισί; Καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ

§. 36. *δύναιτ' ἂν τούς*] cum optimis. Vulgo *δύναιτο τούς*.

κοιμᾶσθαί τε ἀνάγκη ἀμφ.] Guelf. Pariss. Vat. Vulgo *ἀνάγκη* om.

πάντας ἀποχωρεῖν] *πάντας ἀποχωρεῖν δεῖ* Schn. pro *δεῖσθαι*. *πάντας ἵεσθαι* et *ἴεσθαι* libri. Hoc probat Valcken. ad Herod. p. 331. Sed *ἴεσθαι* s. *ἵεσθαι* vereor ne sit interpretantis verba *καὶ ταῖς ὁδοῖς χρῆσθαι*, neve unice genuinum sit *ἀποχωρεῖν*, verbum hac in re proprium. Vid. Fischer ad I. 2, 16.

τοῖς αὐτοῦ] i. q. *τοῖς σαυτοῦ*, siquidem testes sunt, quos ad §. 19. adduxi. Cetera sic cohaerent: *Μηχανῶ τοίνυν – λαμβάνειν τοὺς πολεμίους – καὶ (αὐτοὺς) φανερούς σοι ὄντας – ὑποδέξῃ*, enitere igitur (*τοίνυν*, nun so), ut – deprehendas hostes et si tu eos perspicue videas, ipsi te non conspiciant, atque si illi in perdifficili, tu tutissimo loco sis, excipies eos, intercipies, ut feras omnibus partibus a venatoribus cinctas, quo sensu II. 4, 20. *ὑποδέχεσθαι* occurrit.

§. 36. *Καὶ πῶς ἂν – δύναιτ' ἂν*] Commemoravi ad §. 22.

εὐχειροτάτους] Curtata haec superlativi forma commodioris causa pronuntiationis; nam positivus est *εὐχείρωτος*, qui facile potest opprimi. Sic infra VII. 5, 59. libri exhibent *εὐχειρότεροι*, atque plura cupientibus offeret Schaeferi adnotatio ad Naekii Choeril. p. 273 sq. et Matth. gr. Gr. p. 521. ed. 2.

§. 37. *Καὶ πολύ γε μᾶλλον*] sc. *ἔστι πλεονεκτεῖν ἐν ἄλλοις τισί*.

πολὺ πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες, ὅτι
δέονται. Οἱ δ' ἐξαπατῶντες τοὺς πολεμίους δύνανται
καὶ θαρσῆσαι ποιήσαντες ἀφυλάκτους λαμβάνειν, καὶ
διῶξαι παραδόντες ἑαυτοὺς ἀτάκτους ποιῆσαι, καὶ ἐς
38 δυςχωρίαν φυγῇ ὑπαγαγόντες ἐνταῦθα ἐπιτίθεσθαι. Δεῖ
δή, ἔφη, φιλομαθῆ σε τούτων ἁπάντων ὄντα, οὐχ, οἷς
ἂν μάθῃς, τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν
ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων·
ὥςπερ καὶ οἱ μουσικοὶ οὐχ, οἷς ἂν μάθωσι, τούτοις
μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα νέα μέλη πειρῶνται ποι-
εῖν. Καὶ σφόδρα μὲν καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ
ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολεμικοῖς μᾶλ-
λον τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα γὰρ μᾶλλον
39 καὶ ἐξαπατᾶν δύναται τοὺς ὑπεναντίους. Εἰ δὲ σύ γε,
ἔφη, ὦ παῖ, μηδὲν ἄλλο ἢ μετενέγκοις ἐπ' ἀνθρώπους

§. 37. *θαρσῆσαι ποιήσαντες*] *θαῤῥῆσαί τι ποιήσαντες.* Alt. optime. *ὑπαγαγόντες*] *ὑπάγοντες* quidam libri i. e. *ὑπάγειν καὶ ἐνταῦθα ἐπ.* §. 38. *ἄλλα νέα μέλη*] *ἄλλα δὲ καὶ ἄλλα μέλη* coni. Both.

Οἱ δ' ἐξαπατῶντες] sed qui fallere volunt, vid. Thiersch. §. 289. n. 2.

θαρσῆσαι ποιήσαντες] scil. *αὐτούς*, fiduciam iis facere, si vel se timere simulaverint, vel hostes in errorem induxerint copias suas hostilibus minores et imbecilliores esse. Sequens *ἀτάκτους* ad hostes refer, qui dum incaute insectantur eos, qui fugam simulant, ipsi ordines deserunt.

§. 38. *οἱ μουσικοί*] qui et componendorum carminum et canendorum facultate gaudent.

ἀλλὰ καὶ ἄλλα νέα μέλη] III. 3, 47. *ἀλλ' ἄλλης σοι μάχης δεήσει.* Anab. I. 10, 13. *ἀλλ' ἄλλοι ἄλλοθεν.* IV. 6, 19. *ἀλλὰ ἄλλους πέμψον.* Plat. Sympos. c. 24, 7. ed. Wolf. *οὐ καλοῦνται ποιηταί, ἀλλὰ ἄλλα ἔχουσιν ὀνόματα.* Demosth. Mid. init. *ἀλλὰ καὶ ἄλλα πολλὰ καὶ βίαια παθών.* Nec vero verba *ἄλλα νέα μέλη* redde alios novos modos, quasi etiam priores illi novi fuissent, sed alios modos, qui novi sunt, s. et quidem novos.

τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ] Abesse poterat alterutrum *εὐδοκιμεῖ*, atque prius quidem deletum voluit Muretus, sed nihil tamen Graecos in eiusdem vocis iteratione offendisse quum alia permulta docent, tum I. 5, 5. II. 4, 2. III. 2, 12. Anab. I. 10, 3. *ἀλλὰ καὶ ταύτην ἔσωσαν καὶ τὰ ἄλλα – πάντα ἔσωσαν.*

§. 39. *μηδὲν ἄλλο ἢ μετ.*] Supra legimus c. 4, 13. *Τί ἄλλο ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω;* ubi vid. notata. Statim in his *καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θ.* quemadmodum *πάνυ* ab adiectivo praepositione interposita diremtum vides, ita alibi alia adverbia traiecta comparent, ut *πολύ* ap. Platon. III. 1. p. 460. Bekk. *πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ.* Heindorf. ad Phaedon.

τὰς μηχανάς, ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ, οὐκ οἴει ἄν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πολεμίους πλεονεξίας; Σὺ γὰρ ἐπὶ μὲν τὰς ὄρνιθας ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι ἀνιστάμενος ἐπορεύου νυκτός· καὶ πρὶν κινεῖσθαι τὰς ὄρνιθας, ἐπεποίηντό σοι αἱ πάγαι αὐταῖς, καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ· ὄρνιθες δὲ ἐξεπεπαίδευντό σοι, ὥςτε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾶν· αὐτὸς δὲ ἐνήδρευες, ὥςτε ὁρᾶν μὲν αὐτάς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· ἠσκήκεις δὲ φθάνειν ἕλκων ἢ τὰ πτηνὰ φεύγειν. Πρὸς δ' αὖ τὸν λαγῶ, 40

§. 39. *Σὺ γὰρ ἐπὶ μὲν τὰς ὄρ.*] sic praestantissimi. *σὺ μὲν γὰρ ἐπὶ τὰς* Schn. Utroque loco *μέν* interponebat Heind. *τοὺς ὄρν.* Athen. p. 373. D. repugnantibus ceteris.

ὄρνιθες δὲ ἐξεπεπαίδευντο] *ὄρ. δὲ ἐπεπαίδευντο.* Schn. *ἐξεπαιδεύοντο* libri praestantes. *ἐξεπαίδευντο.* m. Vict.

ἠσκήκεις δὲ φθάνειν ἕλκων] alii *φθάνων ἕλκειν.* Vat. *εἶχες δὲ ἐπιμέλειαν τοῦ φθάνειν ἕλκων τὰ πετεινὰ πρὸ τοῦ φυγεῖν· ἠσκήκεις δὲ φθάνων ἕλκειν, ἢ τὰ πτηνὰ φεύγειν.* duabus lectionibus concinnatis. Bekker. Anecd. Gr. p. 17. *ἀσκεῖν σημαίνει καὶ τὸ μετ' ἐπιμελείας τι κατασκευάζειν.* cuiusmodi interpretatio receptae mutandae ansam dedit.

p. 232. *μάλα* Cyrop. VII. 4, 15. *σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἐστὶν ἔνθα ἰσχυρῶς ὠφελοῦσι σφενδονῆται παρόντες.*

πρόσω πάνυ ἐλάσαι – πλεονεξίας;] te longe admodum progressurum esse in arte opportunitates hostium intercipiendi? Matth. §. 318. p. 437.

ἐπὶ μὲν τὰς ὄρνιθας] ad capiendas aves, aucupatum egrediebaris. Vid. ad §. 12. Ad hoc *μέν* respicit *δέ* §. 40. in *πρὸς δ' αὖ τὸν λαγῶ.* Utrum *τὰς ὄρνιθας*, an *τοὺς ὄρνιθας* probandum sit, dubitare licet. Xenophontis certe usus utrumque genus admittit.

καὶ τὸ κεκινημένον χωρίον] »est area, ab aucupe concinnata, der Vogelherd; vocatur ita, quia laquei ibi positi implicant colla, pedes avium et ab aucupe trahuntur. Sensus est: locus, in quo erat area, ita concinnatus erat, ut non videretur esse ibi area.« Fischerus, quo interprete postea in verbis *ὄρνιθες δὲ – ἐξαπατᾶν* intelliguntur illices, quae ab aucupe condocefactae (*ἐπεπαίδευντο*, abgerichtet) ei *τὰ συμφέροντα ὑπηρετοῦσι*, h. e. alliciunt et invitant, illiciunt in laqueos, decipiunt aves sui generis, quae dicuntur *ὁμόφυλοι.* Praepositio verbo *ἐπεπαίδευντο* praefixa est non sine causa: est enim penitus, nec differt a nostro auslernen. Vid. Viger. p. 602. b.

ἠσκήκεις – φεύγειν] exercitatus eras, ut contractis retibus volucres prius interciperes quam avolarent. Cf. Matth. §. 553. p. 801 sq. Viger. p. 319. 763.

§. 40. *τὸν λαγῶ*] Sunt qui

ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνεύρισκον. Ὅτι δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτετηδευμένας πρὸς τὸ κατὰ πόδας αἱρεῖν. Εἰ δὲ καὶ ταύτας ἀποφύγοι, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, καὶ πρὸς οἷα χωρία φεύγοντες αἱροῦνται οἱ λαγῴ, ἐν τούτοις δίκτυα δυσόρατα ἐνεπετάννυες ἄν, ἵνα ἐν τῷ σφοδρῶς φεύγειν αὐτὸς ἑαυτὸν ἐμπεσὼν συνέδει. Τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν, σκοποὺς τοῦ γιγνομένου κα-

§. 40. ἀποφύγοι] ἀποφύγοιε vett. editt. ἀποφύγοιεν Steph. φεύγοντες αἱροῦνται] sic libri plurimi et praestantissimi. φεύγειν αἱροῦνται. Schn.
ἐνεπετάννυες ἂν] ἀνεπετάννυες ἄν. Med. m. Vict. recte, opinor. ἵνα ἐν τῷ σφοδρῶς] καὶ τὸ σφόδρα. alii. ἐμπεσὼν συνέδν. editt. vett.

praeferant scripturam τὸν λαγώ, de qua vid. Lobeck. ad Phrynich. p. 186. Matth. §. 70. n. 2. p. 153.

ἀποδιδράσκει] aufugit, ut quo se contulerit, nescias, nempe in cubile.

ἀποφύγοι] Grammatices praecepta pluralem sane numerum, qui subiicitur, postulabant, sed scriptores huic sese regulae obstringi neutiquam passi sunt, nec quidquam saepius reperias subito transitu a singulari ad pluralem numerum et vicissim. Eius generis notabile exstat exemplum in Hipparch. IV. 18 sq. Itidem Cicero de Nat. Deor. I. 19, 51. a diis orationem transfert ad deum.

τοὺς πόρους αὐτῶν ἐκμανθάνων – οἱ λαγῴ] Iunge ἐκμανθάνων τοὺς πόρους αὐτῶν καὶ πρὸς οἷα χωρία φ. αἱροῦνται οἱ λαγῴ, in quibus si mireris pronomen αὐτῶν prius collocatum quam nomen οἱ λαγῴ, ad quod si non syntactice, certe scriptoris mente demonstrativum refertur, geminum locum supra c. 4, 2. observavimus; deinde αἱροῦνται illud omnium aptissime, nisi fallor, reddideris: circumveniuntur, ut in Eurip. Helen. 1621. ed. Matth. ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας.

ἐνεπετάννυες ἄν, ἵνα ἐν τῷ – συνέδει] Particula ἄν, si a scriptoris manu profecta est, eam habebit significationem, quam exemplis adstruxerunt Matth. §. 598. 2. a. Buttm. §. 126. n. 5. Nec ἵνα cum indicativo iunctum in re, quae mera ex cogitatione pendet, tam insolens esse putaverim, quin ferri possit commode. Plat. Men. c. 25. (p. 89.) οὓς ἡμεῖς ἂν παραλαβόντες – ἐφυλάττομεν ἂν ἐν ἀκροπόλει, κατασημηνάμενοι πολὺ μᾶλλον ἢ τὸ χρυσίον, ἵνα μηδεὶς αὐτοὺς διέφθειρεν, ubi Buttm.: »A coniunctione ἵνα pendet hic imperfectum διέφθειρεν ob praecedens hypotheticum, de eo quod non est, imperfectum ἐφυλάττομεν. Vid. infra Crit. 3. etc.« Proba igitur est interpretatio Gabr. ibi retia, visu difficillima, extendebas, ut, dum magnopere fugerent, in ea incidentes semet ipsos irretirent.

Τοῦ δὲ μηδ' ἐντ. διαφεύγειν] Vid. ad I. 6, 9.

θίστης, οἳ ἐγγύθεν ταχὺ ἤμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγὼ βοῶν ἐξέπλησσες αὐτόν, ὥςτε ἀφρόνως ἁλίσκεσθαι· τοὺς δὲ ἔμπροσθεν σιγᾶν διδάξας ἐνεδρεύοντας λανθάνειν ἐποίεις. Ὥςπερ οὖν προεῖπον, εἰ τοιαῦτα 41 ἐθελήσαις καὶ ἐπὶ τοῖς ἀνθρώποις μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε, εἴ τινα λίποις ἂν τῶν πολεμίων. Ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται καὶ ἐν τῷ ἰσοπέδῳ, καὶ ἐκ τοῦ ἐμφανοῦς, καὶ ὡπλισμένους ἀμφοτέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δέ, ὦ παῖ, ἀεὶ αἱ ἐκ πολλοῦ παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. Ταύτας δὲ ἐγὼ λέγω εἶναι, ἢν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημένα ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν. Εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέ- 42 ναι, ὅτι, ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες ἀξιώσουσί σε πρὸ αὐτῶν βουλεύεσθαι. Μηδέποτε οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει, τί σοι ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα

ἤμελλον] sic libri optimi pro *ἔμ.*

§. 41. *ὥςπερ οὖν*–] itaque si haec eadem, quemadmodum dicebas, volueris adversus ipsos homines moliri. Gabriel. quasi legisset: *εἰ τὰ αὐτὰ ἐθ.*

εἴ τινα] boni libri *εἴ τινας*. Male Heind. *εἴ τι ἐλλείποις ἂν τῶν πολεμικῶν*. Vide Schaef. ad Demosth. Phil. I. p. 340. sq.

κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγὼ βοῶν] clamorem tollens, nihil lepori currenti sc. cedentem, i. e. quo acrius fugit lepus, eo acriorem tollis clamorem, ut aequo semper intervallo venatorem sequi lepus putet. Cum verbis *κραυγῇ βοᾶν* comparari possunt simillimae formulae, quibus permultis utitur Graecitas, ut *δρόμῳ θεῖν* Anab. IV. 6, 25. I. 8, 19., *ὕπνῳ εὕδοντα* Soph. Oed. R. 65., *φόβῳ δείσαντας* Oed. Col. 1614. ed. Heller. et Doed. Cf. Rost. §. 104. 3. b.

§. 41. *καὶ ἐπὶ τοῖς ἀνθρώποις*] Respice ad §. 30.

οὐκ οἶδ' ἔγωγε, εἴ τινα λίποις ἂν τῶν πολεμίων] haud scio equidem, an neminem hostium reliquum feceris, i. e. fieri non poterit, quin omnes hostes insidiis circumventos, non diversis ab iis, quas avibus leporibusque parare solebas, capturus sis. De particulis *εἰ* – *ἄν* egimus ad §. 10.

ἐν τῷ τοιούτῳ δέ] Non raro ita *δέ* in apodosi infertur, praesertim ubicunque ab inchoata structura aliquantum deflectitur. Cf. II. 3, 19. *τούτοις δ' ἥσθείς*. IV. 6, 4. *ἐν τούτῳ δέ*. V. 5, 12. §. 21. VI. 2, 14. §. 21. Hermann. ad Viger. p. 845 sq. 343. b. 345. Matth. §. 606. 3, Rost. §. 134. 5. c.

§. 42. *τί σοι π.*] De pronomine vid. ad §. 26. Seqq. *τὰ εἰς νύκτα* de vigiliis intellige.

γένηται· τῆς δὲ ἡμέρας, ὅπως τὰ εἰς νύκτα κάλλιστα
43 ἕξει. Ὅπως δὲ χρὴ τάσσειν εἰς μάχην στρατιάν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτός, ἢ στενὰς ἢ πλατείας ὁδούς, ἢ ὀρεινὰς ἢ πεδινάς, ἢ ὅπως στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς καθιστάναι, ἢ ὅπως προσάγειν πρὸς πολεμίους ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν, ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπη ἢ ποταμοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάσσεσθαι, ἢ ὅπως ἀκοντιστὰς ἢ τοξότας· καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι· καὶ εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν οἱ πολέμιοι φαίνοιντο ἢ κατὰ πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν· ἢ ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ οἱ πολέμιοι ἥκιστα εἰδεῖεν, ταῦτα δὲ πάντα τί ἂν ἐγὼ λέγοιμί σοι; Ὅσα τε γὰρ ἔγωγε ᾔδειν πολλάκις ἀκήκοας, ἄλλως τε ὅςτις ἐδόκει τι τούτων ἐπίστασθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ' ἀδαὴς γεγένησαι. Δεῖ οὖν πρὸς

§. 42. τῆς δὲ ἡμέρας] τῇ θ' ἡμέρᾳ. optimi. τῇ δ' ἡμέρᾳ. alii. Aut hoc aut τὴν δ' ἡμέραν verum puto.

§. 43. ἐπιφανεῖεν] ἐπιφανοῖεν Vat. et mox editt. quaedam vett. φανοῖεν. Cf. Herm. ad Aiac. 306.

§. 43. ἢ στενὰς ἢ πλατείας ὁδούς] Accusativi hi Germanorum quoque proprii sunt, monentibus Matth. §. 418. p. 577. Thiersch. §. 268. 1.

σοι κατὰ κέρας ἄγοντι] Würm. in Observatt. ad aliquot Xen. locc. p. 6. » ἐπὶ κέρως idem est quod κατὰ βάθος, et ἐπὶ κέρως plerumque habet oppositum sibi ἐπὶ φάλαγγος vel ἐπὶ μετώπου, quod igitur synonymum esse oportet τοῦ κατὰ μῆκος. Quo pertinent loci Cyr. I. 6, 43. κατὰ κέρας ἄγειν, ita ducere exercitum, ut maior sit ordinum altitudo, ἐπὶ φάλαγγος ἄγειν, ut maior sit longitudo. VIII. 5, 43. etc. « Altitudo ordinum ita instituta est, ut primus secundo, tertio secundus etc. tergum obvertat, longitudo est, ubi milites ad latus sibi invicem stant. Cf. Viger. p. 613.

ἄλλοθέν ποθεν ἢ κατὰ πρόσωπον] alio quopiam ex loco quam a fronte s. ex adverso, nempe a latere.

ἄλλως τε] et praeterea iam dedit interpres, recte, modo ne obliviscaris τέ praegressis τὲ γάρ respondere. Nos dicimus und wer sonst. Cf. Herm. ad Viger. p. 781. et Thiersch. §. 312. 3.

τὰ συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι, ὁποῖον ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ.

g) de divinatione in rebus suscipiendis adhibenda.

Μάθε δέ μου καὶ τάδε, ὦ παῖ, ἔφη, τὰ μέγιστα· 44
παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ' ἐν ἑαυτῷ μηδέποτε μήτ' ἐν τῇ στρατιᾷ κινδυνεύσῃς, κατανοῶν, ὡς ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδὲν, ἀπὸ ποίας ἔσται αὐτῶν τἀγαθά. Γνοίης δ' ἂν ἐξ αὐτῶν τῶν γιγνομένων. Πολλοὶ μὲν γὰρ πόλεις ἔπεισαν, 45
καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ' ὧν οἱ πεισθέντες ἐπιθέσθαι ἀπώλοντο. Πολλοὶ δὲ πολλοὺς ηὔξησαν καὶ ἰδιώτας

οἶμαι τούτοις] haec seclusit Schn.
ὁποῖον ἄν σοι] ὁποίοις ἄν σοι editt. ante Schn.

§. 44. καὶ τάδε] Sic Schn. cum bonis libris. Alii ταῦτα.
μήτ' ἐν ἑαυτῷ] μήτ' ἐν σαυτῷ. Schn. ἑαυτῷ Vat. c. al.
μήτ' ἐν τῇ στρατιᾷ] μήτε στρατιᾷ. praestantes quidam libri.

§. 45. πολλοὶ μὲν γὰρ πόλεις] πολλοὶ μὲν γὰρ ἤδη πόλεις. vulg. π. γὰρ ἤδη πολλούς Schn. Nostram lect. tuentur optimi. Alii γὰρ αὖ πόλεις, daturi forsitan αὐτίκα πόλεις, vel γὰρ δὴ π.

οἶμαι] opinor, mea sententia, vid. Viger. p. 270.

ὁποῖον ἄν — δοκῇ] quodcunque ex his prodesse tibi videbitur. A plurali oratio delabitur ad singularem, quo modo §. 21. τούτου ad οὓς ἄν referri vidimus. Hellen. II. 2, 16. ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα ὅ τι τις λέγοι, ὁμολογήσειν. Anab. VII. 6, 24. σπάνια ἔχοντες ὅτου ὠνησόμεθα. Cf. VII. 4, 14. et quae laudavimus ad §. 11.

§. 44. Μάθε δέ μου καὶ τάδε] Cf. Matth. §. 374. p. 500. Rost. §. 108. n. 10.

μήτ' ἐν ἑαυτῷ] vid. ad §. 19. Sensum bene indicat Fischer.: invitis diis nihil unquam suscipias, quo vel tu vel exercitus veniat in discrimen. Coniunctivi κινδυνεύσῃς causa inspicias Matth. §. 511. 3. §. 516. 2. Buttm. §. 135. 3.

ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες] homines quidem actiones suscipiunt coniecturam sequentes. Illud μέν positum, quia §. 46. sequuntur verba θεοὶ δέ, sed alterum μέν post εἰκάζοντες deest, cui δέ in εἰδότες δέ conveniat. Salva tamen sunt habenda omnia.

ἀπὸ ποίας αὐτῶν] sc. πράξεων, ut paene idem sit et ἀπὸ ποίας πράξεως. Supra ad I. 2, 12. ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι quae conferri iussimus, iis accedat Matth. §. 354. p. 478.

§. 45. οἱ πεισθέντες] sc. πολῖται, quorum nomen in praegresso πόλεις latet, ut Persae et Medi in ἔθνη cap. 5, 3.

καὶ πόλεις, ὑφ' ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπαθον. Πολλοὶ δὲ, οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ' αὐτῶν τούτων δίκην ἔδοσαν. Πολλοῖς δ' οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως, ἐπιθυμήσαντες δὲ κύριοι εἶναι πάντων, διὰ ταῦτα καὶ ὧν εἶχον ἀπέτυχον. Πολλοὶ δὲ τὸν πολύευκτον πλοῦτον κατακτησάμενοι, διὰ τοῦτον ἀπώλοντο.
46 Οὕτως ἥ γε ἀνθρωπίνη σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι ἢ εἰ κληρούμενος, ὅ τι λάχοι, τοῦτό τις πράσσοι. Θεοὶ δέ, ὦ παῖ, αἰεὶ ὄντες, πάντα ἴσασι, τά τε γεγενημένα καὶ τὰ ὄντα καὶ ὅ τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται· καὶ τῶν συμβουλευομένων ἀνθρώπων οἷς ἂν ἵλεῳ ὦσι προσημαίνουσιν ἅ τε χρὴ ποιεῖν, καὶ ἃ οὐ χρή. Εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν ὧν ἂν μὴ θέλωσιν ἐπιμελεῖσθαι.

ἤρκεσεν αὐτοῖς τὸ μέρος] ἤρκεσεν τὸ μέρος. Alt. Fortasse ἤρκεσεν αὖ, τοῖς τὸ μέρος ἔχουσι, ζ. ἡ. ut articulus cum participio explicationis causa ad πολλοῖς adiectus esse putetur (cf. I. 1, 1.); nam αὖ pluribus saepe verbis interpositis ab δέ dirimitur.

πλοῦτον κατακτησ.] in hac lectione praestantissimi libri consentiunt omnes. χρυσὸν κτησάμενοι. vulgo.

§. 46. ἥ γε ἀνθρωπίνη] γε plures libri om.

αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως] nescio an sic vertenda sint: ea, quam ipsi possidebant, parte, iucunde vivere. Aliud quid in codice suo vide ne legerit Gabr. multi, quibus satis non esset, aequam partem possidendo, iucunde vivere. De dativo, qui subiungitur infinitivo, vid. Rost. §. 127.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Β'.

CAPUT I.

Cyaxares suas hostiumque copias recenset Cyro, et pugnae armorumque genus quod sit ostendit. Cyrus autem ab eo impetrat, ut Persis advenientibus nova arma ad bellum felicius gerendum fieri iubeat.

Τοιαῦτα μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν ὁρίων τῆς Περσίδος· ἐπεὶ δὲ αὐτοῖς ἀετὸς δεξιὸς φανεὶς προηγεῖτο, προςευξάμενοι θεοῖς καὶ ἥρωσι, τοῖς Περσίδα γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω διέβαινον τὰ ὅρια. Ἐπειδὴ δὲ διέβησαν, προςηύχοντο αὖθις θεοῖς, τοῖς Μηδίαν γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς. Ταῦτα δὲ ποιήσαντες, ἀσπασάμενοι ἀλλήλους, ὥςπερ εἰκός, ὁ μὲν πατὴρ πάλιν εἰς Πέρσας ἀπῄει, Κῦρος δὲ εἰς Μήδους πρὸς
Κυαξάρην ἐπορεύετο. Ἐπεὶ δὲ ἀφίκετο ὁ Κῦρος εἰς 2
Μήδους πρὸς τὸν Κυαξάρην, πρῶτον μέν, ὥςπερ εἰκός, ἠσπάσαντο ἀλλήλους· ἔπειτα δὲ ἤρετο τὸν Κῦρον

Cap. I. §. 1. *μὲν δή*] *δή* a multis abest.
αὖθις] *αὖ τοῖς θ.* Muretus, qua coniectura nihil est opus.

Cap. I. §. 1. *ἀετὸς δεξιός*] aquila dextra, ab oriente volans, quae faustissima quaeque putabatur portendere. Felicem expeditionis exitum I. 6, 1. iam tonitrua dextra praesignificaverant.

ἵλεως καὶ εὐμενεῖς] Accusativos hos auctor codicis B. adiecto *αὐτούς* interpretaturus erat. Vid. Rost. §. 127. n. 2. et de seq. *οὕτω* post participium collocato ad I. 6, 5. extr.

ἀσπασάμενοι ἀλλήλους, ὥςπερ εἰκός] alter alterum, ut par est, complexus.

ὁ Κυαξάρης, πόσον τι ἄγοι τὸ στράτευμα. Ὁ δ' ἔφη, τρισμυρίους μέν γε, οἳ καὶ πρόσθεν ἐφοίτων πρὸς ὑμᾶς μισθοφόροι· ἄλλοι δὲ καὶ τῶν οὐδέποτε ἐξελθόν-
3 *των προςέρχονται, τῶν ὁμοτίμων. Πόσοι τινές; ἔφη ὁ Κυαξάρης. Οὐκ ἂν ὁ ἀριθμός σε, ἔφη ὁ Κῦρος, ἀκούσαντα εὐφράνειεν· ἀλλ' ἐκεῖνο ἐννόησον, ὅτι ὀλίγοι ὄντες οὗτοι οἱ ὁμότιμοι καλούμενοι πολλῶν ὄντων τῶν ἄλλων Περσῶν ῥαδίως ἄρχουσιν. Ἀτάρ, ἔφη, δέῃ τι αὐτῶν; ἢ μάτην ἐφοβήθης, οἱ δὲ πολέμιοι οὐκ*
4 *ἔρχονται; Ναὶ μὰ Δί', ἔφη, καὶ πολλοί γε. Πῶς τοῦτο σαφές; Ὅτι, ἔφη, πολλοὶ ἥκοντες αὐτόθεν, ἄλλος ἄλλον τρόπον, πάντες ταὐτὸ λέγουσιν. Ἀγωνιστέον μὲν ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας. Ἀνάγκη γάρ, ἔφη. Τί οὖν, ἔφη ὁ Κῦρος, οὐ καὶ τὴν δύναμιν ἔλεξάς μοι, εἰ οἶσθα, πόση τις ἡ προςιοῦσα, καὶ πάλιν*

§. 2. *πόσον τι ἄγοι τὸ στρ.*] *πόσον τι ἄγοιτο στρ.* editt. ante Steph. Codd. fluctuant inter *εἰ ἄγοι* et *εἰ ἄγει.*
τρισμυρίους] alii *δισμυρίους.*
οἳ καί] recipiendum videtur *οἷοι* ex Alt. Iunt. Cast., quo magis appareat gregarios milites ab homotimis discerni.
οὐδέποτε] boni libri pro *οὐδεπώποτε.*

§. 3. *εὐφράνειεν*] Schn. Alii *εὐφράναι* et *εὐφρανεῖ.*

§. 4. *πόση τις ἡ*] *τις* nonnulli om.

§. 2. *τρισμυρίους μέν γε*] Nam I. 5, 5. triginta militum millia Cyro traduntur. Voculae *μέν γε* quid valeant, docebit Herm. ad Viger. p. 827.
οὐδέποτε] *οὐδέποτε*, nunquam, cum praesente, praeterito et futuro tempore construi solet, *οὐδεπώποτε*, nondum unquam, cum solo praeterito. Vid. Lobeck. ad Phryn. p. 457 sq.

§. 3. *Οὐκ ἂν — εὐφράνειεν*] Numerus te, si audires, non delectaret, nempe quia est exiguus, nec nisi mille homotimi erant. Cf. V. 5, 28. et 30. IV. 2, 39.
ῥαδίως ἄρχουσιν] facile imperant; sensus hic est: quamvis parvi sint, qui regant, et multi, qui regantur, tamen hos illi facile imperio coercebunt.

§. 4. *Ἀγωνιστέον μὲν ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας*] Illud *μέν*, quod vernaculo freylich respondet, non facile patitur *δέ.*
Τί οὖν — οὐ — ἔλεξάς μοι] quin igitur tu mihi — recenses? Vid. V. 4, 37. VIII. 3, 46. Buttm. §. 124. n. 5. Rost. §. 116. n. 6. et Frotscher. ad Xenoph. Hieron. I. 3. In ceteris verbis attractio effecit, ut non scriberetur aut *σὺ καὶ τὴν δύναμιν ἔλεξάς μοι, εἰ οἶσθα, τὴν προςιοῦσαν καὶ πάλ. τὴν ἡμετ.* aut *σὺ ἔλεξάς μοι — πόση τις ἡ δύναμις ἡ προςιοῦσα, καὶ*

τὴν ἡμετέραν, ὅπως εἰδότες ἀμφοτέρας πρὸς ταῦτα βουλευσόμεθα, ὅπως ἂν ἄριστα ἀγωνιζοίμεθα. Ἄκουε δή, ἔφη ὁ Κυαξάρης·

Κροῖσος μὲν ὁ Λυδὸς ἄγειν λέγεται μυρίους μὲν 5
ἱππέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυρίους. Ἀρτακάμαν δέ, τὸν τῆς μεγάλης Φρυγίας ἄρχοντα, λέγουσιν ἱππέας μὲν εἰς ὀκτακισχιλίους ἄγειν, λογχοφόρους δὲ σὺν πελτασταῖς οὐ μείους τετρακισμυρίων· Ἀρίβαιον δέ, τὸν τῶν Καππαδοκῶν βασιλέα, ἱππέας μὲν ἑξακισχιλίους, τοξότας δὲ καὶ πελταστὰς οὐ μείους τρισμυρίων· τὸν Ἀράβιον δὲ Ἄραγδον ἱππέας τε εἰς μυρίους, καὶ ἅρματα εἰς ἑκατόν, καὶ σφενδονητῶν πάμπολύ τι χρῆμα. Τοὺς μέντοι Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ οἰκοῦντας, οὐδέν πω σαφὲς λέγεται, εἰ ἕπονται·

βουλευσόμεθα] βουλευώμεθα edit. ante Zeun.

§. 5. Ἀρτακάμαν] Vid. VIII. 6, 7. Anab. VII. 8, 25. Ἀρτάμαν Schneid. cum codd. Cf. Aeschyl. Pers. 323. ed. Bl.

πάλιν πόση ἡ ἡμετέρα. Maluerunt alii τὴν ὑμετέραν, cui tamen mutationi obstant verba Cyri §. 6. λέγεις σὺ ἱππέας μὲν ἡμῖν εἶναι μεῖον ἢ τρίτον μέρος.

βουλευσόμεθα] Vid. Herm. ad Viger. p. 791. III. et de seqq. verborum structura nos ad I. 2, 6.

§. 5. λογχοφόρους] hastatos, i. e. pedites genus iaculi et hastae ferratae gestantes, qua et eminus ad iaciendum et cominus ad pugnandum uterentur. Tam Phrygas hos, quam ceteros populos, quorum hic copiae recensentur, Assyriorum rex I. 5, 2. invitaverat, ut secum foedus facerent contra Medos et Persas.

ἅρματα] currus bellici, e quibus antiquissimis iam temporibus sagittarii et iaculatores pugnabant, quibusque Cyrus postea falces addidit. VI. 1, 27. De Arabibus dictum ad I. 5, 2.

πάμπολύ τι χρῆμα] illustrabunt Viger. p. 157. et Matth. §. 430. p. 594.

Τοὺς μέντοι Ἕλληνας] Iones, Aeolos quique VI. 2, 10. commemorantur, vid. Heeren. Ideen Vol. I. P. I. p. 156 sq. Sed accusativi, quos vulgo absolutos vocant, derivandi ex quadam structurae mutatione, anacoluthia dicta, qua saepissime utuntur Graeci. Cf. Aristoph. Avv. 1258. ed. Dind. δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. Soph. Trach. 282. τάσδ᾽ ἅσπερ εἰσορᾷς, ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον χωροῦσι πρὸς σέ. Rost. §. 137. 4. a. ed. 3. et §. 131. 6.

οὐδέν πω σαφὲς λέγεται] nondum quidquam (nihil dum) certi narratur.

τοὺς δὲ ἀπὸ Φρυγίας τῆς πρὸς Ἑλληςπόντῳ συμβαλεῖν φασι Γαβαΐδον ἔχοντα εἰς Καΰστριον πεδίον ἑξακισχιλίους μὲν ἱππέας, πελταστὰς δὲ εἰς δισμυρίους. Κᾶρας μέντοι καὶ Κίλικας καὶ Παφλαγόνας παρακληθέντας οὔ φασιν ἕπεσθαι. Ὁ δὲ Ἀσσύριος, ὁ Βαβυλῶνά τε ἔχων καὶ τὴν ἄλλην Ἀσσυρίαν, ἐγὼ μὲν οἶμαι, ἱππέας μὲν ἄξει οὐκ ἐλάττους δισμυρίων, ἅρματα δ', εὖ οἶδ', οὐ μεῖον διακοσίων, πεζοὺς δέ, οἶμαι, παμπόλ-
6 λους· εἰώθει γοῦν, ὁπότε δεῦρ' ἐμβάλλοι. Σύ, ἔφη

πρὸς Ἑλληςπόντῳ] sic optimi pro *παρ' Ἑλλήςποντον*, quod ex IV. 2, 30. vel VIII. 6, 7. doctus aliquis lector adscripsit.

φασι Γαβαΐδον] *Γαβαΐδον* et *Γάβαιδον*. optimi. Vulgo *Γαβαῖον*.

ἱππέας μὲν ἄξει] sic praestantissimi. Alii *ἄξειν*. Pariter librarii turbarunt VII. 5, 50.

οὐκ ἐλάττους] sic libri optimi omnes pro *οὐ μεῖον*, quod si non verius, at illo est exquisitius. Cohaeret haec varietas cum seq. vulg. *εὖ οἶδ' οὐ πλείω διακ.* ubi alii: *ἅρματα δ' οὐ μεῖον δ.* et *οὐ μείω*. Cum Mureto dedi *οὐ μεῖον*, nondum tamen poenitet coniecturae olim propositae *δ' εὖ οἶδα πλείω διακ.* Vid Schaef. ad Greg. Cor. p. 532.

ἐμβάλλοι] quidam *ἐμβάλοι* non male. Vid. VIII. 2, 4. Anab. I. 9, 25.

τῆς πρὸς Ἑλληςπόντῳ] Phrygia minor temporibus antiquis, sed Mysia serioribus appellata, vid. Tzschuck. ad Pomp. Mel. I. 19, 4. Mannert. T. VI. P. III. p. 85. 406. 511. et Heeren. Ideen. Vol. I. P. I. p. 160 sq. ed. 4. Si scripsisset Xenophon *τῶν δὲ ἀπὸ Φρυγίας κ. τ. λ.*, ut constructio esset *Γαβαΐδόν φασι συμβαλεῖν εἰς Καΰστριον πεδίον ἔχοντα τῶν ἀπὸ Φρυγίας τῆς πρ. Ἑλ. ἑξακισχιλίους μὲν ἱππέας*, nemo, opinor, haerere potuisset in tam pervulgato dicendi genere, quod explicare non omisit Matth. §. 358. p. 483.

εἰς Καΰστριον πεδίον] campum Caystrium, vel urbem habitatam eam, quam memorat Anab. I. 2, 11., vel quod probabilius est, planitiem, quam Cayster fluvius permeabat.

ὁ Βαβυλῶνά τε ἔχων καὶ τὴν ἄλλην Ἀσσυρίαν] Addidit haec Cyaxares, ut immensae Assyriorum regis, belli auctoris, opes apparerent, quibus Cyrum ferocientem veluti perterrefaceret. Babyloniam vero, quam alii scriptores ab Assyria discernunt, a Xenophonte annumerari Assyriae, quum vox *ἄλλος* etiam aliam interpretationem admittat (vid. ad I. 6, 38.), ex hoc loco non est quod certo colligas. Cf. I. 4, 16.

ἐγὼ μὲν οἶμαι] ita sunt interserta, ut alibi (I. 3, 11. et 6, 43.) et paullo post simplex *οἶμαι*.

οὐ μεῖον] extra constructionem ponuntur sexcenties, docente Lobeck. ad Phryn. p. 410 sq.

εἰώθει γοῦν – ἐμβάλλοι] ita certe consueverat, quoties nostram regionem invaderet.

ὁ Κῦρος, πολεμίους λέγεις ἱππέας μὲν εἰς ἑξακισμυρίους εἶναι, πελταστὰς δὲ καὶ τοξότας πλεῖον ἢ εἴκοσι μυριάδας. Ἄγε δή, τῆς δυνάμεως τῆς σῆς τί φὴς πλῆθος εἶναι; Εἰσίν, ἔφη, Μήδων μὲν ἱππεῖς πλείους τῶν μυρίων· πελτασταὶ δὲ καὶ τοξόται γένοιντ' ἄν, ὡς ἐπὶ τῆς ἡμετέρας, κἂν ἑξακισμύριοι. Ἀρμενίων δ', ἔφη, τῶν ὁμόρων ἡμῖν, παρέσονται ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δὲ δισμύριοι. Λέγεις σύ, ἔφη ὁ Κῦρος, ἱππέας μὲν ἡμῖν εἶναι μεῖον ἢ τρίτον μέρος τοῦ τῶν πο-

§. 6. *Μήδων μὲν ἱππεῖς*] sic optimi pro *M. ἱππ. μέν.* Poppo: *Μήδων μὲν ἱππ. μέν.* Vid. Epil. Cyr. p. 18. et **Buttm.** post Demosth. Mid. p. 153.

§. 6. *τί φὴς*] alii scribunt *τί φῂς*, minus recte, iudice **Matth.** §. 215. n. 1. p. 410. ed. 2. et **Buttm.** gr. Gr. max. §. 109. n. 1. p. 564.

ὡς ἐπὶ τῆς ἡμετέρας] nempe *γῆς*, ut in nostra terra, i. e. pro ratione et tenuitate terrae nostrae. Nam *ὡς* vim habet restringendi et minuendi, quam utriusque linguae communem post **Devar.** de partic. p. 366. sq. explanarunt **Hoog.** ad Viger. p. 570. et **Matth.** §. 543. p. 783. sq.

κἂν ἑξακισμύριοι] circiter usque ad LX millia interprete **Hermanno** ad Viger. p. 839. 330.

ἢ τρίτον μέρος] Primum monendum articulo ante *τρίτον* ab Alt. exhibito nihil opus esse, quia nomina *μέρος, πλῆθος, μῆκος, εὖρος* aliaque similia etiam non praeposito articulo reperiuntur; nimirum in nostra quoque lingua passim perinde est, dicamus **weniger als ein Drittheil, der Flufs hat eine Länge von 100 Meilen**, an **als das Drittheil** vel **die Länge von 100 Meilen.** Deinde equitum hostilium numerus constabat sexaginta millibus, Medorum vero amplius decem millibus, quibus si Armeniorum equitatus adiicitur, conficiuntur quattuordecim millia equitum, h. e. nondum quarta pars numeri 60000. Indefinitum igitur numerum *πλείους τῶν μυρίων*, quem attulerat Cyaxares, superare Cyrus statuit numerum duodecim vel tredecim millium, neque tamen aequare numerum viginti millium. Simili ratiocinatione usus est Cyrus in seqq. *πεζοὺς δὲ σχεδὸν* (hoc ignorant A. B. G. V. m. Vict.) *ἀμφὶ τοὺς ἡμίσεις*. Etenim hostibus esse dixerat pedites *πλεῖον ἢ εἴκοσι μυριάδας*; iam vero ab altera parte stabant Medorum peditum *ἑξακισμύριοι*, Armeniorum *δισμύριοι* atque Persarum secundum §. 2. vel *δισμύριοι* vel *τρισμύριοι*. Illud si verum est, iure Cyrus dicere poterat *σχεδὸν ἀμφὶ τοὺς ἡμ.*, quippe qui hostium multitudinem maiorem esse animo informaverit quam ducentorum millium, sed altera lectione admissa patet *σχεδόν* ineptum additamentum esse, ob vocem *δισμύριοι* §. 2. ab attento aliquo lectore infartum.

7 λεμίων ἱππικοῦ, πεζοὺς δὲ ἀμφὶ τοὺς ἡμίσεις. Τί οὖν,
ἔφη ὁ Κυαξάρης, ὀλίγους νομίζεις Περσῶν εἶναι, οὓς
σὺ φὴς ἄγειν; Ἀλλ' εἰ μὲν ἀνδρῶν προςδεῖ ἡμῖν, ἔφη
ὁ Κῦρος, εἴτε καὶ μή, αὖθις συμβουλευσόμεθα· τὴν
δὲ μάχην μοι, ἔφη, λέξον ἑκάστων, ἥτις ἐστί. Σχε-
δόν, ἔφη ὁ Κυαξάρης, πάντων ἡ αὐτή. Τοξόται γάρ
εἰσι καὶ ἀκοντισταὶ οἵ τ' ἐκείνων καὶ οἱ ἡμέτεροι. Οὐκ-
οῦν ἀκροβολίζεσθαι ἀνάγκη ἐστί, τοιούτων γε τῶν ὅπλων
8 ὄντων. Ἀνάγκη γὰρ οὖν, ἔφη. Οὐκοῦν ἐν τούτῳ μὲν
τῶν πλειόνων ἡ νίκη· πολὺ γὰρ ἂν θᾶσσον οἱ ὀλίγοι
ὑπὸ τῶν πολλῶν τιτρωσκόμενοι ἀναλωθείησαν ἢ οἱ πολ-
λοὶ ὑπὸ τῶν ὀλίγων. Εἰ οὖν οὕτως ἔχει, ὦ Κῦρε, τί
ἂν ἄλλο τις κρεῖσσον εὕροι ἢ πέμπειν ἐς Πέρσας, καὶ
ἅμα μὲν διδάσκειν αὐτούς, ὅτι, εἴ τι πείσονται Μῆδοι,
ἐς Πέρσας τὸ δεινὸν ἥξει, ἅμα δὲ αἰτεῖν πλεῖον στρά-
τευμα; Ἀλλὰ τοῦτο μέν, ἔφη ὁ Κῦρος, εὖ ἴσθι·

§. 7. *ὀλίγους*] *οὐκ ὀλίγους* alii libri edd. et script.

§. 8. *ἔχει, ὦ Κ.*] *ἔφη* intersertum abest A. B. V. m. Vict. Postea

ἀμφὶ τοὺς ἡμίσεις] Male hinc *τοὺς ἡμίσεας* citat Matth. §. 119. b. n. 3. p. 241. ed. 2.

§. 7. *Τί οὖν – ἄγειν;*] Quid igitur, inquit Cyaxares, paucos putas Persarum esse, quos te ducere dicis? credisne plures te Persas adducere debuisse? Clarius §. 8. Cyaxares mentem suam aperit. Cf. Buttm. ad Demosth. Mid. §. 36. p. 73.

εἰ μὲν – εἴτε καὶ μή] utrum – necne. Eurip. Alcest. 141. *εἰ δ' ἔτ' ἐστιν ἔμψυχος γυνή, εἴτ' ὄλωλεν, εἰδέναι βουλοίμεθ' ἄν.* Cf. infra V. 3, 57. et Hermann. ad Viger. p. 834.

αὖθις] posthac. Viger. p. 392. 782.

τὴν δὲ μάχην – ἐστί] dic mihi, quo quaeque gens pugnae genere utatur. Gabe. Matth. §. 295. 3. p. 410. et not. ad I. 1, 6.

§. 8. *ἐν τούτῳ*] *ἐν τῷ ἀκροβολίζεσθαι.*

Εἰ οὖν οὕτως ἔχει – τί ἂν ἄλλο τις κρεῖσσον εὕροι] Memor. II. 2, 3. *Οὐκοῦν, εἴ γε οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία.* III. 11, 3. *εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἐμὲ ἂν δέοι ὑμῖν τῆς θέας χάριν ἔχειν.* Cf. Matth. §. 524. p. 746. Rost. §. 121. not. 9 (4.).

εὖ ἴσθι· οὐδ' εἰ] Deesse potest hac in formula *ὅτι*, non minus quam in nostra lingua. Vid. §. 5. III. 3, 32. I. 6, 10. et ad Conviv. p. 179. Hypothetici sermonis illustrandi causa locum laudavit Rost. §. 121. 8. b. Notabilior est negationis *οὐχ* repetitio post *οὐδέ*, quae item locum habet apud Aeschin. Orat. in Ctesiph. §. 78. *οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός.* De Persarum numero vid. I. 2, 15.

οὐδ' εἰ πάντες ἔλθοιεν Πέρσαι, πλήθει γε οὐχ ὑπερβαλοίμεθ' ἂν τοὺς πολεμίους. Τί μὴν σὺ ἄλλο ἐνορᾷς ἄμεινον τούτου; Ἐγὼ μὲν ἄν, ἔφη ὁ Κῦρος, εἰ ἔχοι- 9
μι, ὡς τάχιστ' ἂν ὅπλα ἐποιούμην πᾶσι Πέρσαις τοῖς προσιοῦσιν, οἷάπερ ἔρχονται ἔχοντες οἱ παρ' ἡμῶν οἱ τῶν ὁμοτίμων καλούμενοι. Ταῦτα δ' ἐστὶ θώραξ μὲν περὶ τὰ στέρνα, γέῤῥον δὲ εἰς τὴν ἀριστεράν, κοπὶς δὲ ἢ σάγαρις εἰς τὴν δεξιάν· κἂν ταῦτα παρασκευάσῃς, ἡμῖν μὲν ποιήσεις τὸ ὁμόσε τοῖς ἐναντίοις ἰέναι ἀσφαλέστατον, τοῖς πολεμίοις δὲ τὸ φεύγειν ἢ τὸ μένειν αἱρετώτερον. Τάσσομεν δέ, ἔφη, ἡμᾶς μὲν αὐτοὺς ἐπὶ τοὺς μένοντας, οἵγε μεντἂν αὐτῶν φεύγωσι, τούτους ὑμῖν

οὐκ ἂν ὑπερβαλοίμεθα reiecerunt codd.

§. 9. *Κῦρος, εἰ ἔχοιμι, ὡς*] Steph. Vat. *Κῦρος, εἰ σὺ εἴην, ὡς*; ille mavult *εἰ οἰσύην ἔχοιμι* vel *οἰσύαν*.

οἱ παρ' ἡμῶν οἱ τῶν ὁμοτίμων καλ.] Aliquando mihi placuit *οἱ ὑπὲρ ὑμῶν τῶν ὁμ. καλούμενοι*, qui vestra causa e nobilibus arcessuntur; sed simplicius est *οἱ παρ' ἡμῶν οἱ ὁμότιμοι καλούμενοι*.

§. 9. *εἰ ἔχοιμι, ὡς τάχιστ' ἂν ὅπλα ἐποιούμην*] si possem, quam primum arma fabricanda curarem. Ad *ἔχοιμι* nemo non perspicit ex seq. *ἐποιούμην* infinitivum *ποιεῖσθαι* subaudiendum esse, nec in temporum modorumque consecutione est quod quis iure haereat. De Venat. XII 22. *Εἰ οὖν εἰδεῖεν τοῦτο, ὅτι θεᾶται αὐτοὺς (ἡ Ἀρετή), ἵεντο ἂν ἐπὶ τοὺς πόνους καὶ τὰς παιδεύσεις, αἷς ἁλίσκεται μόλις, καὶ κατεργάζοιντο ἂν αὐτήν*, ubi utrumque constructionis genus coniunctum vides. Adde Buttm. ad Plat. Alcib. I. p. 129. et nostra ad Anab. III. 4, 15.

οἷάπερ ἔρχονται — καλούμενοι] Vereor, ut haec transferri queant: quibus armati e nostra patria veniunt milites, quos vocant homotimorum, die sogenannten Leute der Homotimen. Ipsi enim homotimi et quidem *οἱ χίλιοι*, quorum scriptor I. 5, 5. meminit, non gregarii milites, homotimorum imperio subiecti, intelligendi sunt. Malo igitur reddas: qui ex homotimis ad bellum evocati sunt. De his *θώραξ μὲν περὶ τὰ στέρνα* vid. ad I. 2, 9 et 13. et Fr. Jacobs ad XII. 11. de re equestr. p. 201 sqq.

ἡμᾶς μὲν αὐτούς] Persas graviter armatos: *ὑμῖν*, vobis utpote leviter armatis. Hoc enim sibi vult Cyrus: manentibus opponimus nos gravis armaturae milites, aufugientes vos persequimini cum sagittariis et equitibus, ut nec manentes impetum nostrum sustinere, nec fugientes reverti possint ad pugnam redintegrandam. De crasi in *μεντἂν* exponunt Matth. §. 55. 4. p. 125 sq. ed. 2. Thiersch. §. 38. 3. Buttm. §. 27. n. 8.

καὶ τοῖς ἵπποις νέμομεν, ὡς μὴ σχολάζωσι μήτε μένειν
10 μήτε ἀναστρέφεσθαι. Κῦρος μὲν οὕτως ἔλεξε· τῷ δὲ Κυαξάρῃ ἔδοξέ τε εὖ λέγειν, καὶ τοῦ μὲν πλείους μεταπέμπεσθαι οὐκέτι ἐμέμνητο, παρεσκευάζετο δὲ τὰ ὅπλα τὰ προειρημένα. Καὶ σχεδόν τε ἕτοιμα ἦν, καὶ τῶν Περσῶν οἱ ὁμότιμοι παρῆσαν, ἔχοντες τὸ ἀπὸ Περσῶν στράτευμα. Ἐνταῦθα δὴ εἰπεῖν λέγεται ὁ Κῦρος, συναγαγὼν αὐτούς·

Concionibus de mutando armorum genere habitis Persae omnes iisdem quibus Homotimi armis ornantur.

11 Ἄνδρες φίλοι, ἐγὼ ὑμᾶς ὁρῶν αὐτοὺς μὲν καθωπλισμένους οὕτως καὶ ταῖς ψυχαῖς παρεσκευασμένους, ὡς χεῖρας συμμίξοντας τοῖς πολεμίοις, τοὺς δὲ ἑπομένους ὑμῖν Πέρσας γιγνώσκων, ὅτι οὕτως ὡπλισμένοι

μήτε μένειν] G. M. Alt. margg. Vill. Vict. Phil., μήτε φεύγειν edd. vett. Steph. Schn. cum A. B. V.

§. 10. τὰ ὅπλα] articulus, qui vulgo abest, accessit ex Marg. Vict.

συναγ. αὐτούς] haec verba om. plures.

§. 10. παρεσκευάζετο] Cf. Matth. §. 492. Rost. §. 113. 4. Male ex Alt. Weckherlin. recepit παρεσκεύαζε.

Καὶ σχεδόν τε ἕτοιμα ἦν, καὶ — παρῆσαν] Ac prope iam parata erant, cum affuere Persae homotimi. Gabr. Constructio a nobis illustrata est ad I. 6, 22.

συναγαγὼν αὐτούς] sc. τοὺς ὁμοτίμους.

§. 11. ταῖς ψυχαῖς παρεσκευασμένους] Vulgarior fuisset casus quartus τὰς ψυχάς, sed cf. I. 3, 10. ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. IV. 1, 8. διεφθάρθαι ἐδόκει ταῖς γνώμαις. Eurip. Bacch. 639. ed. Matth. ἔνδον δὲ πᾶσαι, σώμασιν παρειμέναι. Thiersch. §. 266. 4. extr. Cohaerent autem haec: ἐγὼ ὑμᾶς ὁρῶν — οὕτως — παρεσκευασμένους, ὡς συμμίξοντας χεῖρας τοῖς πολεμίοις, nec distat structura ab ea, quae locum habet V. 5, 47. Μὴ μέντοι ὡς λόγον ἡμῖν ἐπιδειξόμενοι, οἷον ἂν εἴπητε πρὸς ἕκαστον αὐτῶν, τοῦτο μελετᾶτε, ἀλλ' ὡς τοὺς πεπεισμένους ὑφ' ἑκάστου δήλους ἐσομένους, οἷς ἂν πράττωσιν, οὕτω παρασκευάζεσθε. Cf. I. 6, 11. Mox non variata oratione dicendum fuit γιγνώσκων οὕτως ὡπλισμένους, ὡς ὅτι προσ. σταθέντας μαχουμένους. At hoc ut duriusculum evitavit scriptor. Cf. I. 5, 9. 3, 13. II. 1, 23. 2, 10.

εἰσίν, ὡς ὅτι προσωτάτω σταθέντες μάχεσθαι, ἔδεισα, μὴ ὀλίγοι καὶ ἔρημοι συμμάχων συμπίπτοντες πολεμίοις πολλοῖς πάθητέ τι. Νῦν μὲν οὖν, ἔφη, σώματα ἔχοντες ἀνδρῶν ἥκετε οὐ μεμπτά· ὅπλα δὲ ἔσται αὐτοῖς ὅμοια τοῖς ἡμετέροις· τάς γε μέντοι ψυχὰς θήγειν αὐτῶν ὑμέτερον τὸ ἔργον. Ἄρχοντος γάρ ἐστιν οὐχ ἑαυτὸν μόνον ἀγαθὸν παρέχειν, ἀλλὰ δὴ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιστοι ἔσονται. Ὁ μὲν 12
οὕτως εἶπεν· οἱ δ' ἥσθησαν μὲν πάντες, νομίζοντες μετὰ πλειόνων ἀγωνιεῖσθαι· εἷς δὲ αὐτῶν καὶ ἔλεξε τοιάδε·

Ἀλλὰ θαυμαστά, ἔφη, ἴσως δόξω λέγειν, εἰ Κύ- 13
ρῳ συμβουλεύσω τι εἰπεῖν ὑπὲρ ἡμῶν, ὅταν τὰ ὅπλα

§. 11. σταθέντες] A. B. G. ταχθέντες Schn. ὄντες V. Fortasse προσωτάτω μάχεσθαι, ἔδεισα, μὴ ὀλίγοι σταθέντες καὶ ἔρ. Pro πάθοιτέ τι Vat. πάθητέ τι.

ἀλλὰ δὴ καὶ] ἀλλὰ δεῖ καί A.B. imo ἀλλ' ἀεὶ καί. Cf. tamen Viger. p. 474.

ἔδεισα, μὴ — πάθητέ τι] vereor, ne — damno afficiamini. Vid. ad I. 4, 2.

σώματα ἔχοντες ἀνδρῶν ἥκετε οὐ μεμπτά] i. e. ἄνδρας ἔχοντες ἥκετε, τὰ σώματα οὐ μεμπτούς. Anabas. IV. 6, 10. τοῦτό μοι δοκεῖ σκεπτέον εἶναι, ὅπως — ὡς ἐλάχιστα σώματα ἀνδρῶν ἀποβάλωμεν. Similem circumscriptionem, si qua est, facit apud poetas vox δέμας, de qua dixit Matthiae §. 430. p. 593. ut de v. σῶμα Fischer. ad Weller. III. P. I. p. 285. Ad verbi ἔχειν usum quod attinet, omnium luculentissima verba legimus supra I. 4, 17. πολλοὺς αὐτὸς ἧκεν ἔχων ἱππέας καὶ πεζούς.

Ἄρχοντος γάρ ἐστιν] Iam h. l. rata facere Cyrus praecepta studet, quae a patre acceperat I. 6, 7 sqq.

§. 13. Ἀλλὰ θαυμαστά] »Cum Cyrus dixisset: Τὰς ψυχ. — ὑμέτερον τὸ ἔργον, ad hoc unum homo respondens suam ipse accusat simul excusatque arrogantiam et stultitiam, qui Cyro consilium dare audeat. Ipsa propositio modeste expressa est, cum non clare dicatur animum ab ipso Cyro militibus esse iniiciendum, et ab ipso arma illis tradenda. Quae ad confirmandam suam sententiam affert, 1) ἀλλὰ γιγν. — — ἀκουόντων, 2) καὶ δῶρα — — λαμβάνοντες, idoneas rationes continent. Prudenter autem orationi subiicit: ἀπεῖναι — — φρόνημα. Ita neque a Cyro dissentit, et omni reprehensioni occurrit.« Weiske. Ἀλλά in orationis principio collocatum quemadmodum tam tritum est, cf. I. 6, 31. II. 3, 5. IV. 1, 19. VI. 4, 9. VII. 3, 11., ut novi adeo libri inde exordiantur, ita plerumque enuntiationis et asseverationis vim mirifice auget, vertique potest profecto, utique vero, allerdings, freilich, ja. Cf. Buttm. §. 136. p. 435. Viger. p. 470. Thiersch. §. 302. 11. nott. Similiter proxima haec ἀλλὰ — — γάρ, at enim, vernaculis respondent aber freilich, aber allerdings, ne-

λαμβάνωσιν οἱ ἡμῖν μέλλοντες συμμάχεσθαι· ἀλλὰ γι-
γνώσκω γάρ, ἔφη, ὅτι οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ
κακῶς ποιεῖν λόγοι, οὗτοι καὶ μάλιστα ἐνδύονται ταῖς
ψυχαῖς τῶν ἀκουόντων· καὶ δῶρα ἢν διδῶσιν οἱ τοιοῦ-
τοι, κἂν μείω τυγχάνῃ ὄντα ἢ τὰ παρὰ τῶν ὁμοίων,
ὅμως μείζονος αὐτὰ τιμῶνται οἱ λαμβάνοντες. Καὶ νῦν,
ἔφη, οἱ Πέρσαι παραστάται ὑπὸ Κύρου πολὺ μᾶλλον
ἡσθήσονται ἢ ὑφ' ἡμῶν παρακαλούμενοι· εἴς τε τοὺς
ὁμοτίμους καθιστάμενοι, βεβαιοτέρως σφίσιν ἡγήσον-
ται ἔχειν τοῦτο ὑπὸ βασιλέως τε παιδὸς καὶ ὑπὸ στρα-
τηγοῦ γενόμενον, ἢ εἰ ὑφ' ἡμῶν τὸ αὐτὸ τοῦτο γίγνοιτο.
Ἀπεῖναι μέντοι οὐδὲ τὰ ἡμέτερα χρή, ἀλλὰ παντὶ τρό-
πῳ δεῖ τῶν ἀνδρῶν θήγειν πάντως τὸ φρόνημα. Ἡμῖν
γὰρ ἔσται τοῦτο χρήσιμον, ὅ τι ἂν οὗτοι βελτίονες γέ-
14 νωνται. Οὕτω δὴ ὁ Κῦρος, καταθεὶς τὰ ὅπλα εἰς τὸ
μέσον καὶ συγκαλέσας πάντας τοὺς Περσῶν στρατιώτας,
ἔλεξε τοιάδε·
15 Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν
καὶ ἐτράφητε· καὶ τὰ σώματά γε οὐδὲν ἡμῶν χείρονα

§. 13. *ἢ εἰ – γίγνοιτο*] Interpretamentum vel haec sapiunt, vel *ἢ εἰ ὑφ' ἡμῶν εἰς τὸ αὐτὸ τοῦτο ἄγοιντο.*

§. 14. *εἰς τὸ μέσον*] Desunt in G. A. B. V., qui exhibet *τοὺς Πέρσας στρατιώτας ἔλεγε τάδε.*

§. 15. *καὶ τὰ σώματα – ἔχειν*] Scribendum videtur *καὶ τὰ σώμα-*que de his ubique valet, quod vel Buttm. ad Sophocl. Philoct. 81. et 874. vel Herm. ad Viger. p. 811. monuerunt.

οὗτοι καὶ μάλιστα] Saepe sic *οὗτος* non sine perspicuitate quadam articulo postponitur. Sympos. VIII. 33. *θαυμαστὰ λέγων, εἴ γε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχύνονται αἰσχρόν τι ποιεῖν.* Cf. III. 1, 24. et VIII. 1, 4. *Καὶ μάλιστα* autem est vel maxime.

μείζονος αὐτὰ τιμῶνται] laudavit Rost. §. 108. 4. c. p. 414.

οἱ Πέρσαι παραστάται – παρακαλούμενοι] i. e. *οἱ Πέρσαι πολὺ μᾶλλον ἡσθήσονται ὑπὸ Κύρου παραστάται παρακαλούμενοι ἢ ὑφ' ἡμῶν.* Dicuntur *παραστάται* milites, qui ab aliorum militum latere collocati sunt, deinde socii et comites, interprete Iacobsio ad Achill. Tat. p. 903.

Ἀπεῖναι μέντοι οὐδὲ τὰ ἡμέτερα χρή] quanquam neque nos officio nostro deesse debemus. Gabriel.

§. 15. *ἐν τῇ αὐτῇ ἡμῖν*] sc. *χώρᾳ*, quod hic libri olim editi interserebant interpretationis gratia. Cf. Matth. §. 281. 2. p. 390. quem etiam propter dativum *ἡμῖν* adibis §. 386. p. 516. sq.

καὶ τὰ σώματά γε] Adverte

ἔχετε, ψυχάς τε ὑμῖν προςήκει οὐδὲν χείρονας ἡμῶν ἔχειν. Τοιοῦτοι δ' ὄντες, ἐν μὲν τῇ πατρίδι οὐ μετείχετε τῶν ἴσων ἡμῖν, οὐχ ὑφ' ἡμῶν ἀπελαθέντες, ἀλλ' ὑπὸ τοῦ τὰ ἐπιτήδεια ἀνάγκην ὑμῖν εἶναι πορίζεσθαι. Νῦν δὲ ὅπως μὲν ταῦτα ἕξετε, ἐμοὶ μελήσει σὺν τοῖς θεοῖς· ἔξεστι δ' ὑμῖν, εἰ βούλοισθε, λαβόντας ὅπλα, οἷάπερ ἡμεῖς ἔχομεν, εἰς τὸν αὐτὸν ἡμῖν κίνδυνον ἐμβαίνειν, καί, ἄν τι ἐκ τούτων καλὸν κἀγαθὸν γένηται, τῶν ὁμοίων ἡμῖν ἀξιοῦσθαι. Τὸν μὲν οὖν πρόσθεν 16
χρόνον ὑμεῖς τε τοξόται καὶ ἀκοντισταὶ ἦτε καὶ ἡμεῖς· καὶ εἴ τι χείρους ἡμῶν ταῦτα ποιεῖν ἦτε, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἦν ὑμῖν σχολή, ὥςπερ ἡμῖν, τούτων ἐπιμελεῖσθαι. Ἐν δὲ ταύτῃ τῇ ὁπλίσει οὐδὲν ἡμεῖς ὑμῶν προέξομεν. Θώραξ μέν γε περὶ τὰ στέρνα ἁρμόζων ἑκάστῳ ἔσται, γέῤῥον δὲ ἐν τῇ ἀριστερᾷ, ὃ πάντες εἰθίσμεθα φορεῖν· μάχαιρα δὲ ἢ σάγαρις ἐν τῇ δεξιᾷ, ᾗ δὴ παίειν τοὺς ἐναντίους δεήσει, οὐδὲν φυλαττομένους, μή τι παίοντες ἐξαμάρτωμεν. Τί οὖν ἂν ἐν τούτοις ἕτερος 17
ἑτέρου διαφέροι ἡμῶν πλὴν ἢ τόλμῃ; ἣν οὐδὲν ὑμῖν

τά γε ἡμῶν οὐδὲν χεῖρον ἔχετε, ψυχάς τε οὐδὲν κάκιον ὑμῖν πρ. ἡμῶν ἔχειν, coll. Oeconom. I. 13.

ἡμεῖς ἔχομεν] Adnectunt his nonnulli libri καὶ εἴ τι χείρονες ἡμῶν ἐστε. Pro γίγνηται M. m. Vict. γένηται.

articulum nomini σώματα praemissum, nec tamen ante ψυχάς iteratum. Anabas. III. 4, 7. τοῦ δὲ τείχους ἦν αὐτῆς τὸ εὖρος πέντε καὶ εἴκοσι πόδες, ὕψος δὲ ἑκατόν. 5, 7. οἱ μὲν ἄλλοι περὶ τὰ ἐπιτήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῆλθον.

εἰ βούλοισθε, λαβόντας] Vulgo scribebatur εἰ βούλεσθε, λαβοῦσιν renitentibus melioris notae membranis. Tam optativum quam accusativum participii, quem non cum ὑμῖν, sed cum infinitivo artius copulabis, grammatici nostri tuentur, illum videlicet Matth. §. 524. p. 747. 3. cf. not. ad §. 9. et hunc praeter eundem §. 535. p. 771. Thiersch. §. 338. 11. c. Rost. §. 127. n. 2. p. 506.

§. 16. ταῦτα ποιεῖν] τὸ τοξεύειν καὶ ἀκοντίζειν, quo refertur etiam seq. τούτων.

Ἐν δὲ ταύτῃ τῇ ὁπλ. οὐδὲν ἡμεῖς ὑμῶν προέξομεν] in hac autem armatura (quam videtis homotimorum) nihil omnino vobis praestabimus. Gabr.

Θώραξ μέν γε] Vid. c. 2. §. 2. §. 14. not. ad §. 2. et Frotscher. ad Xenoph. Hieron. p. 87.

φυλαττομένους] sc. ἡμᾶς, ne quis ad ἐναντίους referendum existimet.

§. 17. πλὴν ἢ τόλμῃ] Vocula-

ἧσσον προσήκει ἡμῶν ὑποτρέφεσθαι. Νίκης τε γὰρ
ἐπιθυμεῖν, ἣ τὰ καλὰ πάντα καὶ τὰ ἀγαθὰ κτᾶταί τε καὶ
σώζει, τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; Κράτους τε,
ὃ πάντα τὰ τῶν ἡσσόνων τοῖς κρείσσοσι δωρεῖται, τί εἰ-
18 κὸς ἡμᾶς μᾶλλον ἢ καὶ ὑμᾶς τούτου δεῖσθαι; Τέλος
εἶπεν, Ἀκηκόατε πάντα· ὁρᾶτε τὰ ὅπλα· ὁ μὲν χρῄζων
λαμβανέτω ταῦτα, καὶ ἀπογραφέσθω πρὸς τὸν ταξίαρ-
χον εἰς τὴν ὁμοίαν τάξιν ἡμῖν· ὅτῳ δ' ἀρκεῖ ἐν μισθοφό-
ρου χώρᾳ εἶναι, καταμενέτω ἐν τοῖς ὑπηρετικοῖς ὅπλοις.
19 Ὁ μὲν οὕτως εἶπεν. Ἀκούσαντες δὲ οἱ Πέρσαι ἐνόμι-
σαν, εἰ παρακαλούμενοι, ὥστε τὰ ὅμοια πονοῦντες τῶν
αὐτῶν τυγχάνειν, μὴ ἐθελήσουσι ταῦτα ποιεῖν, δικαίως
ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῦντες βιοτεύειν· καὶ
οὕτω δὴ ἀπογράφονται πάντες, ἀνέλαβόν τε τὰ ὅπλα
πάντες.

§. 17. ὑμῖν ἧσσον προσήκει ἡμῶν ὑπ.] ὑμῶν προσήκει ἧττονα ἡμῶν παρέχεσθαι ante Schneid. Malim ἧσσω ἡμῶν, cum ἢ ἡμῖν interpretantibus debeatur. Cf. Rost. §. 109. 6. p. 419 sq. ed. 3.

rum πλὴν ἢ coniunctione, quam Herodoteam dixeris, non abstinuerunt Attici teste Astio ad Theophr. charact. p. 54. Respondent Latino praeterquam.

ὑποτρέφεσθαι] ὑποτρ. τόλμην dicuntur, qui intus in pectore suo alunt audaciam. Soph. Aiac. 1113. ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει, ubi videndus Musgrav. Infra dixit Xenophon V. 2, 34. ἀναθρέψαι τὸ φρόνημα.

τούτου δεῖσθαι] Abundat τούτου ad κράτους longius remotum respiciens. Cf. not. ad §. 13. I. 3, 15.

§. 18. ἀπογραφέσθω πρὸς τὸν ταξίαρχον εἰς τὴν ὁμοίαν τάξιν ἡμῖν] apud centurionem in eundem ordinem nomen det, quo nos sumus. Gabriel. in eundem ordinem, i. e. ut acceptis homotimorum armis in acie iuxta nos collocati pugnetis. Illud ἡμῖν usitata breviloquentia dictum pro τῇ τάξει τῇ ἡμῶν. Cf. ad §. 30. Matth. §. 386. p. 517. not. et Rost. §. 105. 5.

ὅτῳ δ' ἀρκεῖ] cui satis est, qui stipendiarii sorte contentus est.

§. 19. ὥστε – πονοῦντες – τυγχάνειν] Ad explicandum constructionis genus vide quae ad I. 6, 26. laudavimus.

δικαίως ἂν – βιοτεύειν] Noli accipere pro δικαίως βιοτεύσειν, sed valent tantundem atque ὅτι δικαίως ἂν – βιοτεύοιεν. Anab. VI. 6, 10. Ὁ δ' οὐκ ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα βάλλειν καὶ τὸν ἀφελόμενον.

ἀπογράφονται] Sequitur aoristus ἀνέλαβον ut in re cito transeunte. Infra V. 4, 3. ἀφικνεῖται πρὸς τὸν Ἀσσύριον καὶ ἐδήλωσεν, ἐφ' ἃ ἥκοι. Anabas. VII. 1, 35. οἱ στρατιῶται τόν τε Κοιρατάδην δέχονται στρατηγόν, καὶ ἔξω τοῦ τείχους ἀπῆλθον.

Cyrus meditationes campestres instituit, et virtutis praemiis propositis studia contentionum honestarum excitat.

20 Ἐν ᾧ δὲ οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δὲ οὐδέπω, ἐν τούτῳ ἐπειρᾶτο ὁ Κῦρος ἀσκεῖν μὲν τὰ σώματα τῶν μεθ' ἑαυτοῦ εἰς ἰσχύν, διδάσκειν δὲ τὰ τακτικά, θήγειν δὲ τὰς ψυχὰς εἰς τὰ πολεμικά. Καὶ 21
πρῶτον μὲν λαβὼν παρὰ Κυαξάρου ὑπηρέτας, προσέταξεν ἑκάστοις τῶν στρατιωτῶν ἱκανῶς ὧν ἐδέοντο πάντα πεποιημένα παρασχεῖν· τοῦτο δὲ παρασκευάσας οὐδὲν αὐτοῖς ἐλελοίπει ἄλλο ἢ ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον· ἐκεῖνο δοκῶν καταμεμαθηκέναι, ὅτι οὗτοι κράτιστοι ἕκαστα γίγνονται, οἳ ἄν, ἀφέμενοι τοῦ πολλοῖς προσέχειν τὸν νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. Καὶ αὐτῶν δὲ τῶν πολεμικῶν περιελὼν καὶ τὸ τόξῳ μελετᾶν καὶ ἀκοντίῳ, κατέλιπε τοῦτο μόνον αὐτοῖς τὸ σὺν μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι· ὥστε εὐθὺς αὐτῶν παρεσκεύασε τὰς γνώμας, ὡς ὁμόσε ἰτέον εἴη τοῖς πολεμίοις, ἢ ὁμολογητέον μηδενὸς εἶναι ἀξίους συμμάχους· τοῦτο δὲ χαλεπὸν ὁμολογῆσαι, οἵτινες ἂν εἰδῶσιν, ὅτι οὐδὲ δι' ἓν

Eurip. Hecub. 21. Ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπόλλυται ψυχή, πατρῴα θ' ἑστία κατεσκάφη, αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ – καὶ κτανὼν ἐς οἶδμ' ἁλὸς μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ. Cf. **Rost.** §. 117. n. 2. p. 449 sq. **Matth.** §. 504. I. p. 704.

§. 20. Ἐν ᾧ δὲ – ἐν τούτῳ] Vid. I. 6, 36. **Viger.** p. 606 sq. **Matth.** §. 577. p. 841.

εἰς ἰσχύν] ad **robur**, ut corpora militum corroboraret.

τὰ τακτικά] artem ordines servandi, quos cum homotimis occupaverant.

§. 21. ὑπηρέτας] **ministros**, qui non modo commeatus curam susciperent (Proviantcommissäre), sed etiam ducibus ad varias res peragendas praesto essent (Adjutanten). Vid. §. 31. II. 4, 4. VI. 2, 13.

τοῦτο δὲ παρασκευάσας – πόλεμον] **qua cura adhibita, nihil aliud ipsis militibus agendum reliquit, quam ut ea meditarentur, quae ad bellum pertinerent. Gabr.** Non enim necesse est participium παρασκευάσας absolute positum existimemus; quandoquidem ἐλελοίπει commode ita intelligi potest, ut sit: **reliquum fecerat.**

ἐπὶ ἓν ἔργον τράπωνται] Copiosius eandem sententiam persequitur VIII. 2, 5.

οὐδὲ δι' ἓν ἄλλο] II. 3, 10. οὐδὲ παρ' ἑνός. Memorab. II. 7, 14. οὐδ' ὑφ' ἑνός. II. 6, 4. μηδὲ πρὸς ἓν ἄλλο. **Viger.** p. 467. **Matth.** §. 137. p. 261. ed. 2. Vid. ad c. 3, 9. I. 3, 10.

ἄλλο τρέφονται, ἢ ὅπως μαχοῦνται ὑπὲρ τῶν τρεφόν-
22 των. Ἔτι δὲ πρὸς τούτοις ἐννοήσας, ὅτι, περὶ ὁπόσων ἂν γένωνται ἀνθρώποις φιλονεικίαι, πολὺ μᾶλλον ἐθέλουσι ταῦτα ἀσκεῖν, ἀγῶνάς τε αὐτοῖς προεῖπεν ἁπάντων, ὁπόσα ἐγίγνωσκεν ἀσκεῖσθαι ἀγαθὸν εἶναι ὑπὸ στρατιωτῶν. Ἃ δὲ προεῖπε, τάδε ἦν· ἰδιώτῃ μὲν ἑαυτὸν παρέχειν εὐπειθῆ τοῖς ἄρχουσι, καὶ ἐθελόπονον, καὶ φιλοκίνδυνον μετ᾽ εὐταξίας, καὶ ἐπιστήμονα τῶν στρατιωτικῶν, καὶ φιλόκαλον περὶ ὅπλα, καὶ φιλότιμον ἐπὶ πᾶσι τοῖς τοιούτοις· πεμπαδάρχῳ δέ, αὐτὸν ὄντα οἷόνπερ τὸν ἀγαθὸν ἰδιώτην, καὶ τὴν πεμπάδα εἰς τὸ δυνατὸν τοιαύτην παρέχειν· δεκαδάρχῳ δὲ τὴν δεκάδα ὡσαύτως· λοχαγῷ δὲ τὸν λόχον· καὶ ταξιάρχῳ, ἀνεπίκλη-

§. 21. *μαχοῦνται*] A. B. G. M. V. Schn. *μάχωνται* alii.

§. 22. *Ἃ δὲ προεῖπε, τάδε ἦν*] *καὶ προεῖπε τάδε.* G. M. V. margg. Vict. Vill. *εἶπε τάδε* A. B.

ταξιάρχῳ] deteriores *ταξ. ὡς δ᾽ αὔτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων.*

μαχοῦνται] Memor. II. 1, 1. *εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων, τὸν μέν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δέ, ὅπως μηδ᾽ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις.* Anab. III. 1, 18. VII. 3, 34. Cyr. IV. 2, 39. Vid. ad §. 4. Thiersch. §. 342. 9. Rost. §. 122. II.

§. 22. *ἀγῶνάς τε αὐτοῖς προεῖπεν*] Bene Fischerus: »referuntur inter se verba *ἀγῶνας προεῖπεν* et *ἆθλα προὔφηνε* §. 23. ita ut Xen. scribere debuisset *ἀγῶνάς τε πρ., καὶ ἆθλα προὔφηνε.* Sed quia ei placuit longiusculam interpositionem inserere, ut oratio ne obscura fieret, necesse erat, ut pro *καὶ ἆθλα* scriberetur *ἆθλα δέ.*« Sympos. VIII. 2. *Ἐγώ τε γὰρ οὐκ ἔχω χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ἐρῶν τινος διατελῶ· Χαρμίδην δὲ τόνδε οἶδα πολλοὺς μὲν ἐραστὰς κτησάμενον.* Cyrop. IV. 4, 3. VI. 2, 4. Matth. §. 607. p. 893. Thiersch. §. 312. 20. p. 574. ed. 3.

παρέχειν] Ad hunc similesque infinitivos plerumque *δεῖν* suppleverant, cuius tamen notio verbi latet in *προεῖπε.*

καὶ ταξιάρχῳ] Hoc nomine etiam *χιλίαρχοι*, qui decem τάξεσι, et *μυρίαρχοι*, qui centum *τάξεσι* praeerant, comprehendi videntur. Saltem nec sectione proxima, ubi singulis deinceps praefectis virtutum praemia proponuntur, chiliarchorum mentio iniicitur. Ac licet non ignorem §. 23. III. 3, 11. VI. 3, 21 sq. VII. 1, 14. 5, 17. et alibi utriusque generis duces a centurionibus distingui, locus tamen II. 4, 2 sqq. ostendit *χιλιάρχους* non esse appellatos nisi qui primarium locum inter reliquos decem centuriones occuparint, ut *μυριάρχους*, qui proxime a duce (*στρατηγῷ*) abfuerint, priorem locum tenentes centum reliquis centurionibus. Mirum certe, quod

τὸν αὐτὸν ὄντα, ἐπιμελεῖσθαι καὶ τῶν ὑφ' αὐτὸν ἀρχόντων, ὅπως ἐκεῖνοι αὖ, ὧν ἂν ἄρχωσι, παρέξουσι τὰ δέοντα ποιοῦντας. Ἆθλα δὲ προὔφηνε, τοῖς μὲν ταξιάρχοις, ὡς τοὺς κρατίστας δόξοντας τὰς τάξεις παρασκευάσαι, χιλιάρχους ἔσεσθαι· τῶν δὲ λοχαγῶν οἳ κρατίστους δόξειαν τοὺς λόχους ἀποδεικνύναι, εἰς τὰς τῶν ταξιάρχων χώρας ἐπαναβήσεσθαι· τῶν δ' αὖ δεκαδάρχων τοὺς κρατίστους εἰς τὰς τῶν λοχαγῶν χώρας καταστήσεσθαι· τῶν δ' αὖ πεμπαδάρχων ὡσαύτως εἰς τὰς τῶν δεκαδάρχων· τῶν γε μὴν ἰδιωτῶν τοὺς κρατιστεύοντας εἰς τὰς τῶν πεμπαδάρχων. Ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι πρῶτον μὲν θεραπεύεσθαι ὑπὸ τῶν ἀρχομένων· ἔπειτα δὲ καὶ ἄλλαι τιμαὶ αἱ πρέπουσαι ἑκάστοις συμπαρείποντο. Ἐπανετείνοντο δὲ καὶ μείζονες ἐλπίδες τοῖς ἀξίοις ἐπαίνου, εἴ τι ἐν τῷ ἐπιόντι χρόνῳ

23 (margin, beside "Ἆθλα δὲ προὔφηνε")

§. 23. τοῖς μὲν ταξιάρχοις, ὡς τοὺς κρατίστας δόξοντας – παρασκευάσαι] τοῖς ταξιάρχοις, ὡς τοὺς κράτιστα δόξοντας (δόξαντας M. et margg.) τὰς τ. παρεσκευάσθαι χιλ. A. B. G. V. M., τοῖς μὲν ταξιάρχαις, οἳ κρατίστας δόξειαν τὰς τ. παρασκευάσαι, χιλ. Schn.

τοῖς ἀξίοις ἐπαίνου, εἴ τι] τ. ἀξίοις, ἔπαινοί τε (καί Suidas) εἴ τι optimi. Ἐπανέτεινε δὲ καὶ μείζονας ἐλπίδας τοῖς ἀξίοις ἐπαίνου, εἴ τι edd. ante Zeun.

1. 1. ὁ πρῶτος τεταγμένος ταξίαρχος, χιλιοστὺς πρώτη et ὁ δεύτερος ταξίαρχος nominantur, non etiam χιλίαρχοι et μυρίαρχοι.

§. 23. τοῖς μὲν ταξιάρχοις] Non utitur Xen. forma ταξιάρχης, licet non fugiat similiter composita πολιάρχης, κωμάρχης, σκοπάρχης. Vid. annott. ad Conviv. I. 4. p. 47. Seq. ὡς infinitivo haud secus praeponitur et ὅτι I. 3, 13., ubi hac de re quae notanda esse viderentur attuli. IV. 2, 13. Οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι, ὡς, ἢν μὲν ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν· ἢν δὲ ἐξαπατᾶτε, οὕτω νομίζομεν ἔχειν, ὡς οὐχ ἡμᾶς ἐφ' ὑμῖν ἔσεσθαι, ἀλλὰ μᾶλλον, ἐὰν οἱ θεοὶ θέλωσιν, ὑμᾶς ἐφ' ἡμῖν. Sensus est: praemia autem ita proposuit, ut centurionum ii, qui centurias optimas viderentur reddituri, tribuni evaderent.

οἳ κρατίστους – ἀποδεικνύναι] Similiter I. 2, 5. οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι.

καταστήσεσθαι] i. e. κατασταθήσεσθαι, ut Anab. I. 3, 8.

καὶ ἄλλαι τιμαὶ] velut pecunia (II. 4, 9.) et epulae, quibus Cyrus optimos quosque sive centuriones sive decuriones excepit. §. 30. Cyrus dicitur καλέσαι καὶ τιμῆσαι, ὅτε τινὰς ἴδοι τοιοῦτό τι ποιήσαντας, ὃ πάντας ἐβούλετο ποιεῖν.

Ἐπανετείνοντο – φαίνοιτο] ostendebantur vero etiam maiorum praemiorum spes iis, qui laude digni exsisterent, si quod in posterum maius esse bonum videretur, si quando hostes vincerent.

24 ἀγαθὸν εἶναι μεῖζον φαίνοιτο. Προεῖπε δὲ νικητήρια
καὶ ὅλαις ταῖς τάξεσι καὶ ὅλοις τοῖς λόχοις· καὶ ταῖς δε-
κάσιν ὡςαύτως καὶ ταῖς πεμπάσιν, ἐὰν φαίνωνται εὐ-
πιστόταται τοῖς ἄρχουσιν οὖσαι καὶ προθυμότατα ἀσκοῦ-
σαι τὰ προειρημένα. Ἦν δὲ ταύταις τὰ νικητήρια, οἷα
δὴ εἰς πλῆθος πρέπει. Ταῦτα μὲν δὴ προείρητό τε καὶ
25 ἠσκεῖτο ἡ στρατιά. Σκηνὰς δὲ αὐτοῖς κατεσκεύασε,
πλῆθος μέν, ὅσοι ταξίαρχοι ἦσαν· μέγεθος δέ, ὥςτε ἱκα-
νὰς εἶναι τῇ τάξει ἑκάστῃ· ἡ δὲ τάξις ἦν ἑκατὸν ἄνδρες.
Ἐσκήνουν μὲν δὴ οὕτω κατὰ τάξεις· ἐν δὲ τῷ ὁμοῦ
σκηνοῦν ἐδόκουν μὲν αὐτῷ ὠφελεῖσθαι πρὸς τὸν μέλ-
λοντα ἀγῶνα τοῦτο, ὅτι ἑώρων ἀλλήλους ὁμοίως τρε-
φομένους, καὶ οὐκ ἐνῆν πρόφασις μειονεξίας, ὥςτε

§. 24. *ταύταις τὰ νικ.*] *ταῦτα νικ.* A. B. *τοιαῦτα τὰ νικ.* coni. Schn. Deinde lege *καὶ ἠσκεῖτο τῇ στρατιᾷ*, pro vulg. *ἡ στρατιά*, vel *ὑπὸ τῆς στρατιᾶς*, quod dedit Poppo.

§. 25. *τῇ τάξει ἑκάστῃ*] *τῇ τάξει· ἑκάστῃ δ' ἡ τάξις* A. B. G., *τῇ τάξει ἑκάστην* (*σκηνήν*). Both. Cf. VI. 3, 21.

§. 24. *εὐπιστόταται*] Non tentandum vidimus ad I. 2, 12. I. 6, 10.

φαίνωνται – οὖσαι] Improbandus infinitivus *εἶναι*, quem h. l. A. B. pro *οὖσαι* exhibere traduntur, vid. Matth. §. 548. 5. Rost. §. 129. 4. d. p. 513. et Viger. p. 313.

οἷα δὴ εἰς πλῆθος πρέπει] qualia plebi congruunt. Gabr. imo qualia multitudini (für eine Menge) accommodata sunt, ut maior ciborum copia, locus in castris, itinere, acie potior, epulae.

καὶ ἠσκεῖτο ἡ στρατιά] i. q. *καὶ ἐν τούτοις ἠσκ. ἡ στρατιά*, et in his se exercebant milites, ut commode passivum *ἠσκεῖτο* reddidit Eugebinus. [Lectionem *τῇ στρατιᾷ*, quam praetulit Edit. in nott. critt., ita interpreteris, ut dativus pendeat a verbo passivo et sit pro *ὑπό* cum genit.: atque haec exercebantur militibus. Cf. nostram gr. Gr. §. 112. 4. V. C. F. R.].

§. 25. *πλῆθος μὲν ὅσοι ταξίαρχοι ἦσαν*] cap. 4, 2. *ἐν ὀλίγῳ δὲ χρόνῳ ἐγένοντο τὸ μὲν μέτωπον ἐπὶ τριακοσίων (τοσοῦτοι γὰρ ἦσαν οἱ ταξίαρχοι).*

κατὰ τάξεις] centuriatim.

ὠφελεῖσθαι – τοῦτο] adiuvari – in eo. Conviv. IV. 7. *αὐτίκα μάλα τοῦτό γε ὠφελημένοι ἔσεσθε.* Hier. X. 4. *καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι.*

ὅτι ἑώρων – ὥςτε ὑφίεσθαί τινα – πολεμίους] Optime Caselius: quod cum viderent, se eadem ratione inter se ali, nemo habiturus esset, quod praetenderet, se deteriore esse conditione, ut quidquam remissius ageret, et adversus hostes alius (alter) altero esset ignavior.

ὑφίεσθαί τινα, κακίω τε ἕτερον ἑτέρου εἶναι πρὸς τοὺς πολεμίους. Ὠφελεῖσθαι δὲ ἐδόκουν αὐτῷ καὶ πρὸς τὸ γιγνώσκειν ἀλλήλους ὁμοῦ σκηνοῦντες. Ἐν δὲ τῷ γιγνώσκεσθαι καὶ τὸ αἰσχύνεσθαι πᾶσι δοκεῖ μᾶλλον ἐγγίγνεσθαι· οἱ δὲ ἀγνοούμενοι ῥαδιουργεῖν πως μᾶλλον δοκοῦσιν, ὥςπερ οἱ ἐν σκότει ὄντες. Ἐδόκουν δὲ αὐ- 26
τῷ καὶ εἰς τὸ τὰς τάξεις ἀκριβοῦν μεγάλα ὠφελεῖσθαι διὰ τὴν συσκηνίαν. Εἶχον γὰρ οἱ μὲν ταξίαρχοι ὑφ' ἑαυτοῖς τὰς τάξεις κεκοσμημένας, ὥςπερ ὁπότε εἰς ἕνα πορεύοιτο ἡ τάξις· οἱ δὲ λοχαγοὶ τοὺς λόχους ὡςαύτως· οἱ δὲ δεκάδαρχοι τὰς δεκάδας· καὶ οἱ πεμπάδαρχοι τὰς πεμπάδας. Τὸ δὲ διακριβοῦν τὰς τάξεις σφόδρα ἐδό- 27
κει αὐτῷ ἀγαθὸν εἶναι καὶ εἰς τὸ μὴ ταράσσεσθαι, καί, εἰ ταραχθεῖεν, θᾶσσον καταστῆναι. ὥςπερ γε καὶ λίθων

§. 26. τοὺς λόχους ὡςαύτως· οἱ δὲ δεκ.] τοὺς λόχους· ὡς δ' αὔτως οἱ δεκ. Schn.

Ἐν δὲ τῷ] Illud δέ non defuerunt qui per γάρ explicarent, male. Vid. Viger. p. 845. 343. b. et Buttm. §. 136. p. 433. sq. Homer. Il. V. 530. Ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας· Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται.

§. 26. Ἐδόκουν δὲ αὐτῷ] Tertia causa, cur tam multos in uno tabernaculo esse vellet, erat, quo facilius meliusque ordini in perpetuum studerent, et rationem aciei instruendae nunquam obliviscerentur. Nam nec duces ignorabant, quinam milites in centuria lochoque essent, quove ordine quisque alterum exciperet, et milites suam quisque centuriam, suum lochum, suam decuriam accurate norant, suumque in numero quoque locum. Qui ita omnem rationem ordinis tenerent, hos consentaneum erat in acie suum locum servaturos facile, ac, si turbarentur, se recepturos in aciem non magno negotio.

μεγάλα ὠφελεῖσθαι] Matth. §. 406. n. 1. p. 551. Buttm. §. 115. n. 4.

Εἶχον γὰρ οἱ μὲν ταξ. – ἡ τάξις] habebant enim centuriones sub se, i. e. praeerant enim centuriones suis centuriis ita dispositis et ordinatis, ut, quoties singuli singulos milites sequuntur, ordinati sunt.

§. 27. καί, εἰ ταρ., θᾶσσον καταστῆναι] καὶ εἰς τὸ θᾶσσον καταστῆναι, εἰ ταραχθεῖεν.

ὥςπερ γε καὶ λίθων – αὐτῶν ἐστιν] quemadmodum lapides ac ligna, quae coniungere et componere oporteat, utcunque dispersa fuerint, nullo negotio componuntur, si notas habeant, quibus internosci possit, cuius quodque eorum loci sit. Gabr. ἔστι pro ἔξεστι dictum saepissime obvium apud optimos

καὶ ξύλων ἃ ἂν δέῃ συναρμοσθῆναι, ἔστι, κἂν ὁπωςοῦν καταβεβλημένα τύχῃ, συναρμόσαι αὐτὰ εὐπετῶς, ἂν ἔχῃ γνωρίσματα, ὥςτε εὔδηλον εἶναι, ἐξ ὁποίας ἑκάστου χώρας αὐτῶν ἐστιν.
28 Ἐδόκουν δὲ ὠφελεῖσθαι αὐτῷ ὁμοῦ τρεφόμενοι καὶ πρὸς τὸ ἧσσον ἀλλήλους ἐθέλειν ἀπολιπεῖν· ὅτι ἑώρα καὶ τὰ θηρία τὰ συντρεφόμενα δεινὸν ἔχοντα πόθον, ἤν τις αὐτὰ διασπάσῃ ἀπ' ἀλλήλων.
29 Ἐπεμέλετο δὲ καὶ τούτου ὁ Κῦρος, ὅπως μήποτε ἀνίδρωτοι γενόμενοι ἐπὶ τὸ ἄριστον καὶ τὸ δεῖπνον εἰςίοιεν. Ἢ γὰρ ἐπὶ θήραν ἐξάγων ἱδρῶτα αὐτοῖς παρεῖχεν, ἢ παιδιὰς τοιαύτας ἐξεύρισκεν, αἳ ἱδρῶτα ἤμελλον παρέχειν· ἢ καὶ πρᾶξαι εἴτι δεόμενος τύχοι, οὕτως ἐξηγεῖτο τῆς πράξεως, ὡς μὴ ἐπανίοιεν ἀνιδρωτί. Τοῦτο γὰρ ἡγεῖτο καὶ πρὸς τὸ ἡδέως ἐσθίειν ἀγαθὸν εἶναι, καὶ πρὸς τὸ ὑγιαίνειν, καὶ πρὸς τὸ δύνασθαι πονεῖν. Καὶ πρὸς τὸ ἀλλήλοις δὲ πρᾳοτέρους εἶναι ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι, ὅτι καὶ οἱ ἵπποι συμπονοῦντες ἀλλήλοις πρᾳότεροι συνεστήκασι. Πρός γε μὴν τοὺς πο-

§. 29. *ἵπποι συμπ.*] *ἵπποι οἱ συμπ.* **Schneideri coniectura difficultatibus non medetur.**

scriptores. Cf. c. 2, 10. I. 6, 37. Buttm. §. 137. p. 443.

§. 28. *Ἐδόκουν δὲ ὠφελεῖσθαι*] Postremo ita sentiebat, qui una viverent, amare se inter se, neque temere unum deserere alterum. Non enim verisimile esse, cum brutae animantes inter se notae non patiantur se ultro divelli, homines sibi inter se minus fideles futuros. Memor. II. 3, 4. *πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι· ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων.* Plutarch. de educat. puer. p. 9. ed. Reisk. *καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα, ταῦτα ποθοῦντα φαίνεται.* Vid. Wyttenbach. ad Plutarch. I. p. 82. (45. Lips.) Sed verior haud dubie scriptura est *διασπάσῃ*, ab Schn. ex Alt. recepta pro *διασπᾷ*. Nam et praeteritum tempus requiritur et quod brevi absolvatur.

§. 29. *ἢ καὶ πρᾶξαι — τύχοι*] vel etiam, si quam rem gerere oporteret, ita per eos gerendam curabat, ut inde sudor consequeretur. Gabr.

ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι] Neutrum singulare ad pluralem *τοὺς πόνους* relatum illustrabunt Matth. §. 437. p. 606. Buttm. §. 116. 4. Rost. §. 100. 4. c.

ὅτι καὶ οἱ ἵπποι συμπονοῦντες ἀλλήλοις πρ. συνεστήκασι] De equis accipiendum puto, uni iugo adiunctis, qui in curru vehendo multo, quam vel separati vel labore vacui, tranquilliores

λεμίους μεγαλοφρονέστεροι γίγνονται οἳ ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες. Κῦρος δὲ αὑτῷ σκηνὴν μὲν κα- 30 τεσκευάσατο ὥςτε ἱκανὴν ἔχειν οὓς καλοίη ἐπὶ δεῖπνον. Ἐκάλει δὲ ὡς τὰ πολλὰ τῶν ταξιάρχων οὓς καιρὸς αὐτῷ δοκοίη εἶναι, ἔστι δ' ὅτε καὶ τῶν λοχαγῶν καὶ τῶν δεκαδάρχων τινὰς καὶ τῶν πεμπαδάρχων ἐκάλει· ἔστι δ' ὅτε καὶ τῶν στρατιωτῶν· ἔστι δ' ὅτε καὶ τὴν πεμπάδα ὅλην, καὶ δεκάδα ὅλην, καὶ λόχον ὅλον, καὶ τάξιν ὅλην. Ἐκάλει δὲ καὶ ἐτίμα καὶ ὁπότε τινὰς ἴδοι τοιοῦτόν τι ποιήσαντας, ὃ πάντας ἐβούλετο ποιεῖν. Ἦν δὲ τὰ μὲν παρατιθέμενα ἀεὶ ἴσα αὐτῷ τε καὶ τοῖς καλουμένοις ἐπὶ

§. 30. κατεσκευάσατο ὥςτε ἱκ. ἔχειν οὓς] Perplacet Weckherlini commentum κατ. ἱκανὴν ἔχειν οὓς, ut quod aliter alii explicaverint. Postea omissis verbis ἔστι δ' ὅτε καὶ – τάξ. ὅλ. non sine codd. assensu Iacobs: ἔστι δ' ὅτε καὶ τῶν στρατιωτῶν ἐκάλει τε καὶ ἐτίμα, καὶ (καί deleverim) ὁπότε τινὰς ἴδοι. Equidem ex Vat. M. m. Vict. καί ante ὁπότε interserui.

πάντας ἐβούλετο] Languerent πάντας αὐτὸς ἐβ. vel πάντας αὐτοὺς ἐβ.

sese gerunt, atque currentes quasi stare e longinquo adspicientibus videntur, si quidem verbum συνεστήκασι omnino urgendum est. Nihil autem vehementius constat ut animalia, ita hominum animos inter se conciliare, quam si pericula susceperint simul et salvi effugerint. Exemplum hoc de equis quum non alia de causa in medium hic proferatur, nisi ut usus demonstretur, quem ex perferendis laboribus milites percipiant, sensus sit necesse est: quemadmodum equi in ipso labore placidiores coniuncti sunt, ita milites communia pericula subeuntes artiori amicitiae et mansuetudinis vinculo copulantur.

οἳ ἂν ξυνειδῶσιν ἑ. εὖ ἠσκηκότες] quicunque sibi ipsis gnavae exercitationis conscii sunt. Constructio nota ex allatis ad I. 5, 11.

§. 30. Κῦρος δὲ αὑτῷ – δεῖπνον] Gabriel. haud secus vertit ac si in libris scriptum legisset – κατεσκευάσατο ὥςτε ἱκανὴν εἶναι ἔχειν οὓς – –. Habet enim sic: sibi autem Cyrus tabernaculum exstruxerat (exstruendum curavit) eiusmodi, ut satis esset ad eos, quos ad coenam invitaret, capiendos. Schneidero et Popp. placuit κατ. ὡς ἱκανὴν ἔχειν οὓς – eo sensu, quem Italus expressit, eoque usu, qui locum habet VIII. 5, 21. ἱερεῖα μὲν ἄγων ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑστιᾶσθαι.

Ἐκάλει δὲ καὶ ἐτίμα καὶ ὁπότε] Sed invitabat et honorabat etiam quoties. Sic I. 3, 3. ἐτίμα καὶ ἐκόσμει. I. 4, 26. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους. aliaque sexcenta coniuncta ita videas, ut primariam notionem utraque vox dilucidiorem reddat.

31 δεῖπνον. Καὶ τοὺς ἀμφὶ τὸ στράτευμα δὲ ὑπηρέτας ἰσομοίρους πάντων ἀεὶ ἐποίει· οὐδὲν γὰρ ἧττον τιμᾶν ἄξιον ἐδόκει αὐτῷ εἶναι τοὺς ἀμφὶ τὰ στρατιωτικὰ ὑπηρέτας οὔτε κηρύκων, οὔτε πρέσβεων. Καὶ γὰρ πιστοὺς ἡγεῖτο δεῖν εἶναι τούτους καὶ ἐπιστήμονας τῶν στρατιωτικῶν καὶ συνετούς, προςέτι δὲ καὶ σφοδροὺς καὶ ταχεῖς καὶ ἀόκνους καὶ ἀταράκτους. Πρὸς δ' ἔτι ἃ οἱ βέλτιστοι νομιζόμενοι ἔχουσιν, ἐγίγνωσκεν ὁ Κῦρος δεῖν τοὺς ὑπηρέτας ἔχειν, καὶ τοῦτο ἀσκεῖν, ὡς μηδὲν ἀναίνοιντο ἔργον, ἀλλὰ πάντα νομίζοιεν πρέπειν αὐτοῖς πράσσειν, ὅσα ὁ ἄρχων προστάσσοι.

CAPUT II.

Convivantium sermones ita moderatur Cyrus, ut et delectent et prosint. Ergo cum narrationes de fatuitate et vecordia Persarum privatim institutorum redarguantur ab Aglaidata, Cyrus narratorum iocos defendit. Inde, post seria quaedam de praemiis distribuendis, rursus ad ludum sermones revocat.

Ἀεὶ μὲν οὖν ἐπεμέλετο ὁ Κῦρος, ὁπότε συσκηνοῖεν, ὅπως εὐχαριστότατοί τε ἅμα λόγοι ἐμβληθήσονται καὶ παρορμῶντες εἰς τἀγαθόν. Ἀφίκετο δ' οὖν καὶ εἰς τόνδε ποτὲ τὸν λόγον· Ἆρά γε, ἔφη, ὦ ἄνδρες, ἐνδεέστεροί τι ἡμῶν διὰ τοῦτο φαίνονται εἶναι οἱ ἑταῖροι,

§. 31. *οὐδὲν γὰρ ἧττον τιμᾶν – οὔτε πρέσβεων*] i. e. *ἐδόκει γὰρ αὐτῷ ἄξιον εἶναι τοὺς ἀμφὶ τὰ στρατιωτικὰ ὑπηρέτας οὐδὲν ἧττον τιμᾶν ἢ κήρυκας τε καὶ πρέσβεις.* Illa *οὔτε – οὔτε* non potuit non inferre, qui negationem *οὐδέν* antea posuerat, vid. cap. 2. §. 1. Buttm. §. 135. 6. Matth. §. 601. p. 886.

Πρὸς δ' ἔτι] Hesych. Tom. II. p. 1044. *προςέτι· πρὸς τούτοις.* Vid. Viger. p. 662.

καὶ τοῦτο ἀσκεῖν, ὡς μηδὲν ἀναίνοιντο ἔργον] et in eo se exercere, ut nullum opus recusarent (von sich wiessen). Vocabulo *ἀναίνεσθαι* compluribus locis usus est Homerus illustrante Heynio ad Iliad. IX. 675.

Cap. II. §. 1. *Ἀφίκετο δ' οὖν – λόγον*] Verissime vocularum *δ' οὖν* vim reddidit vernaculus interpres: So kam er denn auch einmal auf folgende Rede. Geminae significationis particulas tractavi ad 1. 3, 9.

ὦ ἄνδρες] appellat Cyrus *ὁμοτίμους*, et, ut videtur, *τα-*

ὅτι οὐ πεπαίδευνται τὸν αὐτὸν τρόπον ἡμῖν, ἢ οὐδὲν ἄρα διοίσειν ἡμῶν, οὔτε ἐν ταῖς συνουσίαις, οὔτε ὅταν ἀγωνίζεσθαι πρὸς τοὺς πολεμίους δέῃ; Καὶ ὁ Ὑστάσπης ὑπολαβὼν εἶπεν· Ἀλλ' ὁποῖοι μέν τινες ἔσονται εἰς τοὺς πολεμίους, οὔπω ἔγωγε ἐπίσταμαι· ἐν μέντοι τῇ συνουσίᾳ δύςκολοι, ναὶ μὰ τοὺς θεούς, ἔνιοι αὐτῶν φαίνονται. Πρώην μέν γε, ἔφη, Κυαξάρης ἔπεμψεν εἰς τὴν τάξιν ἑκάστην ἱερεῖα, καὶ ἐγένοντο κρέα ἑκάστῳ ἡμῶν τρία ἢ καὶ πλείω τὰ περιφερόμενα. Καὶ ἤρξατο μὲν δὴ ἀπ' ἐμοῦ ὁ μάγειρος τὴν πρώτην περίοδον περιφέρων· ὅτε δὲ τὸ δεύτερον εἰςῄει περιοίσων, ἐκέλευσα ἐγὼ ἀπὸ τοῦ τελευταίου ἄρχεσθαι καὶ ἀνάπαλιν περιφέρειν. Ἀνακραγὼν οὖν τις τῶν κατὰ μέσον τὸν κύκλον κατακειμένων στρατιωτῶν, Μὰ Δί', ἔφη, τῶνδε 2

Cap. II. 2. ἔνιοι αὐτῶν φ.] Probo Vat. ἔνιοι φαίν.
ὁ μάγειρος] Desunt in Pariss., at durum est τὶς suppleri.

ξιάρχους quosdam, qui cum ipso coenabant in tentorio. Ab his distinguuntur οἱ ἑταῖροι, quos paullo ante ex plebe in homotimorum numerum Cyrus asciverat.

ἢ οὐδὲν ἄρα διοίσειν] Repete ex antecedd. φαίνονται hoc sensu: an nihil videtur discriminis futurum esse inter nos et illos? In futuri infinitivo ne quis haereat, obstabit opinor observatio Buttmanni ad Platonis Crit. c. 14. p. 101 sq. et Lob. ad Phryn. p. 747 sq. Ceterum abstinentiam et temperantiam homotimi soli in disciplina regia didicerant secundum I. 2, 8.

§. 2. ναὶ μὰ τοὺς θεούς] Abest ναί ab Alt., male. Vid. Buttm. §. 136. p. 437. Viger. p. 424.

ἐγένοντο κρέα – πλείω] tria carnis frusta unicuique nostrum vel etiam plura obvenerunt. Gabr. Nota pluralem numerum ἐγένοντο ad neutrum plurale τρία κρέα adiectum, contra quam volunt grammatici. Neque enim scriptorum usu confirmatur quod Porsonus in Addend. ad Eurip. Hec. 1149. p. 95 sq. ed. tert. Schaef. assentientibus grammaticis nostris, Matth. §. 299. p. 416. Buttm. §. 116. 1 Thiersch. §. 307. extr. et Rost. §. 100. 4 sq., docere conatus est, Atticos veteres plurale verbum neutri plurali nunquam subiecisse, nisi ubi de animantibus ageretur, aut, quod alii probatum iverunt, ibi quoque ab Atticis eam structuram admissam fuisse, ubi neutrius generis nomini aliud vel feminini vel masculini generis facile cogitando substituatur. Hipparch. VIII. 6. καὶ γὰρ τῶν μὲν γυμνικῶν ἀσκημάτων τὰ πολλὰ σὺν ἱδρῶτι ἐκπονοῦνται. Anabas. I. 8, 20. Τὰ δ' ἅρματα ἐφέροντο τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων. Memor. II. 4, 7. τὰ ὦτα προακούουσι. Cyr. VII. 1, 7. §. 7. c. 5, 34. III. 2, 21. Conviv. IV. 5, 39. Dubitavit de canone Porsonino etiam Hermann ad Soph. Electr. 430.

μὲν οὐδὲν ἴσον ἐστίν, εἴγε ἀφ' ἡμῶν γε τῶν ἐν μέσῳ οὐδεὶς οὐδέποτε ἄρξεται. Καὶ ἐγὼ ἀκούσας ἠχθέσθην, εἴ τι μεῖον δοκοῖεν ἔχειν, καὶ ἐκάλεσα εὐθὺς αὐτὸν πρὸς ἐμέ. Ὁ δὲ μάλα γε τοῦτο εὐτάκτως ὑπήκουσεν. Ὡς δὲ τὰ περιφερόμενα ἧκε πρὸς ἡμᾶς, ἅτε, οἶμαι, ὑστάτους λαμβάνοντας, τὰ σμικρότατα λελειμμένα ἦν. Ἐνταῦθα δὴ ἐκεῖνος πάνυ ἀνιαθεὶς δῆλος ἦν, καὶ εἶπε πρὸς ἑαυτόν, Τῆς τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο
4 τυχεῖν. Καὶ ἐγὼ εἶπον, Ἀλλὰ μὴ φρόντιζε· αὐτίκα γὰρ ἀφ' ἡμῶν αὖ ἄρξεται, καὶ σὺ πρῶτος λήψῃ τὸ μέγιστον. Καὶ ἐν τούτῳ περιέφερε τὸ τρίτον, ὅπερ δὴ λοιπὸν ἦν τῆς περιφορᾶς· κἀκεῖνος ἔλαβε μετ' ἐμὲ δεύτερος. Ὡς δ' ὁ τρίτος ἔλαβε, καὶ ἔδοξεν αὐτῷ μεῖζον ἑαυτοῦ λαβεῖν, καταβάλλει ὃ ἔλαβεν, ὡς ἕτερον ληψόμενος. Καὶ ὁ ἄρταμος, οἰόμενος αὐτὸν οὐδὲν ἔτι δεῖσθαι ὄψου, ᾤχετο παραφέρων, πρὶν λαβεῖν αὐτὸν ἕτε-
5 ρον. Ἐνταῦθα δὴ οὕτω βαρέως ἤνεγκε τὸ πάθος, ὥστε ἀνήλωτο μὲν αὐτῷ, ὃ εἰλήφει, ὄψον, ὃ δὲ ἔτι αὐτῷ

§. 4. *κἀκεῖνος ἔλαβε μετ' ἐμέ*] *κἀκεῖνος ἔλαβε κἄτ' ἔδοξεν αὐτῷ μεῖον λαβεῖν· κατέβαλεν οὖν ὃ ἔλαβεν* G. A. B. V. M. margg. Vill. Vict. mendose.

§. 3. *τῶνδε μὲν οὐδὲν ἴσον ἐστίν*] horum nihil aequum est i. e. in iis, quae hic geruntur, aequum ius non obtinet. Ita *τῶνδε* neutrius est generis, non masculini, de quo cogitavit Weiskius.

εἴγε ἀφ' ἡμῶν γε] Illud *εἴγε* quid ab *εἴπερ* discrepet, exponit Hermann. ad Viger. p. 833 sq., nec de iterata in uno orationis membro particula *γέ* est quod ambigas post Erfurdt. ad Soph. Antig. 743. et Reisig. Coniect. Aristoph. I. p. 248 sq.

εἴ τι μεῖον δοκοῖεν ἔχειν] sc. *οἱ ἐν μέσῳ*. Ex Alt. et Ald., in qua est *δοκοίην*, Schneiderus dederat *δοκοίη*.

ἅτε, οἶμαι, ὑστάτους λαμβάνοντας] quum nimirum (natürlich) ultimo loco carnes caperemus. Cf. Viger. p. 34. not.

Τῆς τύχης, τὸ ἐμὲ νῦν κλ. δεῦρο τυχεῖν] o adversam fortunam, quod nunc ipsum ego huc vocatus sum. Meminerunt huius loci Hermann. ad Viger. p. 702. Matth. §. 348. p. 472.

§. 4. *ὁ ἄρταμος*] Grammaticus in Bekkeri Anecd. Gr. p. 447. *ἄρταμος· κρεουργός, μάγειρος*, quocum consentiunt permulti Lexicographorum veterum. Hinc suspiceris etiam §. 2. *ὁ ἄρταμος* vulgatis *ὁ μάγειρος* aliquando cessisse.

παραφέρων] ultra s. ulterius ferens, interprete Stephano. Nimirum coquus morosum illum sine mora praeteriit.

λοιπὸν ἦν τοῦ ἐμβάπτεσθαι, τοῦτό πως ὑπὸ τοῦ ἐκπεπλῆχθαί τε καὶ τῇ τύχῃ ὀργίζεσθαι δυσθετούμενος ἀνέστρεψεν. Ὁ μὲν δὴ λοχαγὸς ὁ ἐγγύτατα ἡμῶν ἰδὼν συνεκρότησε τὼ χεῖρε, καὶ τῷ γέλωτι ηὐφραίνετο. Ἐγὼ μέντοι, ἔφη, προσεποιούμην βήττειν· οὐδὲ γὰρ αὐτὸς ἠδυνάμην κατασχεῖν τὸν γέλωτα. Τοιοῦτον μὲν δή σοι ἕνα, ὦ Κῦρε, τῶν ἑταίρων ἐπιδεικνύω, ἔφη. Ἐπὶ μὲν δὴ τούτῳ, ὥσπερ εἰκός, ἐγέλασαν.

Ἄλλος δέ τις ἔλεξε τῶν ταξιάρχων· Οὗτος μὲν δή, ὦ Κῦρε, ὡς ἔοικεν, οὕτω δυσκόλῳ ἐπέτυχεν· ἐγὼ 6
δέ, ὡς σὺ διδάξας ἡμᾶς τὰς τάξεις ἀπέπεμψας, καὶ ἐκέλευσας διδάσκειν τὴν ἑαυτοῦ ἕκαστον τάξιν, ἃ παρὰ σοῦ ἐμάθομεν, οὕτω δὴ καὶ ἐγώ, ὥσπερ καὶ οἱ ἄλλοι ἐποίουν, ἐλθὼν ἐδίδασκον ἕνα λόχον. Καὶ στήσας τὸν

§. 6. ὦ Κῦρε] ἔφη, quod vulgo legitur ante haec verba, om. codd., qui deinde οὕτω δυσκόλως ἐπέτυχεν vel ἐνέτυχεν exhibent.

§. 5. ὃ δὲ ἔτι αὐτῷ λοιπὸν ἦν τοῦ ἐμβάπτεσθαι] Pro τοῦ ἐμβάπτεσθαι inde a Zeunii aetate recentiores editores mera Mureti coniectura et conversionibus Latinis permoti τοῦ ἐμβάμματος intulerant, nomen hoc cum ceteris verbis ita intelligentes, ut si quidquid liquaminis s. intinctus militi illi reliquum fuerit, id omne prae indignatione evertisset. Sed quemadmodum nulla causa est, quare centenis militibus (tot enim in quovis tentorio versatos esse novimus) suam cuique patinam iusculo plenam appositam fuisse existimemus, ita quam modo secundam carnis portionem acceperat, non probabile est comedisse militem, quum tertia fercula circumferri coepissent. Revocanda igitur antiqua lectio, pridem a Fischero ad Welleri gr. Vol. I. p. 327. defensa, quippe quae postulat, ut de offa cogitemus, quam in secundis ferculis sibi vindicatam ex parte reliquam haberet. Totius igitur loci hic est sensus: homo ille tam graviter, quod ei acciderat, malum tulit, ut, quum carnis, quam ceperat, portio ab aliis ipsi absumpta esset, etiam quod ei reliquum erat obsonii, ut intingeretur, id nescio quomodo prae perturbatione et iracundia male animo affectus prosterneret. Vid. not. ad I. 1, 4.

τῷ γέλωτι ηὐφραίνετο] non risui indulgebat, nam adest articulus, sed re ridicula delectabatur. Eurip. Troad. 976. ed. Matth. ταῦτα γὰρ γέλως πολύς.

§. 6. Οὗτος μὲν δή, ὦ Κῦρε, – ἐπέτυχεν] Bene Gabriel. Hystaspas quidem, o Cyre, socium ita, ut audisti, (ut videtur) difficilem nactus est. Respiciuntur enim verba §. 2. ἐν μέντοι τῇ συνουσίᾳ δύσκολοι, ναὶ μὰ τοὺς θεούς, ἔνιοι αὐτῶν φαίνονται.

διδάξας ἡμᾶς τὰς τάξεις ἀπέπεμψας] postquam nos (centuriones) tu militarium ordinum rationes edoctos dimisisti. Sic pridem haec

λοχαγὸν πρῶτον, καὶ τάξας δὴ ἐπ' αὐτῷ ἄνδρα νεανίαν καὶ τοὺς ἄλλους ᾗ ᾠόμην δεῖν, ἔπειτα στὰς ἐκ τοῦ ἔμπροσθεν, βλέπων εἰς τὸν λόχον, ἡνίκα μοι ἐδόκει και-
7 ρὸς εἶναι, προϊέναι ἐκέλευσα. Καὶ ὁ ἀνήρ σοι ὁ νεανίας ἐκεῖνος προελθὼν τοῦ λοχαγοῦ πρότερος ἐπορεύετο. Κἀγὼ ἰδὼν εἶπον, Ἄνθρωπε, τί ποιεῖς; Καὶ ὃς ἔφη· Προέρχομαι, ὥςπερ σὺ κελεύεις. Κἀγὼ εἶπον· Ἀλλ' οὐκ ἐγὼ σὲ μόνον ἐκέλευον, ἀλλὰ πάντας προϊέναι. Καὶ ὅς, ἀκούσας τοῦτο, μεταστραφεὶς πρὸς τοὺς λοχίτας εἶπεν, Οὐκ ἀκούετ', ἔφη, λοιδορουμένου; προϊέναι, ἔφη, πάντας κελεύει. Καὶ οἱ ἄνδρες πάντες παρελθόν-
8 τες τὸν λοχαγὸν ᾖεσαν πρὸς ἐμέ. Ἐπεὶ δὲ ὁ λοχαγὸς αὐτοὺς ἀνεχώριζεν, ἐδυςφόρουν τε, καὶ ἔλεγον, Ποτέρῳ δὴ πείθεσθαι χρή; νῦν γὰρ ὁ μὲν κελεύει προϊέναι, ὁ δ' οὔ. Καὶ ἐγὼ μέντοι ἐνεγκὼν ταῦτα πράως, ἐξαρχῆς αὐτίκα καταχωρίσας εἶπον μηδένα τῶν ὄπισθεν κινεῖσθαι, πρὶν ἂν ὁ πρόσθεν ἡγῆται, ἀλλὰ τοῦτο μό-

§. 7. οὐκ ἀκούετ', ἔφη, λοιδορουμένου;] ἀκούετ', ἔφη, προςτάττοντος προϊέναι πάντας; Schn.

§. 8. πείθεσθαι χρή] ita optimi; vulgo χρὴ πείθεσθαι.

αὐτίκα καταχωρίσας] αὖ καταχωρίσας Schn. αὐτίκα χωρίσας libri scripti.

intellexit Gabrielius, nec debebant commate post ἡμᾶς distingui.

τάξας δὴ ἐπ' αὐτῷ ἄνδρα νεανίαν] cum post eum virum quendam strenuum collocassem. In libris Mss. est ἐπ' αὐτόν, ut in Hellen. II. 4, 12. ἐτάχθησαν μέντοι ἐπ' αὐτοὺς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί, ubi tamen vel invitis codicibus ἐπ' αὐτοῖς scripsit Schneid., recte. Vid. Fisch. ad Weller. Vol. III. b. p. 237. Sequens ἔπειτα abundare negavimus ad I. 3, 10.

§. 7. τοῦ λοχαγοῦ πρότερος] ἔμπροσθεν τοῦ λοχαγοῦ explicarunt h. l. veteres Grammatici. Nam progressus ille ante lochagum incedebat. Dici non potest, quoties in similia abundantiae, si qua est, exempla apud utriusque linguae scriptores incidas. Infra IV. 2, 23. Καὶ ὑμεῖς μέν, ἔφη, ὦ Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν προπορεύεσθε ἔμπροσθεν. Demosth. c. Philipp. p. 44. ed. Reisk. κρίνατε καὶ μὴ πρότερον προλαμβάνετε. Cicero de nat. Deor. II. 43, 111. *Pisces, quorum alter paullum praelabitur ante*, ad quae consulendus Heindorf. praetereaque Ruddimann Instit. Grammat. Syntax. p. 370.

§. 8. ὁ δ' οὔ] sc. κελεύει, alter vetat. Vulgata ὁ δ' οὐκ ἐᾷ est prohibet, ut ad I. 3, 10. 4, 14. monui. Particularum καὶ – μέντοι coniunctione nihil

νον ὁρᾶν πάντας, τῷ πρόσθεν ἕπεσθαι. Ὡς δ' εἰς Πέρσας 9
τις ἀπιὼν ἦλθε πρὸς ἐμέ, καὶ ἐκέλευσέ με τὴν ἐπιστολήν, ἣν
ἔγραψα οἴκαδε, δοῦναι, κἀγώ, ὁ γὰρ λοχαγὸς ᾔδει ὅπου
ἔκειτο ἡ ἐπιστολή, ἐκέλευσα αὐτὸν δραμόντα ἐνεγκεῖν τὴν
ἐπιστολήν· ὁ μὲν δὴ ἔτρεχεν, ὁ δὲ νεανίας ἐκεῖνος εἵπετο
τῷ λοχαγῷ σὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι, καὶ ὁ
ἄλλος δὲ πᾶς λόχος, ἰδὼν ἐκεῖνον, συνέτρεχον· καὶ
ἧκον οἱ ἄνδρες φέροντες τὴν ἐπιστολήν. Οὕτως, ἔφη,
ὅ γε ἐμὸς λόχος σοι ἀκριβοῖ πάντα τὰ παρὰ σοῦ. Οἱ 10
μὲν δὴ ἄλλοι, ὡς εἰκός, ἐγέλων ἐπὶ τῇ δορυφορίᾳ τῆς
ἐπιστολῆς· ὁ δὲ Κῦρος εἶπεν, Ὦ Ζεῦ καὶ πάντες θεοί,
οἵους ἄρα ἡμεῖς ἔχομεν ἄνδρας ἑταίρους· οἵ γε εὐθερά-
πευτοι μὲν οὕτως εἰσίν, ὥστε εἶναι αὐτῶν καὶ μικρῷ
ὄψῳ παμπόλλους φίλους ἀνακτήσασθαι· πιθανοὶ δ' οὔ-

§. 9. *συνέτρεχον*] pro *συνέτρεχε* A. B. M. V. m. Viet. apud Iacobs ad Achill. Tat. p. 416.

apud Xen. frequentius, I. 4, 9 et 19. III. 3, 38. V. 4, 18 et 27. VI. 3, 20. VIII. 2, 5. Hellen. III. 1, 22. Anab. I. 9, 6. Conviv. IV. 4. etiam ibi, ubi alia vox non interponitur, ut Cyr. III. 1, 27. VI. 3, 12. Ages. II. 9. Nostrates dicunt und freilich, und allerdings, allerdings auch.

τῷ πρόσθεν ἕπεσθαι] Praeter necessitatem Heindorf. post Weiskium reponendum coniecit *τὸ τῷ πρόσθεν ἕπεσθαι*. Per epexegesin infinitivus quum alibi saepe demonstrativo pronomini additus est, tum Anab. VI. 6, 33. *Δέονται δέ σου καὶ τοῦτο, παραγενόμενον καὶ ἄρξαντα ἑαυτῶν πεῖραν λαβεῖν — καὶ τὴν ἀξίαν ἑκάστοις νεῖμαι.* ibid. I. 1, 7. Demosth. Orat. de Symmor. p. 179. Reisk. *καλόν ἐστι λαβεῖν ταύτην τὴν δίκην, ἐᾶσαί τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ γενέσθαι.* Cyrop. I. 6, 20. et Stallbaum ad Platon. Enthyphr. p. 38 sq. 70. Ceterum militaris haec meditatio non in eo posita fuit, ut totus lochus rectam frontem centurioni suo obtenderet, qui Weiskii error est, sed ut in altitudinem porrecti (*ἐφ' ἑνός*) viginti quattuor milites, e quibus lochus constabat, alter alterum a tergo exciperet. Non enim video neque quomodo iuxta lochagum stantes praeteriisse eundem dicantur, neque quatenus sequi *οἱ ὄπισθεν τοὺς πρόσθεν* iubeantur, aut cur omnino *οἱ ὄπισθεν* et *οἱ πρόσθεν* nominentur, qui iuxta, non post se invicem collocati fuerint.

§. 9. *κἀγώ, ὁ γὰρ λοχαγὸς – ἐκέλευσα*] »id est, inquit Abresch. Dilucc. Thucyd. p. 81., *κἀγὼ ἐκέλευσα τὸν λοχαγόν, αὐτὸς γὰρ ᾔδει ὅπου ἔκειτο ἡ ἐπιστολή, δραμόντα ἐνεγκεῖν αὐτήν.*« Ab verbis *ὁ μὲν δὴ ἔτρεχεν* incipit apodosis.

§. 10. *ὥστε εἶναι αὐτῶν - ἀνακτήσασθαι*] ita ut vel tenui obsonio permultos eorum liceat amicos parare. Sed suspectam hanc lectionem reddunt, quae in libris excusis leguntur, *ὥστε τινὰς αὐτῶν ἔστι*

τως εἰσί τινες, ὥςτε, πρὶν εἰδέναι τὸ προςτασσόμενον, πρότερον πείθονται. Ἐγὼ μὲν οὐκ οἶδα, ποίους τινὰς χρὴ μᾶλλον εὔξασθαι ἢ τοιούτους στρατιώτας ἔχειν. Ὁ μὲν δὴ Κῦρος ἅμα γελῶν οὕτως ἐπῄνεσε τοὺς στρατιώτας.

11 Ἐν δὲ τῇ σκηνῇ ἐτύγχανέ τις ὢν τῶν ταξιάρχων Ἀγλαϊτάδας ὄνομα, ἀνὴρ τὸν τρόπον τῶν στρυφνοτέρων ἀνθρώπων, ὃς οὑτωσί πως εἶπεν. Τί γὰρ οἴει, ἔφη, ὦ Κῦρε, τούτους ἀληθῆ λέγειν ταῦτα; Ἀλλὰ τί μὴν βουλόμενοι, ἔφη ὁ Κῦρος, ψεύδονται; Τί δ' ἄλλο γε, ἔφη, εἰ μὴ γέλωτα ποιεῖν ἐθέλοντες ὑπὲρ οὗ λέγουσι

12 ταῦτα καὶ ἀλαζονεύονται; Καὶ ὁ Κῦρος, Εὐφήμει, ἔφη, μηδὲ λέγε ἀλαζόνας εἶναι τούτους. Ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προςποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσι, καὶ ἀνδρειοτέροις, καὶ ποιήσειν ἃ μὴ ἱκανοί εἰσιν ὑπισχνουμένοις· καὶ ταῦτα φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδᾶναι ποιοῦσιν. Οἱ δὲ μηχανώμενοι γέλωτα τοῖς συνοῦσι μήτε ἐπὶ τῷ ἑαυτῶν κέρδει, μήτ' ἐπὶ ζημίᾳ τῶν ἀκουόντων, μήτε ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι ἀστεῖοι

καὶ μικρῷ ὄψῳ πάνυ ἀνακτήσασθαι φίλους, ut nonnisi quae maximam partem integra servavit cod. Guelf. ὥστ' εἶναι αὐτῶν καὶ μ. ὄ. πάνυ ἀν. φίλους vera esse putem. His alii τινάς addiderunt, ab aliis adverbio πάνυ postpositum πολλούς fuerunt qui in παμπόλλους corrumperent, non memores antecedenti narrationi nullo pacto accommodatum esse παμπόλλους. Ut alibi ἀνακτᾶσθαί τινα dicatur sine φίλον, tamen h. l. accusativus propemodum necessarius est, et προςκτᾶσθαί τινας φίλους scripsit Herod. I. 56.

§. 11. Τί δ' ἄλλο γε – ἀλαζονεύονται] i. e. remota interrogatione δι' ἄλλο γε οὐδὲν ψεύδονται, εἰ μὴ ἐθέλοντες γέλωτα ποιεῖν ὑπὲρ τούτου, ὑπὲρ οὗ (de eo homine, de quo) λέγουσι ταῦτα καὶ ἀλαζονεύονται. Vid. not. ad I. 4, 13. et Heindorf. ad Plat. Euthyd. p. 354. Phaedon. p. 32. Male alii signo interrogandi ante ὑπέρ inserto: quid aliud, nisi ut risum captent, cuius rei gratia ista dicunt et sese iactant?

§. 12. ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι] Laudavit Matth. §. 433. n. 4. p. 599. verborum causa, definitionem vocis ἀλαζών illustrantibus Cambyse I. 6, 22. Socrate Memor. I. 7. Theophrasto Char. c. 23. ed. Ast. et Aristot. ad Nicom. IV. 7.

πλουσιωτέροις εἶναι] De hoc attractionis genere dictum ad I. 4, 28.

καὶ ταῦτα φανεροῖς γιγνομένοις] et quidem si ostendant. Vid. §. 16. Viger. p. 176 sq. Buttm. §. 137. p. 442. et Matth. §. 471. p. 650.

ἂν καὶ εὐχάριτες δικαιότερον ὀνομάζοιντο μᾶλλον ἢ ἀλαζόνες; Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελογήσατο περὶ τῶν 13
τὸν γέλωτα παρασχόντων. Αὐτὸς δὲ ὁ ταξίαρχος, ὁ τὴν τοῦ λόγου χαριτίαν διηγησάμενος, Ἦ που ἄν, ἔφη, ὦ Ἀγλαϊτάδα, εἴ γε κλαίειν ἐπειρώμεθά σε ποιεῖν, σφόδρ' ἂν ἡμῖν ἐμέμφου, (ὥσπερ ἔνιοι καὶ ἐν ᾠδαῖς καὶ ἐν λόγοις οἰκτρὰ ἄττα λογοποιοῦντες εἰς δάκρυα πειρῶνται ἄγειν,) ὁπότε γε νῦν, καὶ αὐτὸς εἰδώς, ὅτι εὐφραίνειν μέν τί σε βουλόμεθα, βλάψαι δ' οὐδέν, ὅμως οὕτως ἐν πολλῇ ἀτιμίᾳ ἡμᾶς ἔχεις. Ναὶ μὰ Δί', ἔφη ὁ Ἀγλαϊτάδας, 14
καὶ δικαίως γε· ἐπεὶ καὶ αὐτοῦ τοῦ κλαίειν καθίζοντος τοὺς φίλους πολλαχῇ ἔμοιγε δοκεῖ ἐλάττονος ἄξια δια-

§. 13. *αὐτὸς δὲ ὁ ταξίαρχος*] *Αὖθις δὲ ὁ λοχαγός* alii, sed nec *ὁ ταξίαρχος* nec *ὁ λοχαγός* Xenophonti debentur. Vid. ad Conviv. p. 151. sq. Proximum *ἔφη* ante *Ἦ που* collocatum damnant Mss. vid. ad I. 6, 16.

βλάψαι] codd. pro *βλάπτειν*.

μᾶλλον ἢ ἀλαζόνες] potius quam ostentatores. I. 6, 25. II. 3, 12. 4, 10. V. 5, 4. Herm. ad Viger. p. 719 sq. Matth. §. 458. p. 634. et e Latinis vid. Zumpt. gr. Lat. §. 85. 8. p. 503. ed. 4.

§. 13. *Αὐτὸς δὲ ὁ ταξίαρχος*] Intelligitur is, qui §. 6. *ἄλλος τις τῶν ταξιάρχων* audit. Sedem verborum *ὥσπερ ἔνιοι – ἄγειν* ne quis mutandam statuat, veteres membrum, quod explicandae rei inserviret, modo anteposuerunt, modo postposuerunt verbis eis, ad quae proprie pertineret, cf. I. 2, 9. I. 4, 27. VIII. 2, 14. Anab. V. 8, 18. Epilog. Cyrop. p. 28., quippe primariam semper sententiam maiore in luce ponentes.

καὶ ἐν ᾠδαῖς καὶ ἐν λόγοις] et carminibus et orationibus, et soluta et vincta oratione.

οἰκτρὰ ἄττα] Viger. p. 37. 713. Matth. §. 151. n. 2. p. 284. ed. 2. Buttm. §. 70. 2.

οὕτως ἐν πολλῇ] i. q. *ἐν οὕτω πολλῇ*. Simili usu *πάνυ* traiectum I. 6, 39. Multos autem scopulos, ad quos in huius loci interpretatione Zeunius et Langius allisi sunt, Gabr. evitare studuit vertendo: »Certe quidem, Aglaitada, ait, si experiremur, ut te flere cogeremus, quemadmodum quidam tum in carminibus, tum in fabulis miserabilia quaedam commiscentes, lacrimas excitare conantur, vehementer nobis succenseres: quandoquidem nunc, cum et ipse intelligas studere nos, ut te sine ullo prorsus incommodo tuo delectemus, tamen ita nos contumeliose accipis.«

§. 14. *καὶ δικαίως γε*] Nostri dicerent: und gewiſs mit Recht. Sympos. VI. 8. *Ναὶ μὰ τὸν Δί', ἔφη, καὶ ἄλλοις γε πολλοῖς.* supra I. 4, 11. Cum libris quibusdam *καί* etiam ante *ναὶ μὰ Δί'* collocandum putat

πράττεσθαι ὁ γέλωτα αὐτοῖς μηχανώμενος. Διό, ἔφη, καὶ σὺ νῦν, ἂν ὀρθῶς λογίζῃ, ἐμὲ ἀληθῆ λέγοντα εὑρήσεις. Κλαύμασι μέν γε καὶ πατέρες υἱοῖς σωφροσύνην μηχανῶνται, καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθήματα· καὶ νόμοι γε πολίτας διὰ τοῦ κλαίοντας καθίζειν ἐς δικαιοσύνην προτρέπονται· τοὺς δὲ γέλωτα μηχανωμένους ἔχοις ἂν εἰπεῖν ἢ σώματα ὠφελοῦντας, ἢ ψυχὰς
15 *οἰκονομικωτέρας τι ποιοῦντας ἢ πολιτικωτέρας; Ἐκ τούτου δὴ ὁ Ὑστάσπης ὧδέ πως εἶπε· Σὺ δέ, ἔφη, ὦ Ἀγλαϊτάδα, ἢν ἐμοὶ πείθῃ, εἰς μὲν τοὺς πολεμίους θαῤῥῶν δαπανήσεις τοῦτο τὸ πολλοῦ ἄξιον, καὶ κλαίοντας ἐκείνους πειράσῃ καθίζειν· ἡμῖν δὲ πάντως, ἔφη, τοῖςδε τοῖς φίλοις, τούτου τοῦ ὀλίγου ἀξίου, τοῦ γέλωτος, ἐπιδαψιλεύσῃ. Καὶ γὰρ οἶδ' ὅτι πολύς σοί ἐστιν ἀποκείμενος· οὔτε γὰρ αὐτὸς χρώμενος ἀνήλωκας αὐτόν, οὐδὲ μὴν φίλοις γε οὐδὲ ξένοις ἑκὼν εἶναι γέλωτα παρέχεις· ὥςτε οὐδεμία σοι πρόφασίς ἐστιν, ὡς οὐ παρε-*

§. 15. *δὴ ὁ* et *Σὺ δέ* Vat. pro *ὁ* et *Σύ*. *καί* ante *τοῖςδε* incertae Iacobs ad Achill. p. 696. Verbis eis, quae Matthiae §. 550. 3. et 551. p. 799. cum infinitivo iuncta attulit, *καθίζειν* quoque apte adiicies.

Διό, ἔφη, καὶ σὺ - εὑρήσεις] quo nomine, inquit, tu quoque nunc, si diligenter perpendas, vere me dicere intelliges. Haud scio an nemo crebrius Isocrate eum, quem hic requirimus, sensum voculae *διό* tribuerit.

διὰ τοῦ κλαίοντας καθίζειν] quippe poenam ab earum violatoribus sumentes.

ἔχοις ἂν εἰπεῖν] num possis dicere, s. nominare. Apol. §. 15. *φροντίζω, πότερα θεόν σε εἴπω, ἢ ἄνθρωπον.* Isocr. Ep. 2. p. 485. 8. *Ἔχοιμι δ' ἂν παμπληθεῖς εἰπεῖν.* Sed propius ad nostra accedunt verba Luciani in Tim. §. 20. p. 82. ed. Lehm. *ἐγὼ δὲ καὶ πολλοὺς ἂν εἰπεῖν ἔχοιμί σοι, χθὲς μὲν οὐδὲ ὀβολόν, ὥςτε πρίασθαι, ἐσχηκότας, ἄφνω δὲ τήμερον πλουσίους καὶ πολυτελῶς ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας.*

§. 15. *ἡμῖν δὲ πάντως, ἔφη, τοῖςδε τοῖς φίλοις*] sed nobis omnino, hisce amicis tuis, uns aber, deinen Freunden hier, wirst du auf alle Fälle. I. 3, 10. *ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν.* Plat. Gorg. §. 81. p. 114. *ἄλλο τι ἢ ἡμῶν ὁ βίος ἀνατετραμμένος ἂν εἴη τῶν ἀνθρώπων*, ubi consule Heindorf.

οὐδὲ μὴν φίλοις γε] recte habere licet negatione *οὔτε* praegressa constat ex nota ad I. 6, 6.

ἑκὼν εἶναι γέλωτα παρέχεις] i. e. ex sententia Hermanni in Comment. de ellipsi et pleon. nemini risum praebes ea mente, ut id volens facias, sed quum facis, facis tantummodo, ut cedas necessitati. Viger. p. 888. Matth. §. 548. Buttm. §. 137. p. 447.

κτέον σοι ἡμῖν γέλωτα. Καὶ ὁ Ἀγλαϊτάδας εἶπε, Καὶ
οἴει γε, ὦ Ὑστάσπη, γέλωτα ποιεῖν ἐξ ἐμοῦ; Καὶ ὁ
ταξίαρχος εἶπε· Ναὶ μὰ Δί', ἀνόητος ἄρα ἐστίν· ἐπεὶ
ἔκ γε σοῦ πῦρ, οἶμαι, ῥᾷον ἄν τις ἐκτρίψειεν ἢ γέλω-
τα ἐξαγάγοιτο. Ἐπὶ τούτῳ μὲν δὴ οἵ τε ἄλλοι ἐγέλα- 16
σαν, τὸν τρόπον εἰδότες αὐτοῦ, καὶ αὐτὸς ὁ Ἀγλαϊ-
τάδας ἐπεμειδίασε. Καὶ ὁ Κῦρος, ἰδὼν αὐτὸν φαι-
δρωθέντα, Ἀδικεῖς, ἔφη, ὦ ταξίαρχε, ὅτι ἄνδρα ἡμῖν
τὸν σπουδαιότατον διαφθείρεις, γελᾶν ἀναπείθων, καὶ
ταῦτ', ἔφη, οὕτω πολέμιον ὄντα τῷ γέλωτι. Ταῦτα
μὲν δὴ τοιαῦτα ἐλέγοντο. Ἐκ δὲ τούτου Χρυσάντας 17
ὧδε ἔλεξεν·

Ἀλλ' ἔγωγ', ἔφη, ὦ Κῦρε καὶ πάντες οἱ παρόντες,
ἐννοῶ, ὅτι ἐξεληλύθασι μὲν σὺν ἡμῖν οἱ μὲν καὶ βελτίο-
νες, οἱ δὲ καὶ μείονος ἄξιοι· ἢν δέ τι γίγνηται ἀγαθόν,
ἀξιώσουσιν οὗτοι πάντες ἰσομοιρεῖν. Καίτοι ἔγωγε
οὐδὲν ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι τοῦ
τῶν ἴσων τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. Καὶ 18

est auctoritatis. Postea malim *Καὶ σὺ δ' αὖ οἴει γε.*

§. 17. *τοιαῦτα ἐλέγοντο*] ita Codd. Cf. ad Conviv. p. 105. *ἐνταῦθ' ἔληξεν* Schneid.

τοῦ τῶν ἴσων] *ἢ τοῦ τῶν ἴσων* Poppo improbante Herm. ad Soph. Antig. 1266.

παρεκτέον σοι ἡμῖν γέλωτα] Matth. §. 447. a. Buttm. §. 121. n. 3. Rost. §. 110. 6. 2.

γέλωτα ποιεῖν ἐξ ἐμοῦ] ex mente Aglaitadae me risui exponere s. ex me sumere materiam ridendi, ex mente centurionis te ad risum movere, risum ex te elicere. Eadem ambiguitas in superioribus *παρεκτέον σοι ἡμῖν γέλωτα* inesse videtur.

ἐξαγάγοιτο] i. q. *ἐξαγάγοι*, ut Hieron. IX. 11. et *προάγεται* Hipparch. V. 15. Corrigendus hinc Matth. §. 496. 7.

§. 17. *ταῦτα μὲν δὴ τ. ἐλ.*] i. q. *οὗτοι μὲν δὴ οἱ λόγοι οὕτως ἐλέγοντο*, et haec quidem tali ratione disputabantur. Cf. Viger. p. 537. atque in mentem revoca tritissimam formulam *τούτων τοιούτων ὄντων* s. *γιγνομένων*. Vid. etiam not. ad §. 2. Quod deinceps Chrysantas in medium profert, facili id negotio poterat ex iis colligere, quae de singulorum militum moribus modo tradita sunt.

τῶν ἐν ἀνθρώποις] ex rebus humanis, in der Welt. Vid. Schneider. ad Memor. I. 1, 8. Ages. VIII. 6. et Heindorf. ad Plat. Lys. §. 20. p. 23. De hac iniquitate queritur etiam Achilles Il. IX. 318. *ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι· ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακός, ἠδὲ καὶ ἐσθλός*, atque Ulysses Eurip. Hec. 306. *ἐν τῷδε γὰρ*

ὁ Κῦρος εἶπε πρὸς τοῦτο· Ἆρ᾽ οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὦ ἄνδρες, κράτιστον ἡμῖν ἐμβαλεῖν περὶ τούτου βουλὴν εἰς τὸ στράτευμα, πότερα δοκεῖ, ἤν τι ἐκ τῶν πόνων δῷ ὁ θεὸς ἀγαθόν, ἰσομοίρους πάντας ποιεῖν, ἢ σκοποῦντας τὰ ἔργα ἑκάστου, πρὸς ταῦτα καὶ τὰς
19 τιμὰς ἑκάστῳ προςτιθέναι; Καὶ τί δεῖ, ἔφη ὁ Χρυσάντας, ἐμβαλεῖν λόγον περὶ τούτου, ἀλλ᾽ οὐχὶ προειπεῖν, ὅτι οὕτω ποιήσεις; ἢ οὐ σὺ καὶ τοὺς ἀγῶνας οὕτω προεῖπας καὶ τὰ ἆθλα; Ἀλλά, μὰ Δί᾽, ἔφη ὁ Κῦρος, οὐχ ὅμοια ταῦτα ἐκείνοις. Ἃ μὲν γὰρ ἂν στρατευόμενοι κτήσωνται, κοινά, οἶμαι, ἑαυτῶν ἡγήσονται εἶναι· τὴν δὲ ἀρχὴν τῆς στρατιᾶς ἐμὴν ἴσως ἔτι οἴκοθεν νομίζουσιν εἶναι· ὥςτε διατάττοντα ἐμὲ τοὺς ἐπιστάτας
20 οὐδέν, οἶμαι, ἀδικεῖν νομίζουσιν. Ἦ καὶ οἴει, ἔφη ὁ Χρυσάντας, ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθόν, ὥςτε μὴ ἴσων ἕκαστον τυγχάνειν, ἀλλὰ τοὺς κρατίστους καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν; Ἔγωγ᾽, ἔφη ὁ Κῦρος, οἶμαι, ἅμα μὲν συναγορευόντων ἡμῶν, ἅμα δὲ καὶ αἰσχρὸν ὂν τὸ ἀντιλέγειν, μὴ οὐχὶ τὸν πλεῖστα καὶ πο-

§. 20. *αἰσχρὸν ὂν τὸ ἀντιλ.*] Lege *αἰσχρὸν ὂν ἀντιλέγειν τὸ μὴ οὐχί.*

κάμνουσιν αἱ πολλαὶ πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον.

§. 18. *Ἆρ᾽ οὖν*] Nonne igitur interprete Herm. ad Soph. Antig. 628. ad Viger. p. 823. Cf. Matth. §. 609. p. 897. Thiersch. §. 351. 17.

τὰς τιμὰς ἑκάστῳ προςτιθέναι] Sic Herodot. VII. 11. *καίτοι ταύτην τὴν ἀτιμίην προςτίθημι, ἐόντι κακῷ τε καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἐμοί γε ἐπὶ τὴν Ἑλλάδα.* Max. Tyr. Diss. XV. 6. p. 281. Reisk. *τοῖς δὲ ἀδικοῦσι προςτιθέναι τὴν δίκην.*

§. 19. *ἀλλ᾽ οὐχὶ*] Latinorum lingua requirit *καὶ οὐχί* in edd. vett. repertum, sed Graeci in talibus duas confuderunt locutiones, alteram *τί δεῖ περὶ τούτου λόγον ἐμβαλεῖν καὶ οὐχὶ προειπεῖν*, alteram *οὐδὲν δεῖ λόγον ἐμβαλεῖν, ἀλλὰ προειπεῖν.* Significatum magis formulae quam originem illustrant Bremi ad Aeschin. Or. adv. Timarch. p. 129. et Heind. ad Platon. Gorg. p. 80.

κοινά, οἶμαι, ἑαυτῶν ἡγήσονται] Genitivus *ἑαυτῶν* pendet a *κοινός*, cui fere casus tertius adiicitur. Eurip. Suppl. 548. ed. Markl. *πάσης Ἑλλάδος κοινὸν τόδε.* v. 859. Adde Passow. Lex. s. *κοινός* et Steph. Thesaur. T. II. p. 294. F.

τοὺς ἐπιστάτας] recte de paedotribis explicat Weiskius, qui in certaminibus victores pronuntiant et praemia distribuunt.

§. 20. *ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθόν*] i. e. *ὅτι ψηφί-*

νοῦντα καὶ ὠφελοῦντα τὸ κοινόν, τοῦτον καὶ μεγίστων ἀξιοῦσθαι. Οἶμαι δέ, ἔφη, καὶ τοῖς κακίστοις σύμφορον φανεῖσθαι τοὺς ἀγαθοὺς πλεονεκτεῖν. Ὁ δὲ 21
Κῦρος ἐβούλετο καὶ αὐτῶν ἕνεκα τῶν ὁμοτίμων γενέσθαι τοῦτο τὸ ψήφισμα· βελτίους γὰρ ἂν καὶ αὐτοὺς ἡγεῖτο τούτους εἶναι, εἰ εἰδεῖεν, ὅτι ἐκ τῶν ἔργων καὶ αὐτοὶ κρινόμενοι τῶν ἀξίων τεύξονται. Καιρὸς οὖν ἐδόκει αὐτῷ εἶναι νῦν ἐμβαλεῖν περὶ τούτου τὴν ψῆφον, ἐν ᾧ καὶ οἱ ὁμότιμοι ὤκνουν τὴν τοῦ ὄχλου ἰσομοιρίαν. Οὕτω δὴ συνεδόκει τοῖς ἐν τῇ σκηνῇ συμβαλέσθαι περὶ τούτου λόγους, καὶ συναγορεύειν ταὐτὰ ἔφασαν χρῆναι, ὅςτιςπερ ἀνὴρ οἴοιτο εἶναι.

Ἐπιγελάσας δὲ τῶν ταξιάρχων τις εἶπεν, Ἀλλ' ἐγώ, 22
ἔφη, ἄνδρα οἶδα καὶ τοῦ δήμου, ὃς συνερεῖ, ὥςτε μὴ εἰκῇ οὕτως ἰσομοιρίαν εἶναι. Ἄλλος δ' ἀντήρετο, τοῦτον

§. 21. εἰ εἰδεῖεν] εἰ ἴδοιεν suadent libri, tum εἶναι νῦν pro νῦν εἶναι. Fort. αὐτῷ τὸ νῦν εἶναι ἐμβ. Articulum τήν ante ψῆφον habent A. B. G. m. Vict.

σαιτο ἂν τὸ πλῆθος, εἰ συνέλθοι. Cf. II. 4, 14. Ad ἀλλὰ τοὺς κρατ. solum ὥςτε ex antecedd. supplendum, quum μή ad τυγχάνειν pertineat. De his μὴ οὐχὶ – ἀξιοῦσθαι satis est inspicere not. ad I. 4, 2.

Οἶμαι δέ, ἔφη – πλεονεκτεῖν] confido vero etiam ignavissimis utile visum iri, ut fortes maiorem partem auferant. Fortissimi enim ignavos quoque tuebuntur.

§. 21. τεύξονται] Nihil offensionis habere indicativum, ad I. 6, 13. II. 3, 5. ut observavimus, ita eius usus causam exposuit Matthiae §. 507. p. 710.

νῦν ἐμβαλεῖν] i. e. ἐν τούτῳ τῷ χρόνῳ, ἐν ᾧ.

συμβαλέσθαι περὶ τούτου λόγους] conferre sermones suos hac de re, de praemiorum inaequalitate in militum concione.

καὶ συναγορεύειν ταὐτὰ ἔφασαν χρῆναι – εἶναι] et quicunque se virum esse putaret, eum dicebant eadem assensu comprobare oportere. Legebatur ταῦτα, minus commode. Infra scriptum est VII. 5, 57. συνηγόρευον αὐτῷ κατὰ ταὐτά. Cf. Buttmann ad Plat. Gorg. p. 512.

§. 22. *εἰκῇ οὕτως*] Vulgari ordine V. 5, 13. Ἀλλὰ γάρ, ἔφη, μὴ οὕτως εἰκῇ ἡμᾶς αὐτοὺς αἰτιώμεθα. Paullo post §. 24. ἐν τῷ παραυτίκα εἰκῇ non sonat aliud quam οὕτως ἐξαίφνης, de quibus aliisque similibus disseruit Heindorf. ad Plat. Gorg. §. 127. p. 196. Respondet formula nostrae: so ohne weiteres.

τίνα λέγοι. Ὁ δ' ἀπεκρίνατο, Ἔστι, νὴ Δί', ἀνὴρ σύ-
σκηνος ἐμός, ὃς ἐν παντὶ μαστεύει πλέον ἔχειν. Ἄλλος
δ' αὖ ἐπήρετο αὐτόν, Ἦ καὶ τῶν πόνων; Μὰ Δί', ἔφη·
ἀλλὰ τοῦτό γε ψευδόμενος ἑάλωκα· καὶ γὰρ πόνων καὶ
τῶν ἄλλων τῶν τοιούτων πάνυ πράως ἀεὶ ἐᾷ τὸν βου-
23 λόμενον πλέον ἔχειν. Ἀλλ' ἐγὼ μέν, ἔφη ὁ Κῦρος,
ὦ ἄνδρες, γιγνώσκω τοὺς τοιούτους ἀνθρώπους, οἷον
καὶ οὗτος νῦν λέγει, εἴπερ δεῖ ἐνεργὸν καὶ πειθόμενον
ἔχειν τὸ στράτευμα, ἐξαιρετέους εἶναι ἐκ τῆς στρατιᾶς.
Δοκεῖ γάρ μοι τὸ μὲν πολὺ τῶν στρατιωτῶν
εἶναι οἷον ἕπεσθαι ᾗ ἄν τις ἡγῆται· ἄγειν δ', οἶμαι,
ἐπιχειροῦσιν οἱ μὲν καλοὶ κἀγαθοὶ ἐπὶ τὰ καλὰ κἀ-
24 γαθά, οἱ δὲ πονηροὶ ἐπὶ τὰ πονηρά. Καὶ πολλάκις
τοίνυν πλείονας ὁμογνώμονας λαμβάνουσιν οἱ φαῦλοι
ἢ οἱ σπουδαῖοι. Ἡ γὰρ πονηρία, διὰ τῶν παραυ-
τίκα ἡδονῶν πορευομένη, ταύτας ἔχει συμπειθούσας

§. 22. *Μὰ Δί, ἔφη· ἀλλὰ*] *Μὰ Δί', ἔφη, οὐ μὲν δή· ἀλλά.* vulgo. Ad finem reponendum *τοιούτων ὁρῶ πάνυ θαῤῥαλέως ἀεὶ ἐᾶν τὸν βουλ. πλ. ἔχειν παρ' ὁντιναοῦν* vel – *ὁρῶ οὐ πάνυ θ. βουλόμενον μεῖον ἔχειν παρ' ὀντ.*

§. 23. *ἡγῆται· ἄγειν*] *ἡγῆται ἄγειν· ὅλον δὲ* (imo *ὅλως δὲ* s. *τὸ δὲ ὅλον*) *οἶμαι ἐπιχειροῦσιν – κἀγαθὰ ἄγειν* non sine codd. coni. **Iacobs** ad Ach. Tat. p. 943.

τοῦτον τίνα λέγοι] i. e. *τίς εἴη οὗτος, ὃν λέγοι.* Mem. IV. 4, 13. *Καὶ τίνας (νόμους) τούτους νομίζεις;* i. e. *καὶ τίνες εἰσὶν οὗτοι, οὓς νόμους εἶναι νομίζεις;* Sophocl. Antig. 1157. Herm. *τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;* Cf. Matth. §. 469.

ἀνὴρ σύσκηνος ἐμός] compara cum Apol. §. 27. *τοῖς ἐμοῖς εὔνοις* ibique notatis.

ἀλλὰ τοῦτό γε ψευδ. ἑάλωκα] sed sum hac quidem in re mendax manifeste deprehensus. Gabr. Ferrem *ἀλλὰ τοῦτο καὶ ψευδόμενος ἑάλ.* vel positum in textu vel ita explicatum quod Mss. exhibent *ἀλλὰ καὶ τοῦτο ψ. ἑ.* Nam ut credam *ἀλλὰ καί* denotare sed adeo, immo adeo, non efficiunt nec loci §. 26. VI. 3, 10. Symp. IV. 52. Anab. III. 5, 16. ab editoribus appositi, nec quos tractarunt Viger. p. 474. et Herm. ad Soph. Philoct. 796. alio illi modo explanandi.

§. 23. *τὸ μὲν πολὺ τῶν στρατ.*] Matth. §. 442. 3. p. 616. Viger. p. 48. a.

οἷον ἕπεσθαι] i. e. *τοιοῦτον οἷον ἕπεσθαι*, eo ingenio, ut sequatur, quo quis eos ducat, sive ad bene sive ad male facta. Vid. ad I. 2, 3.

§. 24. *καὶ πολλάκις τοίνυν*] Germani dixerint und leider oft. Sic etiam I. 3, 16.

διὰ τῶν παραυτίκα ἡδονῶν πορευομένη] Loquendi ratio haud dissimilis ei, quam I. 2, 15. I. 5, 9. animadvertimus; sententiae

πολλοὺς αὐτῇ ὁμογνωμονεῖν· ἡ δ' ἀρετή, πρὸς ὄρθιον ἄγουσα, οὐ πάνυ δεινή ἐστιν ἐν τῷ παραυτίκα εἰκῇ συνεπισπᾶσθαι, ἄλλως τε καὶ ἢν ἄλλοι ὦσιν, ἐπὶ τὸ πρανὲς καὶ τὸ μαλακὸν ἀντιπαρακαλοῦντες.
Καὶ τοίνυν ὅταν μέν τινες βλακείᾳ καὶ ἀπονίᾳ μόνον 25
κακοὶ ὦσι, τούτους ἐγὼ νομίζω, ὥςπερ κηφῆνας, δαπάνῃ μόνον ζημιοῦν τοὺς κοινωνούς· οἳ δ' ἂν τῶν μὲν πόνων κακοὶ ὦσι κοινωνοί, πρὸς δὲ τὸ πλεονεκτεῖν σφοδροὶ καὶ ἀναίσχυντοι, οὗτοι καὶ ἡγεμονικοί εἰσι πρὸς τὰ πονηρά· πολλάκις γὰρ δύνανται τὴν πονηρίαν πλεονεκτοῦσαν ἀποδεικνύναι· ὥςτε παντά-
πασιν ἐξαιρετέοι ἡμῖν οἱ τοιοῦτοί εἰσι. Μηδὲ μέντοι 26
σκοπεῖτε, ὅπως ἐκ τῶν πολιτῶν ἀντιπληρώσετε τὰς τάξεις· ἀλλ' ὥςπερ ἵπποι οἳ ἂν ἄριστοι ὦσιν, καὶ οὐχὶ πατριῶται, τούτους ζητεῖτε, οὕτω καὶ ἀνθρώπους ἐκ πάντων ἀνθρώπων, οἳ ἂν ὑμῖν δοκῶσι μάλιστα συνισχυριεῖν τε ὑμᾶς καὶ συγκοσμήσειν, τούτους λαμβάνε-

§. 26. *καὶ οὐχὶ πατριῶται*] Fort. *καὶ οὐχ οἱ πατριῶται – οὕτω καὶ ἐκ πάντων ἀνθρώπων οἵ* et postea *πρὸς τἀγαθόν.*

illustrrandae inservient a Hutchinsono comparata Mem. II. 1, 20. Platon. Polit. lib. II. p. 364. Steph. et Heindorfio ad Horat. Serm. I. 59 sq.

ταύτας ἔχει – συνεπισπᾶσθαι] harum (voluptatum) auxilio multis persuadet, ut sibi assentiantur; virtus autem, quae ad ardua ducit, non ita facile potest continuore inconsulta (vid. ad §. 22.) homines ad se trahere. Gabr. De seqq. *ἄλλως τε καί* adi not. ad. I. 6, 11.

§. 25. *ὅταν μέν τινες*] Subiiciuntur in altero membro *οἳ δ' ἂν* familiari Graecis orationis variandae consuetudine.

ἀπονίᾳ] non est vacuitas laboris, sed aversatio laboris, s. laborum, vel detrectatio laborum et fuga, cui opponitur *φιλοπονία.* Xenophontis menti, dum exemplo fucorum uteretur, haud dubie obversatus est locus Hesiod. Ἐργ. 301. *τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν, οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ ἔσθοντες,* quem cum aliis composuit Voss. ad Virgil. Georg. Lib. IV. p. 792.

οἱ τοιοῦτοί] Laborum et periculorum impatientes, qui simul audacia ducti virtutis praemia sibi arrogant, improbitatis exemplum ceteris militibus exhibentes.

§. 26. *ἵπποι οἳ ἂν*] Nominativus postulabat passivum *ζητοῦνται,* nisi *οἳ ἂν ἄριστοι ὦσιν ἵπποι* artius iungenda essent.

τούτους λαμβάνετε] »Ergo supplementa scribi vult Cyrus ex Armeniis v. g. aut aliis populis vel liberis, vel in fidem recipiendis.« Weisk.

τε. Μαρτυρεῖ δέ μοι καὶ τόδε πρὸς τὸ ἀγαθόν· οὔτε γὰρ ἅρμα δήπου ταχὺ γένοιτ' ἄν, βραδέων ἵππων ἐνόντων, οὔτε δίκαιον, ἀδίκων συνεζευγμένων· οὐδέ γε οἶκος δύναιτ' ἂν εὖ οἰκεῖσθαι, πονηροῖς οἰκέταις χρώμενος· ἀλλὰ καὶ ἐνδεόμενος οἰκετῶν ἧττον σφάλλεται ἢ
27 ὑπὸ ἀδίκων ταραττόμενος. Εὖ δὲ ἴστε, ὦ ἄνδρες, ἔφη, φίλοι, ὅτι οὐδὲ τοῦτο μόνον ὠφελήσουσιν οἱ κακοὶ ἀφαιρεθέντες, ὅτι κακοὶ ἀπέσονται, ἀλλὰ καὶ τῶν καταμενόντων ὅσοι μὲν δὴ ἀνεπίμπλαντο ἤδη κακίας, ἀποκαθαροῦνται πάλιν ταύτης· οἱ δὲ ἀγαθοί, τοὺς κακοὺς ἰδόντες ἀτιμασθέντας, πολὺ εὐθυμότερον τῆς ἀρε-
28 τῆς ἀνθέξονται. Ὁ μὲν οὕτως εἶπε· τοῖς δὲ φίλοις πᾶσι συνέδοξε ταῦτα, καὶ οὕτως ἐποίουν.

Ἐκ δὲ τούτου πάλιν αὐτοῖς σκώμματος ἤρχετο ὁ Κῦρος. Κατανοήσας γάρ τινα τῶν λοχαγῶν σύν-

§. 28. πάλιν αὐτοῖς] πάλιν αὖ (αὖθις m. Vill.) καὶ σκ. ἦρχεν ὁ Κ. libri edd. ante Schn. Tum σύνδειπνον καί interpolationi deberi videntur.

Μαρτυρεῖ δέ μοι καὶ τόδε πρὸς τὸ ἀγαθόν] bonum autem et utile id esse vel illud testimonio est, quod etc. Viger. p. 141 sq. Matth. §. 613. V. p. 905.

δίκαιον ἀδίκων συνεζ.] Auctor Lex. in Bekkeri Anecd. p. 344. Ἀδικομάχους, inquit, ἵππους Ξενοφῶν λέγει τοὺς δυςπειθεῖς, καὶ ἅρμα δίκαιον τὸ εὐπειθές, quocum ἅρμα δίκαιον Fischerus post alios explicat currum militarem aptum et idoneum ad ea facienda, quorum causa factus est, atque adeo utilem, et ἵππους ἀδίκους contumaces, haud morigeros, qui non faciunt ea, quae facere debent. Nam, inquit Cyrus, neque celeriter currus progreditur, cui tardi equi adiuncti sunt, neque dirigi potest eo, quo volunt aurigae, si ab equis contumacibus vehitur. Aliter Ruhnken. ad Mem. IV. 4, 5. Cf. Bast. ep. crit. p. 159 sq. Ceterum negationibus οὔτε – οὔτε iungi patet adiectiva ταχύ et δίκαιον, sed disiungi domum a curru eique opponi docet subiectum οὐδέ. Cf. ad §. 15. et c. 3, 6.

§. 27. ὅσοι μὲν δὴ ἀνεπίμπλαντο ἤδη κακίας] quotquot vero vitiis iam referti, polluti, sunt. Sic ὅσος μέν et ὁ δέ sibi respondent III. 1, 32. σὲ δὲ ἰδόντα, ὅσην μὲν ἄν σοι δοκῇ στρατιὰν ἄγειν, τὴν δὲ καταλιπεῖν τῆς χώρας φυλακήν, nec ἤδη post δή illatum quidquam habere insolentiae docet Herm. ad Soph. Electr. 1059. Viger. p. 829.

§. 28. καὶ οὕτως ἐποίουν] Noli reddere et ita faciebant, sed facere volebant, vel potius ita faciendi initium faciebant, si Schneferi rationes sequimur ad Eurip. Phoeniss. 79. p. 16. ed. Porson. tert., quae tamen vereor ne multis limitibus circumscribendae sint.

δειπνον καὶ παρακλίτην πεποιημένον ἄνδρα ὑπέρδασύν τε καὶ ὑπέραισχρον, ἀνακαλέσας τὸν λοχαγὸν ὀνομαστὶ εἶπεν ὧδε· Ὦ Σαμβαύλα, ἔφη, ἀλλ' ἦ καὶ σὺ κατὰ τὸν Ἑλληνικὸν τρόπον, ὅτι καλόν ἐστι, περιάγεις τοῦτο τὸ μειράκιον, τὸ παρακατακείμενόν σοι; Νὴ τὸν Δί', ἔφη ὁ Σαμβαύλας, ἥδομαι γοῦν καὶ ἐγὼ συνών τε τούτῳ καὶ θεώμενος τοῦτον. Ἀκού- 29
σαντες ταῦτα οἱ σύσκηνοι προσέβλεψαν· ὡς δὲ εἶδον τὸ πρόσωπον τοῦ ἀνδρὸς ὑπερβάλλον αἴσχει, ἐγέλασαν πάντες. Καί τις εἶπε, Πρὸς τῶν θεῶν, ὦ Σαμβαύλα, ποίῳ ποτέ σε ἔργῳ ὁ ἀνὴρ οὗτος ἀνήρτηται;
Καὶ ὃς εἶπεν· Ἐγὼ ὑμῖν, νὴ τὸν Δία, ὦ ἄνδρες, 30
ἐρῶ. Ὁποσάκις γὰρ αὐτὸν ἐκάλεσα, εἴτε νυκτὸς εἴτε ἡμέρας, οὐ πώποτέ μοι οὔτ' ἀσχολίαν προὐφασίσατο, οὔτε βάδην ὑπήκουσεν, ἀλλ' ἀεὶ τρέχων· ὁποσάκις τε αὐτῷ πρᾶξαί τι προσέταξα, οὐδὲν ἀνιδρωτί ποτε αὐτὸν εἶδον ποιοῦντα. Πεποίηκε δὲ καὶ τοὺς δεκαδέας πάντας τοιούτους, οὐ λόγῳ, ἀλλ' ἔργῳ ἀποδεικνὺς οἵους δεῖ εἶναι. Καί τις 31
εἶπε, Κᾄπειτα τοιοῦτον ὄντα οὐ φιλεῖς αὐτόν, ὥσπερ τοὺς συγγενεῖς; Καὶ ὁ αἰσχρὸς ἐκεῖνος πρὸς τοῦτο εἶπε· Μὰ Δία, ἔφη· οὐ γὰρ φιλόπονός ἐστιν· ἐπεὶ ἤρκει ἂν αὐτῷ, εἰ ἐμὲ ἤθελε φιλεῖν, τοῦτο ἀντὶ πάντων γυμνασίων.

ἔφη, ἀλλ' ἦ] Quidam voluerunt ἔφη, ἦ et mox συνών τε τούτῳ καὶ θεώμενος sine τοῦτον.

§. 29. ὑπερβάλλον αἴσχει] i. q. ὑπέραισχρον, quod hic obtulerunt codices. De Venat. X. 20. ὑπερβάλλον δυνάμει. Plat. Gorg. §. 67. λύπῃ ἢ κακῷ ὑπερβάλλον κ. τ. λ.

§. 30. τοὺς δεκαδέας] »Hinc intelligitur hominem istum deformem fuisse δεκάδαρχον.« Zeun.

§. 31. Κᾄπειτα τοιοῦτον – αὐτόν] et tamen (Viger. p. 783 sq.) eum, talis cum sit, non oscularis? Gabr. Vid. I. 4, 27. sqq. Anab. VI. 6, 23. Τοῦτον οὖν τοιοῦτον ὄντα ἀφειλόμην. Terent. Eunuch. I. 2, 81. ne illum talem praeripiat tibi, quo loco consulendus Ruhnken.

οὐ γὰρ φιλ. – γυμνασίων] non male Italus: »neque enim est laboris admodum studiosus; esset autem is ei, si animum induceret, ut me oscularetur, labor omnium laborum maximus.«

CAPUT III.

Causa de praemiis in concione agitur. Cyrus rem ad deliberandum proponit. E procerum ordine Chrysantas statuit, ut in ea re virtutis singulorum ratio habeatur. E plebeiorum ordine Pheraulas praestantissima oratione idem suadet, simulque decernit dignitatis et virtutis iudicium esse Cyro permittendum.

Τοιαῦτα μὲν δὴ καὶ γελοῖα καὶ σπουδαῖα καὶ ἐλέγετο καὶ ἐπράττετο ἐν τῇ σκηνῇ. Τέλος δὲ τὰς τρίτας σπονδὰς ποιήσαντες, καὶ εὐξάμενοι τοῖς θεοῖς τἀγαθά, τὴν σκηνὴν εἰς κοίτην διέλυον. Τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος συνέλεξε τοὺς στρατιώτας πάντας, καὶ ἔλεξε τοιάδε·

2 Ἄνδρες φίλοι, ὁ μὲν ἀγὼν ἐγγὺς ἡμῖν· προσέρχονται γὰρ οἱ πολέμιοι. Τὰ δ' ἆθλα τῆς νίκης, ἢν μὲν ἡμεῖς νικῶμεν, δῆλον, ὅτι οἵ τε πολέμιοι ἂν ἡμέτεροι, καὶ τὰ τῶν πολεμίων ἀγαθὰ πάντα· ἢν δὲ ἡμεῖς αὖ νικώμεθα, τοῦτο γὰρ ἀεὶ δεῖ λέγειν, ἔφη,

§. 2. ἢν μὲν ἡμεῖς etc.] ἢν μὲν ἡμεῖς νικῶμεν, τοῦτο γὰρ δεῖ καὶ λέγειν, ἔφη, καὶ ποιεῖν· καὶ οὐ, τὰ τῶν νικωμένων πάντα

Cap. III. §. 1. *τὰς τρίτας σπονδὰς ποιήσαντες*] Persis quales libationes fuerint, ex Brissonii lib. de regno Pers. p. 378 sq. divinari magis quam intelligi potest. Sed Graeci in conviviis libamina dabant diis vino in ignem coniecto, primum ineunte coena: iterum peracta coena et ineunte compotatione: tertium peracta compotatione et convivio: primus calix miscebatur Iovi Olympio, secundus heroibus, tertius Iovi Servatori. Phot. Lex. Porson. p. 523 ed. Lips. *τὸν μὲν πρῶτον (κρατῆρα) Ὀλυμπίων φασί· τὸν δέ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Ὀλυμπικῶς τῷ Σωτῆρί τε καὶ Ὀλυμπίῳ.* Alii tamen aliter de his tradiderunt, vid. Zeun. et Fischer. ad h. l. Activo *ποιήσαντες* qui medium substituerunt, mirum ni sollicitanda putarunt haec Anab. IV. 3, 14. *Ἀκούσας δὲ καὶ ὁ Χειρίσοφος σπονδὰς ἐποίει. Σπείσαντες δὲ τοῖς μὲν ἄλλοις παρήγγελλον συσκευάζεσθαι*, aliaque bene multa, quibus se vulgata abunde tuebitur. Vid. infra III. 1, 4. not. ad Anab. II. 2, 17. Stallbaum ad Plat. Phileb. p. 177. et Elmslei. ad Arist. Acharn. 58.

τὴν σκηνὴν εἰς κοίτην διέλυον] convivium dissolverunt cubitumque iere. Gabr. Cf. III. 2, 31. et not. ad I. 2, 8.

§. 2. *Τὰ δ' ἆθλα τῆς νίκης*] ad praemia victoriae quod attinet. Matth. §. 426, 2.

ἂν ἡμέτεροι] scil. *εἴησαν*, ut *εἴη* I. 4, 12. deerat.

ἢν δὲ ἡμεῖς αὖ νικώμεθα] Sic *αὖ* a *δέ* diremtum VI. 3, 12. *Ἐν τούτῳ δὲ παρῆν ἄλλος αὖ ἀπὸ τοῦ σκοπάρχου.* Hier. I, 30. *ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι.*

καὶ ποιεῖν· καὶ οὕτω τὰ τῶν νικωμένων πάντα τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται. Οὕτω δή, ἔφη, δεῖ 3 ὑμᾶς γιγνώσκειν, ὡς, ὅταν μὲν ἄνθρωποι, κοινωνοὶ πολέμου γενόμενοι, ἐν ἑαυτοῖς ἕκαστοι ἔχωσιν, εἰ μὴ αὐτός τις προθυμήσεται, ὡς οὐδὲν ἐσόμενον τῶν δεόντων, ταχὺ πολλά τε καὶ καλὰ διαπράττονται· οὐδὲν γὰρ αὐτοῖς ἀργεῖται τῶν πράττεσθαι δεομένων· ὅταν δὲ ἕκαστος διανοηθῇ, ὡς ἄλλος ἔσται ὁ πράσσων καὶ μαχόμενος, κἂν αὐτὸς μαλακίζηται, τούτοις, ἔφη, εὖ ἴστε, ὅτι πᾶσιν ἅμα πάντα ἥκει τὰ χαλεπὰ φερόμενα. Καὶ ὁ θεὸς οὕτω πως ἐποίησε· τοὺς μὴ θέλοντας 4 ἑαυτοῖς προστάττειν ἐκπονεῖν τἀγαθά, ἄλλους αὐτοῖς ἐπιτακτῆρας δίδωσι. Νῦν οὖν τις, ἔφη, λεγέτω ἐν-

τοῖς νικῶσιν ἀεί Mss. sine sensu, nec placet scriptura edd. sic castiganda: ἣν δὲ ἡμεῖς αὖ νικώμεθα (τοῦτο γὰρ – ποιεῖν) καὶ ἡμέτερα πάντα τοῖς νικῶσιν ἆθλα πρ. Sufficiunt certe verba τὰ δ' ἆθλα τῆς νίκης πάντα τοῖς νικῶσιν ἀεὶ πρόκειται.

§. 4. τοὺς μὴ θέλοντας] τοῖς μὴ θέλουσιν edd.

τοῦτο γὰρ ἀεὶ – ποιεῖν] hoc enim semper, inquit, commemorare oportet et ponere, ut quod fieri possit. Haec verba, siquidem iustum locum occuparunt, Cyrus nec mali ominis causa, neque ut timorem militibus iniiceret, addidisse putandus est, sed ut fortissimos quosque et ignavissimos ad accuratam rerum bellicarum curam et ad fortitudinem incitaret. Quod ni voluisset, cur §. 3. aliquanto, quam hic, gravius de malis locutus esset, quae negligentiores et segniores in pugna exspectarent? Post haec verba aposiopesis statuenda est, cuius natura et ratio, post parenthesin praesertim, tanto patet luculentius, quanto crebrius omissa fuit contraria formula εὖ ἔχει. Conf. Schaefer. edit. Lamb. Bos. de ellips. p. 794. Ita nihil obstat, quo minus quae subiiciuntur καὶ οὕτω – πρόκειται, generalem sententiam constituere existimemus.

§. 3. ὡς, ὅταν μὲν ἄνθρωποι – διαπράττονται] ὡς ἄνθρωποι ταχὺ πολλά τε καὶ καλὰ διαπράττονται, ὅταν μέν, κοινωνοὶ πολέμου γενόμενοι, ἐν ἑαυτοῖς ἔχωσιν ἕκαστοι, ὡς οὐδὲν ἐσόμενον (Matth. §. 569. p. 832), εἰ μὴ αὐτός τις προθυμήσεται.

[ἥκει φερόμενα] ut recte perspicias, quid sibi velit partic. φερόμενος vel φέρων verbis motum significantibus appositum, adi grammat. nostram Graec. §. 130. not. 4. ed. 3. V. C. F. R.]

§. 4. τοὺς μὴ θέλοντας] Accusativus testatur postea scribendum fuisse κελεύουσιν ἄλλοι ἐπιτακτῆρες ἐκπονεῖν τἀγαθά, sed mutatae constructionis pronomen αὐτοῖς indicium facit. Cf. I. 6, 16. 20. II. 1, 5. c. 3, 2. VII. 5, 2. Anab. V. 2, 24. 5, 19. Rost. §. 137. 4. a. p. 546. ed. 3.

θάδε ἀναστὰς περὶ αὐτοῦ τούτου, ποτέρως ἂν τὴν ἀρετὴν μᾶλλον οἴεται ἀσκεῖσθαι παρ' ἡμῖν, εἰ μέλλοι ὁ πλεῖστα καὶ πονεῖν καὶ κινδυνεύειν ἐθέλων πλείστης καὶ τιμῆς τεύξεσθαι, ἢ ἂν εἰδῶμεν, ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι· ὁμοίως γὰρ πάντες τῶν ἴσων τευξόμεθα.
5 *Ἐνταῦθα δὴ ἀναστὰς Χρυσάντας, εἷς τῶν ὁμοτίμων, ἀνὴρ οὔτε μέγας οὔτε ἰσχυρὸς ἰδεῖν, φρονήσει δὲ διαφέρων, ἔλεξεν·*

Ἀλλ' οἶμαι μέν, ἔφη, ὦ Κῦρε, οὐδὲ διανοούμενόν σε, ὡς δεῖ ἴσον τοὺς κακοὺς τοῖς ἀγαθοῖς ἔχειν, ἐμβαλεῖν τοῦτον τὸν λόγον, ἀλλ' ἀποπειρώμενον, εἴ τις ἄρα ἔσται ἀνήρ, ὅςτις ἐθελήσει ἐπιδεῖξαι ἑαυτὸν, ὡς διανοεῖται, μηδὲν καλὸν κἀγαθὸν ποιῶν, ἃ ἂν ἄλλοι τῇ
6 *ἀρετῇ καταπράξωσι, τούτων ἰσομοιρεῖν. Ἐγὼ δέ, ἔφη, οὔτε ποσίν εἰμι ταχύς, οὔτε χερσὶν ἰσχυρός, γιγνώσκω τε, ὅτι ἐξ ὧν ἂν ἐγὼ τῷ ἐμῷ σώματι ποιήσω οὐ κριθείην οὔτε ἂν πρῶτος, οὔτε ἂν δεύτερος, οἶμαι δ' οὐδ' ἂν χιλιοστός, ἴσως δ' οὐδ' ἂν μυριοστός· ἀλλ' ἐκεῖνο, ἔφη, σαφῶς ἐπίσταμαι, ὅτι, εἰ μὲν οἱ δυνατοὶ ἐῤῥωμένως ἀντιλήψονται τῶν πραγμάτων, ἀ-*

§. 6. **ἐκεῖνο, ἔφη]** ἔφη **vulgo omissum accessit ex bonis codd.**

ἢ ἂν εἰδῶμεν – τευξόμεθα] an vero, si sciamus fore, ut nihil referat ignavos esse, quod eadem pariter omnes simus praemia consecuturi. Usum hunc voculae *γάρ* exemplis astruxerunt Heind. ad Plat. Phaedon. §. 79. p. 129. et Matthiae Miscell. phil. T. II. P. I. p. 16 sq.

§. 5. *οὐδὲ διανοούμενόν σε]* ne cogitantem quidem te.

ὅςτις ἐθελήσει] Infra VIII. 4, 22. *Ψυχρῷ δ' ἂν βασιλεῖ, πρὸς τῶν θεῶν, ἔχοις ἂν εἰπεῖν, ποία τις συνοίσει.* Anabas. VI. 6, 18. *Συμπέμψατε μέντοι μοι – πρὸς Κλέανδρον, οἵτινες, ἄν τι ἐγὼ παραλείπω, καὶ λέξουσιν ὑπὲρ ἐμοῦ καὶ πράξουσιν.* I. 3, 14. Thucyd. I. 63. *ἠπόρησε μὲν, ὁποτέρωσε διακινδυνεύσει χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου, ἢ ἐς τὴν Ποτίδαιαν.* Vid. ad II. 2, 21.

ἐπιδεῖξαι ἑαυτὸν, ὡς δ.] i. q. *ἐπιδεῖξαι, ὡς αὐτὸς διανοεῖται.* Rost. §. 122. 8.

§. 6. *γιγνώσκω τε]* Vecula *τέ* negationes *οὔτε – οὔτε* excipit. Anabas. IV. 4, 6. *Ὁ δὲ εἶπεν, ὅτι σπείσασθαι βούλοιτο, ἐφ' ᾧ μήτε αὐτὸς τοὺς Ἕλληνας ἀδικεῖν, μήτε ἐκείνους καίειν τὰς οἰκίας, λαμβάνειν τε τὰ ἐπιτήδεια, ὅσων δέοιντο.* Cf. ibid. 3, 6. II. 5, 4. 2, 8 et Matth. §. 602. Non aliter apud Romanos neque – et sibi respondent.

ἐξ ὧν] i. q. *ἐξ ἐκείνων ἅ –.*

γαθοῦ τινός μοι μετέσται τοσοῦτον μέρος, ὅσον ἂν δίκαιον ᾖ· εἰ δ' οἱ μὲν κακοὶ μηδὲν ποιήσουσιν, οἱ δ' ἀγαθοὶ καὶ δυνατοὶ ἀθύμως ἕξουσι, δέδοικά γε, ἔφη, μὴ ἄλλου τινὸς μᾶλλον ἢ τοῦ ἀγαθοῦ μεθέξω πλέον ἢ βούλομαι. Χρυσάντας μὲν δὴ οὕτως εἶπεν. Ἀνέστη 7
δ' ἐπ' αὐτῷ Φεραύλας, Πέρσης τῶν δημοτῶν, Κύρῳ πως ἔτι οἴκοθεν ἀρεστὸς ἀνήρ, καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν οὐκ ἀγεννεῖ ἀνδρὶ ἐοικώς, καὶ ἔλεξε τοιάδε·

Ἐγώ, ἔφη, ὦ Κῦρε καὶ πάντες οἱ παρόντες Πέρ- 8
σαι, ἡγοῦμαι μὲν ἡμᾶς ἐκ τοῦ ἴσου νῦν ὁρμᾶσθαι πάντας εἰς τὸ ἀγωνίζεσθαι περὶ ἀρετῆς. Ὁρῶ γὰρ ὁμοίᾳ μὲν τροφῇ πάντας ἡμᾶς τὸ σῶμα ἀσκοῦντας, ὁμοίας δὲ συνουσίας πάντας ἀξιουμένους· ταὐτὰ δὲ πᾶσιν ἡμῖν πρόκειται. Τὸ γὰρ τοῖς ἄρχουσι πείθεσθαι πᾶσιν ἐν κοινῷ κεῖται· καὶ ὃς ἂν φανῇ τοῦτο ἀπροφασίστως ποιῶν, τοῦτον ὁρῶ παρὰ Κύρου τιμῆς τυγχάνοντα· τό

§. 7. *οἴκοθεν ἀρεστὸς ἀν.*] Damnant Mss. *συνήθης καὶ* post *οἴκοθεν* et *οὐκ ἀφυὴς* post *σῶμα.*

§. 8. *τροφῇ πάντας ἡμᾶς*] Legendum *τροφῇ ἡμᾶς τὰ πάντα ἀσκ.* vel *τροφῇ τὰ πάντα ἡμᾶς τὸ σῶμα ἀσκ.*

μεθέξω πλέον] His vulgo *μέρος* adnectitur, neutri rationi repugnante Graecitate, vid. Hieron. II. 7. Lamb. Bos. de ellips. p. 278. Schaef. et Heindorf. ad Plat. Sophist. p. 338 sq. Futurum illud *μεθέξω*, satis est exemplorum, quibus tueantur Matth. §. 520. n. 4. Buttm. §. 135. n. 4. Veretur autem Chrysantas, ne, clade accepta, libertate et vita privetur.

§. 7. *τῶν δημοτῶν*] Antea §. 5. *εἷς τῶν ὁμοτίμων.* Nimirum in talibus *εἷς* promiscue vel addi vel omitti non fugit Heindorfium ad Plat. Gorg. §. 171. p. 231.

§. 8. *ἡγοῦμαι μὲν ἡμᾶς – ἀρετῆς*] existimo quidem nos omnes nunc pari ratione in certamen de virtute descendere. §. 9. demum in verbis *Νῦν δέ* subiicitur, quod illud *μέν* respiciat.

ὁμοίᾳ μὲν τροφῇ – τὸ σῶμα ἀσκοῦντας] Dilucidius scripsisset *ὁμοίᾳ μὲν τροφῇ χρησαμένους πάντας ἡμᾶς τὸ σ. ἀσκ.* Quanquam nos quoque dicimus bei gleicher Nahrung den Körper üben.

πρόκειται] Ne quis *προκείμενα* in edd. repertum praeferendum putet, consuli possunt §. 17. §. 21. I. 3, 5. III. 3, 67. Viger. p. 469. a.

ἐν κοινῷ κεῖται] in medio positum est Latini, ut Terent. Phorm. Prol. 16. *In medio omnibus palmam esse positam, qui artem tractant musicam*, ubi vid. Ruhnken. et Wyttenbach. Animadv. in Iulian. Or. p. 172.

τε τὰ πρὸς τοὺς πολεμίους ἄλκιμον εἶναι οὐ τῷ μὲν
προςῆκον, τῷ δ' οὔ, ἀλλὰ πᾶσι καὶ τοῦτο προκέκριται
9 κάλλιστον εἶναι. Νῦν δέ, ἔφη, ἡμῖν καὶ δέδεικται
μάχη, ἣν ἐγὼ ὁρῶ πάντας ἀνθρώπους φύσει ἐπισταμέ-
νους, ὥςπερ γε καὶ τἄλλα ζῶα ἐπίστανταί τινα μάχην
ἕκαστα, οὐδὲ παρ' ἑνὸς ἄλλου μαθόντα ἢ παρὰ τῆς φύ-
σεως· οἷον ὁ βοῦς κέρατι παίειν, ὁ ἵππος ὁπλῇ, ὁ κύων
στόματι, ὁ κάπρος ὀδόντι. Καὶ φυλάττεσθαι δέ, ἔφη,
ἅπαντα ταῦτα ἐπίστανται, ἀφ' ὧν μάλιστα δεῖ, καὶ
10 ταῦτα εἰς οὐδενὸς διδασκάλου πώποτε φοιτήσαντα. Καὶ
ἐγώ, ἔφη, ἐκ παιδίου εὐθὺς προβάλλεσθαι ἠπιστάμην
πρὸ τούτων, ὅ τι οἰοίμην πληγήσεσθαι· καὶ εἰ μὴ ἄλλο
μηδὲν ἔχοιμι, τὼ χεῖρε προέχων ἐνεπόδιζον, ὅ τι ἠδυ-

§. 9. *ἐπίστανται*] utrobique Mss. vid. not. ad II. 2, 2. 17. vulgo *ἐπίσταται*.

ed. Schaef. Ad *προςῆκον* aut *ἐστί* supplendum, aut ab eodem, quo *κάλλιστον*, illud regimine pendere putabis.

καὶ τοῦτο] sc. *ὥςπερ ἐκεῖνο τὸ τοῖς ἄρχουσι πείθεσθαι*. Verbum *προκρίνειν* illustrarunt interpretes ad Isocrat. Paneg. p. 6. ed. Spohn.

§. 9. *ὥςπερ γε καί*] wie denn auch. Vid. I. 6, 34. II. 1, 27. VI. 2, 21. VII. 5, 79. Heindorf. ad Plat. Gorg. p. 128. Phaed. p. 78.

οὐδὲ παρ' ἑνὸς ἄλλου] ne ab ullo quidem alio, quod non plane convenit cum *παρ' οὐδενὸς ἄλλου*. Sententia veteribus decantata: Anacr. Od. 2. *Φύσις κέρατα ταύροις, Ὁπλὰς δ' ἔδωκεν ἵπποις*. Cic. de N. D. II. 50, 127. *Iam illa cernimus, ut contra vim et metum suis se armis quaeque defendant; cornibus tauri, apri dentibus, morsu leones, aliae fuga se, aliae occultatione tutantur* etc.

καὶ φυλάττεσθαι δὲ – φοιτήσαντα] quin etiam, inquit, hac sibi cavere norunt ab iis omnibus, a quibus maxime opus sit, etsi nullius magistri ludum frequentarint. Casel. De accusativi omissione in *εἰς διδασκάλου* nota sunt omnia post Viger. p. 590. a. Matth. §. 578. Buttm. §. 119. n. 9. Rost. §. 104. n. 17.

§. 10. *προβάλλεσθαι ἠπ. πρὸ τούτων, ὅ τι οἰοίμην πλ.*] praetendere sciebam ei corporis parti, qua me verberatum iri suspicarer. De singulari *ὅ τι* post pluralem illato dictum ad I. 6, 43. Sed libri commendant etiam scripturam *πρὸ τούτων ὅτῳ ᾤμην πλ.* de telo accipiendam, quo peti se puerulus arbitrabatur. Demosth. Phil. I, p. 51. R. *ὥςπερ δὲ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖτε Φιλίππῳ· καὶ γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται, κἂν ἑτέρωσε πατάξῃ τις, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτ' οἶδεν οὔτ' ἐθέλει* priori favet interpretationi.

καὶ εἰ μὴ ἄλλο μηδὲν ἔχοιμι] Plat. Protag. p. 355. a (624.

νάμην, τὸν παίοντα· καὶ τοῦτο ἐποίουν οὐ διδασκόμενος, ἀλλὰ καὶ ἐπ' αὐτῷ τούτῳ παιόμενος, εἰ προβαλοίμην. Μάχαιράν γε μὴν εὐθὺς παιδίον ὢν ἀφήρπαζον, ὅπου ἴδοιμι, οὐδὲ παρ' ἑνὸς οὐδὲ τοῦτο μαθὼν ὅπως δεῖ λαμβάνειν ἢ παρὰ τῆς φύσεως, ὡς ἐγώ φημι. Ἐποίουν γοῦν καὶ τοῦτο κωλυόμενος, οὐ διδασκόμενος· ὥςπερ καὶ ἄλλα ἐστίν, ἃ, εἰργόμενος καὶ ὑπὸ μητρὸς καὶ ὑπὸ πατρὸς, ὑπὸ τῆς φύσεως πράττειν ἠναγκαζόμην. Καί, ναὶ μὰ Δία, ἔπαιόν γε τῇ μαχαίρᾳ πᾶν, ὅ τι δυναίμην λανθάνειν. Οὐ γὰρ μόνον φύσει ἦν, ὥςπερ τὸ βαδίζειν καὶ τρέχειν, ἀλλὰ καὶ ἡδὺ πρὸς τῷ πεφυκέναι τοῦτο ἐδόκει μοι εἶναι. Ἐπεὶ δ' οὖν, ἔφη, 11
αὕτη ἡ μάχη καταλείπεται, ἐν ᾗ προθυμίας μᾶλλον ἢ τέχνης ἔργον ἐστί, πῶς ἡμῖν οὐχ ἡδέως πρὸς τούςδε τοὺς ὁμοτίμους ἀγωνιστέον; ὅπου γε τὰ μὲν ἆθλα τῆς ἀρετῆς ἴσα πρόκειται, παραβαλλόμενοι δὲ οὐκ ἴσα εἰς τὸν κίνδυνον ἴμεν, ἀλλ' οὗτοι μὲν ἔντιμον βίον, ὅςπερ μόνος ἥδιστος βίων, ἡμεῖς δὲ ἐπίπονον μέν, ἄτιμον δέ,

§. 10. ἀφήρπαζον] Vat. pro ἥρπ. Fort. rectius ὑφήρπαζον. Cum eodem et G. mutavi ὑπὸ πατρὸς καὶ ὑπὸ μητρός. Vid. Heind. ad Protag. p. 594.

Heind.) Εἰ δὲ ἀρκεῖ καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι ἀγαθὸν ἢ κακόν. Infra IV. 5, 42. κηρυξάτω μὲν ἤδη, ἔφη, μὴ ἀδικεῖν μηδένα. I. 3. fin. οὔτ' ἄλλον οὐδένα οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψεται.

ἢ παρὰ τῆς φύσεως] Exemplaria deteriora ante ἢ intersertum habent ἄλλου, quo locus eundem colorem et verba similia §. 9. accipiat. Sed vid. I. 4, 13. et VII. 5, 41.

ὅ τι δυναίμην λανθάνειν] i. e. ὅτι παίων δυναίμην λανθάνειν. Cf. ad Viger. p. 258 sq.

οὐ γὰρ μόνον — εἶναι] non enim solum nativum hoc erat, ut ambulare et currere, sed etiam suave, praeterquam quod nativum erat, hoc mihi esse videbatur. Isocrat. Nicocl. 47. p. 40. Bekker. πρὸς τῷ πεφυκέναι καὶ διεγνωκότες, ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή.

§. 11. αὕτη ἡ μάχη] hoc pugnae genus, in quo gladio, lorica et clipeo utendum est, vid. §. 9. ineunt.

παραβαλλόμενοι δὲ — ἴμεν] non tamen paria in discrimen adducentes periculum adibimus nos et homotimi. Nam εἰς κίνδυνον παραβάλλεσθαί τι in usu fuisse ne Stephanus quidem ad h. l. comprobare potuit collatis Iliad. IX. 322. et Thucyd. II. 44. III. 65, 15.

12 ὅςπερ, οἶμαι, χαλεπώτατος. *Μάλιστα δέ*, ὦ ἄνδρες, τοῦτό με εὐθύμως εἰς τὸν ἀγῶνα τὸν πρὸς τούςδε παρορμᾷ, ὅτι Κῦρος ὁ κρίνων ἔσται, ὅς οὐ φθόνῳ κρινεῖ· ἀλλὰ σὺν θεῶν ὅρκῳ λέγω, ἦ μὴν ἐμοὶ δοκεῖ Κῦρος, οὕςτινας ἂν ὁρᾷ ἀγαθοὺς, φιλεῖν οὐδὲν ἧττον ἑαυτοῦ· τούτοις γοῦν ὁρῶ αὐτὸν, ὅ τι ἂν ἔχῃ, ἥδιον
13 διδόντα μᾶλλον ἢ αὐτὸν ἔχοντα. *Καίτοι*, ἔφη, οἶδα, ὅτι οὗτοι μέγα φρονοῦσιν, ὅτι πεπαίδευνται δὴ καὶ πρὸς λιμὸν καὶ πρὸς δίψαν καὶ πρὸς ῥῖγος καρτερεῖν, κακῶς εἰδότες, ὅτι καὶ ἡμεῖς ὑπὸ κρείσσονος διδασκάλου πεπαιδεύμεθα ἢ οὗτοι. *Οὐ γὰρ* ἔστι διδάσκαλος οὐδεὶς τούτων κρείσσων τῆς ἀνάγκης, ἣ ἡμᾶς καὶ λίαν
14 ταῦτ' ἀκριβοῦν ἐδίδαξε. *Καὶ πονεῖν* οὗτοι μὲν τὰ ὅπλα φέροντες ἐμελέτων, ἅ ἐστιν ἅπασιν ἀνθρώποις εὑρημένα ὡς ἂν εὐφορώτατα εἴη· ἡμεῖς δέ γε, ἔφη, ἐν μεγάλοις φορτίοις καὶ βαδίζειν καὶ τρέχειν ἠναγκαζόμεθα· ὥςτε νῦν ἐμοὶ δοκεῖν τὸ τῶν ὅπλων φόρημα πτεροῖς μᾶλ-

§. 12. *Μάλιστα δὲ – τοῦτό με εὐθύμως – παρορμᾷ*] Iunge *μάλιστα* cum *εὐθύμως*, ut sit pro *εὐθυμότατα*, acerrime, quod habes III. 3, 12. Permulti enim populi, quorum mihi lingua innotuit, in iisque etiam Graeci, ad comparativos et superlativos circumscribendos utuntur adverbiis. VII. 5, 37. *ὡς ὅτι ἥκιστα ἂν ἐπιφθόνως σπάνιός τε καὶ σεμνὸς φανείη*. III. 3, 70. *πολὺ μᾶλλον χοροῦ ἀκριβῶς εἰδότες*. Fischer. ad Weller. II. p. 121. Cf. II. 2, 27.

ἦ μὴν ἐμοὶ δοκεῖ Κῦρος] Anab. VI. 1, 31. *ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἦ μὴν ἐγώ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην*. Plat. Apol. p. 22. A. *καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες Ἀθηναῖοι, δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν, ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον*. Cf Iacobs. ad Achill. Tat. p. 812. et Buttm. p. 438 sq.

ἑαυτοῦ] i. q. *ἢ ἑαυτόν*. Vid. Matth. §. 454. Buttm. §. 119. n. 5. De seq. *μᾶλλον* comparativo adiecto vid. ad II. 2, 12. et Thiersch. §. 281. 2. d.

§. 13. *διδάσκαλος οὐδεὶς τούτων κρείσσων τῆς ἀνάγκης*] *διδάσκαλος τούτων*, magister harum rerum, nempe patientiae, frigoris, famis et sitis. Similiter Eurip. Alcest. 974. ed. Monk. et Herm. *κρεῖσσον οὐδὲν Ἀνάγκας εὗρον*. Helen. 513. Matth. *λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος, δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον*.

§. 14. *ἅ ἐστιν ἅπ. – εἴη*] i. e. *ἅ ἐστιν οὕτως εὑρημένα, ὡς ἂν ἅπασιν ἀνθρώποις εὐφορώτατα εἴη*.

ἐν μεγάλοις φορτίοις] Praepositionem dictam interpretantur pro *σύν*, ut in Aeschyli Prometh. 431. Blomf. *δάϊος στρατός, ὀξυπρώροισι βρέμων ἐν αἰχμαῖς*.

λον ἐοικέναι ἢ φορτίῳ. Ὡς οὖν ἐμοῦ γε καὶ ἀγωνιουμένου, καί, ὁποῖος ἄν τις ὦ, κατὰ τὴν ἀξίαν με τιμᾶν ἀξιώσοντος, οὕτως, ἔφη, ὦ Κῦρε, γίγνωσκε. Καὶ ὑμῖν δέ, ἔφη, ὦ ἄνδρες δημόται, παραινῶ εἰς ἔριν ὁρμᾶσθαι ταύτης τῆς μάχης πρὸς τοὺς πεπαιδευμένους τούσδε· νῦν γὰρ ἄνδρες εἰλημμένοι εἰσὶν ἐν δημοτικῇ ἀγωνίᾳ. 15
16 Φεραύλας μὲν δὴ οὕτως εἶπεν· ἀνίσταντο δὲ καὶ ἄλλοι πολλοί, ἑκατέρῳ συναγορεύοντες. Ἔδοξε δ' οὖν κατὰ τὴν ἀξίαν τιμᾶσθαι ἕκαστον, Κῦρον δὲ τὸν κρίνοντα εἶναι. Ταῦτα μὲν δὴ οὕτω προὐκεχωρήκεσαν.

Totas centurias Cyrus ob singulares exercitationes ab ipsis institutas epulo excipit.

17 Ἐκάλεσε δ' ἐπὶ δεῖπνον ὁ Κῦρος καὶ ὅλην ποτὲ τάξιν σὺν τῷ ταξιάρχῳ, ἰδὼν αὐτὸν τοὺς μὲν ἡμίσεις τῶν ἀνδρῶν τῆς τάξεως ἀντιτάξαντα ἑκατέρωθεν εἰς ἐμβολήν, θώρακας μὲν ἀμφοτέρους ἔχοντας καὶ γέῤῥα ἐν ταῖς ἀριστεραῖς· εἰς δὲ τὰς δεξιὰς νάρθηκας παχεῖς τοῖς ἡμίσεσιν ἔδωκε, τοῖς δ' ἑτέροις εἶπεν, ὅτι βάλλειν δεήσοι ἀναιρουμένους ταῖς βώλοις.
18 Ἐπεὶ δὲ παρεσκευασμένοι οὕτως ἔστησαν, ἐσήμηνεν αὐτοῖς μάχεσθαι. Ἐν-

§. 16. *προὐκεχωρήκεσαν*] Mss. praeferri iubent numero singulari. Vide ad II. 2, 17.

§. 15. *Ὡς οὖν ἐμοῦ γε – γίγνωσκε*] Structurae rationem attigit Rost. §. 131. 4. not. 3. [Cf. Heindorf. ad Platon. Charmid. p. 117.].

νῦν γὰρ ἄνδρες εἰλ. εἰσὶν ἐν δημοτικῇ ἀγωνίᾳ] nunc enim viri adducti sunt ad plebeium certamen, i. e. nisi fallor, fortes viri (wackere, tüchtige Männer, Helden) eo adducti sunt, ut vobiscum, plebeiis, certamen inituri sint. Cf. Heindorf. ad Platonis Gorg. p. 259.

§. 16. *Φεραύλας – συναγορεύοντες*] Non tam transtulit quam interpretatus est Eugebinus: »His a Chrysanta et a Pheraula dictis, complures alii surrexerunt, et in eorum sententiam ierunt.«

§. 17. *ὅτι βάλλειν δεήσοι ἀναιρουμένους ταῖς βώλοις*] ut glebas de terra sublatas iacerent. Gabr. Breviter dicta esse pro *ὅτι βάλλειν δεήσοι ταῖς βώλοις ἀναιρουμένους αὐτάς*, recte annotavit Poppo cll. VII. 1, 40. VIII. 2, 25. 3, 27. Addendus Wyttenbach. ad Plutarch. Praecept. san. tuend. p. 807 sq.

ταῦθα δὴ οἱ μὲν βάλλοντες ταῖς βώλοις ἔστιν οἳ [καὶ] ἐτύγχανον καὶ θωράκων καὶ γέῤῥων, οἱ δὲ καὶ μηροῦ καὶ κνημῖδος. Ὅπου δὲ ὁμόσε γένοιντο, οἱ τοὺς νάρθηκας ἔχοντες ἔπαιον τῶν μὲν μηρούς, τῶν δὲ χεῖρας, τῶν δὲ κνήμας· τῶν δὲ καὶ ἐπικυπτόντων ἐπὶ βώλους ἔπαιον τοὺς τραχήλους καὶ τὰ νῶτα. Τέλος δὲ τρεψάμενοι ἐδίωκον οἱ ναρθηκοφόροι, παίοντες σὺν πολλῷ γέλωτι καὶ παιδιᾷ. Ἐν μέρει γε μὴν οἱ ἕτεροι πάλιν λαβόντες τοὺς νάρθηκας, ταὐτὰ ἐποίησαν τοὺς ταῖς
19 βώλοις βάλλοντας. Ταῦτα δ' ἀγασθεὶς ὁ Κῦρος, τοῦ μὲν ταξιάρχου τὴν ἐπίνοιαν, τῶν δὲ τὴν πειθώ, ὅτι ἅμα μὲν ἐγυμνάζοντο, ἅμα δὲ εὐθυμοῦντο, ἅμα δὲ ἐνίκων οἱ εἰκασθέντες τῇ τῶν Περσῶν ὁπλίσει, τούτοις δὲ ἡσθεὶς ἐκάλεσέ τε ἐπὶ δεῖπνον αὐτούς, καὶ ἐν τῇ σκηνῇ ἰδών τινας αὐτῶν ἐπιδεδεμένους, τὸν μέν τινα αὐτῶν ἀντικνήμιον, τὸν δὲ χεῖρα, ἠρώτα τί πάθοιεν. Οἱ
20 δ' ἔλεγον, ὅτι πληγεῖεν ταῖς βώλοις. Ὁ δὲ πάλιν ἐπηρώτα, πότερον ἐπεὶ ὁμοῦ ἐγένοντο, ἢ ὅτε πρόσω ἦσαν. Οἱ δ' ἔλεγον, ὅτε πρόσω ἦσαν· ἐπεὶ δὲ ὁμοῦ ἐγένοντο, παιδιὰν ἔφασαν εἶναι καλλίστην οἱ ναρθηκοφόροι. Οἱ δ' αὖ συγκεκομμένοι τοῖς νάρθηξιν ἀνέκραγον, ὅτι οὐ

§. 18. *οἱ μὲν βάλλοντες τ. β. ἔστιν οἳ καὶ ἐτ.*] Debebat esse *τῶν μὲν βαλλόντων ταῖς βώλοις ἔνιοι καὶ ἐτύγχανον*, uti ad I. 1, 1. ostendimus. At delendum videtur istud *καί* ante *ἐτύγχανον*, quippe ex vetusta lectione illatum.

τρεψάμενοι ἐδίωκον] fuerunt qui de nominativo absoluto cogitarent, atque adeo *τρεψαμένους* reponendum iudicarent, non memores mediam hanc formam sexcenties etiam apud Xenophontem designare in fugam conicere.

Ἐν μέρει γε μὴν οἱ ἕτεροι – βάλλοντας] vicissim vero illi rursus acceptis ferulis idem fecerunt adversus eos, qui glebis pugnabant. Proponentibus *βαλόντας* non assentior propterea, quod glebis adhuc uti videntur in fugam conversi, dum ab adversariis ferulis caeduntur.

§. 19. *τούτοις δὲ ἡσθείς*] Eodem modo pronomini *οὗτος* postponebatur *δέ* I. 6, 43. Cf. Wolf. ad Hellen. I. 3, 10.

τὸν μέν τινα – τὸν δέ] Sic V. 5, 39. *ὁ μέν τις οἰνοχόον καλόν, ὁ δὲ ὀψοποιὸν ἀγαθόν, ὁ δὲ ἀρτοποιόν.* Anabas. III. 3, 19. *Τοὺς μέν τινας παρ' ἐμοί, τοὺς δὲ τῷ Κλεάρχῳ καταλελειμμένους.* Matth. §. 288. Viger. p. 4. b. Iterati pronominis *αὐτῶν* exempla nonnulla attuli ad Conviv. II. 6. p. 66.

§. 20. *παιδιὰν ἔφασαν εἶναι καλλίστην οἱ ναρθ.*] iocum aiebant pulcherrimum fuisse qui bacillis usi fue-

σφίσι γε δοκοίη παιδιὰ εἶναι τὸ ὁμόθεν παίεσθαι· ἅμα δὲ ἐπεδείκνυσαν τῶν ναρθήκων τὰς πληγὰς καὶ ἐν χερσὶ καὶ ἐν τραχήλοις, ἔνιοι δὲ καὶ ἐν προσώποις. Καὶ τότε μέν, ὥσπερ εἰκός, ἐγέλων ἐπ᾽ ἀλλήλοις. Τῇ δ᾽ ὑστεραίᾳ μεστὸν ἦν τὸ πεδίον πᾶν τῶν τούτους μιμουμένων· καὶ εἰ μὴ ἄλλο τι σπουδαιότερον πράττοιεν, ταύτῃ τῇ παιδιᾷ ἐχρῶντο.

Ἄλλον δέ ποτε ἰδὼν ταξίαρχον, ἄγοντα τὴν τάξιν 21 ἀπὸ τοῦ ποταμοῦ ἐπὶ τὸ ἀριστερὸν ἐφ᾽ ἑνός, καί, ὁπότε καιρὸς δοκοίη αὐτῷ εἶναι, παραγγέλλοντα τὸν ὕστερον λόχον παράγειν καὶ τὸν τρίτον καὶ τὸν τέταρτον εἰς μέτωπον· ἐπεὶ δὲ ἐν μετώπῳ οἱ λοχαγοὶ ἐγένοντο, παρηγγύησεν εἰς δύο ἄγειν τὸν λόχον· ἐκ τούτου δὴ παρῆγον οἱ δεκάδαρχοι εἰς μέτωπον· ὁπότε δὲ αὖ ἐδόκει αὐτῷ καιρὸς εἶναι, παρήγγειλεν εἰς τέτταρας τὸν λόχον· οὕτω δὴ οἱ πεμπάδαρχοι αὖ παρῆγον εἰς τέσσαρας· ἐπεὶ δὲ ἐπὶ θύραις τῆς σκηνῆς ἐγένοντο, παραγγείλας αὖ ὡς εἰς ἕνα ἰόντων, οὕτως εἰςῆγε τὸν πρῶτον λόχον, καὶ

§. 21. *παραγγείλας αὖ ὡς εἰς ἕνα ἰόντων*] Fort. *παραγγείλας αὖ*

rant, nempe primi; hos enim solos adhuc Cyrus interrogaverat. Qui glebis ab initio pugnaverant, hos puta statim exclamare, sibi non videri lepidum esse cominus caedi.

§. 21. *ἰδὼν ταξίαρχον*] Mutata paullum structura verbum finitum subiicitur demum in his *τοῦτον οὖν ὁ Κῦρος ἀγασθεὶς — ἐκάλεσε καὶ ταύτην τὴν τάξιν ἐπὶ τὸ δεῖπνον.*

ἐπὶ τὸ ἀριστερόν] ita ut ad sinistram centurionis milites in partes distraherentur. Anab. VI. 5, 11. *τὴν μὲν ἐπὶ τὸ δεξιὸν ἐπέτρεψεν ἐφέπεσθαι.* Contra qui *ἐπὶ τὸ ἄριστον* probant, *ἄριστον* et *δεῖπνον* synonyma esse statuunt.

τὸν ὕστερον λόχον] i. q. *τὸν δεύτερον λόχον.* Nam si centuriam praefectus a fluvio duxit ita, ut singuli singulos sequerentur milites (*ἐφ᾽ ἑνός*), primus lochus is fuerit oportet, qui duxit lochos reliquos, cuius in fronte iam versabatur lochagus. Primi igitur lochi suum quisque miles locum obtinuit, donec reliqui quoque lochi in fronte essent. Quo facto cuncti lochi simul cum primo bipartiti iubentur procedere (*παρηγγύησεν εἰς δύο ἄγειν τὸν λόχον*), ut decuriones in frontem producantur etc.

παρήγγειλεν εἰς τέτταρας τὸν λόχον] Anab. I. 5, 13. *καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα.* Similis usus est verbi *κελεύειν* Hellen. II. 3, 54. *Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην.*

ἰόντων] dubito an nusquam apud hunc scriptorem, qui *ἴτωσαν* Anab. I. 4, 8. usurpavit, im-

τὸν δεύτερον τούτου κατ' οὐρὰν ἐκέλευσεν ἕπεσθαι, καὶ τὸν τρίτον καὶ τὸν τέταρτον ὡσαύτως παραγγείλας ἡγεῖτο ἔσω· οὕτω δ' εἰσαγαγὼν κατέκλινεν ἐπὶ τὸ δεῖπνον, ὥσπερ εἰσεπορεύοντο· τοῦτον οὖν ὁ Κῦρος ἀγασθεὶς τῆς τε πρᾳότητος καὶ τῆς διδασκαλίας καὶ τῆς ἐπιμελείας, ἐκάλεσε καὶ ταύτην τὴν τάξιν ἐπὶ τὸ δεῖπνον σὺν τῷ ταξιάρχῳ.

22 Παρὼν δέ τις ἐπὶ τῷ δείπνῳ κεκλημένος ἄλλος ταξίαρχος, Τὴν δ' ἐμήν, ἔφη, ὦ Κῦρε, τάξιν οὐ καλέσεις εἰς τὴν σκηνήν; καὶ μὴν ὅταν γε παρίῃ ἐπὶ τὸ δεῖπνον, πάντα ταῦτα ποιεῖ, καὶ ὅταν τέλος ἡ σκηνὴ ἔχῃ, ἐξάγει μὲν ὁ οὐραγός, ἔφη, ὁ τοῦ τελευταίου λόχου τὸν λόχον, ὑστάτους ἔχων τοὺς πρώτους εἰς μάχην τεταγμένους· ἔπειτα ὁ δεύτερος τοὺς τοῦ ἑτέρου λόχου ἐπὶ τούτοις, καὶ ὁ τρίτος καὶ ὁ τέταρτος ὡσαύτως· ὅπως, ἔφη, καὶ ὅταν δέῃ ἀπάγειν ἀπὸ πολεμίων, ἐπίστωνται, ὡς δεῖ ἀπιέναι. Ἐπειδὰν δέ, ἔφη, καταστῶμεν ἐπὶ

εἰς ἕνα, οὕτως. Pro ἐκέλευεν ἕπ. codd. ἐκέλευσεν ἕπ.

§. 22. καλέσεις] Mss. pro καλεῖς. Mox ἔπειτα δὲ ὁ οὐραγὸς ὁ δεύτερος edd.

perantis sit. Affert quidem Matthiae §. 219. 3. p. 416. ed. 2. Cyrop. 5, 3. (voluit V. 3, 42.), sed ibi melioribus libris iubentibus ἀγόντων editum. » Singulos λόχους, alterum post alterum, secundum post primum, tertium post secundum, introduxit in tentorium, ἰόντας εἰς ἕνα, secundum longitudinem, ergo ad 24 in altitudinem: ubique enim hic ponimus λόχον constitisse 24 militibus gregariis ex Cyr. VI. 3, 21.« Wurm. Observatt. II. p. 6.

οὕτω δ' εἰσαγαγὼν – εἰσεπορεύοντο] Non credam εἰσαγαγών ab Guelf. omissum a scriptoris manu profectum esse, quum sensus hanc sententiam poscat: ita autem accumbere iussit milites, ut introibant.

τῆς δὲ πρᾳότητος καὶ τῆς διδασκαλίας] Nomen prius de lenitate accipio, qua aberrantibus militibus centurio veniam dedit, posterius de ingeniosa ratione, qua milites in armis exerceri iussit; denique ἐπιμέλεια diligentiam assiduam exprimere videtur, qua non prius destitit, quam rite omnia milites didicissent.

§. 22. οὐ καλέσεις εἰς τὴν σκηνήν] non vocabis ad coenam? Vulgarem hanc formam Atticistae iniuria improbarunt, ut καθίσειν Anab. II. 1, 4. ἐλάσω supra I. 4, 20. διατελέσω I. 6, 23. Quo Cyrus §. 23. utitur καλῶ, praesentis est, non futuri temporis.

ὑστάτους ἔχων τοὺς πρώτους εἰς μάχην τετ.] ultimis constitutis iis, qui ad pugnam primi locantur.

τὸν δρόμον, ἔνθα περιπατοῦμεν, ὅταν μὲν πρὸς ἕω ἴωμεν, ἐγὼ μὲν ἡγοῦμαι, καὶ ὁ πρῶτος λόχος πρῶτος, καὶ ὁ δεύτερος ὡς δεῖ, καὶ ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ αἱ τῶν λόχων δεκάδες καὶ πεμπάδες, ἕως ἂν παραγγέλλω ἐγώ· ὅταν δ', ἔφη, πρὸς ἑσπέραν ἴωμεν, ὁ οὐραγός τε καὶ οἱ τελευταῖοι πρῶτοι ἀφηγοῦνται, ἐμοὶ μέντοι ὅμως πείθονται ὑστέρῳ ὄντι, ἵνα ἐθίζωνται καὶ ἕπεσθαι καὶ ἀφηγεῖσθαι ὁμοίως πειθόμενοι. Καὶ ὁ 23
Κῦρος ἔφη· Ἦ καὶ ἀεὶ τοῦτο ποιεῖτε; Ὁποσάκις γε, ἔφη, καὶ δειπνοποιούμεθα, νὴ Δία. Καλῶ τοίνυν, ἔφη, ὑμᾶς, ὅτι ἅμα μὲν τὰς τάξεις μελετᾶτε καὶ προσιόντες καὶ ἀπιόντες, ἅμα δὲ ὅτι καὶ ἡμέρας καὶ νυκτός, ἅμα δὲ ὅτι τά τε σώματα περιπατοῦντες ἀσκεῖτε, καὶ τὰς ψυχὰς ὠφελεῖτε διδάσκοντες. Ἐπεὶ οὖν πάντα διπλᾶ ποιεῖτε, διπλῆν ὑμῖν δίκαιον καὶ τὴν εὐωχίαν παρέχειν.
Μὰ Δί', ἔφη ὁ ταξίαρχος, μήτοι γε ἐν μιᾷ γε ἡμέρᾳ, 24
εἰ μὴ καὶ διπλᾶς ἡμῖν τὰς γαστέρας παρέξεις. Καὶ τότε μὲν δὴ οὕτω τὸ τέλος τῆς σκηνῆς ἐποιήσαντο. Τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος ἐκάλεσεν ἐκείνην τὴν τάξιν, ὥςπερ

§. 23. ὅτι ἅμα μέν] sic Mss., ἅμα μὲν ὅτι edd.

ἐπὶ τὸν δρόμον, ἔνθα περιπατοῦμεν] in campum, in quo deambulamus, incedendo nos exercemus.

ὡς δεῖ] sc. *ἐφ' ἑνός*, ut reliqui manipuli, secundus tamen post primum manipulum, tertius post secundum et post tertium quartus. Itidem alter post alterum incedunt etiam decuriae et semidecuriae, *ἕως ἂν παραγγέλλω ἐγώ*, donec iubeam ego, primum nempe lochagos quattuor cum lochis suis in frontem praecire, deinde secundae decuriae decuriones idem facere, denique semidecuriae praefectos cum semidecuria.

μέντοι ὅμως] etiam Anab. II. 4, 23. *ἐπὶ μέντοι τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμψαν* coniunguntur.

§. 23. *καὶ ἡμέρας καὶ νυκτός*] interdiu et noctu, tam ante coenam in curriculo quam post coenam.

§. 24. *μήτοι γε ἐν μιᾷ γε ἡμ.*] Explicat Hermann. ad Viger. p. 803. contra quem nonnulla disputarunt Bremi et Schaefer. ad Demosth. Olynth. II. p. 265. Cf. Wyttenbach. ad Plutarch. de Ed. Puer. p. 153. et nos ad cap. 2, 3.

Καὶ τότε μὲν δή] opponuntur sequentibus *τῇ δ' ὑστεραίᾳ* teste Iacobs. ad Achill. Tat. p. 719.

Τῇ δ' ὑστεραίᾳ – τῇ ἄλλῃ] postridie Cyrus, ut pollicitus erat, atque etiam perendie illam centuriam invitavit. Gabr.

ἔφη, καὶ τῇ ἄλλῃ. Αἰσθόμενοι δὲ ταῦτα καὶ οἱ ἄλλοι τὸ λοιπὸν πάντες τούτους ἐμιμοῦντο.

CAPUT IV.

Legatis ab Indorum rege ad Cyaxarem missis Cyrus arcessitus dat responsum.

Ἐξέτασιν δέ ποτε πάντων τοῦ Κύρου ποιουμένου ἐν τοῖς ὅπλοις καὶ σύνταξιν, ἦλθε παρὰ Κυαξάρου ἄγγελος λέγων, ὅτι Ἰνδῶν παρείη πρεσβεία· κελεύει οὖν σε ἐλθεῖν ὡς τάχιστα. Φέρω δέ σοι, ἔφη ὁ ἄγγελος, καὶ στολὴν τὴν καλλίστην παρὰ Κυαξάρου· ἐβούλετο γάρ σε ὡς λαμπρότατα καὶ εὐκοσμότατα προσάγειν, ὡς
2 ὀψομένων τῶν Ἰνδῶν, ὅπως ἂν προσίοις. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος παρήγγειλε τῷ πρώτῳ τεταγμένῳ ταξιάρχῳ εἰς μέτωπον στῆναι, ἐφ' ἑνὸς ἄγοντα τὴν τάξιν, ἐν δεξιᾷ ἔχοντα ἑαυτόν· καὶ τῷ δευτέρῳ ἐκέλευσε ταὐτὸ τοῦτο παραγγεῖλαι, καὶ διὰ πάντων οὕτω παραδιδόναι ἐκέλευσεν. Οἱ δὲ πειθόμενοι ταχὺ μὲν παρήγγελλον, ταχὺ δὲ τὰ παραγγελλόμενα ἐποίουν· ἐν ὀλίγῳ δὲ χρόνῳ ἐγέ-

Cap. IV. §. 1. *ἐβούλετο γάρ* etc.] *βούλεται γάρ σε ὡς εὐκοσ. καὶ λαμπρ.* edd. et mox *προσίῃς*.

Cap. IV. §. 1. *Ἰνδῶν παρείη πρεσβεία*] Hos Indos multi, in iisque Hutchinsonus, in Colchide posuerunt, quam Aethiopes, saepius Indi appellati, incoluerint. Sed mores et opes, quas his in libris Xenophon Indis adscribit, vix sinunt dubitare, quin de iis populis cogitaverit, quos Darii aetate Persis, si non subiectos, certe quodam societatis vinculo coniunctos fuisse constat. Habitarunt illi septentrionales Indiae partes Bactris vicinas, quas seriore tempore Alexander expugnare studuit. Vid. Heeren. Ideen T. I. P. I. p. 337 sqq. Sainte-Croix Nouvell. Obs. p. 666. apud Schneid. et Baehr. ad Ctes. reliq. p. 52 sq. 262. 344.

κελεύει οὖν] Transitur ab obliqua in rectam orationem more Graecis pervulgato, de quo vid. Anab. I. 3, 14. 20. VII. 3, 28. 34. Cyr. III. 2, 12. V. 5, 1. VII. 3, 13.

ὅπως ἂν προσίοις] Conviv. VII. 2. *νῦν οὖν σκοπῶ, ὅπως ἂν ὁ μὲν παῖς ὅδε ὁ σὸς καὶ ἡ παῖς ἥδε ὡς ῥᾷστα διάγοιεν, ἡμεῖς δ' αὖ μάλιστ' ἂν εὐφραινοίμεθα θεώμενοι αὐτούς.* Vid. not. ad II. 1, 4.

νοντο τὸ μὲν μέτωπον ἐπὶ τριακοσίων, τοσοῦτοι γὰρ
ἦσαν οἱ ταξίαρχοι, τὸ δὲ βάθος ἐφ' ἑκατόν. Ἐπεὶ δὲ 3
κατέστησαν, ἕπεσθαι ἐκέλευσεν, ὡς ἂν αὐτὸς ἡγῆται·
καὶ εὐθὺς τροχάζων ἡγεῖτο. Ἐπεὶ δὲ κατενόησε τὴν
ἀγυιὰν τὴν πρὸς τὸ βασίλειον φέρουσαν στενωτέραν οὖ-
σαν ἢ ὡς ἐπὶ μετώπου πάντας διϊέναι, παραγγείλας τὴν
πρώτην χιλιοστὺν ἕπεσθαι κατὰ χώραν, τὴν δὲ δευτέ-
ραν κατ' οὐρὰν ταύτης ἀκολουθεῖν, καὶ διὰ παντὸς οὕ-
τως, αὐτὸς μὲν ἡγεῖτο οὐκ ἀναπαυόμενος, αἱ δὲ ἄλλαι
χιλιοστύες κατ' οὐρὰν ἑκάστη τῆς ἔμπροσθεν εἵποντο.
Ἔπεμψε δὲ καὶ ὑπηρέτας δύο ἐπὶ τὸ στόμα τῆς ἀγυιᾶς, 4
ὅπως, εἴ τις ἀγνοοίη, σημαίνοιεν τὸ δέον ποιεῖν. Ὡς
δὲ ἀφίκοντο ἐπὶ τὰς Κυαξάρου θύρας, παρήγγειλε τῷ
πρώτῳ ταξιάρχῳ τὴν τάξιν εἰς δώδεκα τάττειν βάθος,

§. 2. *ἐγένοντο τὸ μὲν μέτωπον ἐπὶ τριακοσίων*] frons aciei constituta est fere trecentorum, imo trecentorum et decem, siquidem praeter triginta millia militum mille homotimis Persarum exercitus (I. 5, 5. II. 1, 2.) constitit, atque decem centuriae nongentos et sexaginta milites gregarios, triginta lochagos, novem centuriones et unum chiliarchum comprehenderunt. Sed si ex triginta millibus universus exercitus compositus erat, prima agminis forma Wurmio l. l. p. 8. interprete erat quadratum oblongum a. b. c. d.



»Graecis *πλαίσιον πρόμηκες* (oblongum) sive *ἑτερόμηκες* (diversa laterum longitudine), cum contra *πλινθίον* esset *ἰσόπλευρον*. Arrian. Tact. p. 69. et Aelian. Tact. c. 48. Oblongi huius quadrati latus a. b. sive longitudo comprehendebat 300., latus a. c. sive latitudo 100 milites, quibus numeris in se ductis efficitur 100 × 300 = 30000, qui est numerus militum omnium. Taxiarchi trecenti stabant extra ordines ante suam quisque *τάξιν*.«

§. 3. *παραγγείλας τὴν πρώτην χιλιοστὺν ἕπεσθαι*] »Quaevis, cum transiret, chilias formavit quadratum oblongum, 1000 milites complexum, cuius latus a. b. seu longitudo nunc erat 10, et latus a. c., sive altitudo, 100 militum. Cum autem 30 essent chiliades, quia 300 centuriae, habemus, ut supra, numerum integrum militum 30 × 1000 = 30000.« Wurm.

§. 4. *ὑπηρέτας δύο*] Vid. ad II. 1, 21.

εἰς δώδεκα — βάθος] »Tertia agminis forma fuit ea, quam in area praetorii Cyaxaris ita instituit Cyrus, ut duodecim milites in altitudine, et, quotquot erant Dodecadarchi, in fronte collocarentur. Cum vero quaevis centuria, demtis 4 Lochagis, constaret 4 × 24 sive 96 militibus, inter quos erant 8 Dodecadarchi, facile colligitur 300 centurias (sive milites 30000) comprehendisse 300 × 8 h. e. 2400

τοὺς δὲ δωδεκάρχους ἐν μετώπῳ καθιστάναι περὶ τὸ βασίλειον· καὶ τῷ δευτέρῳ ταὐτὰ ἐκέλευσε παραγγεῖλαι,
5 καὶ διὰ παντὸς οὕτως. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν· ὁ δ' εἰςῄει πρὸς τὸν Κυαξάρην ἐν τῇ Περσικῇ στολῇ, οὐδέν τι ὑβρισμένῃ. Ἰδὼν δὲ ὁ Κυαξάρης αὐτὸν, τῷ μὲν τάχει ἥσθη, τῇ δὲ φαυλότητι τῆς στολῆς ἠχθέσθη, καὶ εἶπε· Τί τοῦτο, ὦ Κῦρε; οἷον πεποίηκας, οὕτω φανεὶς τοῖς Ἰνδοῖς; Ἐγὼ δ', ἔφη, ἐβουλόμην σε ὡς λαμπρότατον φανῆναι· καὶ γὰρ ἐμοὶ κόσμος ἂν ἦν τοῦτο, ἐμῆς ὄντα ἀδελφῆς υἱὸν ὅ τι μεγαλοπρεπέστατον φαίνε-
6 σθαι. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε· Καὶ ποτέρως ἄν, ὦ Κυαξάρη, μᾶλλόν σε ἐκόσμουν, εἴπερ πορφυρίδα ἐνδὺς, καὶ ψέλλια λαβὼν, καὶ στρεπτὸν περιθέ-

Dodecadarchos. Figurae igitur latus a. b. sive longitudo nunc erat 2400 atque altitudo, seu latus a. c. erat 12., sed 2400 × 12 efficit 28800, quibus si pro quavis centuria adiicias quaternos, ergo pro 300 centuriis 4 × 300 sive 1200 Lochagos, redit numerus universi agminis 30000. Singulare hoc habet tertia aciei forma, quod non tantum, ut in prima ac secunda, Taxiarchos, sed et Lochagos cogitari oportet extra ordinem stantes: neque hoc inusitatum, si conferas III. 3, 11. VI. 3, 21., unde non est, quod interpretum aliqui quaestionem moveant, ubi tandem constiterint isti 1200 Lochagi. « Wurm. Quodsi trecentis illis centuriis alias addiderimus decem centurias, et primum chiliarchum statuerimus myriarchi, taxiarchum primum chiliarchi et primi manipuli lochagum taxiarchi nomen habuisse, in fronte a. b. steterint necesse est praeter tres myriarchos 28 chiliarchi, 279 taxiarchi, 930 lochagi, i. e. 1240 maiorum duces ordinum et totidem decuriones, s. δωδεκάδαρχοι, in longitudine ergo 2480, sed in altitudine a. c. 12, qui numerus duodenarius cum 2480 multiplicatus numerum efficit militum 29760. Iam vero quoniam secundum III. 3, 11. μυρίαρχοι, χιλίαρχοι, ταξίαρχοι et λοχαγοὶ ἀπολελυμένοι ἦσαν τοῦ καταλέγεσθαι ἐν τοῖς τακτικοῖς ἀριθμοῖς, decuriones autem militum ordinibus annumerabantur, fieri non potest, quin 1240 decurionibus ceterorum numero ducum et militum adiectis lucremur 31000: tot enim millibus homotimi et reliquae Persarum copiae constabant. Simul vero etiam intelligitur, qui factum sit, ut, quum 1240 maioribus ducum ordinibus adscripti essent, nec nisi mille homotimi Cyrum secuti essent, e plebeiis interdum centuriones et lochagi eligerentur, quales Pheraulam et Sambaulam (II. 2, 28.) fuisse manifestum est. Cf. II. 1, 23.

§. 5. *οἷον πεποίηκας*] Mirandi vim habet *οἷον*, ut in his Plat. Alcib. I. p. 113. *οἷον τοῦτο ποιεῖς.* p. 119. *Βαβαί, οἷον, ὦ ἄριστε, τοῦτ' εἴρηκας.*

μενος, σχολῇ κελεύοντι ὑπήκουόν σοι, ἢ νῦν, ὅτε σὺν τοιαύτῃ καὶ τοσαύτῃ δυνάμει οὕτως ὀξέως σοι ὑπακούω διὰ τὸ σὲ τιμᾶν, ἱδρῶτι καὶ σπουδῇ καὶ αὐτὸς κεκοσμημένος, καὶ τοὺς ἄλλους ἐπιδεικνύς σοι οὕτω πειθομένους; Κῦρος μὲν οὖν ταῦτα εἶπεν· ὁ δὲ Κυαξάρης, νομίσας αὐτὸν ὀρθῶς λέγειν, ἐκάλεσε τοὺς Ἰνδούς. Οἱ δ' Ἰνδοὶ εἰςελθόντες ἔλεξαν, ὅτι πέμψειε 7
σφᾶς ὁ Ἰνδῶν βασιλεύς, κελεύων ἐρωτᾶν ἐξ ὅτου ὁ πόλεμος εἴη Μήδοις τε καὶ τῷ Ἀσσυρίῳ· ἐπεὶ δὲ σοῦ ἀκούσαιμεν, ἐκέλευσεν ἐλθόντας αὖ πρὸς τὸν Ἀσσύριον κἀκείνου τὰ αὐτὰ ταῦτα πυθέσθαι· τέλος δ' ἀμφοτέροις εἰπεῖν ὑμῖν, ὅτι ὁ Ἰνδῶν βασιλεύς, τὸ δίκαιον σκεψάμενος, φαίη μετὰ τοῦ ἠδικημένου ἔσεσθαι. Πρὸς 8
ταῦτα ὁ Κυαξάρης εἶπεν· Ἐμοῦ μὲν τοίνυν ἀκούετε, ὅτι οὐκ ἀδικοῦμεν τὸν Ἀσσύριον οὐδέν· ἐκείνου δ', εἰ δεῖσθε, ἐλθόντες νῦν πύθεσθε ὅ τι λέγει. Παρὼν δὲ ὁ Κῦρος ἤρετο τὸν Κυαξάρην· Ἦ καὶ ἐγώ, ἔφη, εἴπω ὅ τι γιγνώσκω; Καὶ ὁ Κυαξάρης ἐκέλευσεν. Ὑμεῖς τοίνυν, ἔφη, ἀπαγγείλατε τῷ Ἰνδῶν βασιλεῖ τάδε, εἰ μή τι ἄλλο Κυαξάρῃ δοκεῖ, ὅτι φαμὲν ἡμεῖς, εἴ τί φησιν ὑφ' ἡμῶν ἀδικεῖσθαι ὁ Ἀσσύριος, αἱρούμεθα αὐ-

§. 6. σχολῇ κελεύοντι] σχολῇ σαλεύων ὑπ. Schn. Fort. σαλεύων κελεύοντι ὑπ.

§. 8. αἱρούμεθα] boni codd. αἱρεῖσθαι. Vid. ad Conviv. p. 71.

§. 7. κἀκείνου τὰ αὐτὰ ταῦτα π.] Matth. §. 374. Rost. §. 108. n. 10.

μετὰ τοῦ ἠδικημένου ἔσεσθαι] Anab. I. 3, 5. ἢ πρὸς ἐκεῖνον ψευσάμενον μεθ' ὑμῶν εἶναι multi Porsono praeeunte μεθ' ὑμῶν ἰέναι scribunt, sed recte vulgata opponitur verbis τῇ Κύρου φιλίᾳ χρῆσθαι. Infra eodem sensu σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα III. 2, 22. et V. 4, 37. VII. 5, 77.

§. 8. οὐκ ἀδικοῦμεν] Non dixerim cum Bremio ad Aeschin. Orat. adv. Timarch. p. 83. aliisque ἀδικεῖν pro ἠδικηκέναι dictum esse, sed potius verbum significare iniuste agere, tractare aliquem, ungerecht behandeln. Perfectum in hoc quoque verbo praeteriti vim temporis retinet, dum ἀδικεῖν τινα dicitur, qui laedere aliquem non desinit. Ceterum belli causas cur nec Cyaxares, nec Cyrus Indis exposuerit, quaerentibus responderi potest lectorem eas ex I. 5, 2 sqq. cognitas habere, et Cyaxarem, praeterquam quod ineptam prae se tulit superbiam, revera non habuisse quod hac de re certo in medium proferret, quippe qui se contra iniustum hostium impetum defensurus esset.

τὸν τὸν Ἰνδῶν βασιλέα δικαστήν. Οἱ μὲν δὴ ταῦτα ἀκούσαντες ᾤχοντο.

Cyaxari suadet Cyrus, ut Armeniorum rex, qui defecerat, ad officium redigatur, et, probata re, sub venationis specie cum exercitu ad fines eius accedit.

9 Ἐπεὶ δὲ ἐξῆλθον οἱ Ἰνδοί, ὁ Κῦρος πρὸς τὸν Κυαξάρην ἤρξατο λόγου τοιοῦδε·

Ὦ Κυαξάρη, ἐγὼ μὲν ἦλθον, οὐδέν τι πολλὰ ἔχων ἴδια χρήματα οἴκοθεν· ὁπόσα δ' ἦν, τούτων πάνυ ὀλίγα λοιπὰ ἔχω· ἀνήλωκα δέ, ἔφη, εἰς τοὺς στρατιώτας· καὶ τοῦτο ἴσως, ἔφη, θαυμάζεις σύ, πῶς ἐγὼ ἀνήλωκα, σοῦ αὐτοὺς τρέφοντος· εὖ δ' ἴσθι, ἔφη, ὅτι οὐδὲν ἄλλο ποιῶν ἢ τιμῶν καὶ χαριζόμενος, ὅταν τινὶ
10 ἀγασθῶ τῶν στρατιωτῶν. Δοκεῖ γάρ μοι, ἔφη, πάντας μέν, οὓς ἄν τις βούληται ἀγαθοὺς συνεργοὺς ποιεῖσθαι ὁποιουτινοσοῦν πράγματος, ἥδιον εἶναι εὖ τε λέγοντα καὶ εὖ ποιοῦντα παρορμᾶν μᾶλλον ἢ λυποῦντα καὶ ἀναγκάζοντα· οὓς δὲ δὴ τῶν εἰς τὸν πόλεμον ἔργων ποιήσασθαί τις βούλοιτο συνεργοὺς προθύμους, τούτους παντάπασιν ἔμοιγε δοκεῖ ἀγαθοῖς θηρατέον εἶναι καὶ λόγοις καὶ ἔργοις. Φίλους γάρ, οὐκ ἐχθροὺς δεῖ εἶναι τοὺς μέλλοντας ἀπροφασίστους συμμάχους ἔσεσθαι, καὶ μήτε τοῖς ἀγαθοῖς τοῦ ἄρχοντος φθονήσον-

§. 9. ἤρξατο λόγου] Vid. annot. ad Conviv. VII. 1. De proxime seqq. οὐδέν τι egerunt Matth. §. 487. 5. et Viger. p. 150.

§. 10. ἥδιον – μᾶλλον] Vid. ad II. 2, 12. »Sentio enim, inquit Cyrus, satius esse, ut quoscunque velis cuiuscunque rei fideles socios habere, blanda oratione et beneficiis excites potius, quam verborum asperitate cogas et vi.« Casel. Optativum βούλοιτο non est quod quis in suspicionem vocet, comparatis locis Soph. Antig. 666. Herm. ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν. Oed. Tyr. 706. ὡς αὐτὸν ἥξει μοῖρα πρὸς παιδὸς θανεῖν, ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα. Hermann. ad eiusdem Electr. 1498. Cyrop. I. 6, 19. III. 3, 67. II. 4, 13. In Anab. I. 9, 20. Φίλους γε μὴν ὅσους ποιήσαιτο, καὶ εὔνους γνοίη ὄντας, καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι, ὅ τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν, praevalet quidem tempus praeteritum, sed utrobique pronomen relativum sine sensus dispendio permutari licet cum εἴ τινας. Cf. Thiersch. §. 347.

τας, μήτε ἐν τοῖς κακοῖς ὀῤῥωδήσοντας. Ταῦτ᾽ οὖν 11
ἐγὼ οὕτω προγιγνώσκων, χρημάτων δοκῶ προςδεῖσθαι. Πρὸς μὲν οὖν σὲ πάντα ὁρᾶν, ὃν αἰσθάνομαι πολλὰ δαπανῶντα, ἄτοπόν μοι δοκεῖ εἶναι· σκοπεῖν δ᾽ ἀξιῶ κοινῇ καὶ σὲ καὶ ἐμέ, ὅπως σὲ μὴ ἐπιλείψει χρήματα. Ἐὰν γὰρ σὺ ἄφθονα ἔχῃς, οἶδ᾽ ὅτι καὶ ἐμοὶ ἂν εἴη λαμβάνειν, ὁπότε δεοίμην, ἄλλως τε καὶ εἰ εἰς τοιοῦτόν τι λάβοιμι, ὃ μέλλει καὶ σοὶ δαπανηθὲν βέλτιον εἶναι.
Ἔναγχος μὲν οὖν ποτε μέμνημαί σου ἀκούσας, ὡς ὁ 12
Ἀρμένιος καταφρονοίη σου νῦν, ὅτι ἀκούει τοὺς πολεμίους προςιόντας ἡμῖν· καὶ οὔτε τὸ στράτευμα πέμποι, οὔτε τὸν δασμόν, ὃν ἔδει, ἀπάγοι. Ποιεῖ γὰρ ταῦτα, ἔφη, ὦ Κῦρε, ἐκεῖνος· ὥςτε ἔγωγε ἀπορῶ, πότερόν μοι κρεῖττον στρατεύεσθαι καὶ πειρᾶσθαι ἀνάγκην αὐτῷ προςθεῖναι, ἢ λυσιτελεῖ νῦν ἐᾶσαι ἐν τῷ παρόντι,

§. 11. *λάβοιμι*] Sic Vat. pro *λαμβάνοιμι*. Praestat etiam *μέλλοι* ex G. V. Antea coni. Schn. *πάντων ὁρώντων – δαπανῶντά σε*.

§. 12. *ἢ λυσιτελεῖ* etc.] *ἢ νῦν ἐᾶσαι* omisso *λυσιτελεῖ*. A.

§. 11. *οὕτω προγιγνώσκων*] ita ante statuens quam bellum suscipiamus, ubi fidelibus sociis et commilitonibus opus habebimus.

Πρὸς μὲν οὖν σὲ πάντα ὁρᾶν] et ad te quidem omnia respicere, eo consilio, ut auxilium iis feras. Mem. IV. 2, 2. *ὥςτε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν πόλιν*. Hellen. VI. 1, 8. *ἡ σὴ πατρὶς εἰς σὲ ἀποβλέπει*. Alles sieht auf dich populares dicant. Frequentius homines dicuntur *ὁρᾶν* et *βλέπειν εἴς τινα* vel *εἴς τι*, quo sensu, docent Iens. ad Lucian. D. M. XI. p. 547 sq. ed. Lehm. et Heindorf. ad Plat. Soph. p. 330. Licere vero etiam *πάντα* adverbialiter accipi, ut sensus sit: in omnibus nos rebus ad te confugere, iniuria dubitabitur. Vid. Iacobs ad Achill. Tat. p. 921.

ὅπως σὲ μὴ ἐπιλείψει] Vid. ad 3, 6.

ἄλλως τε καὶ – βέλτιον εἶναι] praesertim si ad eam rem sumam, in quam quod expensum fuerit tibi etiam sit maxime profuturum. Gabr. Vulgarius fuisset – *εἰ λάβοιμι δαπανᾶν εἰς τοιοῦτόν τι, ὃ μέλλει καὶ σοὶ βέλτιον εἶναι*.

§. 12. *ὅτι ἀκούει*] Weckherlin. dedit *ὅτε ἀκ.* ut §. 6. sed temere, ut arbitror. Non magis sollicitandus indicativus Anab. VI. 6, 4. *Ἔπεμπον δὲ καὶ οἱ πολέμιοι ἤδη – ἀκούοντες, ὅτι οὗτος πολίζει τὸ χωρίον*. Adde quae ad c. 3, 5. collegi.

καὶ οὔτε] Repete ex antecedd. *καὶ ὡς οὔτε*. Ad particulam *γάρ* in his *ποιεῖ γάρ* cf. not. ad I. 4, 27.

νῦν ἐ. ἐν τῷ παρόντι] habes etiam III. 1, 29. V. 4, 30. et Conviv. VIII. 4.

μὴ καὶ τοῦτον πολέμιον πρὸς τοῖς ἄλλοις προςθώμεθα.
Καὶ ὁ Κῦρος ἐπήρετο· Αἱ δ' οἰκήσεις αὐτῷ πότερον
13 ἐν ἐχυροῖς χωρίοις εἰσίν, ἢ καί που ἐν εὐεφόδοις; Καὶ
ὁ Κυαξάρης εἶπεν· Αἱ μὲν οἰκήσεις οὐ πάνυ ἐν ἐχυ-
ροῖς· ἐγὼ γὰρ τούτου οὐκ ἠμέλουν· ὄρη μέντοι ἐστίν,
ἔνθα δύναιτ' ἂν ἀπελθὼν ἐν τῷ παραχρῆμα ἐν ἀσφαλεῖ
εἶναι τοῦ μήτ' αὐτός γε ὑποχείριος γενέσθαι, μηδὲ ὅσα
ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι, εἰ μή τις πολιορκοίη
προςκαθήμενος, ὥσπερ καὶ ὁ ἐμὸς πατήρ ποτε ἐποίησεν.
Ἐκ τούτου δὴ ὁ Κῦρος λέγει τάδε· Ἀλλ' εἰ θέλοις,
14 ἔφη, ἐμὲ πέμψαι, ἱππέας μοι προςθείς, ὁπόσοι δο-
κοῦσι μέτριοι εἶναι, οἶμαι ἂν σὺν τοῖς θεοῖς ποιῆσαι
αὐτὸν καὶ τὸ στράτευμα πέμψαι, καὶ ἀποδοῦναι τὸν
δασμόν σοι· ἔτι δὲ ἐλπίζω καὶ φίλον αὐτὸν μᾶλλον ἡμῖν
γενήσεσθαι ἢ νῦν ἐστι. Καὶ ὁ Κυαξάρης εἶπε· Καὶ
15 ἐγώ, ἔφη, ἐλπίζω ἐκείνους ἐλθεῖν πρὸς σὲ μᾶλλον ἢ
πρὸς ἐμέ· ἀκούω γάρ, ὅτι καὶ συνθηρευτάς τινας τῶν
παίδων σοι γενέσθαι αὐτοῦ· ὥςτε ἴσως ἂν καὶ πάλιν ἔλ-

§. 13. *ὥςπερ καί*] Sic V., *ὥςπερ* edd. *πατὴρ τότε ἐπ.* Iacobs. ad Achill. Tat. p. 712., *πατὴρ τοῦτο ἐπ.* Mss.

§. 14. *μέτριοι*] codd. pro *ἱκανοί*.

§. 13. *Αἱ δ' οἰκήσεις*] Rerum gerendarum cupidus Cyrus neglecta Cyaxaris dubitatione statim de regiae situ quaerit, quasi nihil esset facilius quam Armeniorum regem capere et ad officium redigere.

ἐγὼ γὰρ τούτου οὐκ ἠμέλουν] Alii explicant hoc probe novi cum codd. bonae notae, in quibus est *ἐγὼ γὰρ τοῦτο οἶδα*, alii hoc ego fieri non passus sum, dafür ist gesorgt. Illud friget, hoc confirmatur loco III. 1, 10.

μηδὲ ὅσα ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι] Ex mente Wunderlichii in Praef. ad Demosth. Or. pro Cor. p. XXXVIII. cui favit etiam Schaef. in Apparat. crit. et exeg. Demosth. T. II. p. 51., reddenda haec sunt: nec quaecunque illuc asportanda curare potuisset, scil. *ὑποχείρια γενέσθαι*. Cf. ad §. 10.

§. 14. *μέτριοι*] Non necesse est ad eam explicationem confugiamus, ex qua *μέτριος* idem esse putant et *ἱκανός*; etenim modicis equitibus Cyrus rem confici existimat, pluribus opus esse Cyaxaris ignavia §. 17. in animum induxit. Quae sequuntur *οἶμαι ἂν – ποιῆσαι* non dicta esse pro *οἶμαι ὅτι ποιήσω*, sed pro *οἶμαι ὅτι ἂν ποιήσαιμι*, vix est cur repetam.

§. 15. *τινας τῶν παίδων σοι γενέσθαι αὐτοῦ*] aliquos eius filios tecum in venatione fuisse At Tigranes tantum

θοιεν πρός σε· ὑποχειρίων δὲ γενομένων αὐτῶν, πάντ' ἂν πραχθείη, ᾗ ἡμεῖς βουλόμεθα. Οὐκοῦν σοι δοκεῖ, ἔφη ὁ Κῦρος, σύμφορον εἶναι τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας; Μᾶλλον γὰρ ἂν οὖν, ἔφη ὁ Κυαξάρης, καὶ ἔλθοι τις αὐτῶν εἰς χεῖρας, καί, εἴ τις ὁρμῷτο ἐπ' αὐτούς, ἀπαρασκεύαστοι ἂν λαμβάνοιντο. 16 Ἄκουε τοίνυν, ἔφη ὁ Κῦρος, ἄν τί σοι δόξω λέγειν. Ἐγὼ πολλάκις δὴ σὺν πᾶσι τοῖς μετ' ἐμοῦ τεθήρακα ἀμφὶ τὰ ὅρια τῆς τε σῆς χώρας καὶ τῆς τῶν Ἀρμενίων, καὶ ἱππέας δέ τινας ἤδη προςλαβὼν τῶν ἐνθένδε ἑταίρων ἀφικόμην. Τὰ μὲν τοίνυν ὅμοια ποιῶν, ἔφη ὁ Κυαξάρης, οὐκ ἂν ὑποπτεύοιο· εἰ δὲ πολὺ πλείων ἡ δύναμις φαίνοιτο, ἧς ἔχων εἴωθας θηρᾶν, τοῦτο ἤδη ὕποπτον ἂν γένοιτο. 17 Ἀλλ' ἔστιν, ἔφη ὁ Κῦρος, καὶ πρόφασιν κατασκευάσαι καὶ ἐνθάδε οὐκ ἄπιστον, καὶ ἄν τις ἐκεῖσε ἐξαγγείλῃ δή, ὡς ἐγὼ βουλοίμην μεγάλην θή-

§. 15. ἀπαρασκεύαστοι] ἀπαρασκευαστότεροι edd.
§. 17. ἄπιστον] pro ἀπίθανον V. cum aliis.

cum praeceptore suo his venationibus interfuisse traditur III. 1, 7. 38. et duo duntaxat Armeniorum regis filii III. 1, 2 sqq. commemorantur. Itaque sumendum est Cyaxarem in universum nec sine contemtu de aliquibus filiorum loqui, ubi unum Tigranem et sophistam comitem intelligi voluit. Quodsi simpliciter Cyaxares dixisset συνθηρευτὰς τοὺς παῖδας σοι γ. αὐτοῦ, nemo, opinor, in hac explicatione haereret, ut quam tragicorum exemplum abunde tueretur, vid. Hermann. ad Soph. Oed. R. 367. 706. 1250. 1390. et Matth. §. 292. Nunc illud ἀκούω et τινάς manifesto documento esse possunt Medorum regem parum honorifice de Armeniorum regibus loqui. Reddiderunt tamen alii Philelpho praeeunte: Audio enim ibi pueros quosdam tecum una olim venari consuesse. De ὅτι infinitivo adiuncto vid. not. ad I. 6, 18.

Μᾶλλον γὰρ ἂν οὖν] Si consilia nostra, inquit Cyaxares, occultaverimus, duo lucrabimur: et imprudens Armeniorum aliquis (mancher) in potestatem nostram veniet, et, si hostiliter in eos invaserimus, imparatos offendemus.

§. 16. *καὶ ἱππέας δὲ — ἀφικόμην*] Gabr. atque etiam interdum (ἤδη) adiunctis mihi sociis ex his tuis equitibus eodem tendebam, atque in eandem sententiam alii; male, siquidem ἐνθένδε ad προςλαβών trahendum est.

§. 17. *καὶ ἐνθάδε — ἐξαγγείλῃ δή*] et apud nos et apud illos, si quis illuc rem deferat, non improbabilem.

ραν ποιῆσαι· καὶ ἱππέας, ἔφη, αἰτοίην ἄν σε ἐκ τοῦ φανεροῦ. Κάλλιστα λέγεις, ἔφη ὁ Κυαξάρης· ἐγὼ δέ σοι οὐκ ἐθελήσω διδόναι πλήν γε μετρίους τινάς, ὡς βουλόμενος πρὸς τὰ φρούρια ἐλθεῖν τὰ πρὸς τῇ Συρίᾳ. Καὶ γὰρ τῷ ὄντι, ἔφη, βούλομαι ἐλθὼν κατασκευάσαι αὐτὰ ὡς ἐχυρώτατα. Ὁπότε δὲ σὺ προεληλυθοίης σὺν ᾗ ἔχοις δυνάμει, καὶ θηρῴης καὶ δὴ δύο ἡμέρας, πέμψαιμι ἄν σοι ἱκανοὺς ἱππέας καὶ πεζοὺς τῶν παρ' ἐμοὶ ἠθροισμένων, οὓς σὺ λαβὼν εὐθὺς ἀνίοις· καὶ αὐτὸς δὲ ἔχων τὴν ἄλλην δύναμιν πειρῴμην μὴ πρόσω ὑμῶν εἶναι, ἵνα, εἴπου καιρὸς εἴη, ἐπιφανείην.

18 Οὕτω δὴ ὁ μὲν Κυαξάρης εὐθὺς πρὸς τὰ φρούρια ἤθροιζεν ἱππέας τε καὶ πεζούς, καὶ ἁμάξας δὲ σίτου προέπεμπε τὴν ἐπὶ τὰ φρούρια ὁδόν. Ὁ δὲ Κῦρος εὐθὺς ἐθύετο ἐπὶ τῇ πορείᾳ, καὶ ἅμα πέμπων ἐπὶ τὸν Κυαξάρην ᾔτει τῶν νεωτέρων ἱππέων. Ὁ δέ, πάνυ πολλῶν βουλομένων ἕπεσθαι, οὐ πολλοὺς ἔδωκεν αὐτῷ. Προεληλυθότος δ' ἤδη τοῦ Κυαξάρου σὺν δυνάμει καὶ πεζῇ καὶ ἱππικῇ τὴν πρὸς τὰ φρούρια, γίγνεται τῷ Κύρῳ τὰ ἱερὰ ἐπὶ τὸν Ἀρμένιον ἰέναι καλά· καὶ οὕτως ἐξάγει δή, ὡς εἰς θήραν παρεσκευασμένος. Πορευομένῳ
1 δὲ αὐτῷ εὐθὺς ἐν τῷ πρώτῳ χωρίῳ ὑπανίσταται λαγώς· ἀετὸς δέ γ' ἐπιπτάμενος αἴσιος, κατιδὼν τὸν λαγῶ φεύ-

§. 18. ἐπὶ τὸν Κυαξ.] Schn. cum optimis, ἐπί om. alii.

καὶ ἱππέας, ἔφη, αἰτ. ἄν σε ἐκ τοῦ φανεροῦ] et equites, inquit, te palam rogarem, quo minus quis de instituenda venatione dubitaret.

οὐκ ἐθελήσω] recusabo, cf. ad c. 2, 8.

ὡς βουλόμενος] interposita causa me velle, s. quasi vellem. cf. Rost. §. 130. n. 8. De optativorum formis προεληλυθοίης et θηρῴης egerunt Matth. §. 198. 2. Buttm. §. 93. II. 3.

§. 18. εὐθὺς ἐθύετο] » εὐθὺς possit abesse, sed melius additur, cum Graeci hanc vocem etiam ibi frequentent, ubi sensus ea carere videatur. « Scripsit Schaeferus de alio loco in Mell. critt. p. 61.

τῶν νεωτέρων ἱππέων] sc. τινάς, vid. Matth. §. 356. Verba τὰ ἱερὰ ἐπὶ τὸν Ἀρμ. ἰέναι καλά explicet Buttm. §. 127. 2.

§. 19. ἀετὸς δέ γ' ἐπιπτάμενος] Homer. Il. VIII. 247. αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν, νεβρὸν ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης κ. τ. λ. Cf. Blomfield. ad Aeschyl. Agam. 115 sqq.

γοντα, ἐπιφερόμενος ἔπαισέ τε αὐτόν, καὶ συναρπάσας
ἐξῇρε, κἀπενεγκὼν ἐπὶ λόφον τινὰ οὐ πρόσω ἐχρῆτο
τῇ ἄγρᾳ ὅ τι ἤθελεν. Ἰδὼν οὖν ὁ Κῦρος τὸ σημεῖον,
ἥσθη τε καὶ προςεκύνησε Δία βασιλέα, καὶ εἶπε πρὸς
τοὺς παρόντας· Ἡ μὲν θήρα καλὴ ἔσται, ὦ ἄνδρες, ἢν
ὁ θεὸς θελήσῃ. Ὡς δὲ πρὸς τοῖς ὁρίοις ἐγένετο, εὐ- **20**
θύς, ὥςπερ εἰώθει, ἐθήρα· καὶ τὸ μὲν πλῆθος τῶν
πεζῶν καὶ τῶν ἱππέων ὤγμευον αὐτῷ, ὡς ἐπιόντες τὰ
θηρία ἐξανισταῖεν· οἱ δὲ ἄριστοι καὶ πεζοὶ καὶ ἱππεῖς
διέστασαν, καὶ τὰ ἀνιστάμενα ὑπεδέχοντο καὶ ἐδίωκον·
καὶ ᾕρουν πολλοὺς καὶ σῦς καὶ ἐλάφους καὶ δορκάδας
καὶ ὄνους ἀγρίους· πολλοὶ γὰρ ἐν τούτοις τοῖς τόποις
ὄνοι καὶ νῦν ἔτι γίγνονται. Ἐπεὶ δ' ἔληξε τῆς θήρας, **21**
προςμίξας πρὸς τὰ ὅρια τῶν Ἀρμενίων ἐδειπνοποιήσατο·
καὶ τῇ ὑστεραίᾳ αὖθις ἐθήρα, προςελθὼν πρὸς τὰ ὄρη,
ὧν ὠρέγετο· ἐπεὶ δ' αὖ ἔληξεν, ἐδειπνοποιεῖτο. Τὸ δὲ
παρὰ Κυαξάρου στράτευμα ὡς ᾔσθετο προςιόν, ὑπο-
πέμψας πρὸς αὐτοὺς εἶπεν ἀπέχοντας αὐτοῦ δειπνο-
ποιεῖσθαι ὡς δύο παρασάγγας, καὶ τοῦτο προϊδὼν ὡς
συμβαλεῖται πρὸς τὸ λανθάνειν· ἐπεὶ δὲ δειπνήσαιεν,
εἶπε τῷ ἄρχοντι αὐτῶν παρεῖναι πρὸς αὐτόν. Μετὰ δὲ
τὸ δεῖπνον τοὺς ταξιάρχους ἐκάλει· ἐπεὶ δὲ παρῆσαν,
ἔλεξεν ὧδε·

§. 19. ὁ θεός] articulum vulgo omissum addunt Vat. M. G.

Δία βασιλέα] Quidam intelligunt summum Persarum numen Ormuzd etiam III. 3, 21. VII. 5, 57., nescio quam recte.

§. 20. *ὤγμευον αὐτῷ*] messorum instar secundum versus et lineas ipsi procedebant. Hoc sensu *ὀγμεύειν* dici annotatum ab interpretibus h. l., et ad Soph. Philoct. 163. Cf. Wernike ad Tryphiodor. p. 314.

§. 21. *Τὸ δὲ παρὰ Κ. στρ. ὡς ᾔσθετο προςιόν*] Exercitum, quem Cyaxares missurus esset (§. 17.), ut adventare cognovit.

πρὸς αὐτούς] i. q. *πρὸς τοὺς παρὰ Κυαξάρει στρατιώτας*, quod inest in nomine *τὸ στράτευμα*. vid. ad I. 2, 12.

καὶ τοῦτο προϊδὼν ὡς συμβ.] i. q. *προϊδὼν ὡς καὶ τοῦτο συμβαλεῖται*.

ἐπεὶ δὲ δειπνήσαιεν] sc. *οἱ στρατιῶται*.

παρεῖναι πρὸς αὐτόν] non solum, sed cum ceteris, quos duxit, militibus, ut nimirum postridie mane (§. 24.) cum Cyro iuncti Armeniorum regiam invaderent.

22 Ἄνδρες φίλοι, ὁ Ἀρμένιος πρόσθεν μὲν καὶ σύμ-
μαχος ἦν καὶ ὑπήκοος Κυαξάρῃ· νῦν δ', ὡς ᾔσθηται
τοὺς πολεμίους ἐπιόντας, καταφρονεῖ, καὶ οὔτε τὸ
στράτευμα πέμπει ἡμῖν, οὔτε τὸν δασμὸν ἀποδίδωσι·
νῦν οὖν τοῦτον δὴ θηρᾶσαι, ἢν δυνώμεθα, ἤλθομεν.
Ὧδε οὖν, ἔφη, δοκεῖ ποιεῖν. Σὺ μέν, ὦ Χρυσάντα,
ἐπειδὰν ἀποκοιμηθῇς ὅσον μέτριον, λαβὼν τοὺς ἡμίσεις
Περσῶν τῶν σὺν ἡμῖν, ἴθι τὴν ὀρεινὴν καὶ κατάλαβε
τὰ ὄρη, εἰς ἅ φασιν αὐτόν, ὅταν τι φοβηθῇ, καταφεύ-
23 γειν· ἡγεμόνας δέ σοι ἐγὼ δώσω. Φασὶ μὲν οὖν καὶ
δασέα τὰ ὄρη ταῦτα εἶναι, ὥστ' ἐλπὶς ὑμᾶς μὴ ὀφθῆ-
ναι· ὅμως δὲ εἰ προπέμποις πρὸ τοῦ στρατεύματος εὐ-
ζώνους ἄνδρας, λῃσταῖς ἐοικότας καὶ τὸ πλῆθος καὶ τὰς
στολάς, οὗτοι ἄν σοι, εἴ τινι ἐντυγχάνοιεν τῶν Ἀρμε-
νίων, τοὺς μὲν ἂν συλλαμβάνοντες αὐτῶν, κωλύοιεν
τῶν ἐξαγγελιῶν, οὓς δὲ μὴ δύναιντο λαμβάνειν, ἀπο-

§. 22. *τοῦτον δὴ θηρᾶσαι, ἢν δυνώμεθα, ἤλθομεν*] Legebatur *τοῦτον δεῖ θ., ἢν δυν. Ὧδε.*

§. 23. *στρατεύματος εὐζώνους ἄνδρας*] *στρ. τοῦ ἑαυτοῦ* vel *τοῦ σεαυτοῦ εὐζώνους ἄνδρας* scriptum fuisse videtur.

§. 22. *ὡς ᾔσθηται*] Vid. not. ad I. 1, 2. Porson. Praefat. ad Eurip. Hec. p. L. (LIII. ed. Schaef. tert.) et Elmsley ad Eurip. Bacch. 605.

καταφρονεῖ] contemnit hominem. Gabr. contemnit nos. Casel. imo fastu turget interprete Schaefero ad Demosth. Orat. Halon. p. 472.

ἤλθομεν] »indicat non tam ferarum capiendarum gratia quam Armenii excipiendi causa venationem esse susceptam.« Zeunius.

δοκεῖ ποιεῖν] videtur faciendum esse. Vid. Kuester. ad Aristoph. Ran. 1241. p. 293.

§. 23. *καὶ τὰς στολάς*] altius velut ad cursum cinctas intelligit Weiske. Rem illustrarunt interpretes ad Horat. Sat. I. 5, 5.

τοὺς μὲν – οὓς δέ] tutantur Matth. §. 288. p. 401. Viger. p. 26. 706 sq. 777. Cf. III. 1, 23. Sensus est: hi tibi, si cui Armeniorum obviam fierent, eos tum intercipiendo prohiberent, ne quid ad suos deferrent, tum quos capere non potuissent, his abactis impedituri essent, quo minus illi omnes tuas copias viderent. Quae sequuntur, *ἀλλ' ὡς περὶ κλωπῶν βουλεύεσθαι*, ita accipias, ac si praegressum membrum hoc modo instructum esset: *ἀποσοβοῦντες ἂν ποιοῖεν, ὥςτε μὴ ὁρᾶν τὸ ὅλον στρ. σου, ἀλλὰ βουλεύεσθαι ὡς περὶ κλωπῶν.* Sic *οὐκ ἐᾶν* et *κελεύειν*, adversativa voce interiecta, alterum dum ponitur, intelligitur alterum. Vid. Schaef. ad Demosth. Or. pro Cor. p. 93. Matth. §. 534. exeunt.

σοβοῦντες ἂν ἐμποδὼν γίγνοιντο τοῦ μὴ ὁρᾶν αὐτοὺς
τὸ ὅλον στράτευμά σου, ἀλλ' ὡς περὶ κλωπῶν βουλεύε-
σθαι. Καὶ σὺ μέν, ἔφη, οὕτω ποίει· ἐγὼ δὲ ἅμα τῇ 24
ἡμέρᾳ, τοὺς ἡμίσεις μὲν τῶν πεζῶν ἔχων, πάντας δὲ
τοὺς ἱππέας, πορεύσομαι διὰ τοῦ πεδίου εὐθὺς πρὸς
τὰ βασίλεια. Καὶ ἢν μὲν ἀνθιστῆται, δῆλον, ὅτι μά-
χεσθαι δεήσει· ἢν δ' αὖ ὑποχωρῇ τοῦ πεδίου, δῆλον,
ὅτι μεταθεῖν δεήσει· ἢν δ' εἰς τὰ ὄρη φεύγῃ, ἐνταῦθα
δή, ἔφη, σὸν ἔργον μηδένα ἀφιέναι τῶν πρὸς σὲ ἀφι-
κνουμένων. Νόμιζε δ', ὥςπερ ἐν θήρᾳ, ἡμᾶς μὲν τοὺς 25
ἐπιζητοῦντας ἔσεσθαι, σὲ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι. Μέ-
μνησο οὖν ἐκεῖνο, ὅτι φθάνειν δεῖ πεφραγμένους τοὺς
πόρους, πρὶν κινεῖσθαι τὴν θήραν. Καὶ λεληθέναι δὲ
δεῖ τοὺς ἐπὶ τοῖς στόμασιν, εἰ μέλλουσι μὴ ἀποτρέψειν
τὰ προςφερόμενα. Μὴ μέντοι, ἔφη, ὦ Χρυσάντα, 26
οὕτως αὖ ποίει, ὥςπερ ἐνίοτε διὰ τὴν φιλοθηρίαν· πολ-
λάκις γὰρ ὅλην τὴν νύκτα ἄυπνος πραγματεύῃ· ἀλλὰ
νῦν ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποκοιμηθῆναι,
ὡς ἂν δύνωνται ὑπνομαχεῖν. Μηδέ γε, ὅτι, οὐχ ἡγε- 27
μόνας ἔχων ἀνθρώπους, πλανᾷ ἀνὰ τὰ ὄρη, ἀλλ' ὅπῃ
ἂν τὰ θηρία ὑφηγῆται, ταύτῃ μεταθεῖν μεμάθηκας,

§. 25. *λεληθέναι δὲ δεῖ τοὺς ἐπί*] Fort. *λελ. δὲ δεῖ αὐτὸν τὸν ἐπί.*

§. 27. *ταύτῃ μεταθεῖν μεμάθηκας*] Alii *ταύτῃ μεταθεῖς, μήτοι.* Vat. *τ. μεταθεὶς μεμάθηκας μετιέναι, μήτι.*

§. 25. *σὲ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι*] te eum, qui retia observet, ut, si qua fera inciderit, ne elabi eam sinat, sed retia extenta obstruat. Cf. I. 6, 40.

φθάνειν δεῖ πεφραγμένους τοὺς πόρους – θήραν] aditus oportet prius obstructos esse, quam fera moveatur. Quum *φθάνουσι πεφραγμένοι οἱ πόροι* bene se habeat, vid. Matth. §. 553. p. 800. Viger. p. 318., patet sine causa quendam scribere voluisse *πόρους ἔχειν, πρὶν κ. τὰ θηρία.* Nimirum de nominis *θήρα* significatione non est quod ambigas inspecta observatione Schaeferi ad Gregor. Cor. p. 126.

Καὶ λεληθέναι δὲ – προςφερόμενα] et latere vero oportet eos, qui ad exitus collocati sunt, nisi advenientes velint avertere.

§. 26. *φιλοθηρίαν*] nempe *ποιεῖς.* Extremum illud *ὑπνομαχεῖν* recte vidit Gabr. reddendum esse somno obsistere.

§. 27. *ὅτι – μεμάθηκας*] Iunge *ὅτι πλανᾷ ἀνὰ τὰ ὄρη, οὐχ ἡγεμόνας ἔχων ἀνθρώπους, ἀλλὰ ταύτῃ μεταθεῖν μεμάθηκας,*

μήτι καὶ νῦν οὕτω τὰ δύςβατα πορεύου, ἀλλὰ κέλευέ σοι τοὺς ἡγεμόνας, ἐὰν μὴ πάνυ πολὺ ἐλάσσων ἡ ὁδὸς ᾖ, τὴν ῥάστην ἡγεῖσθαι. Στρατιᾷ γὰρ ἡ ῥάστη ταχί-
28 στη. Μηδέ γε σύ, ὅτι δύνασαι τρέχειν ἀνὰ τὰ ὄρη, μήτι δρόμῳ ἡγήσῃ, ἀλλ' ὡς ἂν δύνηταί σοι ὁ στρατὸς
29 ἕπεσθαι, τῷ μέσῳ τῆς σπουδῆς ἡγοῦ. Ἀγαθὸν δὲ καὶ τῶν δυνατωτάτων καὶ προθύμων ὑπομένοντάς τινας ἐνίοτε παρακελεύεσθαι· ἐπειδὰν δὲ παρέλθῃ τὸ κέρας, παροξυντικὸν εἰς τὸ σπεύδειν πάντας, παρὰ τοὺς βαδίζοντας τρέχοντας ὁρᾶσθαι.
30 Χρυσάντας μὲν δὴ ταῦτα ἀκούσας, καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ τοῦ Κύρου, λαβὼν τοὺς ἡγεμόνας, ἀπελθὼν, καὶ παραγγείλας ἃ ἔδει τοῖς ἅμα αὐτῷ μέλλουσι πορεύεσθαι, ἀνεπαύετο. Ἐπειδὴ δὲ ἀπεκοιμήθησαν,
31 ὅσον ἐδόκει μέτριον εἶναι, ἐπορεύετο ἐπὶ τὰ ὄρη. Κῦρος δέ, ἐπειδὴ ἡμέρα ἐγένετο, ἄγγελον μὲν προέπεμπε πρὸς τὸν Ἀρμένιον, προειπὼν αὐτῷ λέγειν ὧδε· Κῦρος, ὦ Ἀρμένιε, κελεύει οὕτω ποιεῖν σε, ὅπως ὡς τάχιστα ἔχων ἀποίσεις καὶ τὸν δασμὸν καὶ τὸ στράτευμα.

ὅπῃ ἂν τὰ θηρία ὑφηγῆται. De seqq. *μήτι καί* vid. Heindorf. ad Plat. Phaedon. p. 111. et notata ad c. 3, 24.

σοι – τὴν ῥάστην ἡγεῖσθαι] Infra legimus eodem modo III. 2, 28. *οἵτινες αὐτῷ τὴν ὁδὸν ἡγοῖντ' ἄν.* Herod. IX. 15. *οὗτοι αὐτῷ τὴν ὁδὸν ἡγέοντο ἐς Σφενδαλέας.* Cf. III. 2, 28.

§. 28. *τῷ μέσῳ τῆς σπουδῆς ἡγοῦ*] moderata festinatione ducito, neque nimis tarde, neque celeriter.

§. 29. *Ἀγαθὸν δὲ – ὁρᾶσθαι*] Docent haec verba, qui fieri possit, ut, dum Chrysantas ipse modico cursu procedet, eius milites quoque eundem festinandi modum teneant. »Vult enim, inquit Weiskius, milites quosdam (lochagos sine dubio et centuriones) ad currendum valentissimos e primo agmine egressos ad latera exercitus longo agmine ducti stare et praetereuntes milites verbis excitare ad celeritatem, tum, ubi totus exercitus (aut certe pars exercitus, centuria una pluresve) praeterierit, etiam exemplo, cum intento cursu locum quisque suum repetat.«

§. 31. *ἄγγελον μέν*] Ad *μέν* refertur §. 32. *Αὐτὸς δὲ συνταξάμενος*, id quod luce clarius apparet ex verbis *Τὸν μὲν δὴ ἄγγελον – ἔπεμψε*, quibus orationis filum interruptum denuo restituitur.

ἔχων ἀποίσεις – στράτευμα] i. e. *παρέξεις καὶ ἀποίσεις καὶ τὸν δ. καὶ τὸ στράτευμα*, ita ut *ἔχειν* ad exercitum potissimum et *ἀποφέρειν* ad tributum referatur. Etenim alius generis sunt quae annotarunt ad Soph. Oed. Reg. 733. ed. Herm. ad Eurip. Phoen. 782. ed. Pors. tert. et ad Viger. p. 250 sq.

Ἢν δ' ἐρωτᾷ, ὅπου εἰμί, λέγε τἀληθῆ, ὅτι ἐπὶ τοῖς ὁρίοις. Ἢν δ' ἐρωτᾷ, εἰ καὶ αὐτὸς ἔρχομαι, λέγε κἀνταῦθα τἀληθῆ, ὅτι οὐκ οἶσθα. Ἢν δὲ, ὁπόσοι ἐσμὲν, πυνθάνηται, συμπέμπειν τινὰ κέλευε καὶ μαθεῖν. Τὸν 32
μὲν δὴ ἄγγελον, ἐπιστείλας ταῦτα, ἔπεμψε, νομίζων φιλικώτερον οὕτως εἶναι ἢ μὴ προειπόντα πορεύεσθαι. Αὐτὸς δὲ συνταξάμενος, ᾗ ἄριστον καὶ πρὸς τὸ ἀνύτειν τὴν ὁδὸν καὶ πρὸς τὸ μάχεσθαι, εἴ τι δέοι, ἐπορεύετο. Προεῖπε δὲ τοῖς στρατιώταις μηδένα ἀδικεῖν, καὶ εἴ τις Ἀρμενίων τῳ ἐντυγχάνοι, θαῤῥεῖν τε παραγγέλλειν, καὶ ἀγορὰν τὸν θέλοντα ἄγειν, ὅπου ἂν ὦσιν, εἴτε σιτία εἴτε ποτὰ τυγχάνοι πωλεῖν βουλόμενος.

§. 32. *εἴτε σιτία εἴτε ποτά*] *εἴτε σιτία ἢ ποτά* Popp.

§. 32. *θαῤῥεῖν τε παραγγέλλειν – ὅπου ἂν ὦσιν*] *προεῖπεν αὐτοῖς παραγγέλλειν θαῤῥεῖν τε αὐτόν, καὶ τὸν θέλοντα ἄγειν ἀγοράν, ὅπου ἂν ὦσιν οἱ τοῦ Κύρου στρατιῶται.* Recte Gabriel. »militibus autem praescripsit, ne quemquam iniuria afficerent, ac nuntiarent Armeniis, quibus occurrerent, ut ne quid omnino timerent, et mercatum, ubicunque ipsi essent, arbitratu suo facerent, si quis vellet esculenta aut potulenta vendere.«

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Γ.

CAPUT I.

Armeniae rex cum suis capitur, et, iudicii quadam forma defensus a filio, in fidem conditionibus aequis recipitur.

Ὁ μὲν δὴ Κῦρος ἐν τούτοις ἦν· ὁ δὲ Ἀρμένιος ὡς ἤκουσε τοῦ ἀγγέλου τὰ παρὰ τοῦ Κύρου, ἐξεπλάγη, ἐννοήσας, ὅτι ἀδικοίη καὶ τὸν δασμὸν λιπὼν, καὶ τὸ στράτευμα οὐ πέμπων. Καί, τὸ μέγιστον, ἐφοβεῖτο, ὅτι ὀφθήσεσθαι ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ἀρχόμε-
2 νος, ὡς ἂν ἱκανὰ ἀπομάχεσθαι εἴη. Διὰ ταῦτα δὴ πάντα ὀκνῶν, ἅμα μὲν διέπεμπεν ἀθροίζων τὴν αὐτοῦ δύναμιν, ἅμα δ' ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν Σάβαριν καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ τὰς θυγατέρας· καὶ κόσμον δὲ καὶ κατασκευὴν τὴν πλείστου ἀξίαν συναπέπεμπε, προπομποὺς δοὺς αὐτοῖς. Αὐτὸς δὲ ἅμα μὲν κατασκεψομένους ἔπεμ-

Lib. III. c. 1. §. 1. *ἐν τούτοις ἦν*] in his gerendis occupatus erat. Gabr. assentiente Iacobs. ad Achill. Tat. p. 892 sq.

τὸ μέγιστον] Rost. §. 98. not. 4. ed. 3. Matth. §. 283. p. 393 sq. Viger. p. 22 sq.

ὅτι ὀφθήσεσθαι – εἴη] quod futurum erat, ut conspiceretur aedes regias exstruere (II. 4, 13.), ita instituere, ut ad repugnandum aptae essent. Non sollicitem *ἀρχόμενος*, cui exstitit qui *ἀρξάμενος* substituendum censeret, cum alias ob causas, quas longum hic exponere, tum quia §. 10. *ἐτείχιζες* nihil indicat aliud, quam voluisse quidem regiam munire Armeniorum regem, sed non perfecisse.

§. 2. *τὴν τοῦ υἱοῦ*] Tigranis, cuius nomen affertur demum §. 7., ut Cyaxaris 1. 5, 2. coll. 3, 12.

πε, τί πράττοι Κῦρος, ἅμα δὲ συνέταττε τοὺς παραγι-
γνομένους τῶν Ἀρμενίων· καὶ ταχὺ παρῆσαν ἄλλοι, λέ-
γοντες, ὅτι καὶ δὴ αὐτὸς ὁμοῦ. Ἐνταῦθα δὴ οὐκέτι
ἔτλη εἰς χεῖρας ἐλθεῖν, ἀλλ' ὑπεχώρει. Ὡς δὲ τοῦτ' εἶ- 3
δον αὐτὸν ποιήσαντα οἱ Ἀρμένιοι, διεδίδρασκον ἤδη
ἕκαστος ἐπὶ τὰ ἑαυτοῦ, βουλόμενος τὰ ὄντα ἐκποδὼν
ποιεῖσθαι. Ὁ δὲ Κῦρος ὡς ἑώρα διαθεόντων καὶ ἐλαυ-
νόντων τὸ πεδίον μεστόν, ὑποπέμπων ἔλεγεν, ὅτι οὐ-
δενὶ πόλεμος εἴη τῶν μενόντων· εἰ δέ τινα φεύγοντα λή-
ψοιτο, προηγόρευεν, ὅτι ὡς πολεμίῳ χρήσοιτο. Οὕτω
δὴ οἱ μὲν πολλοὶ κατέμενον, ἦσαν δὲ οἳ ὑπεχώρουν σὺν
τῷ βασιλεῖ. Ἐπεὶ δὲ οἱ σὺν ταῖς γυναιξὶ προϊόντες ἐνέ- 4
πεσον εἰς τοὺς ἐν τῷ ὄρει, εὐθὺς κραυγήν τε ἐποίουν,
καὶ φεύγοντες ἡλίσκοντο πολλοί γε αὐτῶν· τέλος δὲ καὶ
ὁ παῖς καὶ αἱ γυναῖκες καὶ αἱ θυγατέρες ἑάλωσαν, καὶ
τὰ χρήματα ὅσα σὺν αὐτοῖς ἀγόμενα ἔτυχεν. Ὁ δὲ βα-

§. 3. *βουλόμενος*] Sic M. V. Alt., *βουλόμενοι* edd.
πόλεμος] *πολέμιος* Popp.

ὅτι καὶ δὴ αὐτὸς ὁμοῦ] iam ipse (in eigner Person) in vicinia est; non enim crediderat Cyrum ipsum adventurum esse, vid. II. 4, 31. et de *καὶ δή* Herm. ad Viger. p. 829.

§. 3. *διεδίδρασκον ἤδη ἕκαστος – βουλόμενος*] Demosth. *περὶ Εἰρήνης* p. 48. l. 22. ed. Dind. cuius consule observationem in Praefat. p. IV. *φοβοῦμαι, μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον.* Platon. Gorg. p. 196. ed. Heind. *ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοὶ βλέποντες πρὸς τὸ ἑαυτῶν ἔργον ἕκαστος οὐκ εἰκῇ ἐκλεγόμενος προσφέρει ἃ προσφέρει πρὸς τὸ ἔργον τὸ αὐτοῦ.* Matth. §. 301. p. 419. Viger. p. 193. b.

§. 4 *οἱ σὺν ταῖς γυναιξὶ προϊόντες*] quos §. 2. ad iuga miserat Armeniorum rex, regiam familiam.

κραυγήν τε ἐποίουν] Vid. ad II. 3, 1.

τέλος δὲ καὶ – ἔτυχεν] denique et filius et uxores et filiae captae sunt, et bona omnia, quae secum tulerant. Gabr. imo denique et filius – captae erant, et quidquid opum cum iis vectum fuerat. Graecitatis leges postulabant *ἀγόμενα ἐτύγχανεν* vel *ἀχθέντα ἔτυχεν*, sed soloeca oratio quo iure vulgata appellari possit, non exputo. Anab. III. 3, 8. *οἳ ἔτυχον σὺν αὐτῷ ὀπισθοφυλακοῦντες.* Plat. Alcib. I. p. 109. (§. 13. ed. Buttm.) *πότερον σαυτὸν λέληθας, ὅτι οὐκ ἐπίστασαι τοῦτο, ἢ ἐμὲ ἔλαθες μανθάνων καὶ φοιτῶν εἰς διδασκάλου;* In diversam sententiam nihil comprobant loci infra §. 36. IV. 1, 13. V. 4, 16.

σιλεὺς αὐτῶν ὡς ᾔσθετο τὰ γιγνόμενα, ἀπορῶν ποῖ
5 τράποιτο, ἐπὶ λόφον τινὰ καταφεύγει. Ὁ δ' αὖ Κῦ-
ρος ταῦτα ἰδὼν περιΐσταται τὸν λόφον τῷ παρόντι στρα-
τεύματι, καὶ πρὸς Χρυσάνταν πέμψας ἐκέλευε φυλακὴν
τοῦ ὄρους καταλιπόντα ἥκειν. Τὸ μὲν δὴ στράτευμα
ἠθροίζετο τῷ Κύρῳ· ὁ δὲ πέμψας πρὸς τὸν Ἀρμένιον
κήρυκα ἤρετο ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Ἀρμένιε, πότερα
βούλει αὐτοῦ μένων τῷ λιμῷ καὶ τῷ δίψει μάχεσθαι, ἢ
εἰς τὸ ἰσόπεδον καταβὰς ἡμῖν διαμάχεσθαι; Ἀπεκρίνατο
6 ὁ Ἀρμένιος, ὅτι οὐδετέροις βούλοιτο μάχεσθαι. Πάλιν
ὁ Κῦρος πέμψας ἠρώτα, Τί οὖν κάθησαι αὐτόθι, καὶ
οὐ καταβαίνεις; Ἀπορῶν, ἔφη, ὅτι χρὴ ποιεῖν.
Ἀλλ' οὐδέν, ἔφη ὁ Κῦρος, ἀπορεῖν σε δεῖ· ἔξεστι γάρ
σοι ἐπὶ δίκην καταβαίνειν. Τίς δ', ἔφη, ἔσται ὁ δικά-
ζων; Δῆλον, ὅτι ᾧ ὁ θεὸς ἔδωκε καὶ ἄνευ δίκης χρῆ-
σθαί σοι ὅ τι βούλοιτο. Ἐνταῦθα δὴ ὁ Ἀρμένιος, γι-
γνώσκων τὴν ἀνάγκην, καταβαίνει· καὶ ὁ Κῦρος, λα-
βὼν εἰς τὸ μέσον κἀκεῖνον καὶ τὰ ἄλλα πάντα, ἐστρα-
τοπεδεύσατο, ὁμοῦ ἔχων πᾶσαν ἤδη τὴν δύναμιν.
7 Ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ πρεσβύτερος παῖς τοῦ
Ἀρμενίου, Τιγράνης, ἐξ ἀποδημίας τινὸς προσῄει, ὃς καὶ
σύνθηρός ποτε ἐγεγένητο τῷ Κύρῳ· καὶ ὡς ἤκουσε τὰ
γεγενημένα, εὐθὺς πορεύεται, ὥσπερ εἶχε, πρὸς τὸν

§. 5. *καὶ πρὸς Χρυσάνταν πέμψας*] *καὶ Χρυσάντα π.* M. V. Alt. m. Vict. Lege *καὶ Χρυσάνταν π.*

§. 6. *ὁμοῦ ἔχων*] Fort. *ὁμοῦ δὴ ἔχων.*

§. 7. *ἐγεγένητο*] Sic G. Alt. Steph., *ἐγένετο* edd.

§. 5. *τῷ παρόντι στρατεύματι*] Ad I. 4, 17. *αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας.* vide quae notata sunt.

ἐκέλευε] sc. *αὐτόν*, ut II. 4, 18. et paullo post in his *πέμψας πρὸς τὸν Ἀρμ. – ἤρετο.* [Melius autem, omissa praepositione *πρός*, verba ita iunguntur: *ἐκέλευε Χρυσάνταν πέμψας*, sc. *ἄγγελον πρὸς αὐτόν.* Cf. not. crit. V. C. F. R.]

§. 6. *καὶ τὰ ἄλλα πάντα*] »filium minorem, uxorem regis et filias, Tigranis uxorem, eorumque comites, carpenta item mundo et supellectili onusta, Armenios item et qui cum rege fugerant in collem, et qui remanserant.« Fischer.

§. 7. *ὥσπερ εἶχε*] ut se habebat, ut erat comparatus ex itinere. Perperam Bast. in ep.

Κῦρον. Ὡς δὲ εἶδε πατέρα τε καὶ μητέρα καὶ ἀδελφοὺς καὶ τὴν ἑαυτοῦ γυναῖκα αἰχμαλώτους γεγενημένους, ἐδάκρυσεν, ὥςπερ εἰκός. Ὁ δὲ Κῦρος, ἰδὼν αὐτόν, ἄλλο 8
μὲν οὐδὲν ἐφιλοφρονήσατο αὐτῷ, εἶπε δ᾽, ὅτι εἰς καιρὸν ἥκεις, ἔφη, ὅπως τῆς δίκης ἀκούσῃς παρὼν τῆς ἀμφὶ τοῦ πατρός. Καὶ εὐθὺς συνεκάλει τοὺς ἡγεμόνας τούς τε τῶν Περσῶν καὶ τοὺς τῶν Μήδων· προςεκάλει δὲ καὶ εἴ τις Ἀρμενίων τῶν ἐντίμων παρῆν· καὶ τὰς γυναῖκας ἐν ταῖς ἁρμαμάξαις παρούσας οὐκ ἀπήλασεν, ἀλλ᾽ εἴα ἀκούειν. Ὁπότε δὲ καλῶς εἶχεν, ἤρχετο τοῦ 9
λόγου, Ὦ Ἀρμένιε, ἔφη, πρῶτον μέν σοι συμβουλεύω ἐν τῇ δίκῃ τἀληθῆ λέγειν, ἵνα σοι ἕν γε ἀπῇ τὸ εὐμισητότατον· τὸ γὰρ ψευδόμενον φαίνεσθαι, εὖ ἴσθι, ὅτι καὶ τοῦ συγγνώμης τινὸς τυγχάνειν ἐμποδὼν μάλιστα ἀνθρώποις γίγνεται. Ἔπειτα δέ, ἔφη, συνίσασι μέν σοι καὶ οἱ παῖδες καὶ αἱ γυναῖκες αὗται πάντα, ὅσα ἔπραξας, καὶ Ἀρμενίων οἱ παρόντες· ἢν δὲ αἰσθάνωνταί σε ἄλλα ἢ τὰ γενόμενα λέγοντα, νομιοῦσί σε καὶ αὐτὸν καταδικάζειν σαυτοῦ πάντα τὰ ἔσχατα παθεῖν, ἢν ἐγὼ τἀληθῆ πύθωμαι. Ἀλλ᾽ ἐρώτα, ἔφη, ὦ Κῦρε, ὅ

§. 9. *ἢν ἐγὼ τἀλ. πύθ.*] Coniicias *ἤν πῃ ἐγὼ τἀλ. πύθ.*

crit. p. 157. confestim, sine mora, quae significatio alibi locum habet teste Locella ad Xenoph. Ephes. p. 194 sq.

ἀδελφούς] fratrem et sorores. Fisch. ad Weller. III. P. 1. p. 309. Quo eodem modo apud Latinos fratres dicuntur, vid. Ruddimann. Instit. II. p. 37. ed. Lips.

§. 8. *ἄλλο μὲν οὐδὲν ἐφ. αὐτῷ, εἶπε δέ*] alia nulla eum benevolentiae significatione excepit, nisi ut diceret. Viger. p. 532.

ἐν ταῖς ἁρμαμάξαις] in carpentis, vehiculi genere a Brisson. p. 514. et Baehr. ad Ctes. fragm. p. 188. descripto.

§. 9. *νομιοῦσί σε καὶ αὐτὸν — πύθωμαι*] extremo te supplicio te ipsum condemnare veritate a me comperta existimabunt. Gabriel. »Si te rem mihi secus narrare, ac se habet, animadverterint, te adversus temet ipsum de patiundis gravissimis quibusque suppliciis sententiam ferre censebunt, si quidem contingat, ut postea veritatem resciscam.« Steph. Errat Schneiderus *σε καὶ αὐτόν* idem esse iudicando et *καὶ σεαυτόν*. Rectius statuit Matth. §. 148. n. 2. cf. Buttmann. §. 69. n. 5. Thiersch. §. 205. 15.

τι βούλει, ὡς τἀληθῆ ἐροῦντος· τούτου ἕνεκα καὶ γε-
10 νέσθω ὅ τι βούλεται. Λέγε δή μοι, ἔφη, ἐπολέμησάς
ποτε Ἀστυάγει, τῷ τῆς ἐμῆς μητρὸς πατρί, καὶ τοῖς
ἄλλοις Μήδοις; Ἔγωγ', ἔφη. Κρατηθεὶς δ' ὑπ' αὐ-
τοῦ συνωμολόγησας δασμὸν οἴσειν, καὶ συστρατεύσε-
σθαι ὅπου ἐπαγγέλλοι, καὶ ἐρύματα μὴ ἕξειν; Ἦν
ταῦτα. Νῦν οὖν διὰ τί οὔτε τὸν δασμὸν ἀπῆγες, οὔτε
τὸ στράτευμα ἔπεμπες, ἐτείχιζές τε τὰ ἐρύματα; Ἐλευ-
θερίας ἐπεθύμουν, ἔφη· καλὸν γάρ μοι ἐδόκει εἶναι,
καὶ αὐτὸν ἐλεύθερον εἶναι, καὶ παισὶν ἐλευθερίαν κα-
11 ταλιπεῖν. Καὶ γάρ ἐστιν, ἔφη ὁ Κῦρος, καλὸν μάχε-
σθαι, ὅπως μή ποτέ τις δοῦλος μέλλοι γενήσεσθαι· ἢν
δὲ δὴ πολέμῳ κρατηθείς, ἢ καὶ ἄλλον τινὰ τρόπον δου-
λωθεὶς ἐπιχειρῶν τις φαίνηται τοὺς δεσπότας ἀποστερεῖν
ἑαυτοῦ, τοῦτον σὺ πρῶτος πότερον ὡς ἀγαθὸν ἄνδρα
καὶ καλὰ πράττοντα τιμᾷς, ἢ ὡς ἀδικοῦντα, ἢν λάβῃς,
κολάζεις; Κολάζω, ἔφη· οὐ γὰρ ἐᾷς σὺ ψεύδεσθαι.

§. 10. ὅπου ἐπαγγέλλοι] Mss. et edd. παραγγέλλοι ducit ad ὅπου περ ἐπαγγέλλοι. Post ἐπεθύμουν M. V. m. Vill. Steph. servarunt ἔφη.

§. 11. σὺ πρῶτος] εἰπέ additum in edd. ignorant libri optimi.

ὡς τἀληθῆ ἐροῦντος] videlicet μου, tibi persuadens nihil me dicturum, quod a vero remotum sit. Gabr. Cf. I. 4, 21. 6, 11. II. 3, 15.

τούτου ἕνεκα καὶ γενέσθω ὅ τι βούλεται] si mentiar, quidvis mihi accidat, nihil non perpeti animus est. Matth. §. 576. Buttm. §. 137.

§. 10. συστρατεύσεσθαι] Vulgatum συστρατεύεσθαι non minus suspectum est quam in Plat. Crit. c. 13. ὁμολογήσας ἡμῖν πείθεσθαι infinitivus praesentis Buttmanno dubitationi fuit p. 100 et 101 sq.

§. 11. Καὶ γάρ ἐστιν – γενήσεσθαι] recte mones; etenim praeclarum est pugnare ea mente, ut ne quis unquam servus futurus sit. Bene habet optativus μέλλοι, ex quo coniunctivum fecerat Heindorf. Cf. ad I. 4, 7. 6, 34. Anab. III. 2, 36. IV. 7, 19.

ἢν δὲ δὴ – ἐπιχειρῶν τις φαίνηται τ. δ. ἀπ. ἑαυτοῦ] quodsi quem appareat hoc moliri, ut dominos sui possessione privet, ut imperium herile a se avertat.

σὺ πρῶτος] tu primus, i. e. ut ceteros taceam, tu qui eum vicisti, num prae ceteris tanquam probum et iustum virum honoras? Acerbam ironiam in hac interrogatione inesse, satis est verbo monuisse. Cf. ad I. 3, 18.

Λέγε δὴ σαφῶς, ἔφη ὁ Κῦρος, καθ' ἓν ἕκαστον· Ἢν 12
ἄρχων τις τύχῃ σοι, καὶ ἁμάρτῃ, πότερον ἐᾷς ἄρχειν,
ἢ ἄλλον καθίστης ἀντ' αὐτοῦ; Ἄλλον καθίστημι. Τί
δέ, ἢν χρήματα πολλὰ ἔχῃ, ἐᾷς πλουτεῖν, ἢ πένητα
ποιεῖς; Ἀφαιροῦμαι, ἔφη, ἃ ἂν ἔχων τυγχάνῃ. Ἢν
δὲ καὶ πρὸς πολεμίους γιγνώσκῃς αὐτὸν ἀφιστάμενον,
τί ποιεῖς; Κατακαίνω, ἔφη· τί γὰρ δεῖ ἐλεγχθέντα, ὅτι
ψεύδομαι, ἀποθανεῖν μᾶλλον ἢ τἀληθῆ λέγοντα; Ἔνθα 13
δὴ ὁ μὲν παῖς αὐτοῦ, ὡς ἤκουσε ταῦτα, περιεσπάσατο
τὴν τιάραν, καὶ τοὺς πέπλους κατεῤῥήξατο· αἱ δὲ γυ-
ναῖκες ἀναβοήσασαι ἐδρύπτοντο, ὡς οἰχομένου τοῦ
πατρός, καὶ ἀπολωλότων πάντων σφῶν ἤδη. Καὶ ὁ
Κῦρος σιωπῆσαι κελεύσας εἶπεν· Εἶεν· τὰ μὲν δὴ σὰ
δίκαια ταῦτα, ὦ Ἀρμένιε· ἡμῖν δὲ τί συμβουλεύεις ἐκ
τούτων ποιεῖν; Ὁ μὲν δὴ Ἀρμένιος ἀπορῶν ἐσιώπα,
πότερα συμβουλεύοι τῷ Κύρῳ κατακαίνειν ἑαυτόν, ἢ
τἀναντία διδάσκοι ὧν αὐτὸς ἔφη ποιεῖν. Ὁ δὲ παῖς αὐ- 14

§. 12. *καθ' ἓν ἕκαστον*] Vid. not. ad I. 6, 22.

καὶ ἁμάρτῃ] et obsequium tibi denegaverit, a te defecerit. Weiskius, recte, modo ne saepius id factum existimes. Hinc consultius est reddere: si quando graviter peccaverit, perfidum se praestiterit.

τί γὰρ δεῖ – λέγοντα] quid enim iuvat mendacii potius convictum quam vera dicentem mori?

§. 13. *ὁ μὲν παῖς αὐτοῦ*] Sabaris. »In luctu graviori detrahere capiti tegumenta, et vestes discindere, et alia edere signa moeroris non modo, uti ex h. l. apparet, apud Armenios more receptum fuit, sed et apud Graecos et Iudaeos, omninoque orientis populos.« Zeun. Cf. Dorvill. ad Char. p. 411. 468. Blomfield. gloss. ad Aesch. Pers. 204. Baehr. ad Ctes. p. 231 sq.

τὴν τιάραν] vid. Blomfield. l. l. 667. et ad VIII. 3, 13.

τοὺς πέπλους] De virili veste dixerunt Soph. Trach. 599. ὅπως φέρῃς μοι τόνδε γ' εὐϋφῆ πέπλον, δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός. Eurip. Hecub. 1136. ed. Porson. ἤνουν θ', ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους. Aesch. Pers. 203. τὸν δ' ὅπως ὁρᾷ Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι; cuius forma, si fides habenda est Winckelmanno in hist. art. T. V. p. 26 sq. 341 sq. ed. Dresd., nihil magnopere ab virilibus nostratium palliis recessit.

τὰ μὲν δὴ σὰ δίκαια ταῦτα] ius quidem a te ipso constitutum tale est. Gabr. quem perspicuitate facile superarit Casel.: iusta haec sunt vel te ipso iudice.

ἢ τἀναντία – ποιεῖν] Iunge ἢ διδάσκοι τὸν Κῦρον ποιεῖν τἀναντία ἐκείνων, ἃ αὐτὸς ἔφη ποιεῖν. Vid. Matth. §. 344. p. 468.

τοῦ Τιγράνης ἐπήρετο τὸν Κῦρον, Εἰπέ μοι, ἔφη, ὦ Κῦρε, ἐπεὶ ὁ πατὴρ ἀποροῦντι ἔοικεν, ἦ συμβουλεύσω περὶ αὐτοῦ, ἃ οἴομαί σοι βέλτιστα εἶναι; Καὶ ὁ Κῦρος, ᾐσθημένος, ὅτε συνεθήρα αὐτῷ ὁ Τιγράνης, σοφιστήν τινα αὐτῷ συνόντα, καὶ θαυμαζόμενον ὑπὸ τοῦ Τιγράνου, πάνυ ἐπεθύμει αὐτοῦ ἀκοῦσαι, ὅ τι ποτὲ ἐροίη· καὶ προθύμως ἐκέλευσε λέγειν ὅ τι γιγνώσκοι.

15 Ἐγὼ τοίνυν, ἔφη ὁ Τιγράνης, εἰ μὲν ἄγασαι τοῦ πατρὸς ἢ ὅσα βεβούλευται, ἢ ὅσα πέπραχε, πάνυ σοι συμβουλεύω τοῦτον μιμεῖσθαι· εἰ μέντοι σοι δοκεῖ πάντα ἡμαρτηκέναι, συμβουλεύω τοῦτον μὴ μιμεῖσθαι. — Οὐκοῦν, ἔφη ὁ Κῦρος, τὰ δίκαια ποιῶν, ἥκιστ' ἂν τὸν ἁμαρτάνοντα μιμοίμην. — Ἔστιν, ἔφη, ταῦτα. — Κολαστέον ἄρ' ἂν εἴη, κατά γε τὸν σὸν λόγον, τὸν πατέρα, εἴπερ τὸν ἀδικοῦντα δίκαιον κολάζειν. — Πότερα δ' ἡγῇ, ὦ Κῦρε, ἄμεινον εἶναι, σὺν τῷ σῷ ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι, ἢ σὺν τῇ σῇ ζημίᾳ; — Ἐμαυτόν, ἔφη, οὕτω γ' ἂν τιμωροίμην. —

16 Ἀλλὰ μέντοι, ἔφη ὁ Τιγράνης, μεγάλα γ' ἂν ζημιοῖο, εἰ τοὺς ἑαυτοῦ κατακαίνοις, ὁπότε σοι πλείστου ἄξιοι

§. 16. τοὺς ἑαυτοῦ] Vat. pro τ. σεαυτοῦ. Tum γίγνοιντ' ἂν οἱ ἄνθρωποι M. m. Vict. γίγνοιντο οἱ ἄνθ. V. γίγνοιντο ἄνθ. edd.

§. 14. ᾐσθημένος] **cognitum habens**, ut II. 4, 22. **Sophistarum** nomen constat antiquis temporibus honorificum fuisse; quo non ii tantum potiti sunt, qui eximii in dicendo erant, sed etiam ex philosophis, qui facunde animi sensa exprimerent. Vid. infra §. 38 sq. **Morus** et **Spohn.** ad Isocrat. Paneg. p. 6. et **Wyttenbach.** ad Plutarch. Op. moral. T. VI. P. I. p. 653 sqq.

προθύμως – γιγνώσκοι] **iussit eum, quicquid sentiret, alacri animo proferre.**

§ 15. συμβουλεύω τοῦτον μὴ μιμ ῖσθαι] Callide, inquit **Weiske**, Tigranes non modo patris facta, sed etiam responsa ab eo per Cyrum expressa damnat, ut Cyro suadere possit, ne eum imitetur. Nam συμβ. – μιμεῖσθαι est **suadeo, ne τὰ δίκαια αὐτοῦ facto comprobes, s. ne idem statuas de illo, quod ipse de altero se statuere dixit.**

Πότερα δ' ἡγῇ] Laudavit **Thiersch.** §. 351. 22. 6. p. 693 ed. tert.

οὕτω γ'] **ita certe,** videlicet si in detrimentum meum iniuriarum auctores punirem. Voculas οὕτω γε compluribus locis observaverat **Reisig.** in Coniect. Aristoph. I. p. 93 sq.

§. 16. τοὺς ἑαυτοῦ] Vid. not. ad I. 6, 19.

εἶεν κεκτῆσθαι. — Πῶς δ' ἄν, ἔφη ὁ Κῦρος, τότε πλείστου ἄξιοι γίγνοιντ' ἂν οἱ ἄνθρωποι, ὁπότε ἀδικοῦντες ἁλίσκοιντο; — Εἰ τότε, οἶμαι, σώφρονες γίγνοιντο· δοκεῖ γάρ μοι, ὦ Κῦρε, οὕτως ἔχειν, ἄνευ μὲν σωφροσύνης οὐδ' ἄλλης ἀρετῆς οὐδὲν ὄφελος εἶναι· τί γὰρ ἄν, ἔφη, χρήσαιτ' ἄν τις ἰσχυρῷ, ἢ ἀνδρείῳ, μὴ σώφρονι; τί δ' ἱππικῷ; τί δὲ πλουσίῳ; τί δὲ δυνάστῃ ἐν πόλει; σὺν δὲ σωφροσύνῃ καὶ φίλος πᾶς χρήσιμος, καὶ θεράπων πᾶς ἀγαθός. — Τοῦτ' οὖν, 17
ἔφη, λέγεις, ὡς καὶ ὁ σὸς πατὴρ ἐν τῇδε τῇ μιᾷ ἡμέρᾳ ἐξ ἄφρονος σώφρων γεγένηται; — Πάνυ μὲν οὖν, ἔφη. — Πάθημα ἄρα τῆς ψυχῆς σὺ λέγεις εἶναι τὴν σωφροσύνην, ὥσπερ λύπην, οὐ μάθημα· οὐ γὰρ ἂν δήπου, εἴγε φρόνιμον δεῖ γενέσθαι τὸν μέλλοντα σώφρονα ἔσεσθαι, παραχρῆμα ἐξ ἄφρονος σώφρων ἄν τις γένοιτο.
— Τί δ', ἔφη, ὦ Κῦρε, οὔπω ᾔσθου καὶ ἕνα ἄνδρα 18
δι' ἀφροσύνην μὲν ἐπιχειροῦντα κρείττονι ἑαυτοῦ μάχε-

Εἰ τότε, οἶμαι, σώφρονες γίγνοιντο] nimirum si tum, cum iniusti deprehenderentur, temperantes evaderent.

τί δ' ἱππικῷ;] Negans Tigranes aliarum artium et virtutum sine temperantia ullum constare fructum, non necesse est de iis tantum sive artibus sive facultatibus exempla depromat, quas natura vel fortuna homini concesserit. Deinde ut divitiae, potentia, robur et fortitudo a natura solum fortunave tribuantur homini, omnia tamen haec bona nonne maximam partem arte et excoluntur et perficiuntur, ipsamque *σωφροσύνην*, in qua cardo disputationis vertitur, num alia re melius quam arte et exercitatione acquiri putabimus?

§. 17. *Πάθημα*] Socratis exemplo Memor. I. 2, 23. dicentis: *Πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη*, Cyrus h. l. statuit temperantiam et modestiam *μάθημα* esse, ut quae usu et exercitatione, praeceptis et disciplina comparetur, alatur et confirmetur, non *πάθημα*, affectionem animi, ut dolorem, iracundiam aliasque cupiditates. Comparari disputationem infra c. 3, 50 sqq. positam iussit Wyttenbach. ad Plat. Phaedon. p. 202. 336. (202 sq. Lips.).

φρόνιμον] Brownius putat dici *φρόνιμον περὶ ἑαυτόν*, qui versetur in scientia eorum, quae ad se pertineant. At prudentem vox designat etiam ibi, ubi res non additur, in qua quis esse *φρόνιμος* dicitur. Cyrop. I. 6, 22. Memor. IV. 8, 11. Anab. I. 10, 7.

§. 18. *Τί δ', ἔφη, ὦ Κῦρε, οὔπω ᾔσθου καὶ ἕνα ἄνδρα*] Quid vero, inquit, o Cyre, nondum vel unum hominem accepisti. Tigranes enim fieri posse putat, ut quis experientia edoctus ex intemperante efficiatur temperans.

σθαι, ἐπειδὰν δὲ ἡττηθῇ, εὐθὺς πεπαυμένον τῆς πρὸς τοῦτον ἀφροσύνης; Πόλιν δ᾽, ἔφη, οὔπω ἑώρακας ἀντιταττομένην πρὸς πόλιν ἑτέραν, ἥτις, ἐπειδὰν ἡττηθῇ, παραχρῆμα ταύτῃ ἀντὶ τοῦ μάχεσθαι πείθεσθαι ἐθέλει;
19 — Ποίαν δ᾽, ἔφη ὁ Κῦρος, καὶ σὺ τοῦ πατρὸς ἧτταν λέγων οὕτως ἰσχυρίζῃ σεσωφρονίσθαι αὐτόν; — Ἥν, νὴ Δία, ἔφη, σύνοιδεν ἑαυτῷ ἐλευθερίας μὲν ἐπιθυμήσας, δοῦλος δ᾽ ὡς οὐδεπώποτε γενόμενος, ἃ δὲ ᾠήθη χρῆναι λαθεῖν, ἢ φθάσαι, ἢ ἀποβιάσασθαι, οὐδὲν τούτων ἱκανὸς γενόμενος διαπράξασθαι. Σὲ δὲ οἶδεν, ἐπεὶ ἐβουλήθης ἐξαπατῆσαι αὐτόν, οὕτως ἐξαπατήσαντα, ὥςπερ ἄν τις τυφλοὺς καὶ κωφοὺς καὶ μηδ᾽ ὁτιοῦν φρονοῦντας ἐξαπατήσειεν, ἃ δὲ ᾠήθης λαθεῖν χρῆναι, οὕτω σὲ οἶδε λαθόντα, ὥςτε, ἃ ἐνόμιζεν ἑαυτῷ ἰσχυρὰ χωρία ἀποκεῖσθαι, ταῦτα σὺ εἱρκτὰς αὐτῷ ἔλαθες προκατασκευάσας· τάχει δὲ τοσοῦτον περιεγένου αὐτοῦ, ὥςτε πρόσωθεν ἔφθασας ἐλθὼν σὺν πολλῷ στόλῳ, πρὶν
20 τοῦτον τὴν παρ᾽ ἑαυτῷ δύναμιν ἀθροίσασθαι. — Ἔπειτα δοκεῖ σοι, ἔφη ὁ Κῦρος, καὶ ἡ τοιαύτη ἧττα σωφρονίζειν ἱκανὴ εἶναι ἀνθρώπους, τὸ γνῶναι ἄλλους ἑαυτῶν βελτίονας ὄντας; — Πολύ γε μᾶλλον, ἔφη ὁ Τιγράνης, ἢ ὅταν μάχῃ τις ἡττηθῇ. Ὁ μὲν γὰρ ἰσχύϊ

§. 18. *Πόλιν δ᾽, ἔφη, οὔπω ἑώρακας ἀντ.*] πάλιν δ᾽, ἔφη, οὔπω ἑώρ. πόλιν ἀντ. editiones ante Schneid.

§. 19. *ταῦτα σύ*] *σύ* Brod. ex *σοί* effinxit.

§. 19. *Ποίαν δ᾽, ἔφη – αὐτόν;*] Quam vero tu, inquit Cyrus, patris quoque cladem intelligis, qui tantopere asseveres sapientiorem eum redditum esse? In *ποῖος* levem inesse reprehensionem a VV. DD. pridem animadversum est. Hanc, inquit Tigranes, intelligo cladem, cuius sibi conscius pater est eo, quod libertatis desiderio captus in servitutem multo maiorem devenit. Pessime Brownius.

λαθεῖν, ἢ φθάσαι, ἢ ἀποβιάσασθαι] Hellen. VI. 1, 15. ὃς φρόνιμος μὲν οὕτω στρατηγός ἐστιν, ὃς ὅσα τε λανθάνειν καὶ ὅσα φθάνειν καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ οὐ μάλα ἀφαμαρτάνει.

ὥςτε πρόσωθεν ἔφθασας ἐλθὼν – ἀθροίσασθαι] ut antetu ex longinquis locis cum magna manu huc perveneris, quam ille, quas domi apud se habebat, copias coegerit. Gabr.

κρατηθεὶς ἔστιν ὅτε φήθη σωμασκήσας ἀναμαχεῖσθαι· καὶ πόλεις γε ἁλοῦσαι, συμμάχους προςλαβοῦσαι, οἴονται ἀναμαχέσασθαι ἄν· οὓς δ' ἂν βελτίους τινὲς ἑαυτῶν ἡγήσωνται, τούτοις πολλάκις καὶ ἄνευ ἀνάγκης ἐθέλουσι πείθεσθαι. — Σύ, ἔφη, ἔοικας οὐκ οἴεσθαι 21
τοὺς ὑβριστὰς γιγνώσκειν τοὺς ἑαυτῶν σωφρονεστέρους, οὐδὲ τοὺς κλέπτας τοὺς μὴ κλέπτοντας, οὐδὲ τοὺς ψευδομένους τοὺς τἀληθῆ λέγοντας, οὐδὲ τοὺς ἀδικοῦντας τοὺς τὰ δίκαια ποιοῦντας· οὐκ οἶσθα, ἔφη, ὅτι καὶ νῦν ὁ σὸς πατὴρ ἐψεύσατο, καὶ οὐκ ἐξημπέδου τὰς πρὸς ἡμᾶς συνθήκας, εἰδώς, ὅτι ἡμεῖς οὐδ' ὁτιοῦν ὧν Ἀστυάγης συνέθετο παραβαίνομεν; — Ἀλλ' οὐ- 22
δ' ἐγὼ ταῦτα λέγω, ὡς τὸ γνῶναι μόνον τοὺς βελτίονας σωφρονίζειν ἄνευ τοῦ δίκην διδόναι ὑπὸ τῶν βελτιόνων, ὥςπερ ὁ ἐμὸς πατὴρ νῦν δίδωσιν. — Ἀλλ', ἔφη ὁ Κῦρος, ὅ γε σὸς πατὴρ πέπονθε μὲν οὐδ' ὁτιοῦν πω κακόν· φοβεῖταί γε μέντοι, εὖ οἶδ' ὅτι, μὴ πάντα τὰ ἔσχατα πάθῃ. — Οἴει οὖν τι, ἔφη ὁ Τιγράνης, μᾶλ- 23
λον καταδουλοῦσθαι ἀνθρώπους τοῦ ἰσχυροῦ φόβου; Οὐκ οἶσθ' ὅτι οἱ μὲν τῷ ἰσχυροτάτῳ κολάσματι νομι-

§. 21. τἀληθῆ] V. M. m. Vict. pro ἀληθῆ.

§. 22. τὸ γνῶναι μόνον] τὸ γνῶναι τοῦτο μόνον V. bene. Antea ταῦτα λέγω Mss., τοῦτο λέγω editi.

§. 21. *Σύ, ἔφη, ἔοικας οὐκ οἴεσθαι*] Dixerat Tigranes libenter homines iis morem gerere, quos meliores se cognovissent. Atqui quum pacta, quae Armenii cum Medis fecerant, Cyaxares quidem servasset, sed violasset Armenius, ut iure Medos meliores Armeniis appellare, ita Cyrus recte opponere potuit: tu non videris existimare, contumaces, qualis pater tuus fuit, nosse eos, qui ipsis temperantiores sint etc. Hoc enim nisi pater ignorasset, non potuisset non eo nobis parere, ut foedus initum servaret.

παραβαίνομεν] i. q. *παραβαίνειν εἰώθαμεν.* Sic Plato in Phaedon. §. 2. p. 5 sq. Heind. ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσι. Cf. Buttm. §. 124. n. 4. p. 391.

§. 22. [*ὡς - σωφρονίζειν*] abundat ὡς, ut ὅτι supra I. 1, 18., ubi vid. quos laudavit editor. V. C. F. R.]

§. 23. *Οἴει οὖν τι - φόβον;*] Ecquid vero esse opinaris, quod magis homines frangat et subigat, quam atrox metus? Gabr. Th. Mag. p. 249. Δουλοῦμαι τὸν δεῖνα Ἀττικοί, οὐ δουλῶ, ubi videndi interpretes.

ζομένῳ, σιδήρῳ, παιόμενοι, ὅμως ἐθέλουσι καὶ πάλιν μάχεσθαι τοῖς αὐτοῖς; οὓς δ' ἂν σφόδρα φοβηθῶσιν ἄνθρωποι, τούτοις οὐδὲ παραμυθουμένοις ἔτι ἀντιβλέπειν δύνανται; — Λέγεις σύ, ἔφη, ὡς ὁ φόβος τοῦ ἔργῳ κακοῦσθαι μᾶλλον κολάζει τοὺς ἀνθρώπους; —

24 Καὶ σύ γε, ἔφη, οἶσθα, ὅτι ἀληθῆ λέγω· ἐπίστασαι γάρ, ὅτι οἱ μὲν φοβούμενοι, μὴ φύγωσι πατρίδα, καὶ οἱ μέλλοντες μάχεσθαι, δεδιότες, μὴ ἡττηθῶσιν, ἀθύμως διάγουσι· καὶ οἱ πλέοντες, μὴ ναυαγήσωσι, καὶ οἱ δουλείαν καὶ δεσμὸν φοβούμενοι, οὗτοι μὲν οὔτε σίτου οὔθ' ὕπνου δύνανται λαγχάνειν διὰ τὸν φόβον· οἱ δὲ ἤδη μὲν φυγάδες, ἤδη δ' ἡττημένοι, ἤδη δὲ δουλεύοντες ἔστιν ὅτε δύνανται καὶ μᾶλλον τῶν εὐδαιμόνων

25 ἐσθίειν τε καὶ καθεύδειν. Ἔτι δὲ φανερώτερον καὶ ἐν τοῖσδε, οἷον φόρημα ὁ φόβος· ἔνιοι γὰρ φοβούμενοι, μὴ ληφθέντες ἀποθάνωσι, ὑπὸ τοῦ φόβου προαποθνήσκουσιν, οἱ μὲν ῥιπτοῦντες ἑαυτούς, οἱ δὲ ἀπαγχόμενοι, οἱ δὲ ἀποσφαττόμενοι· οὕτω πάντων τῶν δεινῶν ὁ φόβος μάλιστα καταπλήττει τὰς ψυχάς. Τὸν δ' ἐμὸν πατέρα, ἔφη, νῦν πῶς δοκεῖς διακεῖσθαι τὴν ψυχήν, ὃς οὐ μό-

τοῖς αὐτοῖς] contra eosdem, a quibus ferro vulnerati sunt. Nescio an de militibus loquatur in proelio cum hoste pugnantibus.

§. 24. *οἱ μὲν φοβούμενοι*] Ut Atheniensis de civibus cogitat exsulantibus. Ad *οἱ πλέοντες* repete ex superioribus *δεδιότες*.

ὕπνου δύνανται λαγχάνειν] Eandem constructionem habes Hieron. VI. 9. *δείπνου τε καὶ ὕπνου λαγχάνομεν*. Anab. III. 1, 11. *μικρὸν δ' ὕπνου λαχών*. Matth. §. 363. Causam, cur procellam timentes nautae nec cibo nec somno indulgeant, aperiunt Memor. III. 5, 6. *ἔςτ' ἂν δὲ ἢ χειμῶνα, ἢ πολεμίους δείσωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι καραδοκοῦντες τὰ προςταχθησόμενα, ὥςπερ χορευταί.*

§. 25. *ἐν τοῖςδε*] Aliae linguae desideraverint *ἐκ τῶνδε*, non Graeca, cuius de usu vid. Matth. §. 401. n. 2. p. 543.

καταπλήττει τὰς ψυχάς] Dio Chrysost. Or. VI. p. 94. (212 Reisk.) *πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προςδεχομένους ἢ λυπεῖν τοὺς πειραθέντας, καὶ πενία, καὶ φυγή, καὶ δεσμοί, καὶ ἀτιμία· τοῦ θανάτου δὲ εἴ τις ἀφέλοι τὸ δέος, οὐδὲν ὑπολείπεται δυςχερές· — ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥςτε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον· οἱ μὲν ἐν νηῒ χειμαζόμενοι οὔτε περιέμειναν καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀπέσφαξαν, οἱ δὲ πολεμίων προειληφότων, σαφῶς εἰδότες, ὅτι οὐδὲν πείσονται δεινότερον.* Plura coacervata sunt eiusdem argumenti a Wyttenbach. ad Plutarch. Consol. ad Apollon. p. 724.

νον περὶ ἑαυτοῦ, ἀλλὰ καὶ περὶ ἐμοῦ, καὶ περὶ γυναικός, καὶ περὶ πάντων τῶν τέκνων δουλείας φοβεῖται; — Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλὰ νῦν μὲν ἔμοιγε οὐδὲν 26
ἄπιστον τοῦτον οὕτω διακεῖσθαι· δοκεῖ μέντοι μοι τοῦ αὐτοῦ ἀνδρὸς εἶναι καὶ εὐτυχοῦντα ἐξυβρίσαι, καὶ πταίσαντα ταχὺ πτῆξαι, καὶ ἀνεθέντα γε πάλιν αὖ μέγα φρονῆσαι, καὶ πάλιν αὖ πράγματα παρασχεῖν. — Ἀλλά, 27
ναὶ μὰ Δί', ἔφη, ὦ Κῦρε, ἔχει μὲν προφάσεις τὰ ἡμέτερα ἁμαρτήματα, ὥστε ἂν ἀπιστεῖν ἡμῖν· ἔξεστι δέ σοι καὶ φρούρια ἐντειχίζειν, καὶ τὰ ἐχυρὰ κατέχειν, καὶ ἄλλο, ὅ τι ἂν βούλῃ, πιστὸν λαμβάνειν. Καὶ μέντοι, ἔφη, ἡμᾶς μὲν ἕξεις οὐδέν τι τούτοις μέγα λυπουμένους· μεμνησόμεθα γάρ, ὅτι ἡμεῖς αὐτῶν αἴτιοί ἐσμεν· εἰ δέ τινι τῶν ἀναμαρτήτων παραδοὺς τὴν ἀρχήν, ἀπιστῶν αὐτοῖς φανεῖ, ὅρα, μὴ ἅμα τε εὖ ποιήσεις, καὶ ἅμα οὐ φίλον νομίσουσί σε· εἰ δ' αὖ, φυλαττόμενος τὸ ἀπεχθάνεσθαι, μὴ ἐπιθήσεις αὐτοῖς ζυγὰ τοῦ μὴ ὑβρίσαι, ὅρα, μὴ ἐκείνους αὖ δεήσει σε σωφρονίζειν ἔτι μᾶλλον, ἢ ἡμᾶς νῦν ἐδέησεν. — Ἀλλὰ ναὶ μὰ τοὺς θε- 28

§. 25. *δουλείας*] om. Vat. recte, puto.

§. 27. *ἔχει μὲν προφ.*] *ἔχεις μὲν προφ.* Holzmann. *ποιήσεις*, *νομίσουσι* et *δεήσει* Mss. pro coniunctt. aor.

§. 26. *τοῦ αὐτοῦ ἀνδρὸς εἶναι*] Universe disputare videtur, sed quae quam maxime in Armeniorum regem cadunt.

καὶ ἀνεθέντα γε] quin relaxatum metu et curis.

§. 27. *ἔχει μὲν προφάσεις — ἡμῖν*] habent quidem nostra errata causas, cur nobis fidem derogare possis. De verbis extremis vid. Anab. VI. 1, 31. not. ad I. 4, 20.

φρούρια ἐντειχίζειν] Hoc quum sit castella munire, *κατέχειν τὰ ἐχυρά* loca munita tenere, respici patet *τὰ ἐχυρά*, quae iam aderant, de quibus §. 19. *ἃ ἐνόμιζεν ἑαυτῷ ἐχυρὰ χωρία ἀποκεῖσθαι.*

αὐτοῖς] Frequens pluralis post *εἴ τις* collectivum, vid. ad I. 6, 11. Hoc sibi vult Tigranes: quodsi cui eorum, qui nihil in te peccarunt, regno tradito diffisus fueris, cave ne, dum hominem beneficio afficis, ille te inimicum esse ducat; sin odii vitandi causa iugum ei non impones, quo insolentiam eius comprimas, vide, ne futurum sit, ut illum magis abs te oporteat temperantem reddi, quam nos hoc tempore oportuit. De futuris illis *ποιησεις*, *νομίσουσι* et *δεήσει* egerunt Matth. §. 520. n. 4. p. 737 sq. et Hermann ad Eurip. Med. Elmsl. p. 357. Soph. Aiac. 557.

ούς, ἔφη, τοιούτοις μὲν ἔγωγε ὑπηρέταις, οὓς εἰδείην
ἀνάγκῃ ὑπηρετοῦντας, ἀηδῶς ἄν μοι δοκῶ χρῆσθαι·
οὓς δὲ γιγνώσκειν δοκοίην, ὅτι εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ
τὸ δέον συλλαμβάνοιεν, τούτους ἄν μοι δοκῶ καὶ ἁμαρ-
τάνοντας ῥᾷον φέρειν ἢ τοὺς μισοῦντας μέν, ἔκπλεω
δὲ πάντα ἀνάγκῃ διαπονουμένους. Καὶ ὁ Τιγράνης
εἶπε πρὸς ταῦτα, Φιλίαν δ', ἔφη, παρὰ τίνων λάβοις
ἄν ποτε τοσαύτην, ὅσην σοι παρ' ἡμῶν ἔξεστι κτήσα-
σθαι νῦν; — Παρ' ἐκείνων οἶμαι, ἔφη, παρὰ τῶν
μηδέποτε πολεμίων γεγενημένων, εἰ ἐθέλοιμι εὐεργετεῖν
αὐτούς, ὥςπερ σὺ νῦν με κελεύεις εὐεργετεῖν ὑμᾶς.
29 — Ἦ καὶ δύναιο ἄν, ἔφη, ὦ Κῦρε, ἐν τῷ παρόντι
νῦν εὑρεῖν ὅτῳ ἂν χαρίσαιο, ὅσαπερ τῷ ἐμῷ πατρί;
Αὐτίκα, ἔφη, ἤν τινα ἐᾷς ζῆν τῶν σε μηδὲν ἠδικη-
κότων, τίνα σοι τούτου χάριν οἴει αὐτὸν εἴσεσθαι; τί
δέ; ἢν αὐτοῦ τέκνα καὶ γυναῖκα μὴ ἀφαιρῇ, τίς σε
τούτου ἕνεκα φιλήσει μᾶλλον ἢ ὁ νομίζων προσήκειν
αὑτῷ ἀφαιρεθῆναι; τὴν δ' Ἀρμενίων βασιλείαν εἰ μὴ
ἕξει, οἶσθά τινα, ἔφη, νῦν λυπούμενον μᾶλλον ἢ ἡ-
μᾶς; οὐκοῦν καὶ τοῦτο, ἔφη, δῆλον, ὅτι ὁ μάλιστα
λυπούμενος, εἰ μὴ βασιλεὺς εἴη, οὗτος καὶ λαβὼν
30 τὴν ἀρχὴν μεγίστην ἄν σοι χάριν εἰδείη. Εἰ δέ τί
σοι, ἔφη, μέλει καὶ τοῦ ὡς ἥκιστα τεταραγμένα τάδε
καταλιπεῖν, ὅταν ἀπίῃς, σκόπει, ἔφη, πότερον ἂν οἴει

[§. 29. *οὐκοῦν – εἰδείη*] haec enuntiatio pariter ac praecedentes interrogative mihi videtur accipienda esse; quare scribere mallem *οὔκουν*, interrogationis signo ad finem posito. V. C. F. R.].

§. 28. *οὓς δὲ γιγνώσκειν – συλλαμβάνοιεν*] quos autem intelligere viderer benevolentia et amore erga me (Matth. §. 466. 2.) ductos officium suum praestare.

Παρ' ἐκείνων – παρὰ τῶν γεγενημένων] Plat. Protag. §. 113. p. 628 ed. Heind. *Εἰ οὖν ἐν τούτῳ ἡμῖν ἦν τὸ εὖ πράττειν, ἐν τῷ τὰ μὲν μεγάλα μήκη καὶ πράττειν καὶ λαμβάνειν.* sc. *λάβοιμι ἂν φιλίαν.*

§. 29. *Αὐτίκα – εἴσεσθαι;*] Primum (Viger. p. 393 sq.) si quem permittas vivere, qui nihil te laeserit, quamnam hac tibi de re putas eum gratiam habiturum? Gabr. Sed pater, qui te maxima affecit iniuria, si salvum eum dimiseris, non poterit non vitam tibi acceptam referre.

ἠρεμεστέρως ἔχειν τὰ ἐνθάδε, καινῆς ἀρχομένης ἀρχῆς ἢ τῆς εἰωθυίας καταμενούσης· εἰ δέ τί σοι μέλει καὶ τοῦ ὡς πλείστην στρατιὰν ἐξάγειν, τίν' ἂν οἴει μᾶλλον ἐξετάσαι ταύτην ὀρθῶς τοῦ πολλάκις αὐτῇ κεχρημένου; εἰ δὲ καὶ χρημάτων δεήσει, τίνα ἂν ταῦτα νομίζεις κρεῖττον ἐκπορίσαι τοῦ καὶ εἰδότος καὶ ἔχοντος πάντα τὰ ὄντα; Ὦ 'γαθέ, ἔφη, Κῦρε, φύλαξαι, μὴ ἡμᾶς ἀποβαλὼν σαυτὸν ζημιώσῃς πλείω, ἢ ὁ πατὴρ ἠδυνήθη σε βλάψαι. Ὁ μὲν τοιαῦτα ἔλεγεν.

Ὁ δὲ Κῦρος ἀκούων ὑπερήδετο, ὅτι ἐνόμιζε πε- 31
ραίνεσθαι πάντα αὐτῷ, ὅσαπερ ὑπέσχετο τῷ Κυαξάρῃ πράξειν· ἐμέμνητο γὰρ εἰπών, ὅτι καὶ φίλον οἴοιτο μᾶλλον αὐτὸν ἢ πρόσθεν ποιήσειν. Καὶ ἐκ τούτου δὴ τὸν Ἀρμένιον ἐρωτᾷ, Ἢν δὲ δὴ ταῦτα πείθωμαι ὑμῖν, λέγε μοι σύ, ἔφη, ὦ Ἀρμένιε, πόσην μὲν στρατιάν μοι συμπέμψεις, πόσα δὲ χρήματα συμβαλῇ εἰς τὸν πόλε-
μον; Πρὸς ταῦτα δὴ λέγει ὁ Ἀρμένιος, Οὐδὲν ἔχω, 32
ὦ Κῦρε, ἔφη, ἁπλούστερον εἰπεῖν οὐδὲ δικαιότερον, ἢ δεῖξαι μὲν ἐμὲ πᾶσαν τὴν οὖσαν δύναμιν, σὲ δὲ ἰδόντα, ὅσην μὲν ἄν σοι δοκῇ, στρατιὰν ἄγειν, τὴν δὲ καταλιπεῖν τῆς χώρας φυλακήν. Ὡς δ' αὔτως περὶ χρη-

§. 30. ζημιώσῃς] ζημιώσεις, minime vero ζημιώσῃ probari potest.

§. 31. συμβαλῇ] meliores pro συμβαλεῖ.

§. 30. καινῆς ἀρχομένης ἀρχῆς] Haec sc lectio facile tuebitur prae altera κ. γενομένης ἀρχῆς exemplorum ope similium, quae deprompserunt Matth. §. 413. n. 5. Buttm. §. 118. 3. Rost. §. 104. 3. b.

μᾶλλον ἐξετάσαι ταύτην ὀρθῶς] Illud μᾶλλον iunge cum ὀρθῶς. Simili ratione infra III. 3, 70. πολὺ μᾶλλον χοροῦ ἀκριβῶς εἰδότες. II. 3, 12. Μάλιστα τοῦτό με εὐθύμως εἰς τὸν ἀγῶνα παρορμᾷ. VII. 5, 37. ὅτι ἥκιστα ἐπιφθόνως. Postea §. 31. φίλον οἴοιτο μᾶλλον.

§. 31. ὅτι καὶ φ. - ποιήσειν] putare se Armeniorum regem amiciorem etiam ei, quam antea fuisset, redditurum. Gabr. II. 4, 14. ἔτι δὲ ἐλπίζω καὶ φίλον αὐτὸν μᾶλλον γενήσεσθαι ἢ νῦν ἐστι.

§. 32. ὅσην μὲν - τὴν δὲ] Anab. II. 3, 15. Αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι. III. 1, 35. ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ Τισσαφέρνης, οὓς μὲν ἠδυνήθησαν, συνειλήφεσαν ἡμῶν· τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν.

μάτων δηλῶσαι μὲν ἐμὲ δίκαιόν σοι πάντα τὰ ὄντα· σὲ δὲ
τούτων, αὐτὸν γνόντα, ὁπόσα ἂν βούλῃ φέρεσθαι, καὶ
33 *ὁπόσα ἂν βούλῃ καταλιπεῖν. Καὶ ὁ Κῦρος εἶπεν· Ἴθι*
δή, λέξον μοι πόση σοι δύναμίς ἐστι, λέξον δὲ καὶ πόσα
χρήματα. Ἐνταῦθα δὴ λέγει ὁ Ἀρμένιος· Ἱππεῖς μὲν
τοίνυν εἰσὶν Ἀρμενίων εἰς ὀκτακισχιλίους, πεζοὶ δὲ
εἰς τέτταρας μυριάδας· χρήματα δ', ἔφη, σὺν τοῖς θη-
σαυροῖς, οἷς ὁ πατὴρ κατέλιπεν, ἔστιν εἰς ἀργύριον
34 *λογισθέντα τάλαντα πλείω τῶν τρισχιλίων. Καὶ ὁ Κῦ-*
ρος οὐκ ἐμέλλησεν, ἀλλ' εἶπε· Τῆς μὲν τοίνυν στρα-
τιᾶς, ἐπεί σοι, ἔφη, οἱ ὅμοροι Χαλδαῖοι πολεμοῦσι,
τοὺς ἡμίσεις μοι σύμπεμπε· τῶν δὲ χρημάτων, ἀντὶ
μὲν τῶν πεντήκοντα ταλάντων, ὧν ἔφερες δασμόν, δι-
πλάσια Κυαξάρῃ ἀπόδος, ὅτι ἔλιπες τὴν φοράν· ἐμοὶ
δ', ἔφη, ἄλλα ἑκατὸν δάνεισον· ἐγὼ δέ σοι ὑπισχνοῦμαι,
ἢν ὁ θεὸς εὖ διδῷ, ἀνθ' ὧν ἂν ἐμοὶ δανείσῃς ἢ ἄλλα
πλείονος ἄξια εὐεργετήσειν, ἢ τὰ χρήματα ἀπαριθμή-
σειν, ἢν δύνωμαι· ἢν δὲ μὴ δύνωμαι, ἀδύνατος μὲν
ἂν φαινοίμην, οἶμαι, ἄδικος δ' οὐκ ἂν δικαίως κρι-
35 *νοίμην. Καὶ ὁ Ἀρμένιος, Πρὸς τῶν θεῶν, ἔφη, ὦ*
Κῦρε, μὴ οὕτω λέγε· εἰ δὲ μή, οὐ θαῤῥοῦντά με
ἕξεις· ἀλλὰ νόμιζε, ἔφη, ἃ ἂν καταλίπῃς μηδὲν ἧτ-
τον σὰ εἶναι ὧν ἂν ἔχων ἀπίῃς. Εἶεν, ἔφη ὁ Κῦ-
ρος· ὥστε δὲ τὴν γυναῖκα ἀπολαβεῖν, πόσα ἄν μοι
χρήματα δοίης; — Ὁπόσα ἂν δυναίμην, ἔφη. — Τί

§. 33. *λέξον*] *δεῖξον* vetustiores edd.
§. 34. *ἐμέλλησεν*] *ἠμέλησεν* olim. Vid. not. ad I. 3, 15.

Extrema huius sect. verba sic struenda: *σὲ δὲ αὐτὸν γνόντα φέρεσθαι* **(tecum auferre)** *τούτων* **(***τῶν ὄντων χρημάτων***)** *ὁπόσα ἂν βούλῃ καὶ καταλιπεῖν ὁπόσα ἂν βούλῃ.*

§. 33. *Ἀρμενίων εἰς ὀκτακισχ.*] **Harum copiarum partem dimidiam II. 1, 6. Medis Armenii auxilio missuri erant.**

τάλαντα πλείω τῶν τρισχιλίων] **Si talenta intelliguntur Attica, quorum unum 1375 imperial. Sax. efficiat, 4,125,000 imperial., sin Babylonica, 4,950,000 imper. Vid. Boeckh Staatsh. Vol. I. p. 16. 20., a quo parum recedit Wurm. de pond. numm. mens. rat. p. 206.**

§. 35. *εἰ δὲ μή*] **Exspectaveris** *εἰ δέ*, **sed Graecismum illum permulti fuerunt qui illustrarent. Viger. p. 510. Buttm. gr. §. 135. not. 10. Heindorf. ad Plat. Parmen. p. 208. Sophist. p. 275.**

δέ, ὥςτε τοὺς παῖδας; — Καὶ τούτων, ἔφη, ὁπόσα ἂν δυναίμην. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ταῦτα μὲν ἤδη διπλάσια τῶν ὄντων. Σὺ δέ, ἔφη, ὦ Τιγράνη, λέξον 36
μοι, πόσου ἂν πρίαιο, ὥςτε τὴν γυναῖκα ἀπολαβεῖν. Ὁ δὲ ἐτύγχανε νεόγαμος ὢν καὶ ὑπερφιλῶν τὴν γυναῖκα. Ἐγὼ μέν, ἔφη, ὦ Κῦρε, κἂν τῆς ψυχῆς πριαίμην, ὥςτε μήποτε λατρεῦσαι ταύτην. Σὺ μὲν 37
τοίνυν, ἔφη, ἀπάγου τὴν σήν· οὐδὲ γὰρ εἰλῆφθαι ἔγωγε αἰχμάλωτον ταύτην νομίζω, σοῦ γε μὴ πώποτε φυγόντος ἡμᾶς. Καὶ σὺ δέ, ὦ Ἀρμένιε, ἀπάγου τὴν γυναῖκα καὶ τοὺς παῖδας, μηδὲν αὐτῶν καταθείς, ἵνα εἰδῶσιν, ὅτι ἐλεύθεροι πρός σε ἀπέρχονται. Καὶ νῦν μέν, ἔφη, δειπνεῖτε παρ᾽ ἡμῖν· δειπνήσαντες δὲ ἀπελαύνετε, ὅποι ὑμῖν θυμός. Οὕτω δὴ κατέμειναν.

Διασκηνούντων δὲ μετὰ τὸ δεῖπνον, ἐπήρετο ὁ 38
Κῦρος· Εἰπέ μοι, ἔφη, ὦ Τιγράνη, ποῦ δὴ ἐκεῖνός ἐστιν ὁ ἀνήρ, ὃς συνεθήρα ἡμῖν, καὶ σύ μοι μάλα ἐδόκεις θαυμάζειν αὐτόν. — Οὐ γάρ, ἔφη, ἀπέκτει-

§. 35. *Καὶ τούτων*] *Καὶ ἀντὶ τούτων*. Steph.

§. 38. *μετὰ τὸ δεῖπνον*] Reiicio ut interpretamentum participii

Καὶ τούτων, ἔφη, ὁπόσα ἂν δυναίμην] pro his etiam darem quantascunque possem pecunias.

ταῦτα μὲν – ὄντων] haec igitur duplo iamplures sunt, quam habeas. Gabr.

§. 36. *κἂν τῆς ψυχῆς πριαίμην*] Proverbialis loquutio de iis, qui amicorum causa carissima quaeque, adeoque vitam volunt profundere. Vid. Valckenar. ad Theocrit. Adoniaz. p. 341 sq. (176 sq. Heind.)

§. 37. *σοῦ γε μὴ π. φυγόντος ἡμᾶς*] quum ipse a nobis nunquam descivcris. Gabr. Verbo *φυγεῖν* de servis dominum fugientibus usitato utitur, quo maior patris iniustitia appareat, pacta antiqua violantis. Ita minus dubitari poterat, quin beneficiorum acceptorum omnes in posterum gratam memoriam recolerent.

μηδὲν αὐτῶν καταθείς] Exemplis aliis abundant Matth. §. 342. Rost. §. 108. 4. e. Thiersch. §. 255. 10. Buttm. §. 119. 6. 2). Lamb. Bos. de Ellips. p. 664 sqq. ed. Schaef. Quanquam ellipsin in his non agnovit Hermann. ad Viger. p. 877 sq.

§. 38. *Διασκηνούντων δὲ μετὰ τὸ δ.*] Reddunt quum autem discedere vellent post coenam e tabernaculo, sed ambiguae interpretationis est locus Hellen. IV. 8, 18. quosque ex Anabasi laudarunt.

καὶ σύ μοι – αὐτόν] Legitima struendi ratio fuisset *καὶ ὃν σύ μοι*, omisso pronomine *αὐτόν*, quod mutari docet constructionem. Conviv. VIII. 17. *τίς μι-*

νεν αὐτὸν οὑτοσὶ ὁ ἐμὸς πατήρ; — Τί λαβὼν ἀδι-
κοῦντα; — Διαφθείρειν αὐτὸν ἔφη ἐμέ· καίτοι γ', ἔφη,
ὦ Κῦρε, οὕτω καλὸς κἀγαθὸς ἐκεῖνος ἦν, ὡς καί, ὅτε
ἀποθνήσκειν ἔμελλε, προσκαλέσας με εἶπε· Μή τι
σύ, ὦ Τιγράνη, ἔφη, ὅτι ἀποκτείνει με, χαλεπανθῇς
τῷ πατρί· οὐ γὰρ κακονοίᾳ τινὶ τοῦτο ποιεῖ, ἀλλ' ἀ-
γνοίᾳ· ὁπόσα δὲ ἀγνοίᾳ ἄνθρωποι ἐξαμαρτάνουσι,
39 πάντα ἀκούσια ταῦτ' ἐγὼ νομίζω. Ὁ μὲν δὴ Κῦρος
ἐπὶ τούτοις εἶπε, Φεῦ τοῦ ἀνδρός. Ὁ δὲ Ἀρμένιος
ἔλεξεν οὕτως· Ὦ Κῦρε, οὐδ' οἱ ταῖς ἑαυτῶν γυναιξὶ
λαμβάνοντες συνόντας ἀλλοτρίους ἄνδρας, οὐ τοῦτο
αἰτιώμενοι αὐτοὺς κατακτείνουσιν, ὡς ἀφρονεστέρας
ποιοῦντας τὰς γυναῖκας· ἀλλὰ νομίζοντες ἀφαιρεῖσθαι
αὐτοὺς τὴν πρὸς ἑαυτοὺς φιλίαν, διὰ τοῦτο ὡς πολε-

διασκηνούντων. Tum *ἔφη ἐμέ* codd. et edd. omnes.

§. 39. *ὡς ἀφρονεστέρας ποιοῦντας*] *ὡς σωφρονεστέρας ποιοῦντες* etiam Vat. ut statim *ἀφ. αὐτούς*, al. *ἀφ. αὐτάς*, aliis pronomen omittentibus. *αὐτάς* interpretatur Matthiae §. 412.

σεῖν δύναιτ' ἄν, ὑφ' οὗ εἰδείη καλός τε κἀγαθὸς νομιζόμενος, ἔπειτα δὲ ὁρῴη αὐτὸν τὰ τοῦ παιδὸς καλὰ μᾶλλον, ἢ τὰ ἑαυτοῦ ἡδέα σπουδάζοντα; Hermann. ad Viger. p. 707 sq. Matth. §. 468. Buttm. §. 138. II. 4. Rost. §. 123. not. 4. De seqq. *οὐ γὰρ κ. τ. λ.* ad I. 6, 12. adscripta consule.

Διαφθείρειν] Idem crimini datum est Socrati Apol. §. 19. Memor. I. 2, 49 sqq. I. 1, 1., cuius mortem hic quoque scriptoris animo obversatam fuisse probabile est. Accusationem tamen ipse amolitur sophista filium patri placando.

χαλεπανθῇς] Formam eandem habet Anab. IV. 6, 2. suspectam ibi Lobeckio ad Phryn. p. 36.

§. 39. *οὐδ' οἱ ταῖς ἑαυτῶν — χρῶνται*] Recte Gabriel. »hi, qui aliquos in adulterio cum suis uxoribus deprehendunt, non eam scilicet ob causam (*οὐ τοῦτο αἰτιώμενοι*, vid. Matth. §. 413) illos interficiunt, quod mulieres reddant impudentiores; sed quia earum amorem ac voluntatem ab ipsis viris alienare, sibique conciliare eos opinantur, iccirco hostilem in modum tractant.« Nimirum ex Solonis legibus marito licebat adulterum impune interficere. Hier. III. 3. *μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινὶ ἀποκτείνειν, δῆλον ὅτι διὰ ταῦτα, ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι.* Beck. ad Aristoph. Nub. T. IV. p. 369. Meier. et Schoemann. in Att. Process. p. 327 sqq. De libidine dici *ἀφροσύνην*, quippe *σωφροσύνῃ* oppositam, inter alia etiam ex Eurip. Troad. 999. ed. Seidl. comprobatum iverunt, ubi leguntur haec: *τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς, καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.* Cf. Elmsley ad Eurip. Bacch. 314 sqq.

μίοις αὐτοῖς χρῶνται. Καὶ ἐγὼ ἐκείνῳ, ἔφη, ἐφθόνουν, ὅτι μοι ἐδόκει τὸν ἐμὸν υἱὸν τοῦτον ποιεῖν αὐτὸν μᾶλλον θαυμάζειν ἢ ἐμέ. Καὶ ὁ Κῦρος εἶπεν, 40 Ἀλλὰ ναὶ μὰ τοὺς θεούς, ἔφη, ὦ Ἀρμένιε, ἀνθρώπινά μοι δοκεῖς ἁμαρτεῖν· καὶ σύ, ὦ Τιγράνη, συγγίγνωσκε τῷ πατρί. Τότε μὲν δὴ τοιαῦτα διαλεχθέντες καὶ φιλοφρονηθέντες, ὥσπερ εἰκὸς ἐκ συναλλαγῆς, ἀναβάντες ἐπὶ τὰς ἁρμαμάξας σὺν ταῖς γυναιξίν, ἀπήλαυνον εὐφραινόμενοι.

Ἐπεὶ δ᾽ ἦλθον οἴκαδε, ἔλεγον τοῦ Κύρου ὁ μέν 41 τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πραότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος. Ἔνθα δὴ ὁ Τιγράνης ἐπήρετο τὴν γυναῖκα, Ἦ καὶ σοί, ἔφη, ὦ Ἀρμενία, καλὸς ἐδόκει ὁ Κῦρος εἶναι; Ἀλλὰ μὰ Δί᾽, ἔφη, οὐκ ἐκεῖνον ἐθεώμην. Ἀλλὰ τίνα μήν; ἔφη ὁ Τιγράνης. Τὸν εἰπόντα, νὴ Δία, ὡς τῆς αὑτοῦ ψυχῆς ἂν πρίαιτο, ὥστε μή με δουλεύειν. Τότε μὲν δή, ὥσπερ εἰκὸς ἐκ τοιούτων, ἀνεπαύοντο σὺν ἀλλήλοις.

Τῇ δ᾽ ὑστεραίᾳ ὁ Ἀρμένιος Κύρῳ μὲν καὶ τῇ στρα- 42 τιᾷ ἁπάσῃ ξένια ἔπεμπε, προεῖπε δὲ τοῖς ἑαυτοῦ, οὓς δεήσοι στρατεύεσθαι, εἰς τρίτην ἡμέραν παρεῖναι· τὰ

§. 40. ἔφη] Abest A. B. G.

§. 41. ἐθεώμην] ἐθεώρουν. Vat. margg. Steph.

§. 41. ὦ Ἀρμενία] Sic rex ὁ Ἀρμένιος et Syennesis uxor ἡ Κίλισσα dicitur, cuius tamen nomen Anab. I. 2, 12. non, ut h. l., reticetur.

οὐκ ἐκεῖνον ἐθεώμην] non illum admirabar, cum admiratione spectabam. Extrema haec Τότε μὲν δὴ — ἀλλήλοις ita explicat Weiske: Ac tum quidem ita securi et tranquilli noctem transegerunt, uti credere licet post tot ac tantas sollicitudines, neque secus Gabr. Fischer, alii. Sed si genuina verba sunt σὺν ἀλλήλοις, recte Zeunius admonet loci Hom. Iliad. III. 447., qui longius etiam, quam h. l., a nostris moribus abhorret.

§. 42. εἰς τρίτην ἡμέραν] tertio abhinc die. V. 3, 6. ἥκετε εἰς τριακοστὴν ἡμέραν. §. 27. εἰς τρίτην δειπνήσω ἐν τῇ ἡμετέρᾳ. Herodt. V. 49. ἀναβάλλομαί τοι ἐς τρίτην ἡμέρην ἀποκρινέεσθαι. Plat. Hipp. mai. §. 14. p. 286. B. μέλλω ἐπιδεικνύναι εἰς τρίτην ἡμέραν. Cf. ad Moerin. p. 152. Alio sensu VI. 3, 11. dicuntur τρίτην ἡμέραν.

δὲ χρήματα ὧν εἶπεν ὁ Κῦρος διπλάσια ἀπηρίθμησεν.
Ὁ δὲ Κῦρος, ὅσα εἶπε λαβὼν, τἆλλα ἀπέπεμψεν· ἤρετο
δὲ, πότερος ἔσται ὁ τὸ στράτευμα ἄγων, ὁ παῖς, ἢ
αὐτός. Εἰπέτην δὲ ἅμα, ὁ μὲν πατὴρ οὕτως, Ὁπό-
τερον ἂν σὺ κελεύῃς· ὁ δὲ παῖς οὕτως, Ἐγὼ μὲν οὐκ
ἀπολείψομαί σου, ὦ Κῦρε, οὐδ' ἂν σκευοφόρον με δέῃ
43 σοι συνακολουθεῖν. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπε, Καὶ
ἐπὶ πόσῳ ἄν, ἔφη, ἐθέλοις τὴν γυναῖκά σου ἀκοῦσαι,
ὅτι σκευοφορεῖς; Ἀλλ' οὐδέν, ἔφη, ἀκούειν δεήσει αὐ-
τήν· ἄξω γάρ, ὥστε ὁρᾶν ἐξέσται αὐτῇ, ὅ τι ἂν ἐγὼ
πράττω. Ὥρα ἄν, ἔφη, συσκευάζεσθαι ὑμῖν εἴη. Νό-
μιζε δέ, ἔφη, συνεσκευασμένους παρέσεσθαι, ὅ τι ἂν
ὁ πατὴρ δῷ. Τότε μὲν δὴ ξενισθέντες οἱ στρατιῶται
ἐκοιμήθησαν.

CAPUT II.

Chaldaeos pariter oppressos Cyrus sibi et Armeniis socios adiungit, et, utrisque volentibus, montes occupatos ipse tenet: quos munire instituit.

1 Τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν ὁ Κῦρος τὸν Τιγράνην,
καὶ τῶν Μήδων ἱππέων τοὺς κρατίστους, καὶ τῶν ἑαυ-
τοῦ φίλων ὁπόσους καιρὸς ἐδόκει εἶναι, περιελαύνων

§. 42. τἄλλα] τὰ ἄλλα vulgo.

τὰ δὲ χρήματα – ἀπηρίθμησεν] pecuniam vero duplo maiorem, quam Cyrus postulaverat, dinumeravit. Vid. §. 34. et c. 3, 7.

§. 43. *ἐπὶ πόσῳ ἂν ἐθέλοις*] Vid. Matth. §. 585. p. 857 sq. Verba *ἄξω γάρ* redde cum Gabr. mecum illam ducam. Mirum, quod eius mulieris non crebrior in hoc opere mentio fit, quam VIII. 4, 24. *ἀνδρείως συνεστρατεύετο τῷ ἀνδρί.* Nimirum Xen. ad Pantheam maluit lectorum animos unice advertere.

συνεσκευασμένους] ἡμᾶς, ἐμὲ καὶ γυναῖκα, συνεσκευασμένον ἔχοντας παρέσεσθαι, ὅ τι ἂν κ.τ.λ. Male interpres: omnes paratos atque instructos affore putato, quicquid copiarum pater dederit.

Cap. II. §. 1. *ὁπόσους καιρὸς ἐδόκει εἶναι*] videlicet *ἀναλαβεῖν.* Infra V. 3, 56. *ὡς – σημαίνοιεν τῷ Χρυσάντᾳ, ὅ τι καιρὸς δοκοίη εἶναι.* II. 1, 15. 3, 21. Adde Krueger. ad Dionys. Histor. p. 117 sq.

τὴν χώραν κατεθεᾶτο, σκοπῶν, ποῦ τειχίσειε φρούριον. Καὶ ἐπ' ἄκρον τι ἐλθών, ἐπηρώτα τὸν Τιγράνην, ποῖα εἴη τῶν ὀρέων, ὁπόθεν οἱ Χαλδαῖοι καταθέοντες ληΐζονται. Καὶ ὁ Τιγράνης ἐδείκνυεν. Ὁ δὲ πάλιν ἤρετο, Νῦν δὲ ταῦτα τὰ ὄρη ἔρημά ἐστιν; Οὐ μὰ Δί', ἔφη, ἀλλ' ἀεὶ σκοποί εἰσιν ἐκείνων, οἳ σημαίνουσι τοῖς ἄλλοις, ὅ τι ἂν ὁρῶσι. Τί οὖν, ἔφη, ποιοῦσιν, ἐπὴν αἴσθωνται; Βοηθοῦσιν, ἔφη, ἐπὶ τὰ ἄκρα, ὡς ἂν ἕκαστος δύνηται. Ταῦτα μὲν δὴ ὁ Κῦρος ἠκηκόει· σκοπῶν 2
δὲ κατενόει πολλὴν τῆς χώρας τοῖς Ἀρμενίοις ἔρημον καὶ ἀργὸν οὖσαν διὰ τὸν πόλεμον. Καὶ τότε μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον, καὶ δειπνήσαντες ἐκοιμήθησαν· τῇ δ' ὑστεραίᾳ αὐτός τε ὁ Τιγράνης παρῆν συνεσκευα- 3
σμένος, καὶ ἱππεῖς εἰς τοὺς τετρακισχιλίους συνελέγοντο αὐτῷ, καὶ τοξόται εἰς τοὺς μυρίους, καὶ πελτασταὶ ἄλλοι τοσοῦτοι. Ὁ δὲ Κῦρος, ἐν ᾧ συνελέγοντο, ἐθύετο· ἐπεὶ δὲ καλὰ ἦν τὰ ἱερὰ αὐτῷ, συνεκάλεσε τούς τε τῶν Περσῶν ἡγεμόνας καὶ τοὺς τῶν Μήδων. Ἐπεὶ 4
δὲ ὁμοῦ ἦσαν, ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι, ἔστι μὲν τὰ ὄρη ταῦτα, ἃ ὁρῶμεν, Χαλδαίων· εἰ δὲ ταῦτα καταλάβοιμεν, καὶ ἐπ' ἄκρου γένοιτο ἡμέτερον φρούριον, σωφρονεῖν ἀνάγκη ἂν εἴη πρὸς ἡμᾶς ἀμφοτέροις, τοῖς τε Ἀρμενίοις καὶ τοῖς Χαλδαίοις. Τὰ μὲν οὖν ἱερὰ καλὰ ἡμῖν· ἀνθρωπίνη δὲ προθυμίᾳ εἰς τὸ πραχθῆναι ταῦτα οὐδὲν οὕτω μέγα

§. 1. ποῦ τειχίσειε] οὗ τειχισθείη. Steph.
§. 4. ἡμέτερον] τὸ ἡμέτερον. Steph.

τῶν ὀρέων] Minus Atticum τῶν ὀρῶν improbatur a Matth. gr. Gr. §. 78. n. 7. p. 176. ed. 2. et ad Anab. I. 2, 25. Praeterea de indicativo ληΐζονται post interrogationem obliquam cf. not. ad II. 4, 12. Chaldaeos in eadem hic terra Xenophon posuit, in qua alibi Chalybas. vid. Mannert. Geogr. T. VI. P. II. p. 412 sq. et ad Anab. V. 5, 17.

§. 3. ἱππεῖς εἰς τοὺς τετρ.] Articulum τούς temere libros quosdam omittere apparebit ex not. ad. I. 2, 15.

τοὺς τῶν Μήδων] Non exclusis Armeniorum ducibus, quos Tigranes ad Cyrum adduxerat. Vid. §. 5.

§. 4. ἡμέτερον φρούριον] nostrum castellum, von uns eine Burg.

πραχθῆναι ταῦτα] nempe τὸ καταλαβεῖν τὰ ὄρη καὶ τὸ οἰκοδομεῖν φρούριον.

σύμμαχον ἂν γένοιτο ὡς τάχος. Ἢν γὰρ φθάσωμεν, πρὶν τοὺς πολεμίους συλλεγῆναι, ἀναβάντες, ἢ παντάπασιν ἀμαχεὶ λάβοιμεν ἂν τὸ ἄκρον, ἢ ὀλίγοις τε καὶ
5 ἀσθενέσι χρησαίμεθ' ἂν πολεμίοις. Τῶν οὖν πόνων οὐδεὶς ῥᾴων, οὐδὲ ἀκινδυνότερος, ἔφη, ἐστὶ τοῦ νῦν καρτερῆσαι σπεύδοντας. Ἴτε οὖν ἐπὶ τὰ ὅπλα. Καὶ ὑμεῖς μέν, ὦ Μῆδοι, ἐν ἀριστερᾷ ἡμῶν πορεύεσθε, ὑμεῖς δέ, ὦ Ἀρμένιοι, οἱ μὲν ἡμίσεις ἐν δεξιᾷ, οἱ δὲ ἡμίσεις ἔμπροσθεν ἡμῶν ἡγεῖσθε· ὑμεῖς δέ, ὦ ἱππεῖς, ὄπισθεν ἕπεσθε, παρακελευόμενοι καὶ ὠθοῦντες ἄνω ἡμᾶς· ἢν
6 δέ τις μαλακύνηται, μὴ ἐπιτρέπετε. Ταῦτ' εἰπὼν ὁ Κῦρος ἡγεῖτο, ὀρθίους ποιησάμενος τοὺς λόχους. Οἱ δὲ Χαλδαῖοι ὡς ἔγνωσαν τὴν ὁρμὴν ἄνω οὖσαν, εὐθὺς ἐσήμαινόν τε τοῖς ἑαυτῶν, καὶ συνεβόων ἀλλήλους, καὶ συνηθροίζοντο. Ὁ δὲ Κῦρος παρηγγύα· Ἄνδρες Πέρσαι, ἡμῖν σημαίνουσι σπεύδειν. Ἢν γὰρ φθάσωμεν ἄνω γενόμενοι, οὐδὲν τὰ τῶν πολεμίων δυνήσεται.
7 Εἶχον δὲ οἱ Χαλδαῖοι γέῤῥα τε καὶ παλτὰ δύο· καὶ πολεμικώτατοι δὲ λέγονται οὗτοι τῶν περὶ ἐκείνην τὴν χώραν εἶναι· καὶ μισθοῦ στρατεύονται, ὁπόταν τις αὐτῶν δέηται, διὰ τὸ πολεμικοί τε καὶ πένητες εἶναι·

§. 5. *παρακελευόμενοι*] *διακελ.* Steph.

§. 6. *ἄνω οὖσαν*] *ἄνω ἰοῦσαν* coni. Zeun. sine causa.

§. 5. *ὑμεῖς δὲ — ἐν δεξιᾷ*] Supple ex praegressis *πορεύεσθε*. Mediam enim aciem Cyrus cum Persis occupavit, ut in sinistro cornu Medi, in dextro essent Armenii, quorum partem aliquam, quo facilius Chaldaei Armeniorum ignavia decepti circumvenirentur, ante aciem praeire iussit. De nominativo *ὑμεῖς* dictum ad I. 1, 1.

§. 6. *ὀρθίους ποιησάμενος τοὺς λόχους*] r e c t o s d u c e n s m a n i p u l o s, i. e. ita dispositos, ut altitudo longitudinem excederet. Cf. not. ad Anab. IV. 2, 11.

ἡμῖν σημαίνουσι σπεύδειν] n o b i s s i g n u m d a n t, u t p r o p e r e m u s. Chaldaeorum enim clamorem ita interpretatur Cyrus, ut si ad festinandum Persas incitent. Non minor animi praesentia in eo strategemate conspicua, quo in maximo rerum discrimine ipse utitur Xenophon Anab. V. 2, 18.

§. 7. *οἱ Χαλδαῖοι*] Anab. IV. 3, 4. *Ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροι καὶ ἄλκιμοι εἶναι· ὅπλα δ' εἶχον γέῤῥα μακρὰ καὶ λόγχας.* Cf. ad §. 1.

καὶ γὰρ ἡ χώρα αὐτοῖς ὀρεινή τέ ἐστι, καὶ ὀλίγη ἡ τὰ
χρήματα ἔχουσα. Ὡς δὲ μᾶλλον ἐπλησίαζον οἱ ἀμφὶ 8
τὸν Κῦρον τῶν ἄκρων, ὁ Τιγράνης σὺν τῷ Κύρῳ
πορευόμενος εἶπεν, Ὦ Κῦρε, ἆρ' οἶσθ', ἔφη, ὅτι αὐ-
τοὺς ἡμᾶς αὐτίκα μάλα δεήσει μάχεσθαι; ὡς οἵ γε
Ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους. Καὶ ὁ Κῦ-
ρος εἰπὼν, ὅτι εἰδείη τοῦτο, εὐθὺς παρηγγύησε τοῖς
Πέρσαις παρασκευάζεσθαι, ὡς αὐτίκα δεῆσον διώκειν,
ἐπειδὰν ὑπαγάγωσι τοὺς πολεμίους ὑποφεύγοντες οἱ
Ἀρμένιοι, ὥςτ' ἐγγὺς ἡμῖν γενέσθαι. Οὕτω δὴ ἡγοῦν- 9
το μὲν οἱ Ἀρμένιοι· τῶν δὲ Χαλδαίων οἱ παρόντες, ὡς
ἐπλησίαζον οἱ Ἀρμένιοι, ταχὺ ἀλαλάξαντες ἔθεον, ὥςπερ
εἰώθεσαν, εἰς αὐτούς· οἱ δὲ Ἀρμένιοι, ὥςπερ εἰώθε-
σαν, οὐκ ἐδέχοντο. Ὡς δὲ διώκοντες οἱ Χαλδαῖοι εἶ- 10
δον ἐναντίους μαχαιροφόρους ἱεμένους ἄνω, οἱ μέν τινες

§. 7. *ὀλίγη ἡ τὰ χρ. ἔχουσα*] Notatu dignissima scriptura Vat. *ὀλίγοι οἱ τὰ χρ. ἔχοντες.*

§. 8. *αὐτοὺς ἡμᾶς*] *αὐτοὺς ὑμᾶς* coni.

ὅτι εἰδείη τοῦτο] *ὅτι ἤδη τοῦτο* edd. vett. cum Steph. quod non dissuadet lectionem *ὅτι ἤδη τοῦτο.* Pro *ἐπιδιώκειν* optimi codd. *διώκειν.*

ὀλίγη ἡ τὰ χρ. ἔχουσα] et exigua ea quidem, quae rerum sit copiosa. Gabr. obscure. Intelligo: quae materiem praebeat opum colligendarum. Vid. Goeller. ad Thucyd. II. 41. p. 272.

§. 8. *ὡς οἵ γε Ἀρμ. οὐ μὴ δέξωνται τ. π.*] nam Armenii certe minime hostium impetum sustinebunt. Demosth. pro Coron. p. 309. v. 6. *οὐδεὶς μήποθ' εὕρῃ τὸ κατ' ἐμὲ οὐδὲν ἐλλειφθέν.* ibique Schaef. Anab. IV. 8, 13. *οὐδεὶς μηκέτι μείνῃ τῶν πολεμίων*, quibus accedant not. ad Cyr. I. 3. extrem. Thiersch. §. 301. 4. Buttm. §. 126. 4.

ὡς αὐτίκα δεῆσον] Tetigi ad I. 6, 12. Quae sequuntur *ἐπειδὰν – γενέσθαι*, ita reddas: quando Armenii refugientes ita hostes imprudentes produxerunt, ut nobis appropinquent.

§. 9. *ἀλαλάξαντες ἔθεον*] »Omnibus fere populis, qui a Graecis barbarorum nomine dicti sunt, immanem illum inconditumque ante pugnam clamorem tribuunt historici.« Hutch. cit. Caesar. B. C. III. 92. Polyb. I. p. 35. Cas. Arrian. Exped. I. 14. Plutarch. Crass. T. I. p. 557. Persae tamen *σιγῇ ὡς ἀνυστὸν καὶ ἡσυχῇ ἐν ἴσῳ καὶ βραδέως προςῄεσαν.* Anab. I. 8, 11.

§. 10. *ἱεμένους ἄνω*] Vulgatum *ἱεμένους ἄ.* non probatur viris eruditis, quos attulit Matth. §. 214. p. 408 sq. ed. 2. Post haec exspectasses *ἄνω, καὶ τῶν αὐτοῖς πελασάντων τινὰς ταχὺ ἀποθνήσκοντας, οἱ μὲν ἔφευγον, οἱ δέ τινες* etc. Sed non infre-

αὐτοῖς πελάσαντες ταχὺ ἀπέθνησκον, οἱ δ' ἔφευγον, οἱ δέ τινες καὶ ἑάλωσαν αὐτῶν. Ταχὺ δὲ εἴχετο τὰ ἄκρα. Ἐπεὶ δὲ τὰ ἄκρα εἶχον οἱ ἀμφὶ τὸν Κῦρον, καθεώρων τε τῶν Χαλδαίων τὰς οἰκήσεις, καὶ ᾐσθάνοντο φεύγον-
11 τας αὐτοὺς ἐκ τῶν ἐγγὺς οἰκήσεων. Ὁ δὲ Κῦρος, ὡς πάντες οἱ στρατιῶται ὁμοῦ ἐγένοντο, ἀριστοποιεῖσθαι παρήγγειλεν. Ἐπεὶ δὲ ἠριστήκεσαν, καταμαθών, ἔνθα αἱ σκοπαὶ ἦσαν αἱ τῶν Χαλδαίων, ἐρυμνόν τε ὂν καὶ ἔνυδρον, εὐθὺς ἐτείχιζε φρούριον· καὶ τὸν Τιγράνην ἐκέλευσε πέμπειν ἐπὶ τὸν πατέρα, καὶ κελεύειν παραγενέσθαι ἔχοντα ὁπόσοι εἶεν τέκτονές τε καὶ λιθοδόμοι. Ἐπὶ μὲν δὴ τὸν Ἀρμένιον ᾤχετο ἄγγελος· ὁ δὲ Κῦρος τοῖς παροῦσιν ἐτείχιζεν.

12 Ἐν δὲ τούτῳ προσάγουσι τῷ Κύρῳ τοὺς αἰχμαλώτους δεδεμένους, τοὺς δέ τινας καὶ τετρωμένους. Ὡς δὲ εἶδεν, εὐθὺς λύειν μὲν ἐκέλευσε τοὺς δεδεμένους, τοὺς δὲ τετρωμένους, ἰατροὺς καλέσας, θερα-

§. 11. ἦσαν αἱ] Sic etiam Vat., αἱ omittunt A. B. G.

quens post verba sensuum structurae mutatio, quanquam nonnihil discrepant ad I. 3, 5. notata, ut recte apodosin a verbis οἱ μέν τινες ordiaris hoc sensu: alii quidem ad eos accesserunt atque celeriter cadebant, alii autem etc.

§. 11. αἱ σκοπαὶ ἦσαν αἱ τῶν Χ.] Non necessaria articuli iteratio, sed non spernenda, ubicunque a libris manu exaratis confirmatur. Demosth. Or. pro Cor. p. 235. v. 7. τῷ δήμῳ τῷ Ἀθηναίων. p. 250. v. 25. τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου. p. 253. v. 27. τῆς δὲ ἀναγορεύσεως τῆς τοῦ στεφάνου, ad quae consulatur Schaeferus, quem patet non probaturum esse Kruegeri annot. ad Anab. II. 5, 31.

ἔνυδρον] Fragmentum est Hesiodi LVIII. p. 193. Gaisf. Lips. Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον, quod praeter Eustathium Strabo quoque laudavit: qui quomodo intellexerit, docet haec eiusdem explicatio: τὴν μὲν οὖν χώραν συγχωροῦσιν εὐυδρεῖν· – φρεάτων δ' εὐπορεῖν. Nolim igitur quisquam ex deterioribus membranis praeferat εὔυδρον.

τοῖς παροῦσιν ἐτείχιζεν] Explicuit magis quam reddidit interpres: utens eorum opera, qui aderant, opus minimo intermittebat. Cf. Matth. §. 401. Thiersch. §. 263. 2.

§. 12. δεδεμένους] Proxima postulabant τοὺς μὲν δεδεμένους, nisi simili ellipsi diceretur Aristoph. Nub. 394. ed. Herm. ἀλλ' ὁ κεραυνὸς πόθεν αὖ φέρεται λάμπων πυρί, τοῦτο δίδαξον, καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περιφλύει. Cyrop. V. 2, 5. Adde Porson. ad Eurip. Orest. 891. Thiersch. §. 312. 22. ed. tert.

πεύειν ἐκέλευσεν· ἔπειτα δὲ ἔλεξε τοῖς Χαλδαίοις, ὅτι ἥκοι οὔτε ἀπολέσαι ἐπιθυμῶν ἐκείνους, οὔτε πολεμεῖν δεόμενος, ἀλλ' εἰρήνην βουλόμενος ποιῆσαι Ἀρμενίοις καὶ Χαλδαίοις. Πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα, οἶδ' ὅτι οὐδὲν ἐδεῖσθε εἰρήνης· τὰ μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε, τὰ δὲ τῶν Ἀρμενίων ἤγετε καὶ ἐφέρετε· νῦν δ' ὁρᾶτε δή, ἐν οἵῳ ἐστέ. Ἐγὼ 13
οὖν ἀφίημι ὑμᾶς οἴκαδε τοὺς εἰλημμένους, καὶ δίδωμι ὑμῖν σὺν τοῖς ἄλλοις Χαλδαίοις βουλεύσασθαι, εἴτε βούλεσθε πολεμεῖν ἡμῖν, εἴτε φίλοι εἶναι. Καὶ ἢν μὲν πόλεμον αἱρῆσθε, μηκέτι ἥκετε δεῦρο ἄνευ ὅπλων, εἰ σωφρονεῖτε· ἢν δὲ εἰρήνης δοκῆτε δεῖσθαι, ἄνευ ὅπλων ἥκετε· ὡς δὲ καλῶς ἕξει τὰ ὑμέτερα, ἢν φίλοι γένησθε, ἐμοὶ μελήσει. Ἀκούσαντες δὲ οἱ Χαλ- 14
δαῖοι ταῦτα, πολλὰ μὲν ἐπαινέσαντες, πολλὰ δὲ δεξιωσάμενοι τὸν Κῦρον, ᾤχοντο οἴκαδε.

Ὁ δὲ Ἀρμένιος ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ Κύρου καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας καὶ τἄλλα, ὅσων ᾤετο δεῖν, ἧκε πρὸς τὸν Κῦρον ὡς ἠδύνατο τάχιστα. Ἐπεὶ δὲ εἶδε τὸν Κῦρον, ἔλεξεν, Ὦ Κῦρε, ὡς 15
ὀλίγα δυνάμενοι προορᾶν ἄνθρωποι περὶ τοῦ μέλλοντος πολλὰ ἐπιχειροῦμεν πράττειν. Νῦν γὰρ δὴ καὶ ἐγώ, ἐλευθερίαν μὲν μηχανᾶσθαι ἐπιχειρήσας, δοῦλος ὡς οὐδεπώποτε ἐγενόμην· ἐπεὶ δ' ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομίσαντες, νῦν ἀναφαινόμεθα σεσωσμένοι ὡς οὐδεπώποτε. Οἳ γὰρ οὐδεπώποτε ἐπαύοντο πολλὰ κα-

§. 12. *βουλόμενος ποιῆσαι*] A. B. G. V. pro *ποιῆσαι βουλ.*
§. 13. *αἱρῆσθε*] Vat. *αἱρήσησθε* sensus quam usus magis commendat, de quo dixit Lobeck. ad Phryn. p. 717 sq.
§. 15. *Οἳ γὰρ οὐδ. ἐπαύοντο*] Iunt. *Χαλδαῖοι γοῦν, οἳ οὐδὲ ἐπαύοντο πώποτε*, priora ex interpretatione, quandoquidem Xen. scripsisse videtur *Οἳ γὰρ οὐδὲ ἐπαύοντο πώποτε*, quod habet marg. Vill.

ἤγετε καὶ ἐφέρετε] diripiebatis, ita ut *ἄγειν* hac in formula de rebus animatis, alterum verbum de inanimatis dicatur. Vid. V. 5, 23. Anab. II. 6, 5. V. 5, 13. Viger. p. 223. Alio sensu occurrit infra cap. 3, 2.

§. 14. *τἄλλα, ὅσων ᾤετο δεῖν*] et reliquas res, quibus opus esse putabat: materiam, opinor, qua castellum exstruerent, vel commeatum ad sustentandos milites comparari iussit.

κὰ ἡμᾶς ποιοῦντες, νῦν ὁρῶ τούτους ἔχοντας, ὥςπερ
16 ἐγὼ εὐχόμην. Καὶ τοῦτο ἐπίστω, ἔφη, ὦ Κῦρε, ὅτι
ἐγὼ, ὥςτε ἀπελάσαι Χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων, πολλαπλάσια ἂν ἔδωκα χρήματα ὧν σὺ νῦν ἔχεις παρ' ἐμοῦ· καὶ ἃ ὑπισχνοῦ ποιήσειν ἀγαθὰ ἡμᾶς, ὅτ' ἐλάμβανες τὰ χρήματα, ἀποτετέλεσταί σοι ἤδη· ὥςτε καὶ προςοφείλοντές σοι ἄλλας χάριτας ἀναπεφήναμεν, ἃς ἡμεῖς γε, εἰ μὴ κακοί ἐσμεν, αἰσχυνοίμεθ' ἂν σοι μὴ ἀποδιδόντες· ᾧ καὶ ἀποδιδόντες οὐδὲν ἄξιον οὐδ' οὕτω πρὸς εὐεργέτην καταλαμβανόμεθα τοσοῦτον ποιοῦντες. Ὁ μὲν Ἀρμένιος τοσαῦτ' ἔλεξεν.
17 Οἱ δὲ Χαλδαῖοι ἧκον δεόμενοι τοῦ Κύρου εἰρήνην σφίσι ποιῆσαι. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς· Ἄλλο τι, ἔφη, ὦ Χαλδαῖοι, ἢ τούτου γε ἕνεκα εἰρήνης νῦν ἐπιθυμεῖτε, ὅτι νομίζετε ἀσφαλέστερον ἂν δύνασθαι ζῆν, εἰρήνης γενομένης, ἢ πολεμοῦντες, ἐπειδὴ ἡμεῖς
18 τἄκρα τάδ' ἔχομεν; Ἔφασαν οἱ Χαλδαῖοι. Καὶ ὅς,

§. 16. μὴ ἀποδιδόντες· ᾧ καὶ ἀποδ.] μὴ ἀποδιδόντες· ὁ μὲν Ἀρμ. A. B. G. Vat. marg. Steph. μὴ ἀποδιδόναι, ἃ καὶ ἀποδιδ. Iunt. μὴ ἀποδιδόναι ᾧ καὶ ἀπ. Ald. μὴ ἀποδιδόντες· οἳ καὶ ἀπ. Muret. Schn. οἵγε pro ᾧ Heind.
τοσαῦτ' ἔλεξεν] A. B. G. pro ταῦτ' ἔλ.
§. 17. ἐπειδὴ] alii ἐπεὶ δέ, alii ἐπεὶ καί pro ἐπεί.
τἄκρα τάδ' ἔχομεν] ταῦτ' ἐλέγομεν, τἄλλα ἔχομεν edd. vett. τά-

§. 15. νῦν ὁρῶ τούτους ἔχοντας, ὥςπερ ἐγὼ εὐ.] hos nunc eo in statu video, quo maxime optabam. Gabr. οὕτως ἔχοντας, ὥςπερ ἐγὼ εὐχόμην αὐτοὺς ἔχειν. Cf. ad §. 1.
§. 16. ἐπίστω] Vid. Matth. §. 213. 2. ed. 2. Buttm. gr. max. §. 114. p. 128. Sequens ὥςτε reddendum ea conditione ut. Anab. V. 6, 26. Ταῦτα δ' ἔλεγεν εἰδὼς, ἃ οἱ Ἡρακλεῶται Τιμασίωνι καὶ οἱ Σινωπεῖς ἐπαγγέλοιντο, ὥςτε ἐκπλεῖν. Demosth. Or. Philipp. II. p. 68. v. 12. ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὥςτ' αὐτοὺς ὑπακούειν βασιλεῖ.
μὴ ἀποδιδόντες] Participium abunde tuebuntur Hermann. ad Viger. p. 771. et Matth. §. 551. p. 798.
ᾧ καὶ ἀποδ. – ποιοῦντες] cui vel si accepta referimus, ne sic quidem, quod tantis tuis in nos collatis beneficiis dignum sit, facere deprehendimur, videmur. Alibi eodem modo οὐδ' ὥς participio postponuntur, ut Anab. I. 8, 21.
§. 17. Ἄλλο τι – ἢ] Defendit Hermann. ad Viger. p. 730. cui adde Matth. §. 487. p. 675. Thiersch. §. 351. 16. annot. ad Anab. II. 5, 10.
Ἔφασαν οἱ Χαλδαῖοι] nempe ὅτι διὰ τοῦτο τῆς εἰρήνης ἐπιθυμοῖεν.

Τί δ', ἔφη, εἰ καὶ ἄλλα ὑμῖν ἀγαθὰ προςγένοιτο διὰ τὴν εἰρήνην; Ἔτι ἄν, ἔφασαν, μᾶλλον εὐφραινοίμεθα. Ἄλλο τι οὖν, ἔφη, ἢ διὰ τὸ γῆς σπανίζειν ἀγαθῆς νῦν πένητες νομίζετ' εἶναι; Συνέφασαν καὶ τοῦτο. Τί οὖν; ἔφη ὁ Κῦρος, βούλοισθ' ἄν, ἀποτελοῦντες ὅσαπερ οἱ ἄλλοι Ἀρμένιοι, ἐξεῖναι ὑμῖν τῆς Ἀρμενίας γῆς ἐργάζεσθαι ὁπόσην ἂν θέλητε; Ἔφασαν οἱ Χαλδαῖοι, εἰ πιστεύοιμεν μὴ ἀδικήσεσθαι. Τί δὲ σύ, ἔφη, ὦ Ἀρμένιε; 19
βούλοιο ἄν σοι τὴν νῦν ἀργὸν οὖσαν χώραν ἐνεργὸν γενέσθαι, εἰ μέλλοιεν τὰ νομιζόμενα παρά σοι ἀποτελεῖν οἱ ἐργαζόμενοι; Ἔφη ὁ Ἀρμένιος πολλοῦ ἂν τοῦτο πρίασθαι· πολὺ γὰρ ἂν αὐξάνεσθαι τὴν πρόσοδον. Τί 20
δ' ὑμεῖς, ἔφη, ὦ Χαλδαῖοι; ἐπεὶ ὄρη ἀγαθὰ ἔχετε, ἐθέλοιτ' ἂν ἐᾶν νέμειν ταῦτα τοὺς Ἀρμενίους, εἰ ὑμῖν μέλλοιεν οἱ νέμοντες τὰ δίκαια ἀποτελεῖν; Ἔφασαν οἱ Χαλδαῖοι· πολλὰ γὰρ ἂν ὠφελεῖσθαι, οὐδὲν πονοῦντας. Σὺ δέ, ἔφη, ὦ Ἀρμένιε, ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλλοις, μικρὰ ὠφελῶν Χαλδαίους,

κρα ἔχομεν Bud. τάδ' ἔχομεν G. τἄλλα ἔχομεν Bodl. M. τἄλλα ἔφασαν, ἔχομεν Vat. ut admodum incertae fidei sit recepta.

§. 19. χώραν] Nec hoc nec γῆν in aliis exemplis repertum a Xen. manu profectum putant. Cf. §. 21.

§. 18. ἀποτελοῦντες] velletisne, ut vobis tantundem solventibus, quantum ipsi Armenii, liceret ex eorum agro quantumcunque liberet arare? Gabr. quem noli credere ἀποτελοῦσιν in codice suo legisse, quippe non ignorantem attractionem effecisse, ut ad βούλοισθ' ἄν nominativum scriptor traheret. De voce ἄλλος in his οἱ ἄλλοι Ἀρμένιοι vid. not. ad I. 6, 38.

ἔφασαν οἱ Χαλδαῖοι] Cogitatione addendum ὅτι βουλοίμεθ' ἂν ἡμῖν ἐξεῖναι ἐργάζεσθαι, ut in prima persona πιστεύοιμεν ne haereas.

§. 19. τὰ νομιζόμενα παρά σοι] Muretus »dele, inquit, illud παρά.« Non faciam, quum neque res ipsa nec scriptoris consuetudo praepositioni adversentur. Ages. IV. 6. νομίζεται παρ' ἡμῖν τῷ ἄρχοντι κάλλιον εἶναι τὴν στρατιὰν ἢ ἑαυτὸν πλουτίζειν.

§. 20. οὐδὲν πονοῦντας] Hellen. II. 1, 26. Οἱ δὲ στρατηγοί, μάλιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὺς γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον, non defuit qui αὐτοὶ γάρ scribendum proponeret, improbante Lobeck. ad Phryn. p. 750 sq. Qui alias additur accusativus pronominis reflexivi, vid. Heind. ad Plat. Euthyd. §. 79. p. 414, ad πονοῦντας appositus nescio an intolerabilem redderet orationem.

πολὺ πλείω ὠφεληθήσεσθαι; Καὶ σφόδρα ἄν, ἔφη, εἴπερ οἰοίμην ἀσφαλῶς νέμειν. Οὐκοῦν, ἔφη, ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα ἔχοιτε σύμμαχα; Ἔφη ὁ Ἀρμέ-
21 νιος. Ἀλλὰ μὰ Δί', ἔφασαν οἱ Χαλδαῖοι, οὐκ ἂν ἡμεῖς ἀσφαλῶς ἐργαζοίμεθα μὴ ὅτι τὴν τούτων, ἀλλ' οὐδ' ἂν τὴν ἡμετέραν, εἰ οὗτοι τὰ ἄκρα ἔχοιεν. Εἰ δ' ὑμῖν αὖ, ἔφη, τὰ ἄκρα σύμμαχα εἶεν; Οὕτως ἄν, ἔφασαν, ἡμῖν καλῶς ἔχοι. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Ἀρμένιος, οὐκ ἂν ἡμῖν αὖ καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται πάλιν τὰ
22 ἄκρα, ἄλλως τε καὶ τετειχισμένα. Καὶ ὁ Κῦρος εἶπεν, Οὑτωσὶ τοίνυν, ἔφη, ἐγὼ ποιήσω· οὐδετέροις ὑμῶν τὰ ἄκρα παραδώσω, ἀλλὰ ἡμεῖς φυλάξομεν αὐτά· κἂν ἀδικῶσιν ὑμῶν ὁπότεροι, σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα.

23 Ὡς δ' ἤκουσαν ἀμφότεροι ταῦτα, ἐπῄνεσαν, καὶ ἔλεγον, ὅτι οὕτως ἂν μόνως ἡ εἰρήνη βεβαία γένοιτο. Καὶ ἐπὶ τούτοις ἔλαβον καὶ ἔδοσαν πάντες τὰ πιστά·

§. 20. πολὺ πλείω] μεγάλα Vat. Statim ὠφελήσεσθαι Med. εἴπερ οἰοίμην ἀσφαλῶς] Sic codices tantum non omnes: εἰ ἡμῖν ἀσφαλὲς Iunt. Guelf., ut videtur, solus cod. Lege εἴπερ ἡμῖν οἰοίμην ἀσφαλές.

§. 21. εἶεν] A. B. G. V. pro εἴη. Vid. ad II. 2, 2.

§. 22. ὁπότεροι] A. B. G. V. pro ὁποτεροιοῦν, ut §. 23.

§. 23. ἔλαβον καὶ ἔδοσαν] A. B. G. ἔδοσαν καὶ ἔλ. edd.

εἰ τὰ ἄκρα ἔχοιτε σύμμαχα;] si iuga teneretis adiuvantia? i. e. si iuga vobis praesidii loco essent. Quae sine ulla ambiguitate dicta sunt, licet non negem Cyri consilium iam dudum fuisse neque Chaldaeis neque Armeniis castelli custodiendi curam tradendi.

§. 21. μὴ ὅτι τὴν τούτων, ἀλλ' οὐδ' ἂν] I. 3, 10. μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε, ad quae v. annot.

οὐκ ἂν — καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται] Bene habet temporum consequutio etiam III. 3, 54. apud Plat. Charmid. p. 157. C. ἕρμαιον, ἔφη, ὦ Σώκρατες, γεγονὸς ἂν εἴη ἡ τῆς κεφαλῆς ἀσθένεια τῷ νεανίσκῳ, εἰ ἀναγκασθήσεται καὶ τὴν διάνοιαν διὰ τὴν κεφαλὴν βελτίων γενέσθαι. Alcibiad. I. §. 26. Εἰ οὖν τις ἀνίσταται ξυμβουλεύσων, — φήσει δὲ εἶναι τὰ δίκαια κακὰ ἐνίοτε, ἄλλο τι ἢ καταγελῴης ἂν αὐτοῦ; atque in iis, quae Buttm. ibi comparavit.

§. 22. ὁπότεροι] utricunque, i. q. ὁποτεροιοῦν. Demosthenis p. 209. v. 13. ἐὰν δὲ μὴ ἐθέλωσι ποιεῖν ὁπότεροι ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίγνεσθαι, verba explicatione dignatur Schaefer. Apparat. I. p. 858 sq. Cf. §. 23. VII. 4, 5.

§. 23. ἔλαβον καὶ ἔδοσαν] Vulgaris ordo ut sit πίστιν δοῦναι καὶ λαβεῖν, tamen nec receptus

καὶ ἐλευθέρους μὲν ἀμφοτέρους ἀπ' ἀλλήλων εἶναι συν-
ετίθεντο, ἐπιγαμίας δ' εἶναι, καὶ ἐπεργασίας, καὶ ἐπι-
νομίας· καὶ ἐπιμαχίαν δὲ κοινήν, εἴ τις ἀδικοίη ὁποτέ-
ρους. Οὕτω μὲν οὖν τότε διεπράχθη· καὶ νῦν δὲ ἔτι 24
οὕτω διαμένουσιν αἱ τότε γενόμεναι συνθῆκαι Χαλδαί-
οις καὶ τῷ τὴν Ἀρμενίαν ἔχοντι. Ἐπεὶ δὲ αἱ συνθῆκαι
γεγένηντο, εὐθὺς συνετείχιζόν τε ἀμφότεροι προθύμως
ὡς κοινὸν φρούριον, καὶ τὰ ἐπιτήδεια συνειςῆγον. Ἐπεὶ 25
δὲ ἑσπέρα προςῄει, συνδείπνους ἔλαβεν ἀμφοτέρους πρὸς
ἑαυτὸν ὡς φίλους ἤδη. Συσκηνούντων δὲ εἶπέ τις τῶν
Χαλδαίων, ὅτι τοῖς μὲν ἄλλοις σφῶν πᾶσι ταῦτ' εὐκτὰ
εἴη· εἰσὶ δέ τινες τῶν Χαλδαίων, οἳ ληϊζόμενοι ζῶσι,
καὶ οὔτ' ἐπίστανται ἐργάζεσθαι, οὔτ' ἂν δύναιντο, εἰ-
θισμένοι ἀπὸ πολέμου βιοτεύειν· ἀεὶ γὰρ ἐληΐζοντο ἢ
ἐμισθοφόρουν, πολλάκις μὲν παρὰ τῷ τῶν Ἰνδῶν βα-
σιλεῖ· καὶ γάρ, ἔφασαν, πολύχρυσος ὁ ἀνήρ· πολλά-
κις δὲ καὶ παρ' Ἀστυάγει. Καὶ ὁ Κῦρος ἔφη, Τί οὖν 26
οὐ καὶ νῦν παρ' ἐμοὶ μισθοφοροῦσιν; ἐγὼ γὰρ δώσω,

ἐπιμαχίαν] Probavit etiam Schaef. in Apparat. Demosth. T. I. p. 676 sq. *ἐπισυμμαχίαν* vel *συμμαχίαν* codd.

§. 24. *Οὕτω μὲν οὖν τότε διεπ.*] *Οὕτω μὲν οὕτω διεπ. τότε* Vat. Fort. *Οὕτω μὲν ταῦτα διεπρ. τότε.*

γεγένηντο] ex A. B. G. non est, cur vulgato *ἐγένοντο* posthabeatur.

est tam inauditus, quin, quandocunque consentaneum est acceptam prius quam datam fidem fuisse, passim scriptores admiserint. Sic Cyrus Anab. I. 6, 6. postquam ad ultimum discrimen Orontam perduxerat, ut a bello sibi abstinendum esse ille intelligeret, dicit: *καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα*, sed §. 7. ad eundem Orontam conversus: *πιστὰ πάλιν ἔδωκάς μοι καὶ ἔλαβες παρ' ἐμοῦ*; Hoc tamen loco perinde esse arbitror, hoc an illud verbum alteri praeponatur.

ἐπιγαμίας] *ἐπιγαμίαν*, ius mutui connubii, non privatis, sed civitatibus et populis dari moris fuisse testantur interpretes ad Demosth. Lept. p. 475. v. 10. Cf. I. 5, 3. *Ἐπεργασίας* rationem exponit Ast. ad Platon. Legg. p. 417.

§. 24. *εὐθὺς συνετείχιζον — φρούριον*] certatim cuncti magna cum alacritate arcem quasi commune (et Armeniorum et Chaldaeorum) praesidium exaedificabant. Gabr. quem non fugit dicendum fuisse *φρούριον ὡς κοινὸν ὄν*. Sic §. 25. *ὡς φίλους ἤδη*. Cf. Matth. §. 568. 5. not.

§. 25. *ἔλαβεν*] Cyrus, cuius primariae hic partes sunt. De Indis dixi ad II. 4, 1.

§. 26. *οὐ καὶ νῦν παρ' ἐμοὶ μ.*] Adverte *καί* ad *παρ' ἐμοί* per-

ὅσον τις καὶ ἄλλος πλεῖστον δήποτε ἔδωκε. Συνέφασάν οἱ, καὶ πολλούς γε ἔσεσθαι ἔλεγον τοὺς ἐθελήσοντας.

Legatos ad Indorum regem de pecunia in belli sumtus mutuo sibi danda mittit.

27 Καὶ ταῦτα μὲν δὴ οὕτω συνωμολογεῖτο. Ὁ δὲ Κῦρος ὡς ἤκουσεν, ὅτι πολλάκις πρὸς τὸν Ἰνδὸν οἱ Χαλδαῖοι ἐπορεύοντο, ἀναμνησθεὶς, ὅτε ἦλθον παρ' αὐτοῦ κατασκεψάμενοι εἰς Μήδους τὰ αὐτῶν πράγματα, καὶ ᾤχοντο πρὸς τοὺς πολεμίους, ὅπως αὖ καὶ τὰ ἐκείνων κατίδωσιν, ἐβούλετο μαθεῖν τὸν Ἰνδὸν τὰ αὐτῷ πε-
28 πραγμένα. Ἤρξατο οὖν λόγου τοιοῦδε· Ὦ Ἀρμένιε, ἔφη, καὶ ὑμεῖς, ὦ Χαλδαῖοι, εἴπατέ μοι, εἴ τινα ἐγὼ νῦν τῶν ἐμῶν ἀποστέλλοιμι πρὸς τὸν Ἰνδόν, συμπέμψαιτ' ἄν μοι τῶν ὑμετέρων οἵτινες αὐτῷ τήν τε ὁδὸν ἡγοῖντο ἂν καὶ συμπράττοιεν, ὥςτε γενέσθαι ἡμῖν παρὰ τοῦ Ἰνδοῦ

§. 27. ὅτε ἦλθον – κατασκεψάμενοι] ὅτι ἦλθον – κατασκεψόμενοι edd. ὅτι ex fide codd. κατασκεψόμενοι ex Philelphi versione.

ὅπως αὖ] ὅπως ἂν nescio qua auctoritate scriptum in Dawes. Miscell. crit. p. 136. Kidd. ὅπως ἂν αὖ m. Vill.

tinens alia voce interposita traiectum. cap. 3, 39. ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶνται, i. q. καὶ ὑμῖν. Ibid. §. 4.

Συνέφασάν οἱ] Ad pronomen primus cum offendisset Heindorf., Popponi excidisse videtur *Χαλδαῖοι*, non ignoranti esse in quibus *αὐτῷ* illius pronominis locum sustineat, Anab. III. 1, 5. VII. 1, 38. Epp. Socrat. ed. Orell. p. 48. 3. *Μακάριος οὖν δὴ Γρύλλος, καὶ ὅςτις οὐ τὸ μήκιστον ἑλόμενος τοῦ βίου, τὸ δὲ μετ' ἀρετῆς, καὶ εἰ βραχὺν οἱ ἔδωκεν αἰῶνα ὁ θεός.* Buttm. §. 114. 3. n. 3. Matth. §. 147. n. 1. p. 275. ed. 2.

§. 27. *ὅτε ἦλθον – πράγματα*] i. e. *τοῦ χρόνου, ὅτε ἦλθον παρὰ τοῦ Ἰνδοῦ τινες εἰς Μήδους καὶ κατεσκέψαντο τὰ αὐτῶν πράγματα.* Vid. Thiersch. §. 322. 14. p. 617. ed. 3. et not. ad I. 6, 12. Alio locum consilio illustravit Buttmann. gr. max. §. 114. p. 196.

ὅπως – κατίδωσιν] »Quum Graeci libenter ab oratione obliqua ad rectam transeant, et iis verbi temporibus ac modis utantur, quibus qui inducitur, ipse in loquendo usus esset (vid. gramm. Gr. §. 507. p. 711. §. 519. p. 736.), non mirum eos post ὡς quoque, ἵνα etc. nonnunquam coniunctivum pro optativo posuisse.« Matthiae in Not. ad Eurip. Bacch. 1069. Cyrop. IV. 2, 12. Rost. §. 122. not. 4. Contra ad futurum tempus spectat ὅπως ἔχω §. 28.

ἃ ἐγὼ βούλομαι; Ἐγὼ γὰρ χρήματα μὲν προσγενέσθαι ἔτι ἂν βουλοίμην ἡμῖν, ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι, οἷς ἂν δέῃ, καὶ τιμᾶν καὶ δωρεῖσθαι τῶν συστρατευομένων τοὺς ἀξίους· τούτων δὴ ἕνεκα βούλομαι ὡς ἀφθονώτατα χρήματα ἔχειν. Δεῖσθαι δὲ τούτων νομίζων, τῶν μὲν ὑμετέρων ἡδύ μοι φείδεσθαι· φίλους γὰρ ὑμᾶς ἤδη νομίζω· παρὰ δὲ τοῦ Ἰνδοῦ ἡδέως ἂν λάβοιμι, εἰ διδοίη. Ὁ οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς 29
ἡγεμόνας δοῦναι καὶ συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε λέξει ὧδε· Ἔπεμψέ με Κῦρος, ὦ Ἰνδέ, πρός σε· φησὶ δὲ προσδεῖσθαι χρημάτων, προσδεχόμενος ἄλλην στρατιὰν οἴκοθεν ἐκ Περσῶν· καὶ γὰρ προσδέχομαι, ἔφη· ἢν οὖν αὐτῷ πέμψῃς ὁπόσα σοι προχωρεῖ, φησίν, ἢν θεὸς ἀγαθὸν τέλος διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι, ὥστε σε νομίζειν καλῶς βεβουλεῦσθαι χαρισάμενον αὐτῷ. Ταῦτα μὲν ὁ παρ' ἐμοῦ λέξει· τοῖς δὲ παρ' ὑμῶν 30
ὑμεῖς αὖ ἐπιστέλλετε, ὅ τι ὑμῖν σύμφορον δοκοίη εἶναι. Καὶ ἢν μὲν λάβωμεν, ἔφη, παρ' αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα· ἢν δὲ μὴ λάβωμεν, εἰσόμεθα, ὅτι οὐδεμίαν αὐτῷ χάριν ὀφείλομεν, ἀλλ' ἐξέσται ἡμῖν ἐκείνου ἕνεκα

§. 28. φείδεσθαι] ἀπέχεσθαι φαίνεται A. B. G. Brod. ex interpretamento.
§. 29. ἄλλην] καὶ ἄλλην edd. repugnantibus codd.
§. 30. σύμφορον δοκοίη εἶναι] A. B. G. pro σύμφορον δοκεῖ εἶναι vel δοκεῖ συμφέρον εἶναι.
εἰσόμεθα, ὅτι οὐδεμίαν αὐτῷ χ. ὀφ.] εἰσόμεθα αὐτῷ ὅτι οὐδ. χάριν ὀφείλοιμεν A. B. G. in quibus αὐτῷ traiectum multa sunt quae commendent.

§. 28. χρήματα μὲν προσγενέσθαι] Oratio ita conformata est, quasi verba subiicerentur: τῶν δὲ ὑμετέρων ἐπεί μοι φείδεσθαι ἡδύ, παρὰ τοῦ Ἰνδοῦ ἡδέως ἂν λάβοιμι. Hinc turbae illae in Vat. aliisque libris optimis: ἔχειν, δεῖσθαι τούτων νομίζων· τῶν δὲ ὑμετέρων ἡδύ μοι φείδεσθαι.

τούτων νομίζων] Haec cum scriberet, iam in animo habuit λάβοιμι. Cf. §. 18. VIII. 8, 10. Matth. §. 561. Buttm. §. 138. II. 5. Rost. §. 131. 6.

§. 29. οἴκοθεν ἐκ Περσῶν] Odyss. I. 17. οἶκόνδε νέεσθαι εἰς Ἰθάκην. Eiusdem sunt generis, quae ad I. 3, 15. notare memini.

καὶ γὰρ προσδέχομαι] i. e. οὐ ψεύσεσθε, καὶ γὰρ προσδέχομαι. Cf. ad I. 4, 27.

διδῷ] δῷ habes II. 2, 18. θελήσῃ II. 4, 19. sed praesens III. 1, 34. III. 3, 20. IV. 1, 4. V. 4, 21. VII. 1, 9. I. 6, 18. Anab. III. 1, 23. VII. 3, 43. nulla ut mutatione opus sit. Cf. ad I. 3, 9. II. 1, 28.

ὥστε σε νομίζειν – αὐτῷ] ut

31 πρὸς τὸ ἡμέτερον συμφέρον πάντα τίθεσθαι. Ταῦτ' εἶπεν ὁ Κῦρος, νομίζων τοὺς ἰόντας Ἀρμενίων καὶ Χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ, οἷα αὐτὸς ἐπεθύμει πάντας ἀνθρώπους καὶ λέγειν καὶ ἀκούειν περὶ αὐτοῦ. Καὶ τότε μὲν δή, ὁπότε καλῶς εἶχε, διαλύσαντες τὴν σκηνὴν ἀνεπαύοντο.

CAPUT III.

Cyrum redeuntem excipiunt honorifice deducuntque abeuntem Armenii.

1 Τῇ δ' ὑστεραίᾳ ὅ τε Κῦρος ἔπεμπε τὸν ἄγγελον, ἐπιστείλας ὅσαπερ ἔφη, καὶ ὁ Ἀρμένιος καὶ οἱ Χαλδαῖοι συνέπεμπον, οὓς ἱκανωτάτους ἐνόμιζον εἶναι καὶ συμπρᾶξαι καὶ εἰπεῖν περὶ Κύρου τὰ προσήκοντα. Ἐκ δὲ τούτου παρασκευάσας ὁ Κῦρος τὸ φρούριον καὶ φύλαξιν ἱκανοῖς καὶ τοῖς ἐπιτηδείοις πᾶσι, καὶ ἄρχοντα αὐτῶν καταλιπὼν Μῆδον, ὃν ᾤετο Κυαξάρῃ ἂν μάλιστα χαρίσασθαι, ἀπῄει συλλαβὼν τὸ ἕτερον στράτευμα, ὅσον τε ἦλθεν ἔχων, καὶ ὃ παρ' Ἀρμενίων προσέλαβε, καὶ

§. 31. *καὶ λέγειν καὶ ἀκούειν*] Brevius A. B. G. *λέγειν*.
§. 1. *συνέπεμπον*] Optimi quique *συνέπεμψαν*.
παρασκευάσας] Ex librorum scriptura vel *παρασκευάσας* vel *ἐπιτελέσας* exhibentium Poppo efficiendum putavit *καὶ ἐπιτελέσας ὁ Κ. τὸ φρούριον καὶ κατασκευάσας φ.* Sufficit, opinor, *κατασκευάσας*, quod verbum Schn. ad Anab. III. 2, 24. tractavit.
τὸ ἕτερον στράτευμα] Alii *τὸ στράτευμα*, Zeunius *τὸ ἑκάτερον στρ.*

te existimes bene tuis rebus consuluisse, si gratum ipsi feceris, pecuniam donaveris. IV. 5, 53. *ὅπως εὖ βεβουλεῦσθαι ἡγήσωνται ἡμῖν φίλοι γενόμενοι.*

§. 31. *τοιαῦτα λέξειν*] non modo laudaturos esse Cyri benignitatem, sed etiam narraturos, quomodo Armenios pariter et Chaldaeos ad officium reduxerit.

ὁπότε καλῶς εἶχε] cum temporis ratio postulavit. Gabr. IV. 1, 13. *καλῶς ἔχειν ἐδόκει αὐτῷ, μὴ πάλιν κινδυνεύειν.* V. 3, 9.

Cap. III. §. 1. *ἀπ. συλ. τὸ ἕτερον στράτευμα, ὅσον τε ἦλ. ἔχων*] Gabr. abiit cum universis copiis, et iis, quas secum duxerat, et quas ab Armeniis acceperat. Sed partem exercitus sui Cyrus in arce

τοὺς παρὰ Χαλδαίων εἰς τετρακισχιλίους, οἳ ᾤοντο καὶ ξυμπάντων τῶν ἄλλων κρείττονες εἶναι. Ὡς δὲ κατέβη 2
εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον Ἀρμενίων, οὔτε ἀνὴρ οὔτε γυνή, ἀλλὰ πάντες ὑπήντων, ἡδόμενοι τῇ εἰρήνῃ, καὶ φέροντες καὶ ἄγοντες, εἴ τι ἕκαστος ἄξιον εἶχε. Καὶ ὁ Ἀρμένιος τούτοις οὐκ ἤχθετο, οὕτως ἂν νομίζων καὶ τὸν Κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ πάντων τιμῇ. Τέλος δ' οὖν ὑπήντησε καὶ ἡ γυνὴ τοῦ Ἀρμενίου, τὰς θυγατέρας ἔχουσα καὶ τὸν νεώτερον υἱόν· καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμιζεν, ὃ πρότερον οὐκ ἤθελε λαβεῖν ὁ Κῦρος. Καὶ ὁ Κῦρος 3
ἰδὼν εἶπεν, Ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιϊόντα εὐεργετεῖν, ἀλλὰ σύ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα, ἃ φέρεις, ἄπιθι· καὶ τῷ μὲν Ἀρμενίῳ μηκέτι

§. 2. εἴ τι] ὅ τι etiam boni codd. ex interpretatione. Vid. Bremi ad Aeschin. Ctesiph. §. 8. et Zeun. ad §. 6.

καὶ τὸ χρυσίον] καί ignorant A. B. G.

§. 3. τὰ χρήματα] Absunt Guelf.

reliquerat, nec, quas adduxerat, copias dici omnes potest reducere. Necesse est igitur alteram exercitus partem intelligi eam, qua arcem muniverat, τὸ ἕτερον στράτευμα autem dici eam partem, quam una cum ceteris militibus abducturus erat. Similiter Anab. I. 4, 2. Ἡγεῖτο δ' αὐτῶν (τῶν τριάκοντα καὶ πέντε νεῶν) Ταμὼς Αἰγύπτιος ἐξ Ἐφέσου, ἔχων ναῦς ἑτέρας Κύρου πέντε καὶ εἴκοσιν duo navium genera inter se opponuntur.

καὶ τοὺς] nempe στρατιώτας, quod nomen inest in praegresso στράτευμα. Cf. ad II. 4, 21.

§. 2. καὶ φέροντες καὶ ἄγοντες] καὶ φέρειν καὶ ἄγειν propria vi adhibitum teste Heindorf. ad Platon. Phaedr. p. 356. Haud secus posteris temporibus Persarum regem, ubicunque offenderent, muneribus incolae ornarunt. Vid. Aelian. V. H. I. 30 sq. ibique interprett. et ad c. 2, 12.

§. 3. Ὑμεῖς ἐμὲ – εὐεργετεῖν] Vos non efficietis, ut lucri causa civitates obiens beneficiis afficiam. Genitivi μισθοῦ Matth. §. 342. reddit rationem.

καὶ τῷ μὲν Ἀρμενίῳ – κατορύξαι] nec eam (pecuniam) amplius Armenio defodiendam trade. Gabr. Soloecum est quod olim scribebatur μηκέτι δός, vid. not. ad I. 6, 44. Weiskius: »κατορύξαι, inquit, proprie intelligendum, ut apparet e seqq. εἰς δὲ τὴν γῆν. Cf. III. 1, 33. Ceterum ignominia satis magna notatur Armenius, qui pecunias et regis et heredis iure possessas transmittere cogitur uxori, ut quae melius iis uti sciat.« At iocari Cyrum cum regis uxore probabilius statuas. Ita sensus erit: noli pati, o uxor, ut maritus tuus opes defodiat, sed iube eum potius illarum usum facere ad tuum tuaeque familiae commodum.

δῷς αὐτὰ κατορύξαι, ἔκπεμψον δὲ τὸν υἱὸν, ὡς κάλλιστα ἀπ' αὐτῶν κατασκευάσασα, ἐπὶ τὴν στρατιάν· ἀπὸ δὲ τῶν λοιπῶν κτῶ καὶ σαυτῇ καὶ τῷ ἀνδρὶ καὶ ταῖς θυγατράσι καὶ τοῖς υἱοῖς, ὅ τι κεκτημένοι καὶ κεκοσμημένοι κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε· εἰς δὲ τὴν γῆν, ἔφη, ἀρκείτω τὰ σώματα, ὅταν ἕκαστος τελευτήση,
4 σῃ, κατακρύπτειν. Ὁ μὲν ταῦτα εἰπὼν παρήλασεν· ὁ δὲ Ἀρμένιος συμπροὔπεμπε καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν· καὶ τοῦτ' ἐποίουν, ἕως ἐκ τῆς χώρας ἀπῆν. Συναπέστειλε δὲ αὐτῷ καὶ ὁ Ἀρμένιος στρατιὰν πλείονα, ὡς
5 εἰρήνης οἴκοι οὔσης. Οὕτω δὴ ὁ Κῦρος ἀπῄει, κεχρηματισμένος οὐχ ἃ ἔλαβε μόνον χρήματα, ἀλλὰ πολὺ πλείονα τούτων ἡτοιμασμένος διὰ τὸν τρόπον, ὥστε λαμβάνειν, ὁπότε δέοιτο. Καὶ τότε μὲν ἐστρατοπεδεύσατο ἐν τοῖς μεθορίοις· τῇ δ' ὑστεραίᾳ τὸ μὲν στράτευμα καὶ τὰ χρήματα ἔπεμψε πρὸς Κυαξάρην· ὁ δὲ πλησίον ἦν, ὥσπερ ἔφησεν· αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ Περσῶν τοῖς

κεκοσμημένοι] Mss. κοσμήσεσθαι, quasi scriptum fuisset ὅ τι κεκτ. καὶ κοσμήσεσθε κάλλιον καὶ ἥδ.

§. 4. ἀπῆν] ἐξέπεμψαν Schn. fortasse melius.

τὸν ἀγαθόν] Articulum delendum indicavit Hermann. Malim ante ἄνδρα omissum.

τὸν υἱὸν] Intellige Tigranem, non Sabarin minorem, de quo cogitavit Fischerus.

§. 4. τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγ.] Vid. ad Anab. VI. 6, 7. et Matth. §. 266. extrem.

καὶ ὁ Ἀρμένιος στρ. πλείονα] Ad πλείονα pertinet καί, innumeris illud locis transpositum. Vidit interpres: atque ei Armenius, cum ipse domi iam pace uteretur, plures etiam militum copias dedit. Cf. c. 2, 26.

§. 5. κεχρ. οὐχ ἃ ἔλαβε μόνον χρήματα] Ordo idem Anab. I. 2, 1. ἀποπέμψαι πρὸς ἑαυτὸν ὃ εἶχε στράτευμα. ibid. I, 9, 14. ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας. c. 7, 3. τὴν ἐλευθερίαν ἐλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων καὶ ἄλλων πολλαπλασίων. IV. 5, 23. διαλαχόντες ἃς ἑώρων κώμας ἐπορεύοντο. Cyr. III. 3, 44. περὶ πάντων ὧν πέπασθε ἀγαθῶν. Soph. Oed. Col. 335. ed. Herm. ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ. Matth. §. 474. Sed haec tritissima sunt, rariora qualia reperiuntur in Arist. Ran. 896. ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς. vers. 901. ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.

ἀρίστοις ἐθήρα, ὅπουπερ ἐπιτυγχάνοιεν θηρίοις, καὶ εὐφραίνετο.

Ornatis et exercitatis militibus Cyrus persuadet Cyaxari, ut iam in hostium regionem educatur exercitus: in qua praedando et cuncta vastando accedunt ad hostes.

Ἐπεὶ δὲ ἀφίκετο εἰς Μήδους, τῶν χρημάτων 6
ἔδωκε τοῖς ἑαυτοῦ ταξιάρχοις ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι, ὅπως καὶ ἐκεῖνοι ἔχοιεν τιμᾶν, εἴ τινας ἄγαιντο τῶν ὑφ᾽ ἑαυτούς· ἐνόμιζε γάρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἔχειν. Καὶ αὐτὸς δέ, εἴ τί που καλὸν ἴδοι εἰς τὴν στρατιάν, τοῦτο κτώμενος διεδωρεῖτο τοῖς ἀεὶ ἀξιωτάτοις, νομίζων, ὅ τι καλὸν κἀγαθὸν ἔχοι τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. Ἡνίκα δὲ αὐτοῖς διεδίδου, ὧν ἔλα- 7
βεν, ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιάρχων καὶ λοχαγῶν καὶ πάντων, ὅσους ἐτίμα· Ἄνδρες φίλοι, δοκεῖ ἡμῖν εὐφροσύνη τις νῦν παρεῖναι, καὶ ὅτι εὐπορία τις

§. 6. εἴ τί που] ὅ τι που alii, ut §. 2.
§. 7. αὐτοῖς διεδίδου] αὐτὸς διεδ. Vat.

ὅπουπερ ἐπιτυγχάνοιεν θηρίοις] ubicunque feras offenderent, sive in Armeniae, sive in Assyriae confiniis. Cf. I. 4, 16 sqq.

§. 6. τῶν χρημάτων — ὅσα ἐδόκει] Vid. Matth. §. 354.

τῶν ὑφ᾽ ἑαυτούς] Supra II. 1, 22. diversae lectiones sunt τῶν ὑφ᾽ αὐτῶν ἀρχόντων et τῶν ὑφ᾽ αὐτῷ ἀρχ., e quibus posterior vulgarem, recepta scriptura exquisitiorem dicendirationem redolet. Illius generis exemplis ut omnia referta sunt, sic quod grammaticae suae Matth. §. 593. p. 873. ex h. l. vindicavit, dubium facit librorum auctoritas, sed accusativus ubique legitur I. 5, 2. VI. 2, 11. VIII. 4, 30. Anab. III. 4, 37. VII. 4, 5. Thiersch. §. 274, 14.

τὸ μέρος] partem, cui praeest, centuriam suam. Schneiderus τὸ ἑαυτοῦ μέρος quod maluit, fefellit eum opinio, quam falsam esse evincunt VIII. 5, 15. et ubi debita cuique pars intelligenda est, VIII. 3, 3. 4, 29. Anab. V. 3, 4. VI. 4, 28. Memor. III. 14, 1.

εἴ τί που — στρατιάν] si quid usquam praeclari ad exercitum ornandum vidisset. Gabr.

§. 7. Ἡνίκα δὲ — ἔλαβεν] sed quo tempore eorum, quae acceperat, partem iis distribuebat. Ducenta enim talenta ab Armenio III. 1, 34. Cyrus acceperat, centum, ut Cyaxari tributum poscenti satisfaceret; alia centum mutua sumpsisse putandus est, et quidem ea, quibus donare Cyrum Armenius voluerat l. l. §. 35. Nam §. 42. vix

προςγεγένηται, καὶ ὅτι ἔχομεν, ἀφ' ὧν τιμᾶν ἕξομεν οὓς ἂν βουλώμεθα, καὶ τιμᾶσθαι, ὡς ἂν ἕκαστος ἄξιος ᾖ.
8 Πάντως δὲ ἀναμιμνησκώμεθα, τὰ ποῖα ἄττα ἔργα τούτων τῶν ἀγαθῶν ἐστιν αἴτια· σκοπούμενοι γὰρ εὑρήσετε τό τε ἀγρυπνῆσαι, ὅπου ἔδει, καὶ τὸ πονῆσαι, καὶ τὸ σπεῦσαι, καὶ τὸ μὴ εἶξαι τοῖς πολεμίοις. Οὕτως οὖν χρὴ καὶ τὸ λοιπὸν ἄνδρας εἶναι ἀγαθούς, γιγνώσκοντας, ὅτι τὰς μεγάλας ἡδονὰς καὶ τὰ ἀγαθὰ τὰ μεγάλα ἡ πειθὼ καὶ ἡ καρτερία καὶ οἱ ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι παρέχονται.

9 Κατανοῶν δὲ ὁ Κῦρος, ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα οἱ στρατιῶται πρὸς τὸ δύνασθαι στρατιωτικοὺς πόνους φέρειν, εὖ δὲ τὰς ψυχὰς πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων, ἐπιστήμονες δὲ ἦσαν τὰ προςήκοντα τῇ ἑαυτῶν ἕκαστος ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους· ἐκ τούτων οὖν ἐπεθύμει τι ἤδη τῶν πρὸς τοὺς πολεμίους πράττειν, γιγνώσκων, ὅτι ἐν τῷ μέλλειν πολλάκις τοῖς ἄρχουσι
10 καὶ τῆς καλῆς παρασκευῆς ἀλλοιοῦταί τι. Ἔτι δ' ὁρῶν, ὅτι φιλοτίμως ἔχοντες, ἐν οἷς ἀντηγωνίζοντο, πολλοὶ καὶ ἐπιφθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν,

§. 8. εἶναι ἀγαθούς] Vat. ἀγαθοὺς εἶναι ceteri.

§. 9. τῶν πρὸς τοὺς πολ.] Ita Iunt. Ald. Steph. Zeun. cumque edd. libri manu exarati. Male τῶν delevit Schn. aliique.

dubium est, quin quadringenta Armenius talenta numeraverit, quae quia Cyrus accipere recusaverat, c. 3, 3. regis uxor denuo ei obtulit. Cf. c. 2, 28.

καὶ τιμᾶσθαι – ἄξιος ᾖ] Accuratius scripsisset καὶ ἀφ' ὧν ἕκαστος ἕξει τιμᾶσθαι, ὡς ἂν ἄξιος ᾖ τιμᾶσθαι. Cf. II. 3, 16.

§. 8. τὰ ποῖα ἄττα ἔργα – αἴτια] i. e. ποῖά τινα τὰ ἔργα ἐστίν, ἃ τούτων τῶν ἀγαθῶν ἐστιν αἴτια. Cf. Viger. p. 713. 37. et Thiersch. §. 351. 13.

τοῖς πολεμίοις] Supple ταῦτα τῶν ἀγαθῶν τούτων αἴτια εἶναι.

καὶ οἱ ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι] et labores et pericula in tempore suscepta et exantlata.

§. 9. καὶ πρὸς τὸ πείθεσθαι δὲ – ἑώρα] Dici oportuit ὁρῶν δὲ καὶ πρὸς τὸ πείθεσθαι κ. τ. λ. vel καὶ πρὸς τὸ πείθεσθαι – πάντες εὖ παρεσκευασμένοι. Variandae structurae ansam dederunt particulae καὶ – δέ, novi plerumque aliquid inferentes. Cf. ad II. 3, 21. de re I. 6, 26.

τι ἤδη τῶν πρὸς τοὺς πολεμίους] iam aliquid ex iis rebus, quae contra hostes gerendae erant. Quod quid sit, Cyrus ipse §. 13. pluribus

καὶ τῶνδε ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολε-
μίαν ὡς τάχιστα· εἰδὼς, ὅτι οἱ κοινοὶ κίνδυνοι φιλο-
φρόνως ποιοῦσιν ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους,
καὶ οὐκέτι ἐν τούτῳ οὔτε τοῖς ἐν ὅπλοις κοσμουμένοις
φθονοῦσιν, οὔτε τοῖς δόξης ἐφιεμένοις, ἀλλὰ μᾶλλον
καὶ ἐπαινοῦσι καὶ ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους,
νομίζοντες συνεργοὺς αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι.
Οὕτω δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιὰν καὶ κατέ- 11
ταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα· ἔπειτα δὲ συν-
εκάλεσε μυριάρχους καὶ χιλιάρχους καὶ ταξιάρχους καὶ
λοχαγούς· οὗτοι γὰρ ἀπολελυμένοι τοῦ καταλέγεσθαι
ἦσαν ἐν τοῖς τακτικοῖς ἀριθμοῖς· καὶ ὁπότε δέοι ἢ ὑπα-
κούειν τῷ στρατηγῷ, ἢ παραγγέλλειν τι, οὐδ᾽ ὣς οὐδὲν
ἄναρχον κατελείπετο, ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρ-
χοις πάντα τὰ καταλειπόμενα διεκοσμεῖτο. Ἐπεὶ δὲ συν- 12
ῆλθον οἱ ἐπικαίριοι, παράγων αὐτοὺς, ἐπεδείκνυέ τε
αὐτοῖς τὰ καλῶς ἔχοντα, καὶ ἐδίδασκεν, ᾗ ἕκαστον
ἰσχυρὸν ἦν τῶν συμμαχικῶν. Ἐπεὶ δὲ κἀκείνους ἐποί-

§. 10. *καὶ τῶνδε*] *καὶ τούτων δέ* A. B. G.

§. 11. *ἀπολελυμένοι τοῦ κατ. ἦσαν*] *ἀπολελειμμένοι τοῦ καταδε-δέσθαι ἦσαν* Bud. *ἦσαν* post *ἀπολ.* ponere coepit Steph.

exponit, nimirum, ut hostibus quam primum nocere incipiat. Cf. Viger. p. 664. XI.

§. 10. *καὶ οὐκέτι – φθονοῦσιν*] h. e. *καὶ ὅτι οἱ σύμμαχοι* (commilitones) *ἐν τοῖς κοινοῖς κινδύνοις οὔτε φθονοῦσι τοῖς ἐν ὅπλοις κοσμουμένοις*, invident neque iis, qui armis ornabantur. Sine dubio enim homotimi nonnulli invidia eos prosequuti erant, qui in homotimorum numerum e plebe adsciti de virtute cum illis certarunt.

οἱ τοιοῦτοι τοὺς ὁμοίους] homotimi e plebe admissos, eos, qui eiusdem sunt dignationis, ihres Gleichen.

§. 11. *οὗτοι γὰρ – ἀριθμοῖς*] hi enim exemti erant de catalogo militum in acie stantium, non annumerabantur ordinibus militum (sie bildeten den Generalstab, das Officiercorps), sed extra aciem stare poterant, ut, si opus esset, duci operam darent eiusque mandata acciperent.

ἢ παραγγέλλειν τι] *ἢ ὁπότε δέοι τὸν στρατηγὸν παραγγέλλειν τι τοῖς μυριάρχοις καὶ ταξιάρχοις*.

οὐδὲν ἄναρχον – διεκοσμεῖτο] nulla exercitus pars sine duce relinquebatur, sed omnes eius partes duce carentes a dodecadarchis et hexadarchis administrabantur.

§. 12. *παράγων αὐτοὺς*] praeterducens eos, ducens eos per aciei instructae ordines. Perperam alii vel adducens vel in medium ducens.

ησεν ἐρωτικῶς ἔχειν τοῦ ἤδη ποιεῖν τι, εἶπεν αὐτοῖς νῦν μὲν ἀπιέναι ἐπὶ τὰς τάξεις, καὶ διδάσκειν ἕκαστον τοὺς ἑαυτοῦ ἅπερ αὐτὸς ἐκείνους, καὶ πειρᾶσθαι ἐπιθυμίαν ἐμβαλεῖν πᾶσι τοῦ στρατεύεσθαι, ὅπως εὐθυμότατα πάντες ἐξορμῷντο, πρωῒ δὲ καὶ παρεῖναι ἐπὶ τὰς Κυαξάρου

13 θύρας. Τότε μὲν δὴ ἀπιόντες οὕτω πάντες ἐποίουν· τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ παρῆσαν οἱ ἐπικαίριοι ἐπὶ τὰς θύρας. Σὺν τούτοις οὖν ὁ Κῦρος εἰςελθὼν πρὸς τὸν Κυαξάρην ἤρχετο λόγου τοιοῦδε·

Οἶδα μέν, ἔφη, ὦ Κυαξάρη, ὅτι ἃ μέλλω λέγειν σοὶ πάλαι δοκεῖ οὐδὲν ἧττον ἢ ἡμῖν· ἀλλ' ἴσως αἰσχύνῃ λέγειν ταῦτα, μὴ δοκῇς ἀχθόμενος, ὅτι τρέφεις

14 ἡμᾶς, ἐξόδου μεμνῆσθαι. Ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν. Ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπείπερ παρεσκευάσμεθα, μή, ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν σὴν χώραν, τότε μάχεσθαι, μηδ' ἐν τῇ φιλίᾳ καθημένους ἡμᾶς ὑπομένειν, ἀλλ' ἰέ-

15 ναι ὡς τάχιστα εἰς τὴν πολεμίαν. Νῦν μὲν γὰρ ἐν τῇ σῇ χώρᾳ ὄντες πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες· ἢν δ' εἰς τὴν πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν

§. 12. πρωῒ δὲ καὶ] καί accessit ex A. B. G.
§. 15. χώρᾳ] πόλει Alt.

εἶπεν αὐτοῖς – ἐκείνους] »praecepit iis, ut tunc quidem ad ipsorum ordines redirent, et suos quisque milites ea doceret, quae ab ipso accepisset.« Gabr.

§. 13. μὴ δοκῇς – μεμνῆσθαι] ne videaris hanc ob causam, quod molestus tibi sit sumptus, quem in nos alendos facis, profectionis mentionem facere. Deterior scriptura est Vat. λέγων αὐτά, μή hoc sensu: vereris, si haec dicas, ne videaris etc. Cf. ad cap. 2, 16. Ceterum Cyrus pudori tribuit, quod ab ignavia Cyaxaris repetendum erat.

§. 14. καθημένους ἡμᾶς ὑπομένειν] Simili ratione ad accusativum transitur Memor. I. 5, 5. Ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς ἱκετεύειν τοὺς θεούς. ibidem II. 8, 1. δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι, ἢ δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν ἔχοντα, ἐφ' ὅτῳ ἂν δανειζοίμην. Anab. VI. 4, 30. ἔδοξεν αὐτοῖς, πέμψαντας – δεῖσθαι. Cf. infra §. 24.

§. 15. ἐκείνων] τῶν πολεμίων, quod latet in praegresso πολεμίαν. Itidem §. 17. ἐκεῖνοι dicitur. Vid. not. ad §. 1.

ἡδόμενοι. Ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις πολλὰ δα- 16
πανῶν, ἢν δ' ἐκστρατευσώμεθα, θρεψόμεθα ἐκ τῆς πο-
λεμίας. Ἔτι δὲ εἰ μὲν μείζων τις κίνδυνος ἔμελλεν ἡμῖν 17
εἶναι ἐκεῖ ἢ ἐνθάδε, ἴσως τὸ ἀσφαλέστατον ἦν ἂν αἱρε-
τέον. Νῦν δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἤν τε ἐνθάδε
ὑπομένωμεν, ἤν τε εἰς τὴν ἐκείνων ἰόντες ὑπαντῶμεν
αὐτοῖς· ἴσοι δὲ ἡμεῖς ὄντες μαχούμεθα, ἤν τε ἐνθάδε
ἐπιόντας αὐτοὺς δεχώμεθα, ἤν τε ἐπ' ἐκείνους ἰόντες
τὴν μάχην συνάπτωμεν. Πολὺ μέντοι γε ἡμεῖς μὲν 18
βελτίοσι καὶ ἐῤῥωμενεστέραις ταῖς ψυχαῖς τῶν στρατιω-
τῶν χρησόμεθα, ἢν ἴωμεν ἐπὶ τοὺς ἐχθρούς, καὶ μὴ
ἄκοντες ὁρᾶν δοκῶμεν τοὺς πολεμίους· πολὺ δὲ κἀκεῖ-
νοι μᾶλλον ἡμᾶς φοβήσονται, ὅταν ἀκούσωσιν, ὅτι
οὐχ ὡς φοβούμενοι πτήσσομεν αὐτοὺς οἴκοι καθήμενοι,
ἀλλ', ἐπεὶ αἰσθανόμεθα προσιόντας, ἀπαντῶμέν τε αὐ-
τοῖς, ἵν' ὡς τάχιστα συμμίξωμεν, καὶ οὐκ ἀναμένομεν,

§. 16. ἐκστρατευσώμεθα] Vat. ἐκστρατευσόμεθα M. ἐκστρατευώμεθα edd.

§. 17. ὑπομένωμεν] ἐπιόντες αὐτοῖς μαχώμεθα Iunt. Ald.

ἐπιόντας αὐτοὺς δεχ.] ἐπιόντες αὐτοῖς μαχώμεθα A. B. G. quo quis vel receptam vel seqq. τὴν μάχην συνάπτωμεν explicare voluit, qua illata interpretatione patet librariorum oculos a priore ἐνθάδε ad posterius aberrare potuisse.

§. 18. μέντοι γε ἡμεῖς μὲν] Marg. Vill. et M. ἡμεῖς μέν etiam A. B. γέ et μέν vulgo desunt.

οὐχ ὡς φοβούμενοι πτήσσομεν] οὐ φοβ. πτωήσομεν Vat. i. e. πτώσσομεν. Etiam M. et m. Vict. οὐ φοβούμενοι, recte.

§. 16. θρεψόμεθα ἐκ τῆς πολεμίας] ex inimicorum agro victum nobis quaeremus. Italus, recte, opinor; neque vero Anab. VI. 5, 20. σῖτος, ᾧ θρεψόμεθα μένοντες et Oecon. V. 13. λαμβάνειν, ἀφ' ὧν θρέψονται est quod de passiva significatione cogitemus.

§. 18. μέντοι γε] Vid. Herm. ad Viger. p. 842. 844.

οὐχ ὡς φοβ. — καθήμενοι] non quasi eos metuamus domi sedentes eorum adspectum fugimus. Melius omisso ὡς: non metu commoti domi sedemus eorumque adspectum fugimus.

ἀπαντῶμεν] Solum ὅτι neglecta negatione hic et ante φθάνοντες ex antecedentibus intellige. Verba καὶ οὐκ ἀναμένομεν — κακῶται Hermannum ad Elmsleii Eurip. Med. v. 310. interpretem nacta sunt: neque exspectamus, dum nostram regionem vastare incipiant.

ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται, ἀλλὰ φθάνοντες ἤδη
19 δῃοῦμεν τὴν ἐκείνων γῆν. Καίτοι, ἔφη, εἴ τι ἐκείνους
μὲν φοβερωτέρους ποιήσομεν, ἡμᾶς δὲ αὐτοὺς θαῤῥα-
λεωτέρους, πολὺ τοῦτο ἡμῖν ἐγὼ πλεονέκτημα νομίζω·
καὶ τὸν κίνδυνον οὕτως ἡμῖν μὲν ἐλάττω λογίζομαι, τοῖς
δὲ πολεμίοις μείζω πολὺ ἂν μᾶλλον. Καὶ ὁ πατὴρ ἀεὶ
λέγει, καὶ σὺ φῄς, καὶ οἱ ἄλλοι δὲ πάντες ὁμολογοῦσιν,
ὡς αἱ μάχαι κρίνονται μᾶλλον ταῖς ψυχαῖς ἢ ταῖς τῶν
20 σωμάτων ῥώμαις. Ὁ μὲν οὕτως εἶπε· Κυαξάρης δὲ
ἀπεκρίνατο, Ἀλλ' ὅπως μέν, ὦ Κῦρε καὶ οἱ ἄλλοι Πέρ-
σαι, ἐγὼ ἄχθομαι ὑμᾶς τρέφων, μηδ' ὑπονοεῖτε· τό γε
μέντοι ἰέναι εἰς τὴν πολεμίαν ἤδη καὶ ἐμοὶ δοκεῖ βέλτιον
εἶναι πρὸς πάντα. Ἐπεὶ τοίνυν, ἔφη ὁ Κῦρος, ὁμο-

§. 19. *πολὺ ἂν μᾶλλον*] *πολὺ γὰρ μᾶλλον* plures codd. Postea *ἀεί* pro *αἰεί* Vat. et Zeun. ex G. ut arbitror.

§. 19. *καὶ τὸν κίνδυνον οὕτως – ῥώμαις*] Nisi liberiorem vertendi rationem secutus est Gabriel.: atque ita coniicio fore, ut ipsi in multo maiore, quam nos, periculo versentur; siquidem (quod a patre meo saepe audivi, [nam ut et meus pater dicere semper solet. Philelf.] tuque affirmas, et alii demum omnes fatentur) proelia animorum magis, quam corporum viribus decernuntur, nonnihil inde adiuvari vides Popponis coniecturam proponentis: *Πολὺ γὰρ μᾶλλον, ὃ καὶ ὁ πατὴρ ἀεὶ λέγει κ. τ. λ.* Vide tamen, ne vulgatam a vitii suspicione liberent Eurip. verba Alcest. v. 182., quamvis a Monkio et Matthiaeo in dubium vocata, *σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται, σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως*, in quibus ut plene dictum fuisset *οὐκ ἂν μᾶλλον γενομένη*, sic apud Xenophontem commode licet adiici *γενόμενον*. Si periculum, inquit Cyrus, nobis imminet exiguum, fieri potest, ut hostibus sit longe maximum. Hanc enim particulae *ἄν* vim esse testabitur Thiersch. §. 299. 5. Infra §. 50. similiter quidem *ἄν* pendet, sed aliter explicandum est. Nec vero *μᾶλλον* comparativo additum quicquam offensionis habet, vid. ad II. 2, 12. Sententiae causa iuvabit inspicere I. 6, 35. 41. V. 2, 35. Anab. III. 1, 42.

§. 20. *καὶ ἐμοὶ – πρὸς πάντα*] Mihi quoque expedire videtur, si comparem cum aliis rebus omnibus, quas suscipere vel peragere possimus, ut paucis dicam, mihi quoque omnium optimum esse videtur. Herodt. II. 35. *ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην*, quem locum debeo industriae Schaeferi ad Demosth. p. 185. v. 3. excitatum. Cf. idem in Apparat. T. III. p. 114.

γνωμονοῦμεν, συσκευαζώμεθα, καὶ ἢν τὰ τῶν θεῶν
ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα.
Ἐκ τούτου τοῖς μὲν στρατιώταις εἶπον συσκευά- 21
ζεσθαι· ὁ δὲ Κῦρος ἔθυε πρῶτον μὲν Διῒ βασιλεῖ, ἔπει-
τα δὲ καὶ τοῖς ἄλλοις θεοῖς· καὶ ᾐτεῖτο ἵλεως καὶ εὐμε-
νεῖς ὄντας ἡγεμόνας γίγνεσθαι τῇ στρατιᾷ, καὶ παρα-
στάτας ἀγαθοὺς, καὶ συμμάχους, καὶ συμβούλους τῶν
ἀγαθῶν. Συμπαρεκάλει δὲ καὶ ἥρωας, γῆς Μηδίας
οἰκήτορας καὶ κηδεμόνας. Ἐπεὶ δ' ἐκαλλιέρησέ τε καὶ 22
ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε
δὴ οἰωνοῖς χρησάμενος αἰσίοις ἐνέβαλεν εἰς τὴν πολεμίαν.
Ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, ἐκεῖ αὖ καὶ Γῆν ἱλά-
σκετο χοαῖς, καὶ θεοὺς θυσίαις καὶ ἥρωας, Ἀσσυρίας
οἰκήτορας, εὐμενίζετο. Ταῦτα δὲ ποιήσας, αὖθις Διῒ
πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἀνεφαίνετο, οὐ-
δενὸς ἠμέλει. Ἐπεὶ δὲ καλῶς ταῦτα εἶχεν, εὐθὺς τοὺς 23

§. 21. *καὶ ᾐτεῖτο – γίγνεσθαι*] *οὓς ἡγεῖτο – γενέσθαι* boni codd.

§. 22. *θεοὺς θυσίαις*] *θυσίαις θεούς* Vat.

ἀνεφαίνετο] *ἂν ἐφαίνετο* Brod. multum habet probabilitatis, vid. Thiersch. §. 330. 7. p. 630.

ἢν – θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα] simulac res divinae nobis annuere incipiant, proficiscamur quam primum. Anab. VI. 5, 20. *δεήσει δέ, ἢν θᾶττον ἐκεῖ γενώμεθα, θᾶττον πάλιν ἐξιέναι ἐπὶ τὰ ἐπιτήδεια.*

§. 21. *Διῒ βασιλεῖ*] Vid. ad II. 4, 19.

ἵλεως καὶ εὐμενεῖς – τῇ στρατιᾷ] ut exercitui propitii et benevoli essent eique duces fierent. Memor. I. 2, 31. *ὅτε τῶν Τριάκοντα ὢν νομοθέτης μετὰ Χαρικλέους ἐγένετο.*

§. 22. *ἐνέβαλεν εἰς τὴν πολεμίαν*] »In expeditionem hanc exercitum eduxerunt Cyrus et Cyaxares anno mund. secundum Usserium 3448, periodi Iulianae 4158. ante aeram Christ. 556.« Hutchins. Horum nihil verum, nisi quod circa a. 557. Croeso Cyrus bellum intulit: Assyriorum enim regnum multis annis ante eversum erat. Vid. Rosenmueller. II. der bibl. Alterth. Vol. I. P. I. p. 322. P. II. p. 38.

ἐκεῖ αὖ] non i. q. *τότε αὖ*, sed illic item, nempe *ἐν τῇ πολεμίᾳ*. Inferiae hac continebantur lacte, vino et melle, certe apud Graecos, testante Erfurdt. ad Soph. Antig. 427.

ἀνεφαίνετο] scil. *ὤν*, si quem alium deorum e numero esse apparebat, i. e. quisquis praeterea deorum esset. Magos nolim intelligi, qui Cyro deos rite colendos indicassent, quippe quos Cyrus seriori demum tempore adsciverit. Vid. ad §. 34.

μὲν πεζοὺς προαγαγόντες οὐ πολλὴν ὁδὸν ἐστρατοπεδεύσαντο· τοῖς δ' ἵπποις καταδρομὴν ποιησάμενοι περιεβάλλοντο πολλὴν καὶ παντοίαν λείαν. Καὶ τὸ λοιπὸν δὲ μεταστρατοπεδευόμενοι, καὶ ἔχοντες ἄφθονα τὰ ἐπιτήδεια, καὶ δῃοῦντες τὴν χώραν, ἀνέμενον τοὺς πολε-
24 μίους. Ἡνίκα δὲ προσιόντες ἐλέγοντο οὐκέτι δέχ' ἡμερῶν ὁδὸν ἀπέχειν, τότε δὴ ὁ Κῦρος λέγει· Ὦ Κυαξάρη, ὥρα δὴ ἀπαντᾶν, καὶ μήτε τοῖς πολεμίοις δοκεῖν μήτε τοῖς ἡμετέροις φοβουμένους μὴ ἀντιπροσιέναι· ἀλ-
25 λὰ δῆλοι ὦμεν, ὅτι οὐκ ἄκοντες μαχούμεθα. Ἐπεὶ δὲ ταῦτα συνέδοξε τῷ Κυαξάρει, οὕτω δὴ συντεταγμένοι προῄεσαν τοσοῦτον καθ' ἡμέραν, ὅσον ἐδόκει αὐτοῖς καλῶς ἔχειν. Καὶ δεῖπνον μὲν ἀεὶ κατὰ φῶς ἐποιοῦντο, πυρὰ δὲ νύκτωρ οὐκ ἔκαον ἐν τῷ στρατοπέδῳ· ἔμπροσθεν μέντοι τοῦ στρατοπέδου ἔκαον, ὅπως ὁρῷεν μὲν, εἴ τινες νυκτὸς προσίοιεν, διὰ τὸ πῦρ, μὴ ὁρῷντο δὲ ὑπὸ τῶν προσιόντων. Πολλάκις δὲ καὶ ὄπισθεν τοῦ στρατοπέδου ἐπυρπόλουν ἀπάτης ἕνεκα τῶν πολεμίων· ὥστ' ἔστιν ὅτε καὶ κατάσκοποι ἐνέπιπτον εἰς τὰς προφυλακὰς αὐτῶν διὰ τὸ ὄπισθεν τὰ πυρὰ εἶναι, ἔτι πρόσω τοῦ στρατοπέδου οἰόμενοι εἶναι.

§. 23. *καὶ ἔχοντες ἄφθ. τὰ ἐπιτ.*] om. Iunt. »Mihi, inquit Schn., verbis *καὶ δῃοῦντες τὴν χώραν* ante *καὶ ἔχοντες ἄ. τ. ἐπιτήδεια* positis locus sanari posse videbatur.«

§. 25. *ἔκαον*] G. pro *ἔκαιον*. Supra ante *συντεταγμένοι* edd. *ἀεί* inserunt.

§. 23. *Καὶ τὸ λοιπὸν δὲ μετ. — πολεμίους*] Et in posterum vero castris mutatis tum abundantes rebus necessariis, ita ut depopulatione nihil egerent, tum agros depopulantes exspectabant hostes. Desunt ante *δῃοῦντες* verba *οὐκ ἔχοντες*, quae quia sua sponte a quovis intelligi videbantur, ideo scriptor omisit.

§. 24. *φοβουμένους*] Attigi ad §. 14. accusativum.

§. 25. *οὕτω δή*] tum igitur. VIII. 5, 1. *ἐπεὶ δὲ ἐνόμισεν ἱκανὰ ἔχειν, ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυε.*

ὅπως ὁρῷεν μὲν] Anab. VII. 2, 18. *κατέμαθεν, ὅτι τούτου ἕνεκα τὰ πυρὰ προκεκαυμένα εἴη τῷ Σεύθῃ πρὸ τῶν νυκτοφυλάκων, ὅπως οἱ μὲν φύλακες μὴ ὁρῷντο, ἐν τῷ σκότει ὄντες, μήθ' ὅπου εἶεν, μήθ' ὅποι ἴοιεν, οἱ δὲ προσιόντες μὴ λανθάνοιεν, ἀλλὰ διὰ τὸ φῶς καταφανεῖς εἶεν.* Adde Hellen. VI. 2, 29.

Assyriorum et Cyri diversa in castris collocandis ratio.

26 Οἱ μὲν οὖν Ἀσσύριοι καὶ οἱ σὺν αὐτοῖς, ἐπεὶ ἤδη ἐγγὺς ἀλλήλων τὰ στρατεύματα ἐγίγνοντο, τάφρον περιεβάλοντο· ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρβαροι βασιλεῖς· ὅπου ἂν στρατοπεδεύωνται, τάφρον περιβάλλονται εὐπετῶς διὰ τὴν πολυχειρίαν· ἴσασι γάρ, ὅτι ἱππικὸν στράτευμα ἐν νυκτὶ ταραχῶδές ἐστι καὶ δύσχρηστον, ἄλλως τε καὶ βάρβαρον. 27 Πεποδισμένους τε γὰρ ἔχουσι τοὺς ἵππους ἐπὶ ταῖς φάτναις, καί, εἴ τις ἐπ' αὐτοὺς ἴοι, ἔργον μὲν νυκτὸς λῦσαι ἵππους, ἔργον δὲ χαλινῶσαι, ἔργον δ' ἐπισάξαι, ἔργον δὲ θωρακίσασθαι· ἀναβάντας δ' ἐφ' ἵππων ἐλάσαι διὰ στρατοπέδου παντάπασιν ἀδύνατον. Τούτων δὴ ἕνεκα πάντων καὶ οἱ ἄλλοι καὶ ἐκεῖνοι τὰ ἐρύματα περιβάλλονται· καὶ ἅμα αὐτοῖς δοκεῖ τὸ ἐν ἐχυρῷ εἶναι ἐξουσίαν παρέχειν, ὅταν βούλωνται, μάχεσθαι. 28 Τοιαῦτα μὲν δὴ ποιοῦντες ἐγγὺς ἀλλήλων ἐγίγνοντο. Ἐπεὶ δὲ προσιόντες ἀπεῖχον ὅσον παρασάγγην, οἱ μὲν Ἀσσύριοι οὕτως ἐστρατοπεδεύοντο, ὥσπερ εἴρηται, ἐν περιτεταφρευμένῳ μέν, καταφανεῖ δέ, ὁ δὲ Κῦρος, ὡς ἐδύνατο ἐν ἀφανεστάτῳ, κώμας τε καὶ γη-

§. 26. βασιλεῖς· ὅπου ἂν] βασιλεῖς, ὁπόταν στρατοπεδεύωνται alii.

§. 26. τὰ στρατεύματα ἐγίγνοντο] ἐγίγνετο etiam Vat. sed vid. ad II. 2, 2.

τάφρον περιεβάλοντο] Apud Plutarch. Artax. c. 7. quum Cyrus frater cum exercitu appropinquaret, Artaxerxes τάφρον εὖρος ὀργυιῶν δέκα, καὶ βάθος ἴσων, ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε· καὶ ταύτης περιεῖδε τὸν Κῦρον ἐντὸς παρελθόντα. Vid. interpretes ad Anab. I. 7, 16. III. 4, 35. Castra Romani quoque vallo fossaque circumdederunt, Graecis contra loca tuta et a natura munita eligere placuit.

ἱππικὸν στράτευμα] equestres copiae, in quibus praecipuum Persarum robur positum erat. Cf. IV. 3, 23. et VIII. 8, 19.

§. 27. ἔργον μὲν] ἐστὶν αὐτοῖς, τοῖς τῶν βαρβάρων ἱππεῦσιν. Anab. III. 4, 35. ἐὰν δέ τις θόρυβος γίγνηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρί, καὶ χαλινῶσαι δεῖ, καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον.

ἐφ' ἵππων] Aliorum librorum scripturam ἐφ' ἵππον pridem est ex quo reiecit Schaefer. ad Apollon. Rhod. Schol. p. 289.

§. 28. ὁ δὲ Κῦρος] scil. ἐστρατοπεδεύετο.

λόφους ἐπίπροσθεν ποιησάμενος, νομίζων πάντα τὰ πολέμια ἐξαίφνης ὁρώμενα φοβερώτερα τοῖς ἐναντίοις εἶναι. Καὶ ἐκείνην μὲν τὴν νύκτα, ὥςπερ ἔπρεπε, προφυλακὰς ποιησάμενοι ἑκάτεροι ἐκοιμήθησαν.

Cyaxaris intempestiva pugnandi cupiditate refutata, Cyrus principes Persarum ad fortitudinem cohortatur, Assyrius omnem suum exercitum; quod sero ab hoc et frustra fieri pluribus docet Cyrus.

29 Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Ἀσσύριος καὶ ὁ Κροῖσος καὶ οἱ ἄλλοι ἡγεμόνες ἀνέπαυον τὰ στρατεύματα ἐν τῷ ἐχυρῷ· Κῦρος δὲ καὶ Κυαξάρης συνταξάμενοι περιέμενον, ὡς, εἰ προςίοιεν οἱ πολέμιοι, μαχούμενοι. Ὡς δὲ δῆλον ἐγένετο, ὅτι οὐκ ἐξίοιεν οἱ πολέμιοι ἐκ τοῦ ἐρύματος, οὐδὲ μάχην ποιήσοιντο. ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὁ μὲν Κυαξάρης, καλέσας τὸν Κῦρον καὶ τοὺς ἄλλους ἐπι-
30 καιρίους, ἔλεξε τοιάδε· Δοκεῖ μοι, ἔφη, ὦ ἄνδρες, ὥςπερ τυγχάνομεν συντεταγμένοι, οὕτως ἰέναι πρὸς τὸ ἔρυμα τῶν ἀνδρῶν καὶ δηλοῦν, ὅτι θέλομεν μάχεσθαι. Οὕτω γάρ, ἔφη, ἐὰν μὴ ἀντεπεξίωσιν ἐκεῖνοι, οἱ μὲν ἡμέτεροι μᾶλλον θαῤῥήσαντες ἀπίασιν, οἱ πολέμιοι δὲ
31 τὴν τόλμαν ἰδόντες ἡμῶν μᾶλλον φοβηθήσονται. Τούτῳ μὲν δὴ οὕτως ἐδόκει. Ὁ δὲ Κῦρος, Μηδαμῶς, ἔφη, πρὸς τῶν θεῶν, ὦ Κυαξάρη, οὕτω ποιήσωμεν. Εἰ γὰρ ἤδη ἐκφανέντες πορευσόμεθα ᾗ σὺ κελεύεις, νῦν τε

§. 28. γηλόφους] Vat. pro γεωλόφους.

§. 29. τοὺς ἄλλους ἐπικαιρίους] τοὺς ἄλλους τῶν ἐπικαιρίων G., τ. ἄ. τοὺς ἐπικαιρίους M. V., πάντας τοὺς ἐπικαιρίους ante Zeun. edd., τῶν ἄλλων τοὺς ἐπικαιρίους A. B.

§. 30. τὸ ἔρυμα τῶν ἀνδρῶν] libri praestantissimi, τὸ τῶν ἀνδρῶν ἔρυμα editi.

θαῤῥήσαντες ἀπίασιν] θαῤῥήσουσιν ἂν ἀπιόντες membranis deterioribus adiuvantibus Reisig. Coniectan. I. p. 141. Cf. ad Conviv. p. 62. Receptam habet G., θαῤῥήσαντες ἂν ἀπίασιν Poppo.

§. 30. μᾶλλον θαῤῥήσαντες ἀπίασιν] fidentiori animo discedent ab hostibus pugnam detractantibus.

§. 31. πρὸς τῶν θεῶν] Haec formula, in qua articulus non necessarius est, non semper Latinae per deos et vernaculis bei Gott, um des Himmels willen; sed etiam verbis obsecro, ich bitte dich respondet, nec nisi in blanda allocutione a Graecis adhiberi solet.

προσιόντας ἡμᾶς οἱ πολέμιοι θεάσονται οὐδὲν φοβούμενοι, εἰδότες, ὅτι ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν· ἐπειδάν τε μηδὲν ποιήσαντες ἀπίωμεν, πάλιν καθορῶντες ἡμῶν τὸ πλῆθος πολὺ ἐνδεέστερον τοῦ ἑαυτῶν καταφρονήσουσι, καὶ αὔριον ἐξίασι πολὺ ἐῤῥωμενεστέραις ταῖς γνώμαις. Νῦν δ', ἔφη, εἰδότες μὲν, ὅτι πάρεσμεν, 32 οὐχ ὁρῶντες δὲ ἡμᾶς, εὖ τοῦτο ἐπίστω, οὐ καταφρονοῦσιν, ἀλλὰ φροντίζουσι, τί ποτε τοῦτ' ἔστι, καὶ διαλεγόμενοι περὶ ἡμῶν ἐγῷδ' ὅτι οὐδὲν παύονται. Ὅταν δ' ἐξίωσι, τότε δεῖ αὐτοῖς ἅμα φανερούς τε ἡμᾶς γενέσθαι, καὶ ἰέναι εὐθὺς ὁμόσε, εἰληφότας αὐτοὺς ἔνθα πάλαι ἐβουλόμεθα. Λέξαντος δὲ οὕτω Κύρου, 33 συνέδοξε ταῦτα καὶ Κυαξάρῃ καὶ τοῖς ἄλλοις. Καὶ τότε μὲν δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, καὶ πυρὰ πολλὰ πρὸ τῶν φυλακῶν καύσαντες ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ πρωῒ Κῦρος μὲν ἐστεφανω- 34 μένος ἔθυε, παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις ὁμοτίμοις ἐστεφανωμένοις πρὸς τὰ ἱερὰ παρεῖναι. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ θυσία, συγκαλέσας αὐτοὺς ἔλεξεν·

Ἄνδρες, οἱ μὲν θεοί, ὡς οἵ τε μάντεις φασί, καὶ ἐμοὶ συνδοκεῖ, μάχην ἔσεσθαι προαγγέλλουσι, καὶ νί-

§. 32. ἐγῷδ'] G. apud Fischerum, εὖ οἶδ' vel ἐγὼ εὖ οἶδ' codd. alii.

§. 33. φυλακὰς – φυλακῶν] etiam Vat. pro φύλακας – φυλάκων.

καθορῶντες – καταφρονήσουσι] despicientes de castris numero nos multo inferiores esse ipsis contemnent. Etenim καθορᾶν proprium de iis, qui inferius versantes despiciunt, ut non sine causa Cyrus eandem praepositionem in καταφρονεῖν iterasse putandus sit.

§. 32. εὖ τοῦτο ἐπίστω] Interponuntur haec verba etiam apud Sophoclem Philoct. 417. ed. Herm. οὐ δῆτ'· ἐπίστω τοῦτό γ'. Antig. 305. εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω. Cf. Philoct. 1224. 1309, et not. ad II. 1, 8.

ἐβουλόμεθα] nempe εἰληφέναι αὐτούς. Didicerat hoc strategema Cyrus a patre I. 6, 35. φανεροὺς σοι ὄντας ἀφανὴς αὐτὸς ὢν ἐκείνοις – ὑποδέξῃ.

§. 34. ἐστεφανωμένος] »Persa, dum sacra faciebat, erat ἐστεφανωμένος τὸν τιάραν μυρσίνῃ μάλιστα et suis victima corollis erat exornata.« Valckenaer. ad Herodt. I. 132. Coronati Persae etiam Hellespontum transierunt teste eodem VII. 55.

ὡς οἵ τε μάντεις φασί] Magos et h. l. et §. 22. intelligunt, qui Medorum erant, non Persarum; vereor, ne iniuria. Nam Magos demum VIII. 1, 23. introduxisse

κην διδόασι, καὶ σωτηρίαν ὑπισχνοῦνται ἐν τοῖς ἱεροῖς.
35 Ἐγὼ δὲ ὑμῖν μὲν παραινῶν, ποίους τινὰς χρὴ εἶναι ἐν τῷ τοιῷδε, κἂν αἰσχυνοίμην ἄν· οἶδα γὰρ ὑμᾶς ταῦτὰ ἐπισταμένους, καὶ μεμελετηκότας καὶ ἀκηκοότας καὶ ἀκούοντας διὰ τέλους οἷάπερ ἐγώ, ὥςτε κἂν ἄλλους εἰκότως ἂν διδάσκοιτε. Τάδε δὲ εἰ μὴ τυγχάνετε κατανε-
36 νοηκότες, ἀκούσατε· Οὓς γὰρ νεωστὶ συμμάχους τε ἔχομεν, καὶ πειρώμεθα ἡμῖν αὐτοῖς ὁμοίους ποιεῖν, τούτους δὲ ἡμᾶς δεῖ ὑπομιμνήσκειν, ἐφ' οἷς τε ἐτρεφόμεθα ὑπὸ Κυαξάρου, ἅ τε ἠσκοῦμεν, ἐφ' ἅ τε αὐτοὺς παρακεκλήκαμεν, ὧν τε ἄσμενοι ἀνταγωνισταὶ ἔφασαν ἡμῖν
37 ἔσεσθαι. Καὶ τοῦτο δὲ αὐτοὺς ὑπομιμνήσκετε, ὅτι ἤδε

§. 34. *καὶ νίκην διδόασι*] Temere damnavit Bothius, postea scribens *προςυπισχνοῦνται* cum Mureto.

§. 35. *κἂν αἰσχυνοίμην ἄν*] *κἂν* ex A. B. G. accessit.

ταὐτὰ ἐπιστ. καὶ μεμ.] *ταῦτα ἐπίσης ἐμοὶ ἐπιστ. καὶ ταῦτα μεμ.* vetusta est scriptura, quam librorum ope etiam sic refingere licet: *ταὐτὰ ἐμοὶ ἐπιστ. καὶ ταὐτὰ μεμ.*

§. 36. *τούτους δέ*] A. B. G. pro *τούτους δή*. Cf. ad II. 3, 19.

videtur Cyrus, usus adhuc iis sacerdotibus, qui Persarum fuerant communes I. 6, 2., quosque manifestum est Cyro in bellum proficiscenti comites fuisse additos. Cum his neutiquam pugnat Heeren, Ideen Vol. I. P. I. p. 455 sqq. ed. 4.

ὑπισχνοῦνται] Adiectum hoc propter *ἐν τοῖς ἱεροῖς*, quae verba necessaria erant. Sed »Coacervatio verborum, inquit Matthiae ad Ciceron. Catil. or. II. init., idem significantium signum est animi laetitia exsultantis et dubitantis, quo verbo aptissime sensa sua exprimat.«

§. 35. *ὑμῖν μέν*] Vocula *μέν* docet Cyrum §. 36. dicere voluisse *Οὓς δὲ νεωστί*: consilium ut mutaret, effecerunt verba proxime praegressa. Cf. Rost. §. 134. 5. b. *γ*. p. 531.

διὰ τέλους] per omne tempus, assidue, i. q. *ἀκούοντας διατελοῦντας*.

§. 36. *ἐφ' οἷς τε ἐτρεφόμεθα*] qua lege alebamur, nempe ut contra hostes nos fortes geramus. Imperfecto utitur, quia in hostili terra nunc versabantur neque amplius Cyaxaris sumtibus sustentabantur.

ἅ τε ἠσκοῦμεν] et quae exercebamus, nempe ut cominus hostes adoriri possimus.

ὧν τε ἄσμενοι – ἔσεσθαι] et quibus de rebus promptos se nobis futuros esse aemulos dicebant. Hieron. IV. 1.(6.) *Τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὐτῷ τοῦ πλούτου εἶναι.* Demosth. Phil. p. 70. v. 6. *τοῦτον (τοῦ ἄρχειν) ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς.*

§. 37. *τοῦτο δὲ αὐτοὺς ὑπομιμνήσκετε*] Male olim legebatur *τούτου* pro *τοῦτο*, vid. Schneid. ad Memorab. III. 5, 9. Matth. §. 325. p. 445. et Rost. §. 104. 6, 11.

ἡ ἡμέρα δείξει, ὧν ἕκαστός ἐστιν ἄξιος. Ὧν γὰρ ἂν
ὀψιμαθεῖς ἄνθρωποι γένωνται, οὐδὲν θαυμαστὸν, εἴ
τινες αὐτῶν καὶ τοῦ ὑπομιμνήσκοντος δέοιντο· ἀλλ' ἀγα-
πητὸν, εἰ καὶ ἐξ ὑποβολῆς δύναιντ' ἂν ἄνδρες ἀγαθοὶ
εἶναι. Καὶ ταῦτα μέντοι πράττοντες ἅμα καὶ ὑμῶν αὐ- 38
τῶν πεῖραν λήψεσθε. Ὁ μὲν γὰρ δυνάμενος ἐν τῷ
τοιῷδε καὶ ἄλλους βελτίους ποιεῖν, εἰκότως ἂν ἤδη καὶ
ἑαυτῷ συνειδείη τελέως ἀγαθὸς ἀνὴρ ὤν· ὁ δὲ τὴν τού-
των ὑπόμνησιν αὐτὸς μόνος ἔχων, καὶ τοῦτ' ἀγαπῶν,
εἰκότως ἂν ἡμιτελῆ αὐτὸν νομίζοι. Τούτου δ' ἕνεκα 39
οὐκ ἐγώ, ἔφη, αὐτοῖς λέγω, ἀλλὰ ὑμᾶς κελεύω λέγειν,
ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶνται· ὑμεῖς γὰρ καὶ πλησιά-
ζετε αὐτοῖς, ἕκαστος τῷ ἑαυτοῦ μέρει. Εὖ δ' ἐπίστα-
σθε, ὡς, ἢν θαρσοῦντας τούτοις ὑμᾶς αὐτοὺς ἐπιδει-
κνύητε, καὶ τούτους καὶ ἄλλους πολλοὺς οὐ λόγῳ,
ἀλλ' ἔργῳ θαρσεῖν διδάξετε. Τέλος εἶπεν ἀπιόντας ἀρι- 40
στᾶν ἐστεφανωμένους, καὶ σπονδὰς ποιησαμένους ἥκειν

§. 37. ὑπομιμνήσκοντος δέοιντο] alii ὑπομνήσοντος δέονται.

§. 39. τούτοις] Deest in M. V. Alt. m. Vict., recte.

Ὧν γὰρ ἂν ὀψ. – ἀγαθοὶ εἶναι] quae enim homines sero didicerint, in his minime mirum, si admonitore indigeant, sed satis esse debet, si aliorum etiam monitis adiuti possint sese optimos praestare. Gabriel.

ἐξ ὑποβολῆς] suggerendo interpretatur Schaefer. ad Eurip. Orest. 905. ed. tert. De εἰ δύναιντ' ἂν cf. annot. ad Conviv. p. 101 sq.

§. 38. καὶ ἑαυτῷ] i. e. cum aliis optimus videbitur, tum sibi merito iam conscius fuerit plane bonum se esse hominem. Simili modo in comparationibus post ὥσπερ et οὕτω iteratur copula, ut ad I. 6, 12. observavimus.

ὁ δὲ τὴν τούτων ὑπόμνησιν – ἀγαπῶν] qui vero harum rerum praecepta sibi soli retinet, eoque contentus est. Illa αὐτὸς μόνος explicent Wolf. ad Demosth. Leptin. p. 303. et Ast. ad Platon. Legg. p. 27. sq., modo ne pleonasmum in his verbis inesse credas, atque ἀγαπᾶν Viger. p. 221.

§. 39. ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶνται] Transpositi καί mentionem fecimus ad c. 2, 26.

§. 40. σπονδὰς ποιησαμένους] Persae, inquit Herodt. I. 132. οὔτε βωμοὺς ποιεῦνται, οὔτε πῦρ ἀνακαίουσι, μέλλοντες θύειν· οὐ σπονδῇ χρέωνται, sed VII. 54. antequam Persarum exercitus Hellespontum transiret, σπένδων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν εὔχετο πρὸς

εἰς τὰς τάξεις αὐτοῖς στεφάνοις. Ἐπεὶ δὲ οὗτοι ἀπῆλθον, αὖθις τοὺς οὐραγοὺς προσεκάλεσε, καὶ τούτοις αὖ τοιάδε ἐνετέλλετο·

41 Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ τῶν ὁμοτίμων γεγόνατε, καὶ ἐπιλελεγμένοι ἐστέ, οἳ δοκεῖτε τὰ μὲν ἄλλα τοῖς κρατίστοις ὅμοιοι εἶναι, τῇ δ' ἡλικίᾳ καὶ φρονιμώτεροι. Καὶ τοίνυν χώραν ἔχετε οὐδὲν ἧττον ἡμῶν ἔντιμον τῶν προστατῶν· ὑμεῖς γὰρ ὄπισθεν ὄντες τούς τ' ἀγαθοὺς ἂν ἐφορῶντες καὶ ἐπικελεύοντες αὐτοῖς ἔτι κρείττους ποιοῖτε, καὶ εἴ τις μαλακίζοιτο, καὶ τοῦτον ὁρῶντες

42 οὐκ ἂν ἐπιτρέποιτε αὐτῷ. Συμφέρει δ' ὑμῖν, εἴπερ τῳ καὶ ἄλλῳ, τὸ νικᾶν, καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὸ βάρος τῆς στολῆς. Ἢν δ' ἄρα ὑμᾶς καὶ οἱ ἔμπροσθεν ἀνακαλοῦντες ἕπεσθαι παρεγγυῶσιν, ὑπακούετε αὐτοῖς, καί, ὅπως μηδ' ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε, ἀντιπα-

§. 40. αὖθις τοὺς] αὐτοὺς τούς A. B. G. Fort. εὐθὺς τούς, quanquam αὖθις est vicissim.

τὸν ἥλιον – εὐξάμενος δὲ ἐσέβαλε τὴν φιάλην ἐς τὸν Ἑλλήσποντον καὶ χρύσεον κρητῆρα. Cf. II. 3, 1.

αὐτοῖς στεφάνοις] cum ipsis coronis interprete Gabr. Vid. Lobeck. ad Phrynich. p. 99 sqq.

§. 41. χώραν ἔχετε – προστατῶν] Eadem brevitate Latini: locum tenetis nihilo minus honestum nobis in prima acie stantibus. Vid. Matth. §. 453. p. 629 sq. Ad Cyri sententiam illustrandam faciunt verba Hipparch. II. 5. Τὸν μέντοι ἀφηγούμενον ἐκ παντὸς τρόπου δεῖ ἱκανὸν ἄνδρα καθιστάναι. Ἀγαθὸς γὰρ ὤν, εἴτε ποτὲ δέοι ἐπὶ πολεμίους ἐλαύνειν, ἐγκελεύων ῥώμην ἂν ἐμβάλλοι τοῖς ἔμπροσθεν, εἴτ' αὖ καὶ ἀποχωρεῖν καιρὸς συμβαίνοι, φρονίμως ἀφηγούμενος μᾶλλον ἄν, ὡς τὸ εἰκός, σώζοι τοὺς φυλέτας.

§. 42. διὰ τὸ βάρος τῆς στολῆς] propter pondus armorum, i. e. propter gravia, quibus ornati estis, arma.

καί, ὅπως μηδ' – πολεμίους] ut ne in hac quidem re iis inferiores futuri sitis, etiam vicissim illos cohortantes, ut celerius ducant in hostes. Sic locum intelligunt inde a Weiskii aetate; Zeunius enim legerat αὐτοῖς· καί, ὅπως μηδ' ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε ἀντιπαρ. αὐτοῖς, θᾶττον etc. et videte, ne hac in parte eis sitis inferiores, nimirum in eis vicissim adhortandis, ut maiori cum celeritate adversus hostes praeeundo ducant. Cf. §. 59. Simplicius fortasse fuerit ante participium ἀντιπαρακελευόμενοι cogitatione repetere ἕπεσθε: huc enim redit vis verborum ὑπακούετε αὐτοῖς. De ὅπως μή ad indicativum futuri appositis ne dubites, cf. Schaefer. Apparat. Demosth. II. p. 353.

ρακελευόμενοι αὐτοῖς θᾶττον ἡγεῖσθαι ἐπὶ τοὺς πολε-
μίους. Καὶ ἀπιόντες, ἔφη, ἀριστήσαντες καὶ ὑμεῖς
ἥκετε σὺν τοῖς ἄλλοις ἐστεφανωμένοι εἰς τὰς τάξεις. Οἱ 43
μὲν δὴ ἀμφὶ Κῦρον ἐν τούτοις ἦσαν· οἱ δ' Ἀσσύριοι
καὶ δὴ ἠριστηκότες ἐξῄεσάν τε θρασέως, καὶ παρετάσ-
σοντο ἐῤῥωμένως. Παρέτασσε δὲ αὐτοὺς αὐτὸς ὁ βα-
σιλεύς, ἐφ' ἅρματος παρελαύνων, καὶ τοιάδε παρεκε-
λεύετο·

Ἄνδρες Ἀσσύριοι, νῦν δεῖ ἄνδρας ἀγαθοὺς εἶναι. 44
Νῦν γὰρ ὑπὲρ ψυχῶν τῶν ὑμετέρων ὁ ἀγών, καὶ ὑπὲρ
γῆς, ἐν ᾗ ἔφυτε, καὶ ὑπὲρ οἴκων, ἐν οἷς ἐτράφητε, καὶ
περὶ γυναικῶν δὲ καὶ περὶ τέκνων, καὶ περὶ πάντων ὧν
πέπασθε ἀγαθῶν. Νικήσαντες μὲν γὰρ ἁπάντων τού-
των ὑμεῖς, ὥςπερ πρόσθεν, κύριοι ἔσεσθε· εἰ δὲ ἡττη-

§. 42. *ἡγεῖσθαι*] *ἡγεῖσθε* quidam codd., quae corruptio vide ne in causa fuerit, cur antegressum *ἀντιπαρακελεύεσθε* mutaretur.

§. 44. *περὶ τέκνων*] *περί* servaverant A. B. G. m. Vill.

πέπασθε] *κέκτησθε* alii. Cf. Ind. ad Anab. p. 656 sq. Sequens *ὑμεῖς* deest in Vat.

Καὶ ἀπιόντες, ἔφη, ἀρ. καὶ ὑμεῖς ἥκετε] Atque abite, inquit, et pransi vos quoque accedite.

§. 43. *καὶ δὴ ἠριστηκότες*] cum iam prandissent. Gabriel. Contra Cyrus spe victoriae elatus modo iusserat suos prandere.

ἐφ' ἅρματος παρελαύνων] Sic Cyrus minor, Graecorum copias lustraturus Anab. I. 2, 16. *Ἐθεώρει – τοὺς Ἕλληνας, παρελαύνων ἐφ' ἅρματος*. Curt. III. 11, 7. *Darius curru sublimis eminebat*, qui ibidem IV. 14, 26. *Ipse*, inquit, *non patrio more solum, sed etiam ut conspici possim, curru vehor, nec recuso, quo minus imitemini me, sive fortitudinis exemplum, sive ignaviae fuero.*

§. 44. *ὑπὲρ ψυχῶν τῶν ὑμετέρων*] »Qui dicit *περί τινος θνήσκειν*, hoc dicit, *mori ratione alicuius habita* i. e. propter eum: qui *θν. ὑπέρ τινος*, *mori ad alterum servandum.* Utrumque, si sensum spectas, idem est; sed idem sensus diversa ratione explicatus. Eadem ratio est locutionum *μάχεσθαι, ἀμύνεσθαι περὶ πατρίδος.*« Matthiae in Addend. ad Eurip. Alcest. p. 506. neque secus ad Phoeniss. 1326. Nihil contra Schaefero ad Demosth. Orat. Olynth. I. p. 189 sq. inter utramque praepositionem interesse videtur, nisi quod *περί* usu frequentissimo teratur, multo rarius usurpetur *ὑπέρ*.

καὶ περὶ γυναικῶν δέ] Tyrtaeus I. 13. *θυμῷ γῆς πέρι τῆςδε μαχώμεθα, καὶ περὶ παίδων θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.*

ὥςπερ πρόσθεν] scil. *ἦστε*. Anab. III. 2, 26. *πάντα ταῦτα τἀγαθὰ δηλονότι τῶν κρατούντων ἐστί.* ibid. §. 39. *τῶν γὰρ*

θήσεσθε, εὖ ἴστε, ὅτι παραδώσετε ταῦτα πάντα τοῖς
45 πολεμίοις. Ἅτε οὖν νίκης ἐρῶντες, μένοντες μάχεσθε.
Μωρὸν γὰρ τὸ κρατεῖν βουλομένους τὰ τυφλὰ τοῦ σώ-
ματος καὶ ἄοπλα καὶ ἄχειρα ταῦτα ἐναντία τάττειν τοῖς
πολεμίοις φεύγοντας. Μωρὸς δὲ καὶ εἴ τις ζῆν βου-
λόμενος φεύγειν ἐπιχειροίη, εἰδὼς, ὅτι οἱ μὲν νικῶντες
σώζονται, οἱ δὲ φεύγοντες ἀποθνήσκουσι μᾶλλον τῶν
μενόντων. Μωρὸς δὲ καὶ εἴ τις χρημάτων ἐπιθυμῶν
ἧτταν προσίεται. Τίς γὰρ οὐκ οἶδεν, ὅτι οἱ μὲν νικῶν-
τες τά τε ἑαυτῶν σώζουσι, καὶ τὰ τῶν ἡττωμένων προσ-
λαμβάνουσιν, οἱ δ' ἡττώμενοι ἅμα ἑαυτούς τε καὶ τὰ
46 ἑαυτῶν πάντα ἀποβάλλουσιν; Ὁ μὲν δὴ Ἀσσύριος ἐν
τούτοις ἦν.

Ὁ δὲ Κυαξάρης πέμπων πρὸς τὸν Κῦρον ἔλεγεν, ὅτι ἤδη καιρὸς εἴη ἄγειν ἐπὶ τοὺς πολεμίους· εἰ γὰρ νῦν, ἔφη, ὀλίγοι ἔτι εἰσὶν οἱ ἔξω τοῦ ἐρύματος, ἐν ᾧ ἂν προσίωμεν, πολλοὶ ἔσονται· μὴ οὖν ἀναμείνωμεν, ἕως ἂν πλείους ἡμῶν γένωνται, ἀλλ' ἴωμεν, ἕως ἂν ἔτι οἰώ-

§. 45. ἐπιχειροίη] ἐπιχειρεῖ Vat.
§. 46. ἕως ἂν ἔτι οἰώμεθα] ἕως ἔτι οἰόμεθα Schneid.

νικώντων ἐστὶ καὶ τὰ ἑαυτῶν σώζειν καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν. Adde III. 2, 28. Cyrop. II. 3, 2. 1, 17. V. 2, 23.

§. 45. μένοντες μάχεσθε] Gabriel. constantissime pugnate; imo manete et pugnate, inepte sane, quasi praevidisset Assyrios, impetu Persarum non tolerato, fugam capessituros esse. Cuiusmodi ineptias ut legentes riderent, hanc orationem scriptor operi inseruit.

τὰ τυφλὰ – καὶ ἄχειρα] τυφλά, quae providere nihil possunt, ἄοπλα sine armis, quod pectus clipeo tegatur, et ἄχειρα, quae agere gerereque aliquid nequeunt. Sic iam Camerarius. Recentiores compararunt Sallust. Iug. 107. *nec quemquam decere, qui manus armaverit, ab inermis pedibus auxilium petere, in maximo metu nudum et caecum corpus ad hostis vortere.*

ἀποβάλλουσιν] ὅτι οὐκ ἔστι μὴ νικῶσι σωτηρία inquit in Anab. VI. 5, 18. Vid. ad §. 44. et Schneid. ad De rep. Laced. IX. 2.

§. 46. ἐν τούτοις ἦν] »Quid valeat hoc loquendi genus, cum alii docere possunt loci, tum vero §. 43. et libri tertii initium. Nescio quae tamen mihi suboritur suspicio legendum hic potius esse ἐν τούτοις τοῖς λόγοις ἦν, ut IV. 4, 1.« Steph. cui fidem non habuerunt Zeun. ad Viger. p. 242. et Heindorf. ad Platon. Phaedon. p. 10.

μεθα εὐπετῶς ἂν αὐτῶν κρατῆσαι. Ὁ δ' αὖ Κῦρος 47
ἀπεκρίνατο· Ὦ Κυαξάρη, εἰ μὴ ὑπὲρ ἥμισυ αὐτῶν
ἔσονται οἱ ἡττηθέντες, εὖ ἴσθι, ὅτι ἡμᾶς μὲν ἐροῦσι
φοβουμένους τὸ πλῆθος τοῖς ὀλίγοις ἐπιχειρῆσαι, αὐτοὶ
δὲ οὐ νομιοῦσιν ἡττῆσθαι· ἀλλ' ἄλλης σοι μάχης δεή-
σει, ἐν ᾗ ἄμεινον ἂν ἴσως βουλεύσαιντο ἢ νῦν βε-
βούλευνται, παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι,
ὥςθ' ὁπόσοις ἂν βουλώμεθα αὐτῶν μάχεσθαι. Οἱ μὲν 48
δὴ ἄγγελοι ταῦτα ἀκούσαντες ᾤχοντο.

Ἐν τούτῳ δὲ ἧκε Χρυσάντας τε ὁ Πέρσης καὶ ἄλλοι τινὲς τῶν ὁμοτίμων, αὐτομόλους ἄγοντες. Καὶ ὁ Κῦρος, ὥςπερ εἰκός, ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν πολεμίων. Οἱ δ' ἔλεγον, ὅτι ἐξίοιέν τε ἤδη σὺν τοῖς ὅπλοις, καὶ παρατάττοι αὐτοὺς αὐτὸς ὁ βασιλεὺς ἔξω ὤν, καὶ παρακελεύοιτο μὲν δὴ τοῖς ἀεὶ ἔξω οὖσι πολλά τε καὶ ἰσχυρά, ὡς ἔφασαν λέγειν τοὺς ἀκούοντας.
Ἔνθα δὴ ὁ Χρυσάντας εἶπε· Τί δ', ἔφη, ὦ Κῦρε, εἰ 49
καὶ σὺ συγκαλέσας, ἕως ἔτι ἔξεστι, παρακελεύσαιο, εἰ
ἄρα τι καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρατιώτας; Καὶ 50
ὁ Κῦρος εἶπεν· Ὦ Χρυσάντα, μηδέν σε λυπούντων

§. 47. παραδόντες ἑαυτοὺς ἡμῖν ταμ.] παραδόντες αὐτοῖς ἡμῖν ταμ. temere coniecit aliquis.

§. 48. μὲν δή] μὲν ἤδη ex codd. dedit Poppo, sed prius tamen uncis inclusum.

§. 47. εἰ μὴ ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται] Articulum frustra desiderabat Schneid. Anab. VI. 2, 10. καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ὅλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί.

παραδόντες ἑαυτοὺς – μάχεσθαι] dum sese nobis tradiderunt dispensandos, ita ut possimus cum maiore minoreve ipsorum parte nostro arbitrio decertare. Vid. not. ad Anab. II. 5, 18.

§. 48. καὶ παρ. μὲν δή] Itidem hae voculae copulantur Anab. V. 2, 13. καὶ οἱ λοχαγοὶ καὶ ὑπολοχαγοὶ καὶ οἱ ἀξιοῦντες τούτων μὴ χείρους εἶναι πάντες παρατεταγμένοι ἦσαν, καὶ ἀλλήλους μὲν δὴ συνεώρων, vertendae, nisi fallor, et vero, et sane. Aliter usurpantur I. 6, 3. IV. 1, 7.

§. 49. εἰ ἄρα τι] Ante haec suppressum puta τίς οἶδεν vel simile aliud. Vid. Matthiae §. 523. 2. p. 745. Nos diceremus: ob wohl auch du, quasi praecessisset: quaero ex te.

§. 50. λυπούντων] Excitavit Matth. §. 198. 1. p. 355. ed. 2.

αἱ τοῦ Ἀσσυρίου παρακελεύσεις· οὐδεμία γάρ ἐστιν οὕτω καλὴ παραίνεσις, ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς αὐθημερὸν ἀκούσαντας ἀγαθοὺς ποιήσει· οὐκ ἂν οὖν τοξότας γε, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν· οὐδὲ μὴν ἀκοντιστάς, οὐδὲ μὴν ἱππέας· ἀλλ' οὐδὲ μὴν τά γε σώματα ἱκανοὺς πονεῖν, ἢν μὴ πρόσθεν ἠσκηκότες ὦσι.
51 *Καὶ ὁ Χρυσάντας εἶπεν, Ἀλλ' ἀρκεῖ τοι, ὦ Κῦρε, εἰ τὰς ψυχὰς αὐτῶν παρακελευσάμενος ἀμείνονας ποιήσεις. Ἦ καὶ δύναιτ' ἄν, ἔφη ὁ Κῦρος, εἷς λόγος ῥηθεὶς αὐθημερὸν αἰδοῦς μὲν ἐμπλῆσαι τὰς ψυχὰς τῶν ἀκουσάντων, ἢ ἀπὸ τῶν αἰσχρῶν κωλῦσαι, προτρέψαι δὲ, ὡς χρὴ ἐπαίνων μὲν ἕνεκα πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύεσθαι, λαβεῖν δ' ἐν ταῖς γνώμαις βεβαίως τοῦτο, ὡς αἱρετώτερόν ἐστι μαχομένους ἀποθνήσκειν μᾶλλον ἢ φεύγοντας σώζεσθαι;*
52 *Ἆρ' οὐκ, ἔφη, εἰ μέλλουσι τοιαῦται διάνοιαι ἐγγραφή-*

§. 50. *ἱππέας· ἀλλ' οὐδὲ μήν*] *ἱππεῖς· οὐδὲ μήν* alii.
ἢν μή] *εἰ μή* Vat. cum edd. vett. quo de cf. ad Anab. III. 1, 36.
§. 51. *εἰ – ἀμείνονας – ποιήσεις*] *εἰ – ποιήσεις* sumtum ex Vat. quocum *ἀμείνονας* exhibuerunt A. B. G. Alt. *ἐὰν – ἀμείνους – ποιήσῃς* vulgatur.

οὕτω καλὴ παραίνεσις, ἥτις] VI. 1, 14. *Τίς οὖν οὕτως ἀγαθός, ἢ τίς οὕτως ἰσχυρός, ὃς λιμῷ καὶ ῥίγει δύναιτ' ἂν μαχόμενος στρατεύεσθαι;* Conviv. IV. 40. *οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον, ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι.* Schaefer. ad Demosth. Orat. de male gesta legat. p. 376. v. 7.

ἀγαθοὺς ποιήσει] Thucyd. V. 69. *Λακεδαιμόνιοι – εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώζουσαν ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν.* Sallust. B. Catil. cap. 60. ed. Frotsch. *Compertum ego habeo, milites, verba virtutem non addere; neque ex ignavo strenuum, neque fortem ex timido exercitum oratione imperatoris fieri.*

τοῦτο μεμελ.] sc. *τὸ τοξεύειν*, quae notio inest in *τοξότας*. Cf. ad I. 3, 16.

τά γε σώματα ἱκανοὺς πονεῖν] h. e. *τά γε σώματα ἔχοντας ἱκανὰ (ὥστε) πονεῖν (αὐτοῖς) ἀγαθοὺς ποιήσειεν ἡ παραίνεσις*, qui corpus habent aptum ad labores (bellicos, opinor) perferendos, istiusmodi cohortatio non reddiderit laborum patientes.

§. 51. *προτρέψαι δὲ, ὡς – ὑποδύεσθαι*] et adducere, ut existiment esse sibi gloriae causa omnes labores, omniaque pericula suscipienda. Gabr. Cf. not. ad I. 2, 1.

σεσθαι ἀνθρώποις, καὶ ἔμμονοι ἔσεσθαι, πρῶτον μὲν νόμους ὑπάρξαι δεῖ τοιούτους, δι' ὧν τοῖς μὲν ἀγαθοῖς ἔντιμος καὶ ἐλευθέριος ὁ βίος παρασκευασθήσεται, τοῖς δὲ κακοῖς ταπεινός τε καὶ ἀλγεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται; Ἔπειτα δὲ διδασκάλους, οἶμαι, δεῖ 53
καὶ ἄρχοντας ἐπὶ τούτοις γενέσθαι, οἵτινες δείξουσί τε ὀρθῶς καὶ διδάξουσι καὶ ἐθιοῦσι ταῦτα δρᾷν, ἔςτ' ἂν ἐγγένηται αὐτοῖς τοὺς μὲν ἀγαθοὺς καὶ εὐκλεεῖς εὐδαιμονεστάτους τῷ ὄντι νομίζειν, τοὺς δὲ κακοὺς καὶ δυςκλεεῖς ἀθλιωτάτους ἁπάντων ἡγεῖσθαι. Οὕτω γὰρ δεῖ διατεθῆναι τοὺς μέλλοντας τοῦ ἀπὸ τῶν πολεμίων φόβου τὴν μάθησιν κρείττονα παρέξεσθαι. Εἰ δέ τοι, 54
ἰόντων εἰς μάχην σὺν ὅπλοις, ἐν ᾧ πολλοὶ καὶ τῶν παλαιῶν μαθημάτων ἐξίστανται, ἐν τούτῳ δυνήσεταί τις ἀποῤῥαψῳδήσας παραχρῆμα ἄνδρας πολεμικοὺς ποιῆσαι, πάντων ἂν ῥᾷστον εἴη καὶ μαθεῖν καὶ διδάξαι τὴν μεγίστην τῶν ἐν ἀνθρώποις ἀρετήν. Ἐπεὶ ἔγωγ', ἔφη, 55
οὐδ' ἂν τούτοις ἐπίστευον ἐμμόνοις ἔσεσθαι, οὓς νῦν

§. 52. *ἐγγραφήσεσθαι*] Deteriores libri *ἐντραφήσεσθαι* et *ἐγγενήσεσθαι*.

§. 53. *μάθησιν*] *μάχην* libri optimi; *ψυχήν* maluit Schneid.

§. 55. *ἐμμόνοις*] Fortasse *ἐμμενετικοῖς* Schneid. voluit.

§. 52. *τοιαῦται διάν. ἐγγραφήσεσθαι ἀνθρ. καὶ ἔμμονοι ἔσεσθαι*] Debebat dici *ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς*, quae constans est Graecorum Latinorumque dicendi ratio, illustrata ab Ruhnken. ad Terent. Andr. I. 5, 47., nec vero *ἐντραφήσεσθαι*, quod Brownio placuit, admitti potest, nisi scripseris *τοιαύταις διανοίαις ἐντραφ. ἄνθρωποι*. Vid. Wyttenb. ad Plutarch. O. M. p. 280.

§. 53. *Οὕτω γὰρ δεῖ – παρέξεσθαι*] Hac enim mente eos esse decet, quibus potior sit futura disciplina, quam hostium metus. Gabr. »Est, inquit Schneid, praecepta diligenti disciplina tradita, et diuturna exercitatione percepta factorum exemplis comprobare et exsequi, nec pati, ut timor hostium et instantis proelii sibi praecepta omnia subito excutiat « Persarum haec instituta erant Cyrique, ut et duces haberent ad virtutem I. 2, 6sqq., et ignavis fortes praeferrentur II. 3, 4 sqq.

§. 54. *ἰόντων*] sc. *αὐτῶν, τῶν στρατιωτῶν*. Vid. ad I. 4, 18. Ceterum ipsa oratio quamvis vera praecipiat, tamen aliquanto copiosior est quam res postulabat.

§. 55. *τούτοις ἐπίστευον ἐμμόνοις ἔσεσθαι*] Non dissimilis attractio ad II. 2, 12. commemorabatur.

ἔχοντες παρ' ἡμῖν αὐτοῖς ἠσκοῦμεν, εἰ μὴ καὶ ὑμᾶς ἑώρων παρόντας, οἳ καὶ παραδείγματα αὐτοῖς ἔσεσθε, οἵους χρὴ εἶναι, καὶ ὑποβαλεῖν δυνήσεσθε, ἤν τι ἐπιλανθάνωνται. Τοὺς δ' ἀπαιδεύτους παντάπασιν ἀρετῆς θαυμάζοιμ' ἄν, ἔφη, ὦ Χρυσάντα, εἴ τι πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν ἢ τοὺς ἀπαιδεύτους μουσικῆς ᾆσμα μάλα καλῶς ᾀσθὲν εἰς μουσικήν.

Magno animo Persae impetum faciunt in Assyrios, qui, amissis suorum multis, in castra repelluntur.

56 Οἱ μὲν ταῦτα διελέγοντο. Ὁ δὲ Κυαξάρης πάλιν πέμπων ἔλεγεν, ὅτι ἐξαμαρτάνοι διατρίβων, καὶ οὐκ ἄγων ὡς τάχιστα ἐπὶ τοὺς πολεμίους. Καὶ ὁ Κῦρος ἀπεκρίνατο δὴ τότε τοῖς ἀγγέλοις· Ἀλλ' εὖ μὲν ἴστω, ἔφη, ὅτι οὔπω εἰσὶν ἔξω ὅσους δεῖ, καὶ ταῦτα ἀπαγγέλλετε αὐτῷ ἐν ἅπασιν· ὅμως δέ, ἐπεὶ ἐκείνῳ δοκεῖ,
57 ἄξω ἤδη. Ταῦτα εἰπών, καὶ προσευξάμενος τοῖς θεοῖς, ἐξῆγε τὸ στράτευμα. Ὡς δ' ἤρξατο ἄγειν θᾶττον, ὁ μὲν ἡγεῖτο, οἱ δ' εἵποντο εὐτάκτως μὲν διὰ τὸ ἐπίστασθαι καὶ μεμελετηκέναι ἐν τάξει πορεύεσθαι· ἐῤῥωμένως δὲ διὰ τὸ φιλονείκως ἔχειν πρὸς ἀλλήλους, καὶ διὰ τὸ τὰ σώματα ἐκπεπονῆσθαι, καὶ διὰ τὸ πάντας ἄρχοντας τοὺς

μάλα καλῶς] *μάλα* ex A. B. G. Vat. al. receptum concinnitati officit.

§. 57. *τοῖς θεοῖς*] *αὐτοῦ*, quod ab aliis additum ad seqq. trahitur, noli reddere illico, quasi esset *αὐτίκα*.

τοὺς δ' ἀπαιδ. παντάπασιν ἀρετῆς] qui virtutis, fortitudinis, prorsus expertes sunt: nam ad praegressum adiectivum pertinet adverbium.

εἴ τι πλέον – ἀνδραγαθίαν] si quid eos oratio quamvis luculenta ad virtutem assequendam plus posset adiuvare. §. 37. *ἀγαπητὸν, εἰ καὶ ἐξ ὑποβολῆς δύναιντ' ἂν ἄνδρες ἀγαθοὶ εἶναι*, ubi vid. not.

§. 56. *ἐν ἅπασιν*] coram omnibus etiam interpres, atque ita tum Xenophon locis bene multis, tum Herodt. VII. 8. *ἵνα ἐν πᾶσι εἴπῃ τὰ θέλει*; verum alio sensu eadem formula I. 6, 20. legitur.

§. 57. *Ὡς δ' ἤρξατο ἄγειν θᾶττον, ὁ μὲν ἡγ.*] Quum primum educere coepisset, hic quidem praeibat, i. e. statim ab initio praeibat. Vid. not. ad I. 3, 2. et III. 3, 20.

προτοστάτας εἶναι· ἡδέως δὲ διὰ τὸ φρονίμως ἔχειν· ἠπίσταντο γάρ, καὶ ἐκ πολλοῦ οὕτως ἐμεμαθήκεσαν, ἀσφαλέστατον εἶναι καὶ ῥᾷστον τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις, ἄλλως τε καὶ τοξόταις καὶ ἀκοντισταῖς καὶ ἱππεῦσιν. Ἕως δ' ἔτι ἔξω βελῶν ἦσαν, παρηγγύα ὁ Κῦ- 58
ρος σύνθημα, ΖΕΥΣ ΞΥΜΜΑΧΟΣ ΚΑΙ ἩΓΕΜΩΝ. Ἐπεὶ δὲ πάλιν ἧκε τὸ σύνθημα ἀνταποδιδόμενον, ἐξῆρχεν αὖ ὁ Κῦρος παιᾶνα τὸν νομιζόμενον· οἱ δὲ θεοσεβῶς πάντες συνεπήχησαν μεγάλῃ τῇ φωνῇ· ἐν τῷ τοιούτῳ γὰρ δὴ οἱ δεισιδαίμονες ἧττον τοὺς ἀνθρώπους φοβοῦνται. Ἐπεὶ δ' ὁ παιὰν ἐγένετο, 59
ἅμα πορευόμενοι οἱ ὁμότιμοι φαιδροί, πεπαιδευμένοι,

ῥᾷστον] Ne quis ἄριστον legendum putet, obstat locus II. 3, 19 sq.

§. 58. αὖ ὁ Κῦρος] ὁ Κῦρος αὖ διοςκόροις Vat.

οἱ δεισιδαίμονες ἧττον] Vat. οἱ δεισιδαίμονές εἰσι ducit ad scripturam οἳ δεισ. εἰσιν, ἧττον.

§. 59. πεπαιδευμένοι] ἅτε πεπαιδ. Both. non male.

προτοστάτας] Hipparch. II. 6. οἱ δ' αὐτοὶ ἄνδρες ὅταν ἄρχωσι, μᾶλλόν πως οἴονται ἑαυτοῖς προςήκειν τι καλὸν ποιεῖν, ἢ ὅταν ἰδιῶται ὦσιν. Adde quae ibi subiiciuntur, quaeque Schneid. ad De rep. Laced. XI. 5. exposuit.

§. 58. σύνθημα] »Ergo Persis, ut Graecis, tribuitur tessera ore et voce tradita, non, ut apud Romanos, tabella. Cum tessera per universum exercitum vulgata ad ultimum extremi agminis militem pervenisset, reddebatur, ut opinor, eadem imperatori per ὑπηρέτην. Vid. ad II. 1, 31.« Weiske. Ministris his nescio an nihil opus fuerit, si, qui miles extremum alterius utrius cornu locum occupavit, verba a duce accepta cum vicino communicavit, isque proximo cuique insusurravit, donec ad postremum contrarii cornu militem pervenissent, qui post se stanti militi non video quidni symbolum eo consilio tradere potuerit, alter ut alteri similiter indicaret. Qua ratione quum per omnes ordines tessera percurrisset, probabile est eam contrario ordine ad ducem rediisse. Cf. Anab. I. 8, 16.

παιᾶνα] in honorem Martis, vel Apollinis, vid. C. O. Mueller. Dor. P. I. p. 298.

ἐν τῷ τοιούτῳ — φοβοῦνται] tali enim tempore, quo in deos hymni canuntur, reverentia deorum imbuti minus homines metuunt, i. e. hymni fortiores reddunt homines.

§. 59. οἱ ὁμότιμοι φ., πεπαιδευμένοι] homotimi alacres, eruditi, sc. arte ordinis servandi. Sic vulgo explicant, quae etiam propterea displicent, quod homotimi soli ut fortes laudantur. Malim igitur προ. φαιδροὶ οἱ πεπαιδευμένοι, qua voce etiam ii comprehendantur, qui ex plebe in homotimorum numerum admissi gravibus armis pugnare didicerant.

καὶ παρορῶντες εἰς ἀλλήλους, ὀνομάζοντες παραστάτας,
ἐπιστάτας, λέγοντες πολὺ τὸ Ἄγετε, ἄνδρες φίλοι,
Ἄγετ', ἄνδρες ἀγαθοί, παρεκάλουν ἀλλήλους ἕπεσθαι.
Οἱ δ' ὄπισθεν, αὐτῶν ἀκούσαντες, ἀντιπαρεκελεύοντο
τοῖς πρώτοις ἡγεῖσθαι ἐῤῥωμένως. Ἦν δὲ μεστὸν τὸ
στράτευμα τῷ Κύρῳ προθυμίας, φιλοτιμίας, ῥώμης,
θάρσους, παρακελευσμοῦ, σωφροσύνης, πειθοῦς·
60 ὅπερ οἶμαι δεινότατον τοῖς ὑπεναντίοις. Τῶν δ' Ἀσσυ-
ρίων οἱ μὲν ἀπὸ τῶν ἁρμάτων προμαχοῦντες, ὡς ἐγγὺς
ἤδη προσεμίγνυον τὸ Περσικὸν πλῆθος, ἀνέβαινόν τε
ἐπὶ τὰ ἅρματα, καὶ ὑπεξῆγον πρὸς τὸ ἑαυτῶν πλῆθος·
οἱ δὲ τοξόται καὶ ἀκοντισταὶ καὶ σφενδονῆται αὐ-
61 τῶν ἀφίεσαν τὰ βέλη πολὺ πρὶν ἐξικνεῖσθαι. Ὡς
δ' ἐπιόντες οἱ Πέρσαι ἐπέβησαν τῶν ἀφειμένων βελῶν,
ἐφθέγξατο δὴ ὁ Κῦρος· Ἄνδρες ἄριστοι, ἤδη θᾶττόν
τις ἰὼν ἐπιδεικνύτω ἑαυτόν, καὶ παρεγγυάτω. Οἱ μὲν
δὴ παρεδίδοσαν· ὑπὸ δὲ προθυμίας καὶ μένους καὶ
τοῦ σπεύδειν συμμῖξαι δρόμου τινὲς ἦρξαν· συνε-
62 φείπετο δὲ καὶ πᾶσα ἡ φάλαγξ δρόμῳ. Καὶ αὐτὸς
δὲ ὁ Κῦρος, ἐπιλαθόμενος τοῦ βάδην, δρόμῳ ἡγεῖ-

καὶ παρορῶντες] Fort. *καὶ παρορμῶντες ἀλ.*

§. 60. *ὑπεξῆγον*] *ἀνεχώρουν* ante Zeun. Mox *ἠφίεσαν* m. Victor. probante Iacobs. ad Achill. Tat. p. 650.

§. 61. *παρεδίδοσαν*] *τοῦτο* addunt edd.

Οἱ δ' ὄπισθεν] Sunt οἱ *οὐραγοί*, quos Cyrus §. 42. iusserat animum eorum, qui in prioribus ordinibus stabant, cohortando augere. Cf. Schneid. loco §. 57. laudato.

ὅπερ οἶμαι] Vid. Matth. §. 439. p. 610 sq.

§. 60. *οἱ μὲν ἀπὸ τῶν ἁρ. προμαχοῦντες*] i. e. *οἱ μὲν ἀπὸ τῶν ἁρμάτων ἀποβάντες καὶ προμαχοῦντες*. Currus enim in vicinia stabant, quos propugnatores, ut ante primam aciem adversus hostes velitarentur, relinquere et, si fugam capessere vellent, ascendere solebant. Vid. Schneid. ad VI. 1, 30. et corrige not. ad. II. 1, 5.

προσεμίγνυον τὸ Π. πλῆθος] Vid. Matth. §. 301. Rost. §. 100. 4. b.

§. 61. *ἐπέβησαν τῶν ἀφειμένων βελῶν*] accesserunt ad emissa tela aut potius calcarunt tela. Herodt. IV. 125. *ἀπηγόρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων*. Frequens est huius verbi usus ad animum translati, de quo vid. Doederlein et Heller. ad Soph. Oed. Col. 180.

θᾶττόν τις] citius aliquis vel quisque. v. Matth. §. 487. 2.

§. 62. *τοῦ βάδην*] sc. *ἡγεῖσθαι*, quo modo saepius ex sequentibus repetenda, quae anteceden

το· καὶ ἅμα ἐφθέγγετο, Τίς ἕψεται; Τίς ἀγαθός; Τίς πρῶτος ἄνδρα καταβαλεῖ; Οἱ δὲ ἀκούσαντες ταὐτὸ τοῦτο ἐφθέγγοντο· καὶ διὰ πάντων δή, ὥςπερ παρηγγύα, οὕτως ἐχώρει, Τίς ἕψεται; Τίς ἀγαθός; Οἱ μὲν δὴ Πέρ- 63
σαι οὕτως ἔχοντες ὁμόσε ἐφέροντο· οἵ γε μὴν πολέμιοι οὐκέτι ἐδύναντο μένειν, ἀλλὰ στραφέντες ἔφευγον εἰς τὸ ἔρυμα. Οἱ δ' αὖ Πέρσαι, κατὰ τὰς εἰς- 64
όδους ἐφεπόμενοι, ὠθουμένων αὐτῶν πολλοὺς κατεστρώννυσαν· τοὺς δ' εἰς τὰς τάφρους ἐμπίπτοντας ἐπειςπηδῶντες ἐφόνευον, ἄνδρας ὁμοῦ καὶ ἵππους· ἔνια γὰρ τῶν ἁρμάτων εἰς τὰς τάφρους ἠναγκάσθη φεύγοντα ἐμπεσεῖν. Καὶ οἱ τῶν Μήδων δὲ ἱπ- 65
πεῖς, ὁρῶντες ταῦτα, ἤλαυνον εἰς τοὺς ἱππέας τοὺς τῶν πολεμίων· οἱ δ' ἐνέκλιναν καὶ τούτους. Ἔνθα δὴ καὶ ἵππων διωγμὸς ἦν καὶ ἀνδρῶν, καὶ φόνος ἐξ ἀμφοτέρων. Οἱ δ' ἐντὸς τοῦ ἐρύματος τῶν Ἀσσυρίων 66
ἑστηκότες ἐπὶ τῆς κεφαλῆς τῆς τάφρου τοξεύειν μὲν ἢ ἀκοντίζειν εἰς τοὺς κατακαίνοντας οὔτε ἐφρόνουν οὔτε ἐδύναντο, διά τε τὰ δεινὰ ὁράματα καὶ διὰ τὸν φόβον. Τάχα δὲ καὶ καταμαθόντες τῶν Περσῶν τι-

§. 62. ἐφ. Τίς ἕψεται] τίς ἐφέπεται alii, unde ἐφέψεται conficias.

§. 65. καὶ τούτους] καὶ τούτοις Schn.

§. 66. ἢ ἀκοντίζειν] A. B. G. καὶ ἀκοντ. edd.

tium sensui explendo inserviunt.

οἱ δὲ ἀκούσαντες] non hi autem postquam audiverant, sed ii, qui audiverunt.

§. 64. ὠθουμένων αὐτῶν] sc. τῶν Ἀσσυρίων et quidem Gabr. interprete: cum alter alterum impelleret.

εἰς τὰς τάφρους] in fossas, quae aggerem castrorum circumdabant, ut patet ex §. 26 sqq. Ceterum etiam supra I. 4, 23. τοὺς μὲν ἁλισκομένους ἔπαιον καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ πίπτοντας κατέκαινον more admodum inhumano.

§. 65. οἱ δ' ἐνέκλιναν καὶ τούτους] sed hostiles equites hos quoque declinando evitarunt. De hac significatione verbi ἐγκλίνειν vel ἐκκλίνειν monuit Held. Actt. Mon. T. II. P. I. p. 57 sqq. Sunt etiam qui reddiderint: Medorum equites vero etiam hos in fugam verterunt, quam in rem cave ad Brunckium in Apollon. Rhod. I. 63. provoces.

ἐξ ἀμφοτέρων] τῶν ἵππων τε καὶ τῶν ἀνδρῶν, caedebantur et equi et equites.

§. 66. ἐπὶ τῆς κεφαλῆς τῆς τάφρου] in summo aggere eius fossae, quae erat ad introitum.

νας διακεκοφότας πρὸς τὰς εἰςόδους τοῦ ἐρύματος,
67 ἐτράποντο καὶ ἀπὸ τῶν κεφαλῶν τῶν ἔνδον. Ἰδοῦσαι
δὲ αἱ γυναῖκες τῶν Ἀσσυρίων καὶ τῶν συμμάχων ἤδη
φυγὴν καὶ ἐν τῷ στρατοπέδῳ, ἀνέκραγον, καὶ ἔθεον
ἐκπεπληγμέναι, αἱ μὲν καὶ τέκνα ἔχουσαι, αἱ δὲ καὶ
νεώτεραι, καταῤῥηγνύμεναί τε τοὺς πέπλους καὶ δρυ-
πτόμεναι, καὶ ἱκετεύουσι πάντας, ὅτῳ ἐντυγχάνοιεν,
μὴ φεύγειν καταλιπόντας αὐτάς, ἀλλ' ἀμῦναι καὶ αὐ-
68 ταῖς καὶ τέκνοις καὶ σφίσιν αὐτοῖς. Ἔνθα δὴ καὶ
αὐτοὶ οἱ βασιλεῖς σὺν τοῖς πιστοτάτοις στάντες ἐπὶ
τὰς εἰςόδους, καὶ ἀναβάντες ἐπὶ τὰς κεφαλάς, καὶ
69 αὐτοὶ ἐμάχοντο, καὶ τοῖς ἄλλοις παρεκελεύοντο. Ὡς
δ' ἔγνω ὁ Κῦρος τὰ γιγνόμενα, δείσας, μή, καὶ εἰ
βιάσαιντο εἴσω, ὀλίγοι ὄντες ὑπὸ πολλῶν σφαλεῖέν τι,

ἐτράποντο καὶ – ἔνδον] ἐτράποντο, καὶ ἀπὸ τῶν κεφαλῶν ἔφευγον Steph. Zeun.

§. 67. τέκνα] τὰ τέκνα reiiciunt optimi libri. vid. Schaefer. Melet. crit. p. 116 sq.

διακεκοφότας πρὸς τὰς εἰς. τοῦ ἐρ.] perrupisse (durchgebrochen waren) ad portas castrorum.

ἐτράποντο καὶ ἀπὸ τῶν κεφ. τῶν ἔνδον] i. e. ἐτράποντο καὶ ἀπ' ἐκείνης τῆς κεφαλῆς καὶ ἀπὸ τῶν κεφ. τῶν ἔνδον. Ad portas qui in aggere constiterant cur terga verterint, manifestum est, sed etiam ii, qui ceteros in castris interioribus aggeres occuparant, unde per fossas alicubi irruentem hostem propulsarent, quum et suos in media castra fugere et hostes aditum sibi ad portas castrorum vi patefecisse animadvertissent, ab aggeribus recesserunt.

§. 67. *φυγὴν καὶ ἐν τῷ στρατοπέδῳ*] Abest οὖσαν, quod passim observes similiter omissum non a librariis, sed ab ipsis scriptoribus. Memor. I. 5, 1. ἆρ' ὅντιν' ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς ἢ οἴνου ἢ ἀφροδισίων ἢ πόνου ἢ ὕπνου, τοῦτον αἱροίμεθ' ἄν; Soph. Oed. Col. 779. ed. Hell. et Doed. ὥς σε δηλώσω κακόν. v. 1115. ἐπίσταμαι γὰρ τήνδε σὴν ἐς τάςδε μοι τέρψιν, παρ' ἄλλου μηδενὸς πεφασμένην. Eurip. Poeniss. v. 59. Matth. μαθὼν δὲ τἀμὰ λέκτρα.

καταῤῥηγνύμεναί τε] Iunge cum ἐκπεπληγμέναι, et de re cf. III. 1, 13.

καὶ ἱκετεύουσι] Ab imperfecto ἔθεον ad tempus praesens delabitur, quo magis legentes in mediam rem abripiuntur. Conf. Thiersch. §. 289. 4. Matth. §. 503. p. 703. Rost. §. 117. p. 449 sq.

πάντας, ὅτῳ ἐντυγχάνοιεν] Vide ad I. 6, 43. II. 3, 10.

§. 68. *οἱ βασιλεῖς*] Croesus cum ceteris regibus consociatis I. 5, 2., fortasse etiam Assyriorum rex, qui tamen hac in pugna nescio quomodo periisse narratur IV. 1, 8.

§. 69. *καὶ εἰ βιάσαιντο εἴσω*] etiam si in castra vi irru-

παρηγγύησεν ἐπὶ πόδα ἀνάγειν ἔξω βελῶν καὶ πείθεσθαι. Ἔνθα δὴ ἔγνω τις ἂν τοὺς ὁμοτίμους πεπαι- 70
δευμένους ὡς δεῖ· ταχὺ μὲν γὰρ αὐτοὶ ἐπείθοντο, ταχὺ δὲ τοῖς ἄλλοις παρήγγελλον. Ὡς δ' ἔξω βελῶν ἐγένοντο, ἔστησαν κατὰ χώραν, πολὺ μᾶλλον χοροῦ ἀκριβῶς εἰδότες, ὅπου ἔδει ἕκαστον αὐτῶν γενέσθαι.

§. 69. *καὶ πείθεσθαι. Ἔνθα δὴ*] *καὶ φείδεσθαι* **Dind.** **Sufficit** *καὶ ἕπεσθαι*, quocum identidem *πείθεσθαι* confunditur. Cf. IV. 1, 3. Mire Bothius *Καὶ πείθεσθαι ἔνθα δὴ ἔγ.* Copulam *καί* §. 70. ante *πεπαιδευμένους* et post *ταχὺ δέ* omittunt praestantissimi quique.

pissent, auch wenn sie sich mit Gewalt hineindrängten. Zonaras: *εἰ βιάσαιντο εἰς τὸ χαράκωμα εἰςελθεῖν.* Demosth. Halones. p. 84. v. 25. p. 476 sq. Schaef. *κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ.* Thucyd. VII. 69. extrem. *βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.*

παρηγγύησεν ἐπὶ πόδα ἀνάγειν] imperavit, ut pedem referrent, videlicet facie hostibus obversa. Vid. Viger. p. 627.

§. 70. *πολὺ μᾶλλον χοροῦ ἀκριβῶς*] Attigi ad cap. 1. §. 30. Chorus intelligitur tragicus vel comicus, in scena canens et saltans; qui cum modos docetur, ad magistri nutum imprimis animum advertit. Vid. Mem. III. 4, 5. 5, 6. Cyrop. I. 6, 18.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Δ΄.

CAPUT I.

Cyrus ob victoriam reportatam deos et milites honore afficit.

1 Μείνας δὲ ὁ Κῦρος μέτριον χρόνον αὐτοῦ σὺν τῷ στρατεύματι, καὶ δηλώσας, ὅτι ἕτοιμοί εἰσι μάχεσθαι, εἴ τις ἐξέρχοιτο, ὡς οὐδεὶς ἀντεξῄει, ἀπήγαγεν, ὅσον ἐδόκει καλῶς ἔχειν, καὶ κατεστρατοπεδεύσατο. Φυλακὰς δὲ καταστησάμενος, καὶ σκοποὺς προπέμψας, στὰς εἰς τὸ μέσον συνεκάλεσε τοὺς ἑαυτοῦ στρατιώτας,
2 καὶ ἔλεξε τοιάδε· Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγώ τε ἐπαινῶ, ὅσον δύναμαι, καὶ ὑμεῖς δὲ πάντες, οἶμαι· νίκης τε γὰρ τετυχήκαμεν καὶ σωτηρίας. Τούτων μὲν οὖν χρὴ χαριστήρια, ὧν ἂν ἀεὶ ἔχωμεν, τοῖς θεοῖς ἀποτελεῖν. Ἐγὼ δὲ ξύμπαντας

§. 1. ἐξέρχοιτο] ἐξέρχεται V. M. et marg. Vict. Vill.
§. 2. ἐγώ τε] Abest τε codicibus quidem, at Graecitate non refragante.

Cap. I. §. 1. ὅτι ἕτοιμοί εἰσι — ἐξέρχοιτο] i. e. ὅτι αὐτὸς καὶ οἱ στρατιῶται αὐτοῦ ἕτοιμοί εἰσι μάχεσθαι. Optativum ἐξέρχοιτο non magis immutem quam εἰσί in εἶεν. Vid. not. ad II. 1, 9. 15.

§. 2. ὧν ἂν ἀεὶ ἔχωμεν] Exspectasses ὡς ἂν ἀεὶ ἔχωμεν sc. ἀποτελεῖν τὰ χαριστήρια, quomodocunque quovis tempore (jedesmal) possimus gratiam referre. Sed ex interpretibus unus Caselius verum videtur vidisse: pro quibus eorum erga nos meritis ex iis, quae nobis suppetunt, gratias ipsis quoque referre par est, ut qui verba ὧν ἂν — ἀποτελεῖν dicta putavit pro ἀποτελεῖν τοῖς θεοῖς ἀπὸ τούτων, ἃ ἂν ἀεὶ ἔχωμεν. Cf. Soph. Oed. Col. 35. σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι, et Lamb. Bos. de Ellips. p. 491 sq. Schaef.

μὲν ὑμᾶς ἤδη ἐπαινῶ· τὸ γὰρ γεγενημένον ἔργον πᾶσιν ὑμῖν καλὸν ἀποτετέλεσται· ὧν δ' ἕκαστος ἄξιος, ἐπειδὰν παρ' ὧν προσήκει πύθωμαι, τότε τὴν ἀξίαν ἑκάστῳ καὶ ἔργῳ καὶ λόγῳ πειράσομαι ἀποδιδόναι.
3 Τὸν δ' ἐμοῦ ἐγγύτατα ταξίαρχον Χρυσάνταν οὐδὲν παρ' ἄλλων δέομαι πυνθάνεσθαι, ἀλλ' αὐτὸς οἶδα, οἷος ἦν· τὰ μὲν γὰρ ἄλλα, ὅσαπερ, οἶμαι, καὶ πάντες ὑμεῖς ἐποιεῖτε· ἐπεὶ δ' ἐγὼ παρηγγύησα ἐπανάγειν καλέσας αὐτὸν ὀνομαστί, ἀνατεταμένος οὗτος τὴν μάχαιραν, ὡς παίσων πολέμιον, ὑπήκουσέ τέ μοι εὐθύς, ἀφείς τε ὃ ἔμελλε ποιεῖν τὸ κελευόμενον ἔπραττεν· αὐτός τε γὰρ ἐπανῆγε, καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα, ἔστ' ἔφθασεν ἔξω βελῶν τὴν τάξιν ποιήσας, πρὶν τοὺς πολεμίους κατανοῆσαί τε, ὅτι ἀνεχωροῦμεν, καὶ τόξα ἐντείνασθαι, καὶ τὰ παλτὰ ἐπαφεῖναι· ὥστ' αὐτός τε ἀβλαβής, καὶ τοὺς ἑαυτοῦ ἄνδρας ἀβλαβεῖς διὰ τὸ πείθεσθαι παρέχεται. "Ἄλλους δ', ἔφη, ὁρῶ τετρωμένους, 4
περὶ ὧν ἐγὼ σκεψάμενος ἐν ὁποίῳ χρόνῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ αὐτῶν ἀποφανοῦμαι. Χρυ-

πᾶσιν] σύμπασιν edd.

καὶ ἔργῳ καὶ λόγῳ] Ita membranae pro καὶ λόγῳ καὶ ἔργῳ. Nam ἔργον hic maioris est quam λόγος momenti. Cf. Memor. II. 3, 6. 15.

§. 3. ὑμεῖς ἐποιεῖτε] ὑμεῖς, ἐποίει. Schn.

παρηγγύα, ἔστ' ἔφθ.] A. B. G. παρηγγύα· ὥστ' ἔφθ. edd.

ἐπειδὰν παρ' ὧν – πύθωμαι] ἐπειδὰν παρὰ τούτων πύθωμαι, παρ' ὧν προσήκει πυθέσθαι, nempe a ducibus.

§. 3. ἐγγύτατα] Non minus rectam ἐγγυτάτω antiquorum scripturam librorum esse docebunt annot. ad Anab. II. 2, 17. et Heindorf. ad Platon. Sophist. p. 441.

τὰ μὲν γὰρ ἄλλα] sc. ἐποίει, quod dicendi genus attractioni annumerat Schaefer. ad Porson. Eurip. Orest. 1635. ed. tert., comparandae illi cum ea, quae ad c. 5. §. 55. tractabitur.

ἀνατεταμένος οὗτος] Epict. Dissert. II. 6. p. 196. Schweigh. Ἀλλὰ Χρυσάντας μὲν παίειν μέλλων τὸν πολέμιον, ἐπειδὴ τῆς σάλπιγγος ἤκουσεν ἀνακαλούσης, ἀνέσχεν· οὕτω προὐργιαίτερον ἔδοξεν αὐτῷ τὸ τοῦ στρατηγοῦ πρόσταγμα ἢ τὸ ἴδιον ποιεῖν. Eodem loco alii usi sunt, quos attulit Fischer. h. l. et Wyttenbach. ad Plutarch. Apophth. Lac. p. 1200.

ἀβλαβής] Quo minus ὤν subaudias, obstat vocula τέ, quae potius ἐστί postulat ut suppleatur. Soph. Philoct. 1034. Herm. βαρύς τε, καὶ βαρεῖαν ὁ ξένος φάτιν τήνδ' εἶπ', Ὀδυσσεῦ.

σάνταν δὲ καὶ ὡς ἐργάτην τῶν ἐν πολέμῳ καὶ φρόνι-
μον καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν χιλιαρχίᾳ μὲν ἤδη
τιμῶ· ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν διδῷ ὁ θεός, οὐδὲ
5 τότε ἐπιλήσομαι αὐτοῦ. Καὶ πάντας δὲ βούλομαι ὑμᾶς,
ἔφη, ὑπομνῆσαι· ἃ γὰρ νῦν εἴδετε ἐν τῇ μάχῃ τῇδε,
ταῦτα ἐνθυμούμενοι μήποτε παύεσθε, ἵνα παρ' ὑμῖν
αὐτοῖς ἀεὶ κρίνητε, πότερον ἡ ἀρετὴ μᾶλλον ἢ ἡ φυγὴ
σώζει τὰς ψυχάς, καὶ πότερον οἱ μάχεσθαι ἐθέλοντες
ῥᾷον ἀπαλλάσσουσιν ἢ οἱ οὐκ ἐθέλοντες, καὶ ποίαν τινὰ
ἡδονὴν τὸ νικᾶν παρέχει· ταῦτα γὰρ νῦν ἄριστ' ἂν κρί-
ναιτε, πεῖράν τε αὐτῶν ἔχοντες, καὶ ἄρτι γεγενημένου
6 τοῦ πράγματος. Καὶ ταῦτα μέν, ἔφη, ἀεὶ διανοούμε-
νοι βελτίους ἂν εἴητε· νῦν δὲ ὡς θεοφιλεῖς καὶ ἀγαθοὶ
καὶ σώφρονες ἄνδρες δειπνοποιεῖσθε, καὶ σπονδὰς τοῖς
θεοῖς ποιεῖσθε, καὶ παιᾶνα ἐξάρχεσθε, καὶ τὸ παραγγελ-
7 λόμενον προνοεῖτε. Εἰπὼν δὲ ταῦτα, ἀναβὰς ἐπὶ τὸν
ἵππον ἤλασε, καὶ πρὸς Κυαξάρην ἦλθε· καὶ συνη-
σθεὶς ἐκείνῳ κοινῇ, ὡς εἰκός, καὶ ἰδὼν τἀκεῖ, καὶ ἐρό-
μενος, εἴ τι δέοιτο, ἀπήλαυνεν εἰς τὸ ἑαυτοῦ στράτευ-
μα. Καὶ οἱ μὲν δὴ ἀμφὶ Κῦρον δειπνοποιησάμενοι
καὶ φυλακὰς καταστησάμενοι, ὡς ἔδει, ἐκοιμήθησαν.

§. 5. παύεσθε] Sic boni omnes pro παύσησθε.

§. 7. ἦλθε·] ἐλθών, alii. Pro συνησθείς A. B. G. συγγενόμενος. Languerent, opinor, verba καὶ συγγενόμενος καὶ συνησθεὶς ἐκείνῳ.

§. 4. Χρυσάνταν δὲ, καὶ ὡς ἐργ. - ἄρχειν] Chrysantam vero et tanquam strenuum in rebus bellicis et prudentem et aptum ad parendum pariter atque ad imperandum. Sed vel omissa voce καί vel deleto post δέ inciso sensus evadit melior: Chrysantam vero (etiam) tanquam opificem rerum bellicarum et prudentem etc. Nihil huc facit locus a Zeunio comparatus I. 6, 38.

§. 5. Καὶ πάντας δὲ - ὑπομνῆσαι] Et omnes vero vos, inquit, illud monitos volo, ut Gabr. recte. Male enim alii ad praegressa referunt.

§. 6. θεοφιλεῖς - σώφρονες] Zeunius: »In his continetur ratio sequentium. Nam cum sitis diis cari, qui victoriam vobis concesserunt, hinc σπονδὰς - ποιεῖσθε (cf. ad II. 3, 1. III. 3, 40.): cum sitis ἀγαθοί, et victoriam vestra virtute sitis consecuti, παιᾶνα ἐξάρχεσθε, atque, cum sitis modesti et dicto audientes duci, τὸ παραγ. προνοεῖτε.«

De hostibus, qui nocte castra deseruerant, persequendis capitur consilium.

Οἱ δὲ Ἀσσύριοι, ἅτε καὶ τεθνηκότος τοῦ ἄρχοντος 8
καὶ σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν μὲν πάντες, πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρατοπέδου. Ὁρῶντες δὲ ταῦτα ὅ τε Κροῖσος καὶ οἱ ἄλλοι σύμμαχοι αὐτῶν, πάντες ἠθύμουν· πάντα μὲν γὰρ ἦν χαλεπά· ἀθυμίαν δὲ πλείστην παρεῖχε πᾶσιν, ὅτι τὸ ἡγούμενον τῆς στρατιᾶς φῦλον διεφθάρθαι ἐδόκει ταῖς γνώμαις. Οὕτω δὴ ἐκλείπουσι τὸ στρατόπεδον, καὶ ἀπέρχονται τῆς νυκτός. Ὡς δ' ἡμέρα 9
ἐγένετο, καὶ ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν πολεμίων στρατόπεδον, εὐθὺς διαβιβάζει ὁ Κῦρος τοὺς Πέρσας πρώτους· καταλέλειπτο δὲ ὑπὸ τῶν πολεμίων πολλὰ μὲν πρόβατα, πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι πολλῶν ἀγαθῶν μεσταί· ἐκ τούτου δὲ διέβαινον ἤδη καὶ οἱ ἀμφὶ Κυαξάρην Μῆδοι πάντες, καὶ ἠριστοποιοῦντο ἐνταῦθα.
Ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος πάντας τοὺς 10
ἑαυτοῦ ταξιάρχους, καὶ ἔλεξε τοιάδε· Οἷά μοι δοκοῦμεν καὶ ὅσα, ὦ ἄνδρες, ἀγαθὰ ἀφεῖναι, θεῶν ἡμῖν αὐτὰ διδόντων. Νῦν γάρ, ὅτι οἱ πολέμιοι φοβούμενοι ἡμᾶς ἀποδεδράκασιν, αὐτοὶ ὁρᾶτε. Οἵτινες δὲ ἐν ἐρύματι ὄντες ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς ἄν τις τούτους οἴοιτ' ἂν μεῖναι, ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ; Οἵτινες δὲ ἡμῶν ἄπειροι ὄντες οὐχ ὑπέμειναν, πῶς νῦν γ' ἂν ὑπομείνειαν, ἐπεὶ ἥττηνταί τε καὶ πολλὰ κακὰ

§. 8. Ἀσσύριοι, ἅτε καὶ] Ἀσσύριοί γε, καί alii.
πάντες ἠθύμουν] al. ἠθύμουν, al. ἤλγουν, quod grammaticum redolet de varianda oratione sollicitum.
διεφθάρθαι ἐδ. ταῖς γν.] διέφθαρτο τὰς γνώμας V. M. m. Stephan.
§. 9. πρώτους] Abest cod. Chisian.
§. 10. πάντας τοὺς] πάντας ex Vat. inserui.

§. 8. τοῦ ἄρχοντος] De Neriglissaro vix cogitasse scriptorem patet ex annotat. ad cap. 6, 2.
σύμμαχοι αὐτῶν] τῶν Ἀσσυρίων. Dativos ταῖς γνώμαις tueor ad II. 1, 11.

§. 10. ἐπεὶ ἥττηνται] Thucyd. II. 89. extrem. ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι.

ὑφ' ἡμῶν πεπόνθασιν; Ὧν δὲ οἱ βέλτιστοι ἀπολώλασι, πῶς οἱ φαυλότατοι ἐκείνων μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν;
11 Καί τις εἶπε, Τί οὖν οὐ διώκομεν ὡς τάχιστα, καταδήλων γε οὕτω τῶν ἀγαθῶν ὄντων; Καὶ ὃς εἶπεν, Ὅτι ἵππων προςδεόμεθα· οἱ μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλιστα καιρὸς ἦν ἢ λαβεῖν ἢ κατακανεῖν, οὗτοι αὐτῶν ἐφ' ἵππων νέονται· οὓς ἡμεῖς τρέπεσθαι μὲν σὺν
12 τοῖς θεοῖς ἱκανοί, διώκοντες δὲ αἱρεῖν οὐχ ἱκανοί. Τί οὖν, ἔφασαν, οὐκ ἐλθὼν Κυαξάρῃ λέγεις ταῦτα; Καὶ ὃς εἶπε· Συνέπεσθε τοίνυν μοι πάντες, ὡς εἰδῇ, ὅτι πᾶσιν ἡμῖν ταὐτὰ δοκεῖ. Ἐκ τούτου εἵποντό τε πάντες καὶ ἔλεγον οἷα ἐπιτήδεια ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο.

Rem impedire conatur Cyaxaris livor et ignavia; sed ab eo impetrat Cyrus, ut Medi, qui sponte velint, ipsum sequantur.

13 Καὶ ὁ Κυαξάρης ἅμα μὲν, ὅτι ἐκεῖνοι ἦρχον τοῦ λόγου, ὥςπερ ὑπό τι ἐφθόνει· ἅμα δὲ ἴσως καλῶς ἔχειν ἐδόκει αὐτῷ μὴ πάλιν κινδυνεύειν· καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν ἐτύγχανεν ὤν, καὶ τῶν ἄλλων Μήδων

§. 11. κατακανεῖν] coniec. censor gramm. Matth. in Supplem. ad Ephem. lit. Ienens. 1818. p. 346. κατακαίνειν aliis, aliis ἀποκτεῖναι exhibentibus. Antea καιρὸς εἴη λαβ. Chis. cod.

οὗτοι αὐτῶν] αὐτῶν habent optimi: νέονται etiam Vat. ἔσονται plurimi.

§. 12. ταὐτὰ] ταῦτα alii.

§. 13. ὑπό τι ἐφθόνει] ὑπεφθόνει posthabendum.

οἱ βέλτιστοι ἀπολώλασι] Τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ Ἄρης ἀναιρεῖν — Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται. Sophoclis verba sunt apud Stobaeum T. I. p. 196. Lips.

§. 11. νέονται] Verbum poeticum, quod cum aliis hinc laudavit Elmsley ad Eurip. Alcest. 747. ed. Monk. et Herm.

§. 12. καὶ ἔλεγον — ἐδέοντο] nec quidquam reticuerunt, quod arbitrarentur ad ea, quae cupiebant, obtinenda accommodatum esse. Gabr.

§. 13. ὥςπερ ὑπό τι ἐφθόνει] subinvidebat quodammodo, propemodum, interprete Heindorf. ad Platon. Cratyl. p. 6. Thucyd. III. 13. ed. Goeller. μὴ ξὺν κακῶς ποιεῖν αὐτούς. Demosth. de male gest. legat. p. 346. v. 15. πρεσβεύειν παρὰ τὸ ψήφισμα i. q. παραπρεσβεύειν. Adde Annot. ad Conviv. p. 197.

ἑώρα πολλοὺς τὸ αὐτὸ ποιοῦντας· εἶπε δ' οὖν ὧδε· Ἀλλ', ὦ Κῦρε, ὅτι μὲν τῶν ἄλλων μᾶλλον ἀνθρώπων 14 μελετᾶτε ὑμεῖς οἱ Πέρσαι μηδὲ πρὸς μίαν ἡδονὴν ἀπλήστως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκούων οἶδα· ἐμοὶ δὲ δοκεῖ τῆς μεγίστης ἡδονῆς πολὺ μάλιστα συμφέρειν ἐγκρατῆ εἶναι. Μείζω δὲ ἡδονὴν τί παρέχει ἀνθρώποις εὐτυχίας, ἢ νῦν ἡμῖν παραγεγένηται; Ἣν μὲν τοίνυν, 15 ἐπεὶ εὐτυχοῦμεν, σωφρόνως διαφυλάσσωμεν αὐτήν, ἴσως δυναίμεθ' ἂν ἀκινδύνως εὐδαιμονοῦντες γηρᾶν· εἰ δ' ἀπλήστως χρώμενοι ταύτῃ ἄλλην καὶ ἄλλην πειρασόμεθα διώκειν, ὁρᾶτε, μὴ πάθωμεν ἅπερ πολλοὺς μὲν λέγουσιν ἐν θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυχεῖν οὐκ ἐθέλοντας παύσασθαι πλέοντας, ἀπολέσθαι· πολλοὺς δὲ νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν πρόσθεν ἀποβαλεῖν. Καὶ γὰρ εἰ μὲν οἱ πολέμιοι ἥσσους ὄντες 16 ἡμῶν ἔφευγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥσσους ἀσφα-

§. 14. *Ἀλλ', ὦ Κῦρε, ὅτι μὲν τῶν ἄλλων μᾶλλον ἀνθ.*] A. G. *ὦ Κῦρε, ἀλλ' ὅτι μὲν τ. ἄλ. μ. εὖ ἀνθ.* Edd. *Ἀλλ', ὦ Κ., ὅτι μὲν μάλιστα ἀνθρ.*

πολὺ μάλιστα] *πολὺ μᾶλλον* edd.

§. 15. *ἀπολέσθαι*] *ἕως ἂν ἀπόλωνται* deteriores.

εἶπε δ' οὖν] Vid. ad II. 2, 1.

§. 14. *μηδὲ πρὸς μίαν – διακεῖσθαι*] ne voluptatis quidem ullius insatiabili cupiditate capi, sed aliam atque aliam voluptatem consectari. Cf. dicta ad II. 1, 21.

τῆς μεγίστης ἡδονῆς πολὺ μάλιστα συμφ. ἐγκ. εἶναι] Concinunt haec fere cum verbis *ὅσῳ μείζων ἐστὶν ἡδονή, τοσούτῳ μᾶλλον συμφέρει αὐτῆς ἐγκρατῆ εἶναι.* Cf. Matthiae §. 462. p. 639 sq.

§. 15. *αὐτὴν*] voluptatem, quam parta nobis victoria conciliat: *τὴν εὐτυχίαν* minus apte intelligit Hermann. ad Soph. Electr. 992. ubi exponit, quid inter *ὁρᾶτε, μὴ πάθωμεν*, et §. 18. *ὅρα, μὴ δεήσει*, intercedat discriminis.

ἀπολέσθαι] Explicationis gratia infinitivus ad illa *λέγουσιν – πεπονθέναι* adiectus, ut II. 2, 8.

καὶ τὴν πρόσθεν ἀποβαλεῖν] i. e. *καὶ ταύτης ἀποτυχεῖν, καὶ τὴν πρόσθεν ἀποβαλεῖν.* Sensus est: tantum abfuit, ut alteram victoriam deportarent, ut prioris victoriae fructum amitterent. Simili cum breviloquentia I. 6, 45. dicta sunt verba *καὶ ὧν εἶχον ἀπέτυχον* pro *ὧν τε ἐπεθύμησαν ἀπέτυχον καὶ ὧν εἶχον*, i. e. *καὶ ἃ εἶχον ἀπέβαλον.* Platon. Gorg. §. 157. p. 249. Heind. *ὅταν καὶ τὰ ἀρχαῖα προσαπολλύωσι πρὸς οἷς ἐκτήσαντο.*

§. 16. *Καὶ γὰρ εἰ – ἔφευγον*] nam si hostes numero nobis inferiores fugissent. Gabr. Corrige fugerent: adhuc enim in fuga erant.

λῶς εἶχε· νῦν δὲ κατανόησον, πόστῳ αὐτῶν μέρει πάντες μαχεσάμενοι νενικήκαμεν· οἱ δ᾿ ἄλλοι ἄμαχοί εἰσιν· οὓς εἰ μὲν μὴ ἀναγκάσοιμεν μάχεσθαι, ἀγνοοῦντες καὶ ἡμᾶς καὶ ἑαυτοὺς δι᾿ ἀμαθίαν καὶ μαλακίαν ἀπίασιν· εἰ δὲ γνώσονται, ὅτι ἀπιόντες οὐδὲν ἧττον κινδυνεύουσιν ἢ μένοντες, ὅπως μὴ ἀναγκάσωμεν αὐτούς, κἂν μὴ βού-
17 λωνται, ἀγαθοὺς γενέσθαι. Ἴσθι δὲ, ὅτι οὐ σὺ μᾶλλον τὰς ἐκείνων γυναῖκας καὶ παῖδας λαβεῖν ἐπιθυμεῖς ἢ ἐκεῖνοι σῶσαι. Ἐννόει δ᾿, ὅτι καὶ αἱ σύες, ἐπειδὰν ὀφθῶσι, φεύγουσι, κἂν πολλαὶ ὦσι, σὺν τοῖς τέκνοις· ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων, οὐκέτι φεύγει, οὐδ᾿ ἢν μία τύχῃ οὖσα, ἀλλ᾿ ἵεται ἐπὶ τὸν λαμβά-
18 νειν πειρώμενον. Καὶ νῦν μὲν κατακλείσαντες ἑαυτοὺς εἰς ἔρυμα παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσοις ἐβουλόμεθα αὐτῶν μάχεσθαι· εἰ δ᾿ ἐν εὐρυχωρίᾳ πρόσιμεν αὐτοῖς, καὶ μαθήσονται χωρὶς γενόμενοι, οἱ μὲν κατὰ πρόσωπον ἡμῖν, ὥσπερ καὶ νῦν, ἐναντιοῦσθαι, οἱ δ᾿ ἐκ πλαγίου, οἱ δὲ καὶ ὄπισθεν, ὅρα, μὴ πολλῶν ἑκά-

§. 16. *αὐτῶν μέρει*] *μέρει αὐτῶν* **P.**
εἰ μὲν μὴ ἀναγκάσοιμεν] *ἀναγκάσομεν* **non sine librorum assensu mavult Poppo, sed rem in sola cogitatione positam melius optativus exprimit.**
§. 17. *κἂν πολλαὶ ὦσι*] *καὶ πολλαὶ οὖσαι* **deteriores.**
§. 18. *μαθήσονται – ἐναντιοῦσθαι*] **Alia scriptura fuisse videtur** *μαχήσονται – ἀντίοις ἐξ ἐναντίου*, **ut** *μαχήσονται* **Homeri exemplo defendatur, cetera dicendi verbositate, quam innumeris locis Graeci amarunt.**

ὅπως μὴ ἀναγκάσωμεν] De Plat. Men. § 33. *ἀλλὰ μὴ οὐκ ᾖ διδακτόν* vid. Ind. Buttm. p. 224. Thucyd. I. 82. p. 157. Goeller. *ὁρᾶτε, ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξωμεν.* Alia huius coniunctivi exempla praeter similia ad §. 15. tacta habet Poppo de Eloc. Thuc. p. 136 sq.

§. 17. *σῶσαι*] sc. *αὐτοὺς ἐπιθυμοῦσιν.*

φεύγει] Attractionis lege effectum est, ut a plurali numero ad singularem transiret, quippe de uno tantum apro cogitans. De iisdem bestiis Xen. de Venat. X. 23. *Τὰ δὲ νεογνὰ αὐτῶν ὅταν ἁλίσκηται, χαλεπῶς τοῦτο πάσχει – χαλεποὶ ὄντες τότε, καὶ μᾶλλον μαχόμενοι ὑπὲρ ἐκείνων ἢ ὑπὲρ αὐτῶν.*

§. 18. *χωρὶς γενόμενοι*] in agmina plura divisi.

ὥσπερ καὶ νῦν] non *ἔμαθον ἐναντιοῦσθαι*, nam hostium impetum pugnantes minime sustinuerant, sed *ἠναντιοῦντο* cogitatione addendum.

οἱ δ᾿ ἐκ πλαγίου] alii a latere, videlicet laevo et dextro, id quod glossatores non fugit ver-

στῳ ἡμῶν χειρῶν δεήσει καὶ ὀφθαλμῶν. Πρὸς δ' ἔτι
οὐδ' ἂν ἐθέλοιμι, ἔφη, ἔγωγε νῦν, ὁρῶν Μήδους εὐ-
θυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύσοντας
ἰέναι.
Καὶ ὁ Κῦρος ὑπολαβὼν εἶπεν· Ἀλλὰ σύ γε μηδέ- 19
να ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός·
καὶ ἴσως ἂν σοὶ καὶ τῶν σῶν φίλων τούτων ἥκοιμεν ἑκά-
στῳ ἄγοντες ἐφ' οἷς ἅπαντες εὐθυμήσεσθε. Τὸ μὲν γὰρ
πλῆθος ἡμεῖς γε τῶν πολεμίων οὐδὲ διωξόμεθα· πῶς
γὰρ ἂν καὶ καταλάβοιμεν; ἢν δέ τι ἢ ἀπεσχισμένον τοῦ
στρατεύματος λάβωμεν, ἤ τι ὑπολειπόμενον, ἥξομεν
πρός σε ἄγοντες. Ἐννόει δ', ἔφη, ὅτι καὶ ἡμεῖς, ἐπεὶ 20
σὺ ἐδέου, ἤλθομεν, σοὶ χαριζόμενοι, μακρὰν ὁδόν· καὶ
σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντιχαρίζεσθαι, ἵνα καὶ ἔχοντές
τι οἴκαδε ἀφικώμεθα, καὶ μὴ εἰς τὸν σὸν θησαυρὸν
πάντες οἵδε ὁρῶμεν. Ἐνταῦθα δὴ ἔλεξεν ὁ Κυαξάρης· 21
Ἀλλ' εἴ γε μέντοι ἐθέλων τις ἕποιτο, καὶ χάριν ἔγωγέ σοι
εἰδείην ἄν. Σύμπεμψον τοίνυν μοί τινα, ἔφη, τῶν ἀ-
ξιοπίστων τούτων, ὃς ἐρεῖ ἃ ἂν σὺ ἐπιστείλῃς. Λαβὼν
δὴ ἴθι, ἔφη, ὅντινα ἐθέλεις τουτωνί. Ἔνθα δὴ ἐτύγ- 22
χανε παρὼν ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι καὶ φι-
ληθείς. Εὐθὺς οὖν ὁ Κῦρος εἶπεν, Ἀρκεῖ μοι, ἔφη,
οὑτοσί. Οὗτος τοίνυν, ἔφη, σοὶ ἑπέσθω· καὶ λέγε

ἔγωγε νῦν] Vat. cum aliis: ἐγὼ νῦν P. Non minus bonum erat Πρὸς δ' ἔτι pro Προςέτι δ'.

§. 19. διωξόμεθα] διώξομεν Vat. quod non abhorret a Xenoph. aetate. vid. ad Anab. I. 4, 8.

§. 21. τουτωνί] etiam Vat. pro τούτων.

§. 22. φιληθείς] παρ' αὐτοῦ qui addunt sunt ex integrioribus libris.

bis additis: καὶ ἄλλοι ἐκ τοῦ ἑτέρου πλαγίου. Verborum structuram ὅρα μὴ – δεήσει ad §. 15. commemoravi.

§. 19. Ἀλλὰ σύ γε μηδένα ἀναγκάσῃς] At nolim tu quidem quemquam cogas. Alibi alia, ut oppositio particulae ἀλλά ab initio illatae sibi constet, subaudiri iubet locorum ratio.

§. 20. ἐπεὶ σὺ ἐδέου] Vid. I. 5, 4.

δίκαιος εἶ ἀντιχαρίζεσθαι] Illustrent Viger. p. 86. et Matth. §. 296.

§. 21. Λαβὼν δὴ ἴθι] Verba sunt Cyaxaris, ut quae praegressa sunt Σύμπεμψον – ἐπιστείλῃς Cyri. Fallitur Schneiderus.

§. 22. ὁ φήσας ποτὲ] Artabazus, de quo I. 4, 27. VI. 1, 9.

23 σύ, ἔφη, τὸν ἐθέλοντα ἰέναι μετὰ Κύρου. Οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῄει. Ἐπεὶ δ' ἐξῆλθεν, εὐθὺς ὁ Κῦρος εἶπε· Νῦν δὴ σὺ δηλώσεις, εἰ ἀληθῆ ἔλεγες, ὅτε ἔφης ἥδεσθαί με θεώμενος. Οὔκουν ἀπολείψομαί γε σοῦ, ἔφη ὁ Μῆδος, εἰ τοῦτο λέγεις. Οὔκουν καὶ ἄλλους, ἔφη, προθύμως ἐξάξεις; Κἀκεῖνος ἐπομόσας, Νὴ τὸν Δί', ἔφη, ἔςτε γ' ἂν ποιήσω καὶ σὲ ἡδέως ἐμὲ θεᾶ-
24 σθαι. Τότε δὴ καὶ ἐκπεμφθεὶς ὑπὸ τοῦ Κυαξάρου τά τε ἄλλα προθύμως ἀπήγγελλε τοῖς Μήδοις, καὶ προςετίθει, ὅτι αὐτός γε οὐκ ἀπολείψοιτο ἀνδρὸς καλλίστου καὶ ἀρίστου καί, τὸ μέγιστον, ἀπὸ θεῶν γεγονότος.

CAPUT II.

Interim Hyrcaniorum legati de societate cum Persis ineunda veniunt: quos duces itineris secutus Cyrus cum suis omnibus et cum maxima parte Medorum proficiscitur, Hyrcaniosque in fidem recipit.

1 Πράττοντος δὲ τοῦ Κύρου ταῦτα, θείως πως ἀφικνοῦνται ἀπὸ Ὑρκανίων ἄγγελοι. Οἱ δὲ Ὑρκάνιοι ὁμο-

§. 23. *Οὔκουν καὶ ἄλλους, ἔφη, πρ. ἐξάξεις*] Sic membranae; *Καὶ ὁ Κῦρος εἶπεν, Οὐκοῦν καὶ ἄλλοις πρ. λέξεις.* Steph.
Κἀκεῖνος ἐπομόσας, Νὴ τὸν Δί', ἔφη, ἔςτε γ' ἂν] Revocavi in locum verborum *Ἐπομόσας οὖν* (*αὖ* Dind.) *ἐκεῖνος Νὴ τὸν Δί', ἔφη, ἕως ἄν γε.*

καὶ λέγε σύ] Sequi debebat *καὶ λεγέτω*, nisi ad Artabazum sermonem dirigere Cyaxares maluisset. Ita patet subdistinctionem inter *καί* et *λέγε* delendam fuisse.
τὸν ἐθέλοντα] sc. *ἰέναι.*
§. 23. *Νῦν δὴ σὺ δηλώσεις*] Voculas *νῦν δή* futuro iunctas exemplis confirmavit Heindorf. ad Plat. Soph. §. 14. p. 290., respiciens ad Viger. p. 426.
ἔφης] Nota formam rariorem I. 6, 3. et alibi *ἔφησθα* dicentis. Vid. Lobeck. ad Phryn. p. 236.

εἰ τοῦτο λέγεις] si hoc dicis, si dubitas vera me dixisse, cum affirmarem tuo me adspectu summopere delectari.
Οὔκουν — ἐξάξεις] nonne facies alios quoque libenter me comitari?
§. 24. *καὶ ἐκπεμφθείς*] praeterquam quod Cyrus cum instigaverat, etiam a Cyaxare missus. Haud contemnendi tamen codices suadent: *τότε δή, ἅτε καὶ ἐκπ.*
Cap. II. §. 1. *Οἱ δὲ Ὑρκάνιοι*] Geographis antiquis auctoribus (v. Tzschuck. ad Mel.

ροι μὲν τῶν Ἀσσυρίων εἰσίν, ἔθνος δ᾽ οὐ πολύ· διὸ
καὶ ὑπήκοοι ἦσαν τῶν Ἀσσυρίων· ἔφιπποι δὲ καὶ τότε
δὴ ἐδόκουν καὶ νῦν ἔτι δοκοῦσιν εἶναι· διὸ καὶ ἐχρῶντο
αὐτοῖς οἱ Ἀσσύριοι, ὥςπερ καὶ οἱ Λακεδαιμόνιοι τοῖς
Σκιρίταις, οὐδὲν φειδόμενοι αὐτῶν οὔτ᾽ ἐν πόνοις οὔτ᾽ ἐν
κινδύνοις. Καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν ἐκέλευον
αὐτοὺς ὡς χιλίους ἱππέας ὄντας, ὅπως, εἴ τι ὄπισθεν
δεινὸν εἴη, ἐκεῖνοι πρὸ αὐτῶν τοῦτ᾽ ἔχοιεν. Οἱ δὲ Ὑρ- 2
κάνιοι, ἅτε μέλλοντες ὕστατοι πορεύεσθαι, καὶ τὰς ἁ-
μάξας τὰς ἑαυτῶν καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον.
Στρατεύονται γὰρ δὴ οἱ κατὰ τὴν Ἀσίαν ἔχοντες οἱ πολ-
λοὶ μεθ᾽ ὧνπερ καὶ οἰκοῦσι· καὶ τότε δὴ ἐστρατεύοντο
οὕτως οἱ Ὑρκάνιοι. Ἐννοηθέντες δὲ οἷά τε πάσχου- 3
σιν ὑπὸ τῶν Ἀσσυρίων, καὶ ὅτι νῦν τεθναίη μὲν ὁ ἄρ-
χων αὐτῶν, ἡσσημένοι δ᾽ εἶεν, φόβος δὲ πολὺς ἐνείη τῷ

Cap. II. §. 1. ἔφιπποι] εὔιπποι coni. Fisch. cl. V. 5, 5.
§. 2. οἱ κατὰ] οἱ et seq. καί om. codd.
§. 3. πολὺς ἐνείη τῷ] πολὺς εἴη ἐν τῷ Vat. πολύς in aliis deest.

III. 5, 4. Heeren. Ideen Vol. I. P. I. p. 315 sq. ed. quart.) Hyrcania sita fuit ad mare Caspium. Sed Xenophontis Hyrcani in Babylonis vicinia habitarunt occidentem versus, quo se cum Cadusiis aliquando relictis sedibus patriis contulisse probabiliter statuit St. Croix Nouvell. Observ. p. 677. ed. Schn. sec.

τοῖς Σκιρίταις] Diodor. Sic. XV. 32. ὁ δὲ Σκιρίτης καλούμενος λόχος παρὰ τοῖς Σπαρτιάταις οὐ συντάττεται μετὰ τῶν ἄλλων, ἀλλ᾽ ἰδίαν ἔχων σύστασιν, μετὰ τοῦ βασιλέως ἵσταται καὶ παραβοηθεῖ τοῖς ἀεὶ θλιβομένοις μέρεσι· συνεστὼς δ᾽ ἐξ ἐπιλέκτων ἀνθρώπων, μεγάλας ποιεῖται ῥοπὰς ἐν ταῖς παρατάξεσι, καὶ κατὰ τὸ πλεῖστον αἴτιος γίνεται τῆς νίκης, ubi vid. Wesseling. p. 624. ed. Bip. Mannert. Geogr. T. VIII. p. 608. et O. Mueller. Dor. T. II. p. 242 sq.

ὅπως — ἐκεῖνοι πρὸ αὐτῶν τοῦτ᾽ ἔχοιεν] ut illi prius quam ipsi hoc (periculum) sustinerent, Assyriosque tutos ab hostium impetu praestarent.

§. 2. Στρατεύονται γὰρ δὴ οἱ — οἰκοῦσι] in bellum enim egrediuntur Asiatici populi plerique secum habentes eos, quibuscum habitant. Testimonii causa afferunt IV. 3, 2. V. 3, 2. 4, 39. Herodt. VII. 83. Max. Tyr. XXX. 7. ed. Reisk. Tacit. Germ. c. 7 sq., ubi cf. Passow. et Curt. IV. 14, 11. Addatur Heeren. Ideen T. I. P. I. p. 515.

§. 3. Ἐννοηθέντες δὲ] Nominativus in sequentibus requirebat ἐνόμισαν νῦν καλὸν εἶναι ἀποστ., sed mutata constructione inferuntur ἔδοξεν αὐτοῖς praemissis verbis ταῦτα ἐνθυμουμένοις, quibus antegressa lectorum in memoriam revocentur. III. 2, 18. 28. paris generis anacolutha re-

στρατεύματι, οἱ δὲ ξύμμαχοι αὐτῶν ὡς ἀθύμως ἔχοιεν καὶ ἀπολείποιεν, ταῦτα ἐνθυμουμένοις ἔδοξεν αὐτοῖς νῦν καλὸν εἶναι ἀποστῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ Κῦρον συνεπιθέσθαι. Καὶ πέμπουσιν ἀγγέλους πρὸς Κῦρον· ἀπὸ γὰρ τῆς μάχης τὸ τούτου ὄνομα μέγιστον ηὔξητο.
4 Οἱ δὲ πεμφθέντες λέγουσι Κύρῳ, ὅτι μισοῖέν τε τοὺς Ἀσσυρίους δικαίως, νῦν τε, εἰ βούλοιτο ἰέναι ἐπ' αὐτούς, καὶ σφεῖς σύμμαχοι ὑπάρξοιεν καὶ ἡγήσοιντο· ἅμα δὲ πρὸς τούτοις διηγοῦντο τὰ τῶν πολεμίων, ὡς ἔχοι,
5 ἐπαίρειν βουλόμενοι μάλιστα στρατεύεσθαι αὐτόν. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς, Καὶ δοκεῖτε ἄν, ἔφη, ἡμᾶς ἔτι καταλαβεῖν αὐτούς, πρὶν ἐν τοῖς ἐρύμασιν εἶναι; Ἡμεῖς μὲν γάρ, ἔφη, μάλα συμφορὰν τοῦτο ἡγούμεθα, ὅτι ἔλαθον ἡμᾶς ἀποδράντες. Ταῦτα δὲ ἔλεγε, βουλό-
6 μενος αὐτοὺς ὡς μέγιστον φρονεῖν ἐπὶ σφίσιν. Οἱ δὲ ἀπεκρίναντο, ὅτι κἂν αὔριον ἕωθεν, εἰ εὔζωνοι πορεύοιντο, καταλήψοιντο· ὑπὸ γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ

συνεπιθέσθαι] συνέπεσθαι A. B. G. Brod.

§. 4. καὶ σφεῖς σ. ὑπαρ. καὶ ἡγ.] καὶ σφεῖς ἔσοιντο σύμμαχοι καὶ ἡγήσοιντο Zonaras. Mox οἷα δὴ ἐπαίρειν βουλ. ὡς μάλ. alii.

§. 6. ὅτι κἂν αὔριον ἕωθεν, εἰ εὔζ.] ὅτι, κἂν αὔριον ἕωθεν εὔζωνοι Pop. ὅτι κἂν αὔριον, εἰ ἕωθεν εὔζ. Schn. ὅτι κἂν αὔρ. ἕωθεν, οἱ (οἳ?) εὔζ. Vat.

periuntur. Cf. Rost. §. 137. 4. a.

καὶ ἀπολείποιεν] sc. αὐτούς; vid. c. 1. §. 8. Falli enim puto Fischerum ad Aeschin. Dial. p. 116. ed. tert.

μέγιστον ηὔξητο] οὕτως ηὔξητο, ὥστε μέγιστον εἶναι. Ad Demosth. Orat. Olynth. II. p. 19. v. 18. οἷς πρότερον παρακρουόμενος μέγας ηὐξήθη, usum hunc adiectivorum Schaeferus vocavit prolepticum. Soph. Oed. Col. 532. Herm. ἦ μητρόθεν, ὡς ἀκούω, δυσώνυμα λέκτρ' ἐπλήσω;

§. 4. ἐπαίρειν βουλόμενοι μάλιστα στρατ. αὐτόν] Iungenda sic: βουλόμενοι αὐτὸν μάλιστα ἐπαίρειν (ὥστε) στρατεύεσθαι.

§. 5. μάλα συμφορὰν τοῦτο ἡγούμεθα] Pertinere μάλα arbitror ad ἡγούμεθα, non minus quam Hellen. VI. 2, 39. μάλα στρατηγὸν νομιζόμενον reddendum omnino, quod facit inter alios Gronov. in Lex. Herodt. Schweigh. P. II. p. 85.

Ταῦτα δὲ ἔλεγε — σφίσιν] Quod quidem dicebat, ut illi suae ac suorum virtuti quam maxime confiderent. Gabr.

§. 6. ὅτι κἂν αὔριον — καταλήψοιντο] Geminum locum invenias Demosth. Mid. §. 15. Buttm. νῦν δέ μοι δοκεῖ κἂν, ἀσέβειαν εἰ καταγιγνώσκοι, τὰ προσήκοντα ποιεῖν. Bene reddidit interpres: fore ut vel postridie mane, si expediti iter facerent, illos

πορεύεσθαι αὐτούς· καὶ ἅμα, ἔφασαν, τὴν προτεραίαν
νύκτα ἀγρυπνήσαντες, νῦν μικρὸν προελθόντες ἐστρα-
τοπέδευνται. Καὶ ὁ Κῦρος ἔφη, Ἔχετε οὖν ὧν λέγετε 7
πιστόν τι ἡμᾶς διδάσκειν, ὡς ἀληθεύετε; Ὁμήρους
γ', ἔφασαν, θέλομεν αὐτίκα ἐλάσαντες τῆς νυκτὸς ἀγα-
γεῖν· μόνον καὶ σὺ ἡμῖν πιστὰ θεῶν τε πεποίησο, καὶ
δεξιὰν δός, ἵνα φέρωμεν καὶ τοῖς ἄλλοις τὰ αὐτά, ἅπερ
ἂν αὐτοὶ λάβωμεν παρὰ σοῦ. Ἐκ τούτου πιστὰ δίδωσιν 8
αὐτοῖς, ἦ μήν, ἂν ἐμπεδώσωσιν ἃ λέγουσιν, ὡς φίλοις
καὶ πιστοῖς χρήσεσθαι αὐτοῖς, ὡς μήτε Περσῶν μήτε
Μήδων μεῖον ἔχειν παρ' ἑαυτοῦ. Καὶ νῦν δ' ἔτι ἰδεῖν ἔστιν
Ὑρκανίους καὶ πιστευομένους καὶ ἀρχὰς ἔχοντας, ὥςπερ
καὶ Περσῶν καὶ Μήδων οἳ ἂν δοκῶσιν ἄξιοι εἶναι.

Ἐπεὶ δ' ἐδείπνησαν, ἐξῆγε τὸ στράτευμα ἔτι φάους 9
ὄντος, καὶ τοὺς Ὑρκανίους περιμένειν ἐκέλευσεν, ἵνα
ἅμα ἴοιεν. Οἱ μὲν δὴ Πέρσαι, ὥςπερ εἰκός, πάντες
εὐθὺς ἔξω ἦσαν, καὶ Τιγράνης ἔχων τὸ ἑαυτοῦ στρά-
τευμα· τῶν δὲ Μήδων ἐξῄεσαν οἱ μὲν διὰ τὸ παιδὶ ὄντι 10
Κύρῳ παῖδες ὄντες φίλοι γενέσθαι· οἱ δὲ διὰ τὸ ἐν θή-
ραις συγγενόμενοι ἀγασθῆναι αὐτοῦ τὸν τρόπον· οἱ δὲ

τὴν προτεραίαν] ἅτε praemittunt edd. τὴν προτέραν codd. de quo vid. Schaefer. ad Lamb. Bos. Ellips. p. 176.

§. 7. θεῶν τε] τε ex Vat. aliisque inserui.

§. 9. ὄντος, καὶ τοὺς Ὑρκ. περιμένειν] Fort. ὄντος, καὶ αὐτοὺς τοὺς Ὑρκανίους, οὓς περιμένειν.
τὸ ἑαυτοῦ] τῶν ἑαυτοῦ P. nescio unde.

consequerentur. Hoc usu comprobatum est: etenim ante solis occasum §. 9. Cyrus castra movit, et per noctem itinere facto §. 15. cum diluculo proximi diei ad Hyrcanos pervenit.

§. 7. καὶ δεξιὰν δός] Vere monet Hutchins. hunc fidem dandi accipiendique morem aliis quoque gentibus observatum fuisse. Ita Philoct. apud Sophoclem 802. Herm. a Neoptolemo postulat, ut dextra data fidem dictis conciliet: ἔμβαλλε χειρὸς πίστιν. De Persis egit Baehr. ad Ctes. fragm. p. 115. et not. ad III. 2, 23.

§. 8. ἄξιοι εἶναι] sc. τοῦ πιστεύεσθαι καὶ τοῦ ἀρχὰς ἔχειν. Genitivos, qui antecedunt, καὶ Περσῶν καὶ Μήδων a pronomine relativo pendere vix est quod ex Matth. §. 354. discas.

§. 10. φίλοι γενέσθαι] Cf. I. 4, 1. §. 14.

διὰ τὸ καὶ χάριν εἰδέναι, ὅτι μέγαν αὐτοῖς φόβον ἀπεληλακέναι ἐδόκει· οἱ δὲ καὶ ἐλπίδας ἔχοντες διὰ τὸ ἄνδρα φαίνεσθαι ἀγαθὸν καὶ εὐτυχῆ καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσεσθαι αὐτόν· οἱ δέ, ὅτε ἐτρέφετο ἐν Μήδοις, εἴ τι ἀγαθόν τῳ συνέπραξεν, ἀντιχαρίζεσθαι ἠβούλοντο· πολλοῖς δὲ πολλὰ διὰ φιλανθρωπίαν παρὰ τοῦ πάππου ἀγαθὰ διεπέπρακτο· πολλοὶ δ', ἐπεὶ καὶ τοὺς Ὑρκανίους εἶδον, καὶ λόγος διεδόθη, ὡς ἡγήσοιντο ἐπὶ πολλὰ ἀγαθά,

11 ἐξῄεσαν καὶ τοῦ λαβεῖν τι ἕνεκα. Οὕτω δὴ καὶ οἱ Μῆδοι σχεδὸν ἅπαντες ἐξῆλθον, πλὴν ὅσοι σὺν Κυαξάρῃ ἔτυχον σκηνοῦντες· οὗτοι δὲ κατέμειναν καὶ οἱ τούτων ὑπήκοοι. Οἱ δὲ ἄλλοι πάντες φαιδρῶς καὶ προθύμως ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάρι-

12 τος ἕνεκα ἐξιόντες. Ἐπεὶ δὲ ἔξω ἦσαν, πρῶτον μὲν πρὸς τοὺς Μήδους ἐλθὼν ἐπῄνεσέ τε αὐτούς, καὶ ἐπηύξατο μάλιστα μὲν θεοὺς αὐτοῖς ἵλεως ὄντας ἡγεῖσθαι καὶ σφίσιν, ἔπειτα δὲ καὶ αὐτὸς δυνασθῆναι χάριν αὐτοῖς ταύτης τῆς προθυμίας ἀποδοῦναι. Τέλος δ' εἶπεν, ὅτι ἡγήσοιντο μὲν αὐτοῖς οἱ πεζοί, ἐκείνους δὲ ἕπεσθαι σὺν τοῖς ἵπποις ἐκέλευσε· καὶ ὅπου ἂν ἢ ἀναπαύωνται ἢ ἐπίσχωσι τῆς πορείας, ἐνετείλατο αὐτοῖς πρὸς ἑαυτὸν παρε-

13 λαύνειν τινάς, ἵνα εἰδῶσι τὸ ἀεὶ καίριον. Ἐκ τούτου

§. 10. διὰ τὸ καὶ χάριν εἰδέναι] αὖ post χάριν ex G. depromtum si cui displiceat, quidni αὐτῷ reponat?

§. 12. ἐνετείλατο] ἐκέλευσεν alii.

ἀντιχαρίζεσθαι ἠβούλοντο] Quam frequenter a participio ad tempus finitum Graeci delabantur, neminem latere potest post allata ad I. 3, 5. II. 1, 11. c. 3. §. 8. III. 3, 9.

τοὺς Ὑρκανίους εἶδον, καὶ λόγος διεδόθη, ὡς ἡγήσοιντο] Magis perspicuum fuisset scribere: εἶδον καὶ ἤκουον, ὡς οἱ Ὑρκάνιοι ἡγήσοιντο.

§. 12. μάλιστα μὲν θεοὺς — σφίσιν] principio quidem ut dii tum eis (Medis) tum sibi (Persis) propitii duces essent. Soph. Oed. Reg. 646. πίστευσον, Οἰδίπους, τάδε, μάλιστα μὲν τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν, ἔπειτα κἀμέ, τούσδε θ', οἳ πάρεισί σοι. Cf. Viger. p. 416 sq. et Buttmann. §. 137. p. 442 sq.

ἐκείνους] Medos intellige, qui maximam partem equitibus constabant.

αὐτοῖς — τινάς] Latinitatis leges postulabant αὐτῶν — τινάς: iussit eorum aliquos ad se equitando accedere.

ἵνα εἰδῶσι] Ne optativum desideres, cf. not. ad III. 2, 27.

ἡγεῖσθαι ἐκέλευε τοὺς Ὑρκανίους. Καὶ οἳ ἠρώτων, Τί δέ; οὐ γὰρ ἀναμένεις, ἔφασαν, τοὺς ὁμήρους ἕως ἂν ἀγάγωμεν, ἵνα ἔχων καὶ σὺ τὰ πιστὰ παρ' ἡμῶν πορεύῃ; Καὶ τὸν ἀποκρίνασθαι λέγεται, Ἐννοῶ γάρ, φάναι, ὅτι ἔχομεν πάντα τὰ πιστὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς καὶ ταῖς ἡμετέραις χερσίν. Οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι, ὡς, ἢν μὲν ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν· ἢν δὲ ἐξαπατᾶτε, οὕτω νομίζομεν ἔχειν, ὡς οὐχ ἡμᾶς ἐφ' ὑμῖν ἔσεσθαι, ἀλλὰ μᾶλλον, ἐὰν οἱ θεοὶ θέλωσιν, ὑμᾶς ἐφ' ἡμῖν γενήσεσθαι. Καὶ μέντοι, ἔφη, ὦ Ὑρκάνιοι, ἐπείπερ φατὲ ὑστάτους ἕπεσθαι τοὺς ὑμετέρους, ἐπειδὰν ἴδητε αὐτούς, σημαίνετε ἡμῖν, ὅτι οἱ ὑμέτεροί εἰσιν, ἵνα φειδώμεθα αὐτῶν. Ἀκούσαντες δὲ 14
ταῦτα οἱ Ὑρκάνιοι, τὴν μὲν ὁδὸν ἡγοῦντο, ὥςπερ ἐκέλευε, τὴν δὲ ῥώμην τῆς ψυχῆς ἐθαύμαζον· καὶ οὔτε τοὺς Ἀσσυρίους οὔτε τοὺς Λυδοὺς οὔτε τοὺς συμμάχους αὐτῶν ἔτι ἐφοβοῦντο, ἀλλὰ μὴ παντάπασιν ὁ Κῦρος μικράν τινα αὐτῶν οἴοιτο ῥοπὴν εἶναι καὶ παρόντων καὶ ἀπόντων.

§. 13. *ἠρώτων, Τί δέ; – ἀγάγωμεν*] Schn. coni. ex parte cum codd. *ἠρώτων, τί οὐκ ἀναμείνειεν, οὓς ἐπηγγείλαντο ὁμήρους ἕως ἂν ἀγάγωσιν.*

πάντα τὰ πιστά] Sic Vat. *πάντες τ. π.* alii, neutrum P.

σημαίνετε] *σημάνητε* A. B. Fort. *σημάνατε.*

§. 14. *οὔτε τοὺς συμμάχους*] *καί, οἶμαι, οὐδὲ τοὺς συμμ.* Iacobs. praeeunte cod. ad Achill. Tat. p. 727.

§. 13. *Τί δέ; οὐ γάρ*] Supra I. 3, 4. *Τί δέ; φάναι τὸν Ἀστυάγην, οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν Πέρσαις;* Male Heindorf. negat *τί δέ* repertum subiecta formula *οὐ γάρ*, in qua *γάρ* interrogationi iungitur, ut apud nostrates: willst du denn nicht warten?

Ἐννοῶ γάρ] quasi praecessisset *οὐκ ἀναμένω*, vel simplex negatio, quam Graeci nutu videntur expressisse. Vid. not. ad I. 4, 27.

ὡς – ἱκανοὶ εἶναι] Tetigi ad II. 1, 23.

§. 14. *συμμάχους αὐτῶν*] socios eorum, Assyriorum pariter et Lydorum, quorum de sociis licet coniecturam fieri ex VI. 2, 10.

ἀλλὰ μὴ παντάπασιν – ἀπόντων] sed id verebantur, ne Cyrus existimaret sua quidem, socios eos haberet, necne, parum admodum referre. Gabr.

15 Πορευομένων δέ, ἐπεὶ νὺξ ἐπεγένετο, λέγεται φῶς
τῷ Κύρῳ καὶ τῷ στρατεύματι ἐκ τοῦ οὐρανοῦ προφα-
νὲς γενέσθαι, ὥστε πᾶσι μὲν φρίκην ἐγγίγνεσθαι πρὸς
τὸ θεῖον, θάρσος δὲ πρὸς τοὺς πολεμίους. Ὡς δὲ εὔ-
ζωνοί τε καὶ ταχὺ ἐπορεύοντο, εἰκότως πολλήν τε ὁδὸν
διήνυσαν, καὶ ἅμα κνέφᾳ πλησίον γίγνονται τοῦ τῶν
16 Ὑρκανίων στρατεύματος. Ὡς δ' ἔγνωσαν οἱ ἄγγελοι,
καὶ τῷ Κύρῳ λέγουσιν, ὅτι οὗτοί εἰσιν οἱ σφέτεροι· τῷ
τε γὰρ ὑστάτους εἶναι γιγνώσκειν ἔφασαν, καὶ τῷ πλή-
17 θει τῶν πυρῶν. Ἐκ τούτου πέμπει τὸν ἕτερον αὐτῶν
πρὸς αὐτούς, προστάξας λέγειν, εἰ φίλοι εἰσίν, ὡς τά-
χιστα ὑπαντᾶν τὰς δεξιὰς ἀνατείναντας. Συμπέμπει δέ
τινα καὶ τῶν σὺν αὐτῷ καὶ λέγειν ἐκέλευσε τοῖς Ὑρ-
κανίοις, ὅτι, ὡς ἂν ὁρῶσιν αὐτοὺς προσφερομένους,
οὕτω καὶ αὐτοὶ ποιήσουσιν. Οὕτω δὴ ὁ μὲν μένει τῶν
ἀγγέλων παρὰ τῷ Κύρῳ, ὁ δὲ προσελαύνει πρὸς τοὺς
18 Ὑρκανίους. Ἐν ᾧ δ' ἐσκόπει τοὺς Ὑρκανίους ὁ Κῦ-
ρος, ὅ τι ποιήσουσιν, ἐπέστησε τὸ στράτευμα· καὶ
παρελαύνουσι πρὸς αὐτὸν οἱ τῶν Μήδων προεστηκότες
καὶ ὁ Τιγράνης, καὶ ἐρωτῶσι, τί δεῖ ποιεῖν. Ὁ δὲ λέ-
γει αὐτοῖς, ὅτι τοῦτ' ἔστι τὸ πλησίον τῶν Ὑρκανίων
στράτευμα, καὶ οἴχεται ὁ ἕτερος τῶν ἀγγέλων πρὸς αὐ-
τοὺς καὶ τῶν ἡμετέρων τις σὺν αὐτῷ, ἐροῦντες, εἰ φί-
λοι εἰσίν, ὑπαντιάζειν τὰς δεξιὰς ἀνατείναντας πάντας.
Ἢν μὲν οὖν οὕτω ποιῶσι, δεξιοῦσθέ τε αὐτούς, καθ' ὃν

§. 17. προστάξας] τάξας A. B. G.
§. 18. τῶν Ὑρκανίων] τῶν servaverat Vat. Superiora haec Ἐν ᾧ δ' ἐσκόπει.– τὸ στράτευμα in codd. turbata sunt.
οὕτω ποιῶσι] οὕτως ἴωσι Steph. οὕτω προσίωσι coni. Schn.

§. 15. Πορευομένων] Frequentissimum hunc esse genitivum dixi ad III. 3, 54.

ἅμα κνέφᾳ] diluculo diei eius, qui noctem diemque excipiebat, quo §. 6. profecti erant. De dativo κνέφᾳ egit Matth. §. 84. p. 186. ed. sec.

§. 16. καὶ τῷ Κύρῳ λέγουσιν] Cyro quoque dicunt, aut, si mavis apodosin a §. 17. ἐκ τούτου inchoare, et Cyro dicunt. Priorem tamen rationem h. l. praeferam.

§. 17. ὡς ἂν ὁρῶσιν αὐτοὺς – ποιήσουσιν] quomodocunque, sive hostiliter, sive amice, Persae videbunt Hyrcanos se praebere, eo modo et ipsi (Persae) se praebebunt.

§. 18. καθ' ὃν ἂν ᾖ ἕκαστος]

ἂν ᾖ ἕκαστος, καὶ ἅμα θαρσύνετε· ἢν δὲ ὅπλα αἴρωνται, ἢ φεύγειν ἐπιχειρῶσι, τούτων, ἔφη, πρώτων δὴ εὐθὺς πειρᾶσθε μηδένα λιπεῖν. Ὁ μὲν τοιαῦτα παρήγ-
γειλεν. Οἱ δὲ Ὑρκάνιοι ἀκούσαντες τῶν ἀγγέλων ἥσθη- 19
σάν τε καὶ ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους παρῆσαν τὰς δεξιάς, ὥςπερ εἴρητο, προτείναντες· οἱ δὲ Μῆδοι καὶ
Πέρσαι ἀντεδεξιοῦντό τε αὐτοὺς καὶ ἐθάρσυνον. Ἐκ 20
τούτου δὴ ὁ Κῦρος λέγει, Ἡμεῖς μὲν δή, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πιστεύομεν· καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. Τοῦτο δ', ἔφη, ἡμῖν πρῶτον εἴπατε, πόσον ἀπέχει ἐνθένδε, ἔνθα αἱ ἀρχαί εἰσι τῶν πολεμίων καὶ τὸ ἀθρόον αὐτῶν. Οἱ δὲ ἀπεκρίναντο, ὅτι ὀλίγῳ πλέον ἢ παρασάγγην.

Cyrus hostium aggrediendorum et persequendorum modum docet, quos oppressos, nullo resistente, maxima clade afficit.

Ἐνταῦθα δὴ λέγει ὁ Κῦρος, Ἄγετε δή, ἔφη, ὦ 21
ἄνδρες Πέρσαι καὶ Μῆδοι, καὶ ὑμεῖς, ὦ Ὑρκάνιοι· ἤδη γὰρ καὶ πρὸς ὑμᾶς ὡς πρὸς συμμάχους καὶ κοινωνοὺς διαλέγομαι· εὖ χρὴ εἰδέναι, νῦν ὅτι ἐν τοιούτῳ ἐσμέν, ἔνθα δὴ μαλακισάμενοι μὲν πάντων ἂν τῶν χαλεπωτάτων τύχοιμεν· ἴσασι γὰρ οἱ πολέμιοι ἐφ' ἃ ἥκομεν· ἢν δὲ κατὰ τὸ καρτερὸν ἐμβαλόμενοι ἴωμεν ῥώμῃ

πρώτων δὴ εὐθὺς πειρᾶσθε] omissis verbis πρώτων δή alii εὐθὺς δεῖ πειρᾶσθαι.
§. 19. παρῆσαν] εὐθύς addit Zonaras, quod si maiorem auctoritatem haberet, sequentibus iungendum esset.
§. 21. κατὰ τὸ καρτερόν] κατά deest in melioribus. Statim ἕκαστος δεξιούσθω ἐκεῖνον, καθ' ὃν ἂν ᾖ αὐτῶν.

τούτων — πρώτων δή] ex his primis sane, quasi vero ceteros Assyrios, qui Hyrcanos novissimum agmen constituentes anteibant, non minus facile conciderent.

§. 19. ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους] Patet igitur Hyrcanos alligatis equis in extrema castrorum parte sedisse, antequam de Cyri adventu certiores facti essent. Cf. §. 6. §. 28.

§. 21. νῦν ὅτι ἐν τοιούτῳ ἐσμέν] nunc res nostras eo loco esse.

ἐφ' ἃ ἥκομεν] scil. ut eripiamus illis coniuges, liberos, opes, patriam. Cf. c. I. §. 17.

κατὰ τὸ καρτερόν] quam maxima vi possumus. Herodt. I. 212. δολώσας ἐκράτησας παιδὸς τοῦ ἐμοῦ, ἀλλ' οὐ μάχῃ κατὰ τὸ καρτερόν. Ibid. III. 65. et Iacobs. ad Achill. Tat. p. 695.

ἐμβαλόμενοι] Mediae formae

καὶ θυμῷ ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλα ὄψεσθε,
ὥςπερ δούλων ἀποδιδρασκόντων καὶ εὑρημένων, τοὺς μὲν
ἱκετεύοντας αὐτῶν, τοὺς δὲ φεύγοντας, τοὺς δ' οὐδὲ
ταῦτα φρονεῖν δυναμένους. Ἡσσημένοι τε γὰρ ὄψον-
ται ἡμᾶς, καὶ οὔτε οἰόμενοι ἥξειν, οὔτε συντεταγμένοι,
οὔτε μάχεσθαι παρεσκευασμένοι, κατειλημμένοι ἔσονται.
22 Εἰ οὖν ἡδέως βουλόμεθα καὶ δειπνῆσαι καὶ νυκτερεῦ-
σαι καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν τούτοις σχο-
λὴν μήτε βουλεύσασθαι, μήτε παρασκευάσασθαι ἀγα-
θὸν ἑαυτοῖς μηδέν, μηδὲ γνῶναι πάμπαν, ὅτι ἄνθρω-
ποί ἐσμεν· ἀλλὰ γέῤῥα καὶ κοπίδας καὶ σαγάρεις ἅπαντα
23 καὶ πληγὰς ἥκειν νομιζόντων. Καὶ ὑμεῖς μέν, ἔφη, ὦ
Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν, προπο-
ρεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμετέρων ὅπλων ὁρωμέ-
νων λανθάνωμεν ὅτι πλεῖστον χρόνον. Ἐπειδὰν δ' ἐγὼ
πρὸς τῷ στρατεύματι γένωμαι τῶν πολεμίων, παρ' ἐμοὶ
μὲν καταλείπετε ἕκαστοι τάξιν ἱππέων, ἐάν τι δέωμαι,
24 ὡς χρῶμαι μένων παρὰ τὸ στρατόπεδον. Ὑμῶν δὲ οἱ
μὲν ἄρχοντες καὶ οἱ πρεσβύτεροι ἐν τάξει ἀθρόοι ἐλαύ-

Schn. coni. ἐμβάλωμεν ῥώμῃ κ. θ. τοῖς πολεμίοις. Nec καί ante εὑρημένων in omnibus codd. comparet.

§. 23. ἱππέων, ἐάν τι δέωμαι, ὡς χρῶμαι] ἱππέων, ᾧς ἄν τι δέῃ, χρῶμαι Vat. ἱππ. ᾗ, ἄν τι δέωμαι, ὡς χρῶμαι A. B. G.

eadem vis est, quae vernaculae in locutione sich auf die Feinde werfen. Componi potest συμβαλέσθαι II. 2, 21. et ἐμβάλλεσθαι alio licet sensu usurpatum apud Hemsterhus. ad Lucian. Necyomant. p. 391. Lehm.

ὥςπερ δούλων ἀποδιδρασκόντων] Explicantur in Matth. gr. §. 569.

§. 22. τὸ ἀπὸ τοῦδε] in posterum. Ita Vigeri interpretes p. 23. b. et Rost. §. 98. not. 9. ed. 3.

ἀλλὰ γέῤῥα καὶ κοπίδας – νομιζόντων] ἀλλὰ νομιζέτωσαν ἅπαντα, ἃ ἥκει, εἶναι γέῤῥα καὶ κοπίδας κ. τ. λ. Caselius: sed illi scuta, enses, gladios, haec omnia, et vulnera venire arbitrentur. Soph. Philoct. 890. Herm. ἅπαντα δυςχέρεια, τὴν αὑτοῦ φύσιν ὅταν λιπών τις δρᾷ τὰ μὴ προςεικότα. Xen. Conviv. II. 22. ἴει ἅμα πάντα καὶ σκέλη καὶ χεῖρας καὶ κεφαλήν, ubi vid. nostra p. 78.

§. 23. προπετάσαντες ἡμῶν, προπορεύεσθε ἔμπροσθεν] Nihil in his offensionis esse docuisse videor ad III. 3, 31. et II. 2, 7.

ἐάν τι δέωμαι, ὡς χρῶμαι μένων παρὰ τὸ στρ.] ut, si qua in re opus habeam, utar equitibus, manens ad castra hostium.

νετε, εἰ σωφρονεῖτε, ἵνα μή ποτε ἀθρόῳ τινὶ ἐντυχόν-
τες ἀποβιασθῆτε· τοὺς δὲ νεωτέρους ἐφίετε διώκειν· οὗ-
τοι δὲ καινόντων· τοῦτο γὰρ ἀσφαλέστατον νῦν ὡς ἐλα-
χίστους τῶν πολεμίων λιπεῖν. Ἢν δὲ νικῶμεν, ἔφη, ὃ 25
πολλοῖς δὴ κρατοῦσι τὴν τύχην ἀνέτρεψε, φυλάξασθαι
δεῖ τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι· ὡς ὁ τοῦτο ποιῶν οὐκέτι
ἀνήρ ἐστιν, ἀλλὰ σκευοφόρος· καὶ ἔξεστι τῷ βουλομένῳ
χρῆσθαι ἤδη τούτῳ ὡς ἀνδραπόδῳ. Ἐκεῖνο δὲ χρὴ 26
γνῶναι, ὅτι οὐδέν ἐστι κερδαλεώτερον τοῦ νικᾶν· ὁ γὰρ
κρατῶν ἅμα πάντα συνήρπακε, καὶ τοὺς ἄνδρας καὶ
τὰς γυναῖκας καὶ τὰ χρήματα καὶ πᾶσαν τὴν χώραν.
Πρὸς ταῦτα τοῦτο μόνον ὁρᾶτε, ὅπως τὴν νίκην δια-
σωζώμεθα· ἐν γὰρ ταύτῃ καὶ αὐτὸς ὁ ἁρπάζων ἔχεται.
Καὶ τοῦτο ἅμα διώκοντες μέμνησθε, ἥκειν πάλιν ὡς ἐμὲ
ἔτι φάους ὄντος· ὡς σκότους γενομένου οὐδένα ἔτι
προςδεξόμεθα.

§. 24. *ἀθρόοι ἐλαύνετε*] A. B. G. pro *ἐλ. ἀθρόοι*. Postea Schn. maluit *σωφρ. μήπου ἀθρόῳ*: imo scribendum esset *ἵνα μήπου*, si certiorem *πού* originem haberet.

§. 25. *Ἢν δὲ νικῶμεν, ἔφη, – ἀνέτρεψε*] Legebatur etiam *Μὴ δὲ, ἢν νικῶμεν, τὸ πολλοῖς δὴ συμβεβηκὸς κρατοῦσι, τὴν τύχην ἀνατρέψαι* (sc. *ἡμᾶς*) *γίγνηται* vel simili quadam ratione.

§. 26. *ἐν γὰρ ταύτῃ καὶ – ἔχεται*] *ἐὰν γὰρ κρατηθῇ, καὶ – ἔχεται* A. B. G. ex quo efficias *ἐὰν γὰρ κρατηθῆτε, καὶ – οἴχεται*. Hermanno olim placuit *ἐν γὰρ ταύτῃ καὶ – οἴχεται*. Vat. *ἔχετε* commendaverit *ἐν γὰρ ταύτῃ καὶ αὐτὸ τὸ ἁρπάζειν ἔχετε*.

§. 24. *ἵνα μή ποτε – ἀποβιασθῆτε*] ut ne quando in catervam aliquam incidatis et repellamini.

§. 25. *Ἢν δὲ νικῶμεν – τραπέσθαι*] Receptae congruit interpretatio Gabr. quodsi res ex sententia eveniat: id cavendum est, quod multorum sane victoriam evertit, ne ad rapinam convertamini. Cf. de parenthesis positu not. ad II. 2, 13.

§. 26. *Πρὸς ταῦτα*] propterea. Vid. Hermann. ad Viger. p. 863. 425. In concursu pronominum *ταῦτα τοῦτο* non erat cur Schneid. haereret, quandoquidem ad Anab. III. 1, 26. collectis adiicienda sunt not. a Schaef. ad Demosth. Or. de mal. gest. leg. p. 446.

ἐν γὰρ ταύτῃ καὶ αὐτὸς ὁ ἁρ. ἔχεται] in qua profecto hi etiam ipsi, qui rapinae dediti sunt, continentur. Gabr. in hac enim comprehenditur is quoque, qui spolia legit. Casel. Aliis *ἔχεται* est abstinet se rapina, aliis in potestate victoris est. Corruptam esse vulgatam dubitare noli, cum *ὁ ἁρπάζων* neque pro *ἡ ἁρπαγή* neque pro *τὸ ἁρπάζειν* dici potuerit.

27 Ταῦτα εἰπὼν ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάστους,
καὶ ἐκέλευεν ἅμα πορευομένους τοῖς αὑτοῦ ἕκαστον δε-
καδάρχοις ταὐτὰ σημαίνειν· ἐν μετώπῳ γὰρ ἦσαν οἱ δε-
κάδαρχοι, ὥςτε ἀκούειν· τοὺς δὲ δεκαδάρχους τῇ δε-
κάδι ἕκαστον κελεύειν παραγγέλλειν. Ἐκ τούτου δὲ
προηγοῦντο μὲν οἱ Ὑρκάνιοι, αὐτὸς δὲ τὸ μέσον ἔχων
σὺν τοῖς Πέρσαις ἐπορεύετο· τοὺς δὲ ἱππεῖς ἑκατέρωθεν,
28 ὥςπερ εἰκός, παρέταξε. Τῶν δὲ πολεμίων, ἐπεὶ φάος
ἐγένετο, οἱ μὲν ἐθαύμαζον τὰ δρώμενα, οἱ δὲ ἐγίγνωσκον
ἤδη, οἱ δ' ἤγγελλον, οἱ δ' ἐβόων, οἱ δ' ἔλυον ἵππους,
οἱ δὲ συνεσκευάζοντο, οἱ δ' ἐῤῥίπτουν τὰ ὅπλα ἀπὸ τῶν
ὑποζυγίων, οἱ δ' ὡπλίζοντο, οἱ δὲ ἀνεπήδων ἐπὶ τοὺς
ἵππους, οἱ δὲ ἐχαλίνουν, οἱ δὲ τὰς γυναῖκας ἀνεβίβα-
ζον ἐπὶ τὰ ὀχήματα, οἱ δὲ τὰ πλείστου ἄξια ἐλάμβανον,
ὡς διασωσόμενοι, οἱ δὲ κατορύττοντες τὰ τοιαῦτα ἡλί-
σκοντο, οἱ δὲ πλεῖστοι ἐς φυγὴν ὥρμων. Οἴεσθαι δὲ
δεῖ πολλά τε καὶ παντοδαπὰ καὶ ἄλλα ποιεῖν αὐτούς·
29 πλὴν ἐμάχετο οὐδείς, ἀλλ' ἀμαχητὶ ἀπώλλυντο. Κροῖ-
σος δέ, ὁ Λυδῶν βασιλεύς, ὡς θέρος ἦν, τάς τε γυ-
ναῖκας ἐν ταῖς ἁρμαμάξαις προαπεπέμψατο τῆς νυκτός,
ὡς ῥᾷον πορεύοιντο κατὰ ψῦχος, καὶ αὐτὸς ἔχων τοὺς
30 ἱππεῖς ἐπηκολούθει. Καὶ τὸν Φρύγα τὰ αὐτὰ ταῦτα
ποιῆσαί φασι, τὸν τῆς παρ' Ἑλλήςποντον ἄρχοντα
Φρυγίας. Ὡς δὲ παρῄσθοντο τῶν φευγόντων καὶ κα-

§. 27. ἱππεῖς] ἱππέας deteriores libri.

§. 27. ὥςτε ἀκούειν] ut audirent quidquid centuriones vicini praeciperent.

τοὺς δὲ δεκαδάρχους – παραγγέλλειν] De centurionibus intellige, quibus Cyrus praecepit, ut decuriones suae quemque decuriae ea denuntiare iuberent.

τὸ μέσον ἔχων] quippe pedites ducens, quos consentaneum erat equitibus circumdari.

§. 28. ἐγίγνωσκον] intelligebant Hyrcanos ab Assyriis defecisse, hostesque adesse.

ἀπὸ τῶν ὑποζυγίων] Cur hoc fecerunt? Nescio an iumentorum ope aut ipsi fugam capessere aut res pretiosiores asportare voluerint. De ἀμαχητί vid. ad I. 4. extrem.

§. 29. Κροῖσος] Babyloniis Croesum contra Cyrum opem tulisse invitis ceteris scriptoribus Iustinus quoque memoriae prodidit I. 7, 3.

§. 30. ἄρχοντα Φρυγίας] Gabaedum, II. 1, 5. commemoratum.

Ὡς δὲ παρῄσθοντο τῶν φ. καὶ κατ. αὐτούς] Ut autem fugientes animadverterunt seque consequentes Lydi

ταλαμβανόντων αὐτούς, πυθόμενοι τὸ γιγνόμενον ἔφευ-
γον δὴ καὶ αὐτοὶ ἀνὰ κράτος. Τὸν δὲ τῶν Καππαδο- 31
κῶν βασιλέα καὶ τὸν τῶν Ἀραβίων, ἔτι ἐγγὺς ὄντας καὶ
ὑποστάντας ἀθωρακίστους, κατακαίνουσιν οἱ Ὑρκάνιοι.
Τὸ δὲ πλεῖστον ἦν τῶν ἀποθανόντων Ἀσσυρίων καὶ
Ἀραβίων· ἐν γὰρ τῇ αὐτῶν ὄντες χώρᾳ ἀσυντονώτατα
πρὸς τὴν πορείαν εἶχον. Οἱ μὲν δὴ Μῆδοι καὶ Ὑρκά- 32
νιοι, οἷα δὴ εἰκὸς κρατοῦντας, τοιαῦτα ἐποίουν διώ-
κοντες. Ὁ δὲ Κῦρος τοὺς παρ' ἑαυτῷ ἱππέας καταλει-
φθέντας περιελαύνειν ἐκέλευε τὸ στρατόπεδον καί, εἴ
τινας σὺν ὅπλοις ἴδοιεν ἐξιόντας, κατακαίνειν· τοῖς δὲ
ὑπομένουσιν ἐκήρυξεν, ὁπόσοι τῶν πολεμίων στρατιω-
τῶν ἦσαν ἱππεῖς ἢ πελτασταὶ ἢ τοξόται, ἀποφέρειν τὰ
ὅπλα συνδεδεμένα, τοὺς δὲ ἵππους ἐπὶ ταῖς σκηναῖς κα-
ταλιπεῖν· ὅςτις δὲ ταῦτα μὴ ποιήσοι, αὐτίκα τῆς κε-
φαλῆς στερήσεσθαι· τὰς δὲ κοπίδας προχείρους ἔχοντες

§. 31. *βασιλέα – ἀθωρακίστους*] *βασιλέα, ἔτι ἐγγὺς ὄντα καὶ ὑποστάντα ἀθωράκιστον* A.
Ἀσσυρίων καὶ Ἀραβίων] *Ἀσσύριοι καὶ Ἀράβιοι* M. Chis. et m. Vict. fortasse recte. Vid. Matth. §. 304. et §. 302.
§. 32. *εἰκὸς κρατοῦντας, τ.*] *εἰκός, κρατοῦντες τ.* Pop.
τὰς δὲ κοπίδας πρ. ἔχοντες ἐν τάξει περιέστασαν] *τινὰς δὲ κοπίδας πρ. ἔχοντας ἐν τ. περιέστησεν* scribendum puto. Alii in mentem venit *τοὺς δὲ τὰς κοπίδας πρ. ἔχοντας*. Aliis aliud deesse vi-

et Phryges. Vid. Matth. §. 327. n. 1. et Rost. §. 108. p. 408. Itidem accepit etiam Zonaras: *ὡς δ' οἱ φεύγοντες αὐτοὺς κατελάμβανον καὶ τὸ γινόμενον (οἱ Λυδοὶ) ἔγνων, ἔφευγον καὶ αὐτοί.* Qui aliter intellexerunt, hi vereor ne quaerentibus non satisfaciant, quidni Xenophon scripserit *ὡς δὲ πυθόμενοι τῶν φευγόντων καὶ κατ. ἑαυτοὺς παρῄσθοντο* vel potius *εἶδον τὸ γιγνόμενον.*

§. 31. *Τὸ δὲ πλεῖστον ἦν τῶν ἀπ. Ἀσσ. καὶ Ἀραβίων*] Vulgo explicant *Τὸ δὲ πλεῖστον μέρος τῶν ἀποθανόντων ἦν μέρος Ἀσσ. καὶ Ἀραβίων*, sed meliorem interpretandi rationem disces ex not. ad II. 2, 23. et Matth. §. 355. p. 479 sq.

§. 32. *οἷα δὴ εἰκὸς κρατοῦντας*] Supple ex seqq *ποιεῖν* infinitivum eadem qua III. 3, 62. ratione. Nimirum victores interficiunt, si quos hostes in fuga assecuti fuerint. Ad Fischeri explicationem alterius scripturae adiuvandam loci comparati I. 3, 2. IV. 2, 4. nihil conferunt.

μὴ ποιήσοι] Huius optativi usus exemplis firmatur ad II. 4, 10. 13, ut futuri *στερήσεσθαι* ad II. 1, 23. et apud Rost. §. 114. p. 435.

τὰς δὲ κοπίδας – περιέστασαν] Gladiorum hoc genus in Cyri disciplina peditibus potissimum

33 ἐν τάξει περιέστασαν. Οἱ μὲν δὴ τὰ ὅπλα ἔχοντες ἐῤῥίπτουν ἀποφέροντες εἰς ἓν χωρίον, ὅποι ἐκέλευε· καὶ ταῦτα μὲν οἷς ἐπέταξεν ἔκαιον.

Cyrus per servos captivos parat commeatum et summa cura providet, ut socios in hostibus persequendis iam occupatos sibi devinciat.

34 Ὁ δὲ Κῦρος ἐνενόησεν, ὅτι ἦλθον μὲν οὔτε σῖτα οὔτε ποτὰ ἔχοντες, ἄνευ δὲ τούτων οὔτε στρατεύεσθαι δυνατόν, οὔτ' ἄλλο ποιεῖν οὐδέν. Σκοπῶν δὲ, ὅπως ἂν κάλλιστα καὶ τάχιστα ταῦτα γένοιτο, ἐνθυμεῖται, ὅτι ἀνάγκη πᾶσι τοῖς στρατευομένοις ἐστὶν εἶναί τινα, ὅτῳ καὶ σκηνῆς μελήσει, καὶ ὅπως τὰ ἐπιτήδεια παρεσκευα-
35 σμένα τοῖς στρατιώταις εἰσιοῦσιν ἔσται. Καὶ τοίνυν ἔγνω, ὅτι τούτους εἰκὸς μάλιστα πάντων ἐν τῷ στρατοπέδῳ νῦν κατειλῆφθαι ἄν, διὰ τὸ ἀμφὶ συσκευασίαν ἔχειν· ἐκήρυξε δὴ παρεῖναι τοὺς ἐπιτρόπους πάντας· εἰ δέ που μὴ εἴη ἐπίτροπος, τὸν πρεσβύτατον ἀπὸ σκηνῆς· τῷ δὲ ἀπειθοῦντι πάντα τὰ χαλεπὰ ἀνεῖπεν. Οἱ δέ, ὁρῶντες καὶ τοὺς δεσπότας πειθομένους, ταχὺ ἐπεί-

sum est. περιέστασαν debetur **Fischero** ad Weller. II. p. 451. pro περιΐστασαν.

§. 35. κατειλῆφθαι ἄν] ἦν nonnulli adiiciunt.

conveniebat; equitibus IV. 5, 58. V. 2, 1. addebantur qui copidas gestarent. Itaque sensus est: **milites (pedites) cum gladiis strictis ordine instructi circumsteterunt** nempe eos, qui in castris remanebant, ut statim qui aufugere conarentur, vel arma tradere nollent, gladiis illis conciderentur. Ordinati (ἐν τάξει) illi stabant, quo maiorem terrorem hostibus in castris relictis incuterent.

§. 33. *Οἱ μὲν δὴ τὰ ὅπλα ἔχοντες*] **Atque ii quidem, qui arma habebant, quae requirebantur.** Haec enim vis est articuli nomini ὅπλα praemissi, quod §. 32. post ἀποφέρειν positum redde: **arma sua.**

§. 34. δυνατόν] scil. ἐστίν, quo exemplo ditari potest **Buttmann.** §. 116. 13. n. 7. et **Viger.** p. 236. Cf. supra c. I. §. 3. Ad sententiam quod attinet, memineris oportet verborum Cambysis I. 6, 14. ibique not.

ὅπως ἂν — γένοιτο] Vide ad II. 4, 1.

§. 35. ὅτι τούτους εἰκὸς — κατειλῆφθαι ἄν] ὅτι εἰκὸς ἦν τούτους τοὺς ἐπιτρόπους, οἷς τῆς σκηνῆς ἔμελεν, εἰ ἔχοιεν οἱ πολέμιοι, μάλιστα πάντων νῦν ἂν κατειλῆφθαι ἐν τῷ στρατοπέδῳ.

τοὺς δεσπότας] »Erant igitur ἐπίτροποι illi servi, qui mediastinorum vicibus in exercitu fun-

θοντο. Ἐπεὶ δὲ παρεγένοντο, πρῶτον μὲν ἐκέλευε κα- 36
θίζεσθαι αὐτῶν ὅσοις ἐστὶ πλέον ἢ δυοῖν μηνοῖν ἐν τῇ
σκηνῇ τὰ ἐπιτήδεια. Ἐπεὶ δὲ τούτους εἶδεν, αὖθις
ἐκέλευεν ὅσοις μηνὸς ἦν· ἐν δὲ τούτῳ σχεδὸν σύμπαν-
τες ἐκαθίζοντο. Ἐπεὶ δὲ ταῦτα ἔμαθεν, εἶπεν ὧδε αὐ- 37
τοῖς, Ἄγετε νῦν, ἔφη, ὦ ἄνδρες, εἴ τινες ὑμῶν τὰ μὲν
κακὰ μισεῖτε, ἀγαθοῦ δέ τινος παρ' ἡμῶν βούλοισθ' ἂν
τυγχάνειν, ἐπιμελήθητε προθύμως, ὅπως διπλάσια ἐν
τῇ σκηνῇ ἑκάστῃ σῖτα καὶ ποτὰ παρασκευασθῆναι ἢ τοῖς
δεσπόταις καὶ τοῖς οἰκέταις καθ' ἡμέραν ἐποιεῖτε· καὶ
τἄλλα δὲ πάντα, ὁπόσα καλὴν δαῖτα παρέξει, ἕτοιμα
ποιεῖτε· ὡς αὐτίκα μάλα παρέσονται, ὁπότεροι ἂν κρα-
τῶσι, καὶ ἀξιώσουσιν ἔκπλεω ἔχειν πάντα τὰ ἐπιτήδεια.
Εὖ οὖν ἴστε, ὅτι συμφέροι ἂν ὑμῖν ἀμέμπτως δέχεσθαι
τοὺς ἄνδρας.

§. 36. *ἐν δὲ τούτῳ σχεδὸν σύμπαντες*] *ἐν τούτῳ σχεδὸν πάντες* codd. boni.

§. 37. *παρασκευασθῆναι ἢ τοῖς δεσπ.*] alii *παρεσκευασμένα ἢ τοῖς δεσπ. καὶ τοῖς οἰκ. ἢ ἃ καθ' ἡμ.* Schn. *παρασκευασθήσεται ἢ τοῖς.*

gerentur et castris.« Schneid. *Δεσπότας* vocat milites eorumque praefectos, qui in tentoriis habitantes arma modo Persis tradiderant.

§. 36. *καθίζεσθαι*] Humi considere iussit, fortasse quod servi erant; etenim liberis hominibus, ut manus tollant, in talibus iniungitur.

ἐν δὲ τούτῳ] tum vero. Male alii *τόπῳ* intelligunt, cui certe articulus praemitti debuit.

§. 37. *εἴ τινες ὑμῶν τὰ μὲν κακὰ μισεῖτε*] si qui vestrum mala a vobis procul esse cupitis. Etiam V. 5, 16. in praestantissimo libro legitur *εἴ τινες Περσῶν ἴοιμεν*. II. 1. omnem genitivus *ὑμῶν* duritiem a recepta removet.

βούλοισθ' ἂν] Dudum est ex quo provocaveram ad IV. 5, 47. *Εἰ μὲν οὖν ἄλλους ἔχετε — εἰ μέντοι ἡμᾶς βούλοισθ' ἂν παραστάτας μάλιστα ἔχειν*. III. 3, 37. Demosth. Leptin. p. 475. (338. v. 34. Dind.) *οὐκοῦν αἰσχρὸν, εἰ μέλλοντες μὲν εὖ πάσχειν συκοφάντην ἂν τὸν ταῦτα λέγοντα ἡγοῖσθε, ἐπὶ τῷ δ' ἀφελέσθαι τὰς τῶν προτέρων εὐεργετῶν δωρεὰς ταῦτα λεγόντων ἀκούσεσθε* explicatum ivit Schaefer. Apparat. III. p. 155. Adde Hermann. ad Viger. p. 830 sq. et ad Soph. Aiac. v. 400. Nostrum locum verte: sed si vobis optabile esse possit, ut a nobis emolumentum aliquod consequamini.

παρασκευασθῆναι] Infinitivus post *ὅπως* est in constructionibus rarioribus, quas attigerunt Thiersch. §. 348. 6. c. p. 685. et interprett. Viger. p. 435. a.

38 Οἱ μὲν δὴ ταῦτα ἀκούσαντες πολλῇ σπουδῇ τὰ παρηγγελμένα ἔπρασσον· ὁ δ' αὖ συγκαλέσας τοὺς ταξιάρχους ἔλεξε τοιάδε· Ἄνδρες φίλοι, γιγνώσκω μὲν, ὅτι νῦν ἔξεστιν ἡμῖν προτέροις ἀπόντων τῶν συμμάχων ἀρίστου τυχεῖν, καὶ τοῖς μάλιστα ἐσπουδασμένοις σίτοις καὶ ποτοῖς χρῆσθαι· ἀλλ' οὔ μοι δοκεῖ τοῦτ' ἂν τὸ ἄριστον πλέον ὠφελῆσαι ἡμᾶς ἢ τὸ τῶν συμμάχων ἐπιμελεῖς φανῆναι· οὐδ' ἂν αὕτη ἡ εὐωχία ἰσχυροτέρους τοσοῦτον ποιῆσαι, ὅσον εἰ δυναίμεθα τοὺς συμμάχους
39 προθύμους ποιεῖσθαι. Εἰ δὲ τῶν νῦν διωκόντων καὶ κατακαινόντων τοὺς ἡμετέρους πολεμίους καὶ μαχομένων, εἴ τις ἐναντιοῦται, τούτων δόξομεν οὕτως ἀμελεῖν, ὥστε, καὶ πρὶν εἰδέναι ὅ τι πράσσουσιν, ἠριστηκότες φαίνεσθαι, ὅπως μὴ αἰσχροὶ μὲν φανούμεθα, ἀσθενεῖς δ' ἐσόμεθα, συμμάχων ἀποροῦντες. Τὸ δὲ τῶν κινδυνευόντων καὶ πονούντων ἐπιμεληθῆναι, ὅπως εἰσιόντες τὰ ἐπιτήδεια ἕξουσιν, αὕτη ἂν ἡμᾶς ἡ θοίνη πλείω εὐφράνειεν, ὡς ἐγώ φημι, ἢ τὸ παραχρῆμα τῇ γαστρὶ
40 χαρίσασθαι. Ἐννοήσατε δ', ἔφη, ὡς, εἰ μηδ' ἐκείνους αἰσχυντέον ἦν, οὐδ' ὣς ἡμῖν νῦν προσήκει οὔτε πλησμονῆς πω οὔτε μέθης· οὐ γάρ πω διαπέπρακται ἡμῖν ἃ βουλόμεθα, ἀλλ' αὐτὰ πάντα νῦν ἀκμάζει ἐπιμελείας

§. 38. *οὐδ' ἂν αὕτη ἡ εὐωχία*] *οὐδ' ἂν νῦν τὴν εὐωχίαν* codd. Cf. ad III. 3, 14. et IV. 5, 16.

§. 39. *τῶν νῦν διωκόντων*] *τῶν κοινῇ διωκόντων* Vat. aut verum est aut *τῶν κοινῇ νῦν διωκόντων*.

§. 40. *αὐτὰ πάντα*] *αὖ τὰ πάντα* Vat.

§. 38. *προτέροις ἀπόντων τῶν συμμάχων*] prius quam absentes socii. Matth. §. 446. 8.

καὶ τοῖς μάλιστα ἐσπουδασμένοις - χρῆσθαι] Gabr. cibisque ac potionibus frui valde exquisitis; bene, ut arbitror, quum, qui per celeriter paratis priora verba explicant, sententiam a praegressa haud ita multum recedentem Cyro obtrudant.

τοῦτ' ἂν τὸ - ἡμᾶς] *ὅτι τοῦτ' ἂν τὸ ἄριστον πλέον ὠφελήσειεν ἡμᾶς*.

§. 39. *ὅπως μὴ αἰσχροὶ μὲν φανούμεθα*] Vid. ad I. 3, 18. IV. 1, 15.

§. 40. *εἰ μηδ' ἐκείνους αἰσχυντέον ἦν*] etiamsi nobis illorum pudendum non esset, sociorum videlicet hostes persequentium.

αὐτὰ πάντα] ea omnia, quae effecta volumus. Gabr. haec *ἀλλ' αὐτὰ - δεόμενα* vertit: sed nunc maxime summam illa quidem omnia diligentiam desiderant. De sententia cf. Viger. p. 609. n. 39.

δεόμενα. Ἔχομεν γὰρ ἐν τῷ στρατοπέδῳ πολεμίους πολλαπλασίους ἡμῶν αὐτῶν, καὶ τούτους λελυμένους, οὓς καὶ φυλάσσεσθαι ἴσως ἔτι προσήκει καὶ φυλάσσειν, ὅπως ὦσι καὶ οἱ ποιήσοντες ἡμῖν τὰ ἐπιτήδεια. Ἔτι δ' οἱ ἱππεῖς ἡμῖν ἄπεισι, φροντίδα παρέχοντες, ποῦ
εἰσί, κἂν ἔλθωσιν, εἰ παραμενοῦσιν. Ὥστε, ὦ ἄνδρες, 41
νῦν μοι δοκεῖ τοιοῦτον σῖτον ἡμᾶς προσφέρεσθαι δεῖν καὶ τοιοῦτον ποτόν, ὁποῖον ἄν τι συμφορώτατον εἴη
πρὸς τὸ μήτε ὕπνου μήτε ἀφροσύνης ἐμπίπλασθαι. Ἔτι 42
δὲ καὶ χρήματα ἐγὼ οἶδα ὅτι πολλὰ ἐν τῷ στρατοπέδῳ ἔστιν, ὧν οὐκ ἀγνοῶ ὅτι δυνατὸν ἡμῖν, κοινῶν ὄντων τοῖς συγκατειληφόσι, νοσφίσασθαι ὁπόσα ἂν βουλώμεθα· ἀλλ' οὔ μοι δοκεῖ τὸ λαβεῖν κερδαλεώτερον εἶναι τοῦ δικαίους φαινομένους αὐτοὺς τούτῳ πειρᾶσθαι
ἔτι μᾶλλον ποιεῖν ἢ νῦν ἀσπάζεσθαι ἡμᾶς. Δοκεῖ 43
δ' ἔμοιγ', ἔφη, καὶ τὸ νεῖμαι τὰ χρήματα, ἐπειδὰν ἔλθωσι, Μήδοις καὶ Ὑρκανίοις καὶ Τιγράνῃ ἐπιτρέψαι, καί, ἤν τι μεῖον ὑμῖν δάσωνται, κέρδος ἡγεῖσθαι· διὰ
γὰρ τὰ κέρδη ἥδιον ἡμῖν παραμενοῦσι. Τὸ μὲν γὰρ νῦν 44
πλεονεκτῆσαι ὀλιγοχρόνιον ἂν ἡμῖν τὸν πλοῦτον παράσχοι· τὸ δὲ ταῦτα προεμένους ἐκεῖνα κτήσασθαι, ὅθεν

ποῦ εἰσί]. A. B. *ὅπου εἰσί* edd. Vid. ad I. 4, 7.

§. 41. *ὁποῖον ἄν τι συμφορώτατον εἴη*] Haec deteriores libri explicationis causa mutarunt in *ὁποῖόν τις οἴεται μάλιστα σύμφορον εἶναι.* Consentit Vat. nisi quod *βούλεται* habet pro *οἴεται.*

§. 42. *ἐγὼ οἶδα ὅτι*] om. A. B. G. Postea *φαιν. ἐκείνους* (*ἐκείνοις* al.) *τούτῳ πρίασθαι ἔτι μᾶλλον αὐτοὺς ποιεῖν* Vat. et alii, quo loco *αὐτούς* rectius stare arbitror.

κἂν ἔλθωσιν] »Verebatur Cyrus, ne Medi se ad suos reciperent, Armenii et Hyrcani domum discederent.« Fischer.

§. 41. *ὕπνου*] »Ob nimium cibum, et *ἀφροσύνης* ob vinum nimium.« Zeun.

§. 42. *ἀλλ' οὔ μοι δοκεῖ τὸ λαβεῖν – ἡμᾶς*] at praedatio in castris mihi non videtur utilior esse, quam si iustos nos esse appareat, eosque hoc modo eo perducere studeamus, ut maiore etiam nos amore quam nunc complectantur.

§. 43. *Δοκεῖ δ' ἔμοιγ' – ἐπιτρέψαι*] §. 41. *δεῖν* adiectum, quod ne hic quoque deesse putes, prohibet observatio ad 5, 16. adscripta. Ceterum consilium hoc Cyri reprehendit Weiskius, tametsi ex c. 5, 44 sqq. recte coniectavit hac ratione effectum esse, ut ne Medi et Hyrcani captos equos sibi vindicarent.

§. 44. *ταῦτα*] videlicet *τὰ κέρδη*, quas voces simplicissimum est etiam ad *ἐκεῖνα* cogitatione suppleri.

ὁ πλοῦτος φύεται, τοῦτο, ὡς ἐγὼ δοκῶ, ἀενναότερον ἡμῖν δύναιτ' ἂν τὸν ὄλβον καὶ πᾶσι τοῖς ἡμετέροις παρέ-
45 χειν. Οἶμαι δ', ἔφη, καὶ οἴκοι ἡμᾶς τούτου ἕνεκεν ἀσκεῖν καὶ γαστρὸς κρείσσους εἶναι καὶ κερδέων ἀκαίρων, ἵν', εἴ ποτε δέοι, δυναίμεθα αὐτοῖς συμφόρως χρῆσθαι· ποῦ δ' ἂν ἐν μείζοσι τῶν νῦν παρόντων ἐπι-
46 δειξαίμεθ' ἂν τὴν παιδείαν, ἐγὼ μὲν οὐχ ὁρῶ. Ὁ μὲν οὕτως εἶπε· συνεῖπε δ' αὐτῷ Ὑστάσπης, ἀνὴρ Πέρσης τῶν ὁμοτίμων, ὧδε· Δεινὸν γὰρ τἂν εἴη, ὦ Κῦρε, εἰ ἐν θήρᾳ μὲν πολλάκις ἄσιτοι καρτεροῦμεν, ὅπως θηρίον τι ὑποχείριον ποιησώμεθα, καὶ μάλα μικροῦ ἴσως ἄξιον· ὄλβον δὲ ὅλον πειρώμενοι θηρᾶν, εἰ ἐμποδών τι ποιησαίμεθα γενέσθαι ἡμῖν, ἃ τῶν μὲν κακῶν ἀνθρώπων ἄρχει, τοῖς δ' ἀγαθοῖς πείθεται, οὐκ ἂν πρέποντα
47 ἡμῖν δοκοίημεν ποιεῖν. Ὁ μὲν οὖν Ὑστάσπης οὕτως εἶπεν· οἱ δ' ἄλλοι πάντες ταῦτα συνῄνουν. Ὁ δὲ Κῦ-

§. 44. ἀενναότερον] πλειότερον alii codd. ut πλοῦτον mox pro ὄλβον.
§. 46. οὐκ ἂν πρέποντα] οὐκ ἂν μὴ πρέπ. signo interrogandi ad finem posito Leuncl. Weckherl. καὶ οὐκ ἂν πρ. Weisk. πῶς ἂν πρ. coni. Schneid.

§. 45. ἡμᾶς – ἀσκεῖν] i. e. ὅτι ἡμεῖς – ἠσκοῦμεν. Ita supra I. 3, 4. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν. IV. 2, 27. ἀκούειν. Anab. I. 6, 5. ἔφη δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε. VI. 6, 27. εἰ καὶ οἴει με ἀδικοῦντά τι ἄγεσθαι. I. 4, 12. ἔφασαν αὐτοὺς πάλαι ταῦτα εἰδότας κρύπτειν. Matth. §. 499.

τῶν νῦν παρόντων] i. e. ἢ ταῦτα ἃ νῦν πάρεστι. Antea quo iure ὅπου δ' ἂν legere Schneid. maluerit, dictum alibi. Cf. not. crit. ad §. 40.

§. 46. Δεινὸν γὰρ τἂν εἴη] nam omnino turpe esset. Eandem crasin faciunt μέν τοι ἄν, de qua vid. ad II. 1, 9.

καρτεροῦμεν] Demosth. Leptin. p. 497. v. 15. (Apparat. III. p. 251.) πῶς γὰρ οὐχὶ καὶ κατὰ τοῦτο δεινότατ' ἂν πεπονθὼς ὁ Χαβρίας φανείη, εἰ μὴ μόνον ἐξαρκέσει τοῖς τὰ τοιαῦτα πολιτευομένοις τὸν ἐκείνου δοῦλον Λυκίδαν πρόξενον ὑμέτερον πεποιηκέναι, ἀλλ' εἰ καὶ διὰ τοῦτον πάλιν τῶν ἐκείνῳ τι δοθέντων ἀφέλοιντο. Platonis Apol. locum, ubi similiter ab indicativo ad optativum oratio deflectit, in grammat. §. 524. 1. allatum illustravit Matth. Adde not. ad I. 6, 13. et IV. 2, 37.

οὐκ ἂν πρέποντα ἡμῖν δοκοίημεν ποιεῖν] Poterant haec abesse, si quidem verba δεινόν τἂν εἴη etiam ad alterum membrum repetere possumus, sed sensit sine dubio Hystaspes illud δεινὸν ἂν εἴη aptius de feris venandis quam de acquirendis rebus omnibus dici, unde leniore post-

ρος εἶπεν, Ἄγε δή, ἔφη, ἐπειδὴ ὁμονοοῦμεν ταῦτα, πέμψατε ἀπὸ λόχου ἕκαστος πέντε ἄνδρας τῶν σπουδαιοτάτων· οὗτοι δὲ περιϊόντες, οὓς μὲν ἂν ὁρῶσι πορσύνοντας τὰ ἐπιτήδεια, ἐπαινούντων· οὓς δ' ἂν ἀμελοῦντας, κολαζόντων ἀφειδέστερον ἢ ὡς δεσπόται. Οὗτοι μὲν δὴ ταῦτα ἐποίουν.

CAPUT III.

Persarum res equestris decernitur.

Τῶν δὲ Μήδων τινὲς ἤδη, οἱ μὲν ἁμάξας προωρμημένας καταλαβόντες καὶ ἀποστρέψαντες προςήλαυνον μεστὰς ὧν δεῖται στρατιά· οἱ δὲ καὶ ἁρμαμάξας γυναικῶν τῶν βελτίστων, τῶν μὲν γνησίων, τῶν δὲ καὶ παλλακίδων διὰ τὸ κάλλος συμπεριαγομένων, καὶ ταύτας εἰληφότες προςῆγον. 1
Πάντα γὰρ ἔτι καὶ νῦν οἱ κατὰ τὴν Ἀσίαν στρατευόμενοι ἔχοντες τὰ πλείστου ἄξια στρατεύονται, λέγοντες, ὅτι μᾶλλον μάχοιντ' ἄν, εἰ τὰ φίλτατα παρείη· τούτοις γάρ φασιν ἀνάγκην εἶναι προθυ- 2

Cap. III. §. 1. *καὶ ταύτας*] *καί* abest codd.
§. 2. *Πάντα γάρ*] Dedi cum Vat. pro *πάντες γάρ*. Supra c. 2. §. 2. est *οἱ πολλοί*.

hac locutione utitur. Sensus est enim: si absurdum est vilissimae ferae causa ieiunium perferre, in summa rerum omnium abundantia venanda non solum absurdum est, sed dedecet nos committere, ut cupiditates ulli nobis impedimento sint futurae.

§. 47. *Ἄγε δή – πέμψατε*] Apol. §. 14. *Ἄγε δή, ἀκούσατε.* Epictet. Diss. I. 6, 28. *Ἄγε, δυνάμεις δ' οὐκ εἰλήφατε, καθ' ἃς οἴσετε πᾶν τὸ συμβαῖνον;*

Cap. III. §. 1. *καὶ ταύτας*] *οὐ μόνον τὰς γνησίας, ἀλλὰ καὶ τὰς παλλακίδας.* Ad genitivos illos *γυναικῶν τῶν βελτίστων* non videtur necesse esse ex superioribus *μεστάς* supplicatur. Sic enim Lucian. Charon. p. 508 sq. (56. Lehm.) *καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος*, sed aliquot versibus post *οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος;*

§. 2. *τὰ φίλτατα*] quae ante dixerat *τὰ πλείστου ἄξια*, res ob summum pretium carissimas. Qui liberos intelligunt et coniuges, ut Monk. ad Eurip. Hippol. 969. et Wuestem. ad Al-

μως ἀλέξειν. Ἴσως μὲν οὖν οὕτως ἔχει· ἴσως δὲ καὶ ποιοῦσιν αὐτὰ τῇ ἡδονῇ χαριζόμενοι.

3 Ὁ δὲ Κῦρος, θεωρῶν τὰ τῶν Μήδων ἔργα καὶ Ὑρκανίων, ὥςπερ κατεμέμφετο καὶ ἑαυτὸν καὶ τοὺς σὺν αὐτῷ, εἰ οἱ ἄλλοι ἂν τοῦτον τὸν χρόνον ἀκμάζειν τε μᾶλλον ἑαυτῶν ἐδόκουν καὶ προςκτᾶσθαί τι, αὐτοὶ δ' ἐν ἀργοτέρᾳ χώρᾳ ὑπομένειν. Καὶ γὰρ δὴ οἱ ἀπάγοντες καὶ ἀποδεικνύντες Κύρῳ ἃ ἦγον, πάλιν ἀπήλαυνον, μεταδιώκοντες τοὺς ἄλλους· ταῦτα γάρ σφισιν ἔφασαν προστετάχθαι ποιεῖν ὑπὸ τῶν ἀρχόντων. Δακνόμενος δὴ ὁ Κῦρος ἐπὶ τούτοις, ταῦτα μὲν ὅμως κατεχώριζε· συνεκάλει δὲ πάλιν τοὺς ταξιάρχους, καὶ στὰς ὅπου αὐτοῦ ἔμελλον ἀκούσεσθαι τὰ βουλευόμενα λέγει τάδε·

4 Ὅτι μέν, ὦ ἄνδρες φίλοι, εἰ κατάσχοιμεν τὰ νῦν προφαινόμενα, μεγάλα μὲν ἂν ἅπασι Πέρσαις ἀγαθὰ γένοιτο, μέγιστα δ' ἂν εἰκότως ἡμῖν, δι' ὧν πράσσεται, πάντες, οἶμαι, γιγνώσκετε· ὅπως δ' ἂν αὐτῶν ἡμεῖς κύριοι γιγνοίμεθα, μὴ αὐτάρκεις ὄντες κτήσασθαι αὐτά, εἰ μὴ ἔσται οἰκεῖον ἱππικὸν Πέρσαις, τοῦτ' ἐγὼ οὐκέτι

5 ὁρῶ. Ἐννοεῖτε γὰρ δή, ἔφη· ἔχομεν ἡμεῖς οἱ Πέρσαι ὅπλα, οἷς δοκοῦμεν τρέπεσθαι τοὺς πολεμίους ὁμόσε ἰόντες· καὶ δὴ τρεπόμενοι, ποίους ἢ ἱππέας ἢ τοξότας

§. 3. *οἱ ἄλλοι ἂν*] *ἂν* defendi ad Conviv. p. 101.
καὶ ἀποδεικνύντες] *καί* abest ab edd. vett. Postea *τετάχθαι* eaedem habent, denique *ὅπου ἔμελλεν ἂν ἐξακούεσθαι τὰ λεγόμενα, εἶπε τάδε*, sed neque *τὰ λεγόμενα* neque *τὰ βουλευόμενα* a scriptore profecta videntur.

cest. 350., his contradixit Schaefer. in Apparat. Demosth. I. p. 290 sq.

τούτοις γάρ φασιν - ἀλέξειν] haec enim necesse esse affirmant ut fortiter defendant.

§. 3. *ὥςπερ κατεμέμφετο*] Attigit Heindorf. ad Platon. Phaedon. p. 143. et nos ad IV. 1, 13. Redde et haec et seqq. hunc in modum: propemodum succensebat et sibi ipse et suis, quod ceteri (si soli omnia conficerent) hoc tempore et vigere magis ipsis visuri essent et aliquid acquirere, ipsi vero in otio ibi delitescere, et ignavis adnumerari malle.

ὅπου αὐτοῦ ἔμελλον ἀκ. τὰ βουλευόμενα] ubi eius consilia audituri erant centuriones. Zonar. *συγκαλέσας τοὺς ταξιάρχας συνεβούλευεν ἱππικὸν καὶ τοὺς Πέρσας κτήσασθαι, ἵνα τούτῳ τοὺς ἱππότας διώκοιεν.*

§. 5. *καὶ δὴ τρεπόμενοι*] Fac in fugam eos converti.

ἢ πελταστὰς ἢ ἀκοντιστὰς ἄνευ ἵππων ὄντες δυναίμεθ' ἂν φεύγοντας ἢ λαβεῖν ἢ κατακαίνειν; Τίνες δ' ἂν φοβοῖντο ἡμᾶς προσιόντες κακοῦν ἢ τοξόται ἢ ἀκοντισταὶ ἢ ἱππεῖς, εὖ εἰδότες, ὅτι οὐδεὶς αὐτοῖς κίνδυνος ὑφ' ἡμῶν κακόν τι παθεῖν μᾶλλον ἢ ὑπὸ τῶν πεφυκότων δένδρων; Εἰ δ' οὕτω ταῦτα ἔχει, εὔδηλον, ὅτι οἱ 6
νῦν παρόντες ἡμῖν ἱππεῖς νομίζουσι πάντα τὰ ὑποχείρια γιγνόμενα ἑαυτῶν εἶναι οὐχ ἧσσον ἢ ἡμέτερα, ἴσως δέ, νὴ Δία, καὶ μᾶλλον. Νῦν μὲν οὖν οὕτω ταῦτα ἔχει 7
κατ' ἀνάγκην. Εἰ δὲ ἡμεῖς ἱππικὸν κτησαίμεθα μὴ χεῖρον τούτων, οὐ πᾶσιν ἡμῖν καταφανὲς, ὅτι τοὺς πολεμίους δυνάμεθα καὶ ἄνευ τούτων ποιεῖν ὅσαπερ καὶ νῦν σὺν τούτοις, τούτους τε ἔχοιμεν ἂν τότε μετριώτερον πρὸς ἡμᾶς φρονοῦντας; Ὁπότε γὰρ ἢ παρεῖναι ἢ ἀπεῖναι βούλοιντο, ἧττον ἂν ἡμῖν μέλοι, εἰ αὐτοὶ ἄνευ τούτων ἀρκοίημεν ἡμῖν αὐτοῖς. Εἶεν. Ταῦτα μὲν δή, οἴ- 8
μαι, οὐδεὶς ἂν ἀντιγνωμονήσειε, μὴ οὐχὶ τὸ πᾶν δια-

§. 5. κατακαίνειν] ἀποκτεῖναι et κατακανεῖν alii.
κακοῦν] κακουργεῖν etiam Vat.

§. 6. εὔδηλον] οὐκ εὔδηλον, ἔφη alii.

§. 7. καὶ νῦν] καί ex Vat. accessit.
μέλοι, εἰ αὐτοί] μέλοι· καὶ γὰρ αὐτοί codd. omissa post γάρ vel αὐτοί vocula ἄν.

Laudavit Hermann. ad Viger. p. 839.

Τίνες δ' ἂν φοβοῖντο ἡμᾶς προσιόντες κακοῦν] Quinam vererentur nobis appropinquare et iniuriam inferre?

§. 6. οἱ νῦν παρόντες ἡμῖν ἱππεῖς] videlicet Medorum, Armeniorum et Hyrcanorum.

πάντα τὰ ὑποχ. γιγνόμενα] omnia, quae capiuntur, etiam ea, quibus nondum potiti erant equites. Nihil certe opus est aoristo γενόμενα. Vid. ad c. 5, 15.

καὶ μᾶλλον] νομίζουσι ταῦτα ἑαυτῶν εἶναι ἢ ἡμέτερα.

§. 7. μὴ χεῖρον τούτων] μὴ χεῖρον τοῦ τούτων ἱππικοῦ. Cf. quem ad III. 3, 41. excitavi Matthiaeum.

τοὺς πολεμίους δυνάμεθα — ποιεῖν ὅσαπερ] Supra II. 3, 18. ταὐτὰ ἐποίησαν τοὺς ταῖς βώλοις βάλλοντας. Anab. V. 7, 2. μὴ ποιήσειαν οἷα καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν καὶ τοὺς ἀγορανόμους. Ibid. III. 2, 3. παθεῖν οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.

§. 8. μὴ οὐχὶ τὸ πᾶν διαφέρειν] quin omnino praestet. Easdem negationes infinitivo iunctas legimus et illustravimus ad I. 4, 2. Cf. etiam I. 6, 13.

φέρειν γενέσθαι Περσῶν οἰκεῖον ἱππικόν. Ἀλλ' ἐκεῖνο ἴσως ἐννοεῖτε, πῶς ἂν τοῦτο γένοιτο. Ἆρ' οὖν σκεψώμεθα, εἰ βουλοίμεθα καθιστάναι ἱππικόν, τί ἡμῖν
9 ὑπάρχει καὶ τίνος ἐνδεῖ; Οὐκοῦν ἵπποι μὲν οὗτοι πολλοὶ ἐν τῷ στρατοπέδῳ κατειλημμένοι, καὶ χαλινοί, οἷς πείθονται, καὶ τἄλλα, ὅσα δεῖ ἵπποις ἔχουσι χρῆσθαι. Ἀλλὰ μὴν καὶ οἷς γε δεῖ ἄνδρα ἱππέα χρῆσθαι ἔχομεν, θώρακας μέν, ἐρύματα τῶν σωμάτων, παλτὰ δέ, οἷς
10 καὶ μεθιέντες καὶ ἔχοντες χρῴμεθ' ἄν. Τί δὴ τὸ λοιπόν; Δῆλον ὅτι ἀνδρῶν δεῖ. Οὐκοῦν τοῦτο μάλιστα ἔχομεν· οὐδὲν γὰρ οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. Ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι οὐκ ἐπιστάμεθα. Μὰ Δί'· οὐδὲ γὰρ τούτων τῶν ἐπισταμένων νῦν, πρὶν μαθεῖν, οὐδεὶς
11 ἠπίστατο. Ἀλλ' εἴποι ἄν τις, ὅτι παῖδες ὄντες ἐμάνθανον. Καὶ πότερα παῖδές εἰσι φρονιμώτεροι, ὥςτε μαθεῖν τὰ φραζόμενα καὶ δεικνύμενα, ἢ ἄνδρες; πότεροι δὲ ἃ ἂν μάθωσιν ἱκανώτεροι τῷ σώματι ἐκπονεῖν, οἱ
12 παῖδες ἢ οἱ ἄνδρες; Ἀλλὰ μὴν σχολή γε ἡμῖν μανθάνειν, ὅση οὔτε παισὶν οὔτε ἄλλοις ἀνδράσιν· οὔτε γὰρ τοξεύειν ἡμῖν μαθητέον, ὥςπερ τοῖς παισί· προεπιστάμεθα γὰρ τοῦτο· οὔτε μὴν ἀκοντίζειν· ἐπιστάμεθα γὰρ

§. 9. ἵπποις ἔχουσι] ἵππους ἔχουσι alii.
§. 12. ἐπιστάμεθα γὰρ τοῦτο] καί de coniectura temere illatum ante τοῦτο.

Ἆρ' οὖν σκεψώμεθα, – ἐνδεῖ;] Nonne igitur, si equitatum constituere velimus, consideremus, quid nobis adsit et quid desit? Ἆρ' οὖν enim hic quoque in interrogatione, ut II. 2, 18., ponendae erant.

§. 9. καὶ τἄλλα, ὅσα δεῖ ἵπποις ἔχουσι χρῆσθαι] i. e. ὅσα ἔχουσιν ἵπποις δεῖ χρῆσθαι, et reliqua, quae habentibus equis uti oportet, h. e. et reliqua, quae quum habeant equi, uti (his equis) oportet. Dicta putes pro ὅσα ἔχοντες οἱ ἵπποι χρήσιμοί εἰσιν. Quodsi ἵππους probares, relativum pronomen ὅσα per attractionem praeter morem Graecorum admissam cum τἄλλα iungendum atque de dativo consulendus esset Matthiae §. 385. Sententia tum foret: et reliqua, quae habere oportet quicunque equis utuntur.

§. 10. οὐκ ἐπιστάμεθα] scil. χρῆσθαι τοῖς ἵπποις.

Μὰ Δί'· οὐδὲ γὰρ τούτων] Plene scripsisset Μὰ Δί'; οὐκ ὀρθῶς τις ἐρεῖ ταῦτα, οὐδὲ γὰρ τούτων κ. τ. λ. Negare enim iurandi voculas μὰ Δία, ad I. 4, 27. docui.

τοῦτο· ἀλλ' οὐδὲ μὴν, ὥςπερ καὶ τοῖς ἄλλοις ἀνδράσι, τοῖς μὲν γεωργίαι ἀσχολίαν παρέχουσι, τοῖς δὲ τέχναι, τοῖς δὲ ἄλλα οἰκεῖα· ἡμῖν δὲ στρατεύεσθαι οὐ μόνον σχολὴ, ἀλλὰ καὶ ἀνάγκη. 13 Ἀλλὰ μὴν οὐχ, ὥςπερ ἄλλα πολλὰ τῶν πολεμικῶν χαλεπὰ μὲν, χρήσιμα δέ· ἱππικὴ δὲ οὐκ ἐν ὁδῷ μὲν ἡδίων ἢ αὐτοῖν τοῖν ποδοῖν πορεύεσθαι; ἐν δὲ σπουδῇ οὐχ ἡδὺ ταχὺ μὲν φίλῳ παραγενέσθαι, εἰ δέοι, ταχὺ δέ, εἴτε ἄνδρα εἴτε θῆρα δέοι διώκεσθαι, καταλαβεῖν; Ἐκεῖνο δὲ οὐχὶ εὐπετές, τὸ, ὅ τι ἂν δέῃ ὅπλον φέρειν, τὸν ἵππον τοῦτο συμφέρειν; οὐκοῦν ταὐτό γ' ἐστὶν ἔχειν τε καὶ φέρειν. 14 Ὅ γε μὴν μάλιστά γε ἄν τις φοβηθείη, μή, εἰ δεήσει ἐφ' ἵππου κινδυνεύειν πρότερον ἡμᾶς, πρὶν ἀκριβοῦν τὸ ἔργον

§. 13. οὐκοῦν ταὐτό γ' ἐστὶν ἔχειν τε καὶ φέρειν] »legendum accentu duntaxat mutato: οὔκουν ταὐτό γ' – φέρειν. Nequaquam, inquit, perinde est arma habere et portare. Portat enim arma pedes, eorumque onere defatigatur: eques vero habet tantummodo, onus ferente equo.« L. Dind. Equidem malim οὔκουν – φέρειν; nonne perinde est, utrum equitem dicas habere arma an portare?

§. 12. τοῖς ἄλλοις ἀνδράσι, τοῖς μέν] Explicationis causa illa τοῖς μέν, τοῖς δέ, praegressis adnectuntur eodem modo, quo in exemplis ad I. 1, 1. allatis.

ἄλλα οἰκεῖα] Suppleas οὕτω καὶ ἡμῖν τὰ τοιαῦτα ἀσχολίαν παρέχει. Sic paullo post §. 13. ante ἱππική collocatum cogita οὕτω καὶ ἱππικὴ ἔχει. Vectigal. IV. 6. Καὶ γὰρ οὐδ' ὥςπερ ὅταν πολλοὶ χαλκοτύποι γένωνται, ἀξίων γενομένων τῶν χαλκευτικῶν ἔργων, καταλύονται οἱ χαλκοτύποι καὶ οἱ σιδηρεῖς γε ὡςαύτως· – ἀργυρῖτις δὲ ὅσῳ ἂν πλείων φαίνηται, καὶ ἀργύριον πλεῖον γίγνηται, τοσούτῳ πλείονες ἐπὶ τὸ ἔργον τοῦτο ἔρχονται. Vid. ad Conviv. II. 17.

§. 13. ἱππική] Articulum si quis praemissum velit, consulat Schaefer. in Mell. crit. p. 4 sq.

οὐκοῦν ταὐτό γ' ἐστὶν ἔχειν τε καὶ φέρειν] itaque unum est idemque habere arma et gestare, so ist es also eins und dasselbe, die Waffen zu haben und zu tragen. Proprie enim pedites dici possunt φέρειν τὰ ὅπλα atque equites ἔχειν τὰ ὅπλα, sed iure, inquit Cyrus, utrumque de equite valet, qui etsi non gestat, tamen habet arma, etsi habet, tamen non gestat. In alia omnia abierunt interpretes, ut Caselius: idem autem est rem habere eamque usui esse (συμφέρειν). Weiskius: perinde esse, sive quis ipse arma ferat, sive ferenda imponat equo; modo secum (s. ad manum) habeat. Cf. not. crit.

§. 14. φοβηθείη] Suppressum hic, quod sexcenties deest, τοῦτό ἐστι· φοβηθείη ἄν τις, μή. Vid. Buttmann. §. 138. IV. 5. His suppletis patet, quam apte postea

τοῦτο, κἄπειτα μήτε πεζοὶ ἔτι ὦμεν μήτε πω ἱππεῖς ἱκανοί, ἀλλ' οὐδὲ τοῦτο ἀμήχανον· ὅπου γὰρ ἂν βουλώμεθα, ἐξέσται ἡμῖν πεζοῖς εὐθὺς μάχεσθαι· οὐδὲν γὰρ τῶν πεζικῶν ἀπομαθησόμεθα, ἱππεύειν μανθάνοντες.
15 Κῦρος μὲν οὕτως εἶπε· Χρυσάντας δὲ συναγορεύων αὐτῷ ὧδε ἔλεξεν·

'Αλλ' ἐγὼ μέν, ἔφη, οὕτως ἐπιθυμῶ ἱππεύειν μαθεῖν, ὡς νομίζω, ἢν ἱππεὺς γένωμαι, ἄνθρωπος πτη-
16 νὸς γενέσθαι. Νῦν μὲν γὰρ ἔγωγε ἀγαπῶ, ἤν γ', ἐξ ἴσου τῳ θεῖν ὁρμηθεὶς ἀνθρώπων, μόνον τῇ κεφαλῇ προσχῶ, κἄν, θηρίον παραθέον ἰδών, δυνασθῶ διατεινάμενος φθάσαι, ὥςτε ἀκοντίσαι ἢ τοξεῦσαι, πρὶν πάνυ πρόσω αὐτὸ γενέσθαι. Ἢν δὲ ἱππεὺς γένωμαι, δυνήσομαι μὲν ἄνδρα ἐξ ὄψεως μήκους καθαιρεῖν· δυνήσομαι δέ, θηρία διώκων, τὰ μὲν ἐκ χειρὸς παίειν καταλαμβάνων, τὰ δὲ ἀκοντίζειν ὥςπερ ἑστηκότα· καὶ γὰρ ἂν ἀμφότερα ταχέα ᾖ, ὅμως ἂν πλησίον γίγνηται ἀλλή-
17 λων, ὥςπερ τὰ ἑστηκότα ἔσται. Ὃ δὲ δὴ μάλιστα δοκῶ [ζώων], ἔφη, ἐζηλωκέναι ἱπποκενταύρους, εἰ ἐγέ-

§. 16. ὅμως ἂν πλησίον] Codicum et edd. vett. ope scribendum putavi in Diss. de gem. Cyr. rec. p. 69. ὅμως δὲ πλησίον legebatur.
§. 17. ζώων] Steph. ζῶν codd. ζῶον Schneid. Importunum

opponantur haec: ἀλλ' οὐδὲ τοῦτο ἀμήχανον, i. e. sed et huius rei in promtu est remedium.

κἄπειτα] Illud καί praefixum ex mutatione quadam structurae repete; antea enim dicendum erat: φοβηθείη ἄν τις, μὴ δεήσῃ ἐφ' ἵππον – κἄπειτα.

§. 15. γενέσθαι] Voculam ἄν interserentibus minime assensus est Lobeck. ad Phryn. p. 751 sq.

§. 16. Νῦν μὲν γὰρ ἔγωγε ἀγαπῶ, – προσχῶ] Nunc enim equidem bene mecum actum puto, si, ex eadem statione s. iisdem e carceribus cursus certamine cum aliquo hominum inito, capite tantum eum anteverterо.

ἐξ ὄψεως μήκους καθαιρεῖν] aspectus intervallo distantem consequi.

ἐκ χειρός] cominus, quam vim etiam in Soph. Aiac. v. 27. locum habere ostendit Hermann.

καὶ γὰρ ἂν ἀμφότερα – ἑστηκότα ἔσται] etenim etsi et eques et fera veloces sunt, ita ut haec illum effugere possit, tamen cum alter alteri appropinquat, ambo stare videbuntur. Minus incommoda scriptura fuerit καὶ γάρ, ἂν ἀμφ. ταχέα ᾖ, ὁμοίως δὲ πλησίον γίγνηται ἀλ. nam si ambo veloces sunt, sed aequali ratione sibi invicem appropinquant etc.

§. 17. Ὃ δὲ δὴ μάλιστα δοκῶ ζώων, ἔφη – εἰ ἐγένοντο]

νοντο, ὥστε προβουλεύεσθαι μὲν ἀνθρώπου φρονήσει,
ταῖς δὲ χερσὶ τὸ δέον παλαμᾶσθαι, ἵππου δὲ τάχος ἔχειν
καὶ ἰσχύν, ὥστε τὸ μὲν φεῦγον αἱρεῖν, τὸ δὲ ὑπομένον
ἀνατρέπειν, οὔκουν ταῦτα πάντα καὶ ἐγὼ ἱππεὺς γενό-
μενος συγκομίζομαι πρὸς ἐμαυτόν; Προνοεῖν μέν γε 18
ἕξω πάντα τῇ ἀνθρωπίνῃ γνώμῃ, ταῖς δὲ χερσὶν ὁπλο-
φορήσω, διώξομαι δὲ τῷ ἵππῳ, τὸν δ' ἐναντίον ἀνατρέ-
ψω τῇ τοῦ ἵππου ῥώμῃ, ἀλλ' οὐ συμπεφυκὼς δεδήσο-
μαι, ὥσπερ οἱ ἱπποκένταυροι· οὐκοῦν τοῦτό γε κρεῖτ-
τον ἢ συμπεφυκέναι. Τοὺς μὲν γὰρ ἱπποκενταύρους 19
οἶμαι ἔγωγε πολλοῖς μὲν ἀπορεῖν τῶν ἀνθρώποις εὑρη-
μένων ἀγαθῶν ὅπως δεῖ χρῆσθαι, πολλοῖς δὲ τῶν ἵπ-
ποις πεφυκότων ἡδέων πῶς αὐτῶν χρὴ ἀπολαύειν. Ἐγὼ 20
δέ, ἢν ἱππεύειν μάθω, ὅταν μὲν ἐπὶ τοῦ ἵππου γένω-
μαι, τὰ τοῦ ἱπποκενταύρου δήπουθεν διαπράξομαι·
ὅταν δὲ καταβῶ, δειπνήσω καὶ ἀμφιέσομαι καὶ καθευ-

minus est ζώων quam ζῶον. Ne articulum ante ἱπποκένт. desideres, hoc nomen scito proprium esse.

οὔκουν] οὐκοῦν legebatur.

§. 19. [οὐκοῦν – συμπεφυκέναι] οὔκουν – συμπεφυκέναι; legendum esse statuo. V. C. F. R.]

πολλοῖς δὲ – αὐτῶν] πολλῶν δέ omisso αὐτῶν alii e coniectura.

Quod ad id attinet, cuius rei causa ex animantibus maxime admiratus esse videor hippocentauros, si fuerunt eiusmodi.

οὔκουν ταῦτα πάντα] »Interruptus orationis cursus non fuisset, si illis verbis ὃ δὲ δὴ etc. haec aut alia huiusmodi subiuncta fuissent, τοῦτο ἐγὼ μιμήσομαι· πάντα γὰρ κἀγὼ ταῦτα.« Steph. Comparant verba Hieron. VI. 12. ubi vid. Frotscher. et Matthiae §. 478., quae tamen nonnihil ab nostro loco discrepant. Hippocentauros dixit etiam Diodor. IV. 70.

§. 18. μέν γε] Frustra particulas sollicitari a Schneid. patebit not. ad II. 1, 2. inspicientibus.

τὸν δ' ἐναντίον ἀνατρέψω τῇ τοῦ ἵππου ῥώμῃ] adversarium equi robore prosternam, vel potius ad fugam propellam, ut haec quoque respondeant verbis §. 17. τὸ δὲ ὑπομένον ἀνατρέπειν.

δεδήσομαι] Moeris p. 123. Δεδήσεται, Ἀττικῶς. δεθήσεται, Ἑλληνικῶς. Philem. p. 300. Os. Δεδήσεται, οὐ δεσμωθήσεται. Cf. Buttmann. §. 88. c. n. 1. et Matth. p. 446. ed. 2.

§. 19. πολλοῖς δὲ τῶν – αὐτῶν χρὴ ἀπολαύειν] Dativus πολλοῖς in sequentibus postulabat verbum χρῆσθαι, quod quoniam ad ἡδέων minus aptum est, inserto genitivo αὐτῶν cum ἀπολαύειν permutavit. Sic alia alios casus structurae mutatio peperit, ut accusativos II. 1, 5.

δήσω, ὥςπερ οἱ ἄλλοι ἄνθρωποι· ὥςτε τί ἄλλο ἢ διαι-
21 ρετὸς ἱπποκένταυρος καὶ πάλιν σύνθετος γίγνομαι; Ἔτι
δ', ἔφη, καὶ τοῖςδε πλεονεκτήσω τοῦ ἱπποκενταύρου·
ὁ μὲν γὰρ δυοῖν ὀφθαλμοῖν προεωρᾶτο, καὶ δυοῖν ὤτοιν
ἤκουεν· ἐγὼ δὲ τέτταρσι μὲν ὀφθαλμοῖς τεκμαροῦμαι,
τέτταρσι δὲ ὠσὶ προαισθήσομαι· πολλὰ γάρ φασι καὶ
ἵππον ἀνθρώποις τοῖς ὀφθαλμοῖς προορῶντα δηλοῦν,
πολλὰ δὲ τοῖς ὠσὶ προακούοντα σημαίνειν. Ἐμὲ μὲν
οὖν, ἔφη, γράφε τῶν ἱππεύειν ὑπερεπιθυμούντων.
22 Νὴ τὸν Δί', ἔφησαν οἱ ἄλλοι πάντες, καὶ ἡμᾶς γε. Ἐκ
τούτου δὴ ὁ Κῦρος λέγει· Τί οὖν; ἔφη, ἐπεὶ σφόδρα
ἡμῖν δοκεῖ ταῦτα, εἰ καὶ νόμον ἡμῖν αὐτοῖς ποιησαί-
μεθα αἰσχρὸν εἶναι, οἷς ἂν ἵππους ἐγὼ πορίσω, ἤν
τις φανῇ πεζῇ ἡμῶν πορευόμενος, ἤν τε πολλὴν ἤν τε
ὀλίγην ὁδὸν δέῃ διελθεῖν; ἵνα καὶ παντάπασιν ἱππο-
23 κενταύρους ἡμᾶς οἴωνται οἱ ἄνθρωποι εἶναι. Ὁ μὲν
οὕτως ἐπήρετο, οἱ δὲ πάντες συνεπῄνεσαν· ὥςτε ἔτι καὶ
νῦν ἐξ ἐκείνου χρῶνται Πέρσαι οὕτω, καὶ οὐδεὶς ἂν
τῶν καλῶν κἀγαθῶν ἑκὼν ὀφθείη Περσῶν οὐδαμῇ πε-
ζὸς ἰών. Οἱ μὲν δὴ ἐν τούτοις τοῖς λόγοις ἦσαν.

§. 21. *ἔφησαν*] *ἔφασαν* alii.
§. 22. *δοκεῖ ταῦτα, εἰ καὶ – ποιησαίμεθα*] *ταῦτα δοκεῖ, ἢ καὶ – ποιησαίμεθ' ἂν* Pop. *ποιησόμεθα* V. M. *ποιησώμεθα* m. Vill.

§. 21. *γράφε τῶν ἱππ.*] Suppleri *ἕνα* iussi ad II. 3, 7. Sed mirum, quod libri aliquot praestantissimi *γραφέτω τῶν ἱππ.* exhibuerunt, cuius rationem scripturae perspicias ex Conviv. V. 2. *τὸν λαμπτῆρα ἐγγὺς προσενεγκάτω.* Cyrop. IV. 5, 42. et Buttm. §. 116. n. 6.

ἔφησαν] Notanda aoristi significatio hic et VI. 3, 10., modo verum sit discrimen, quod posuerunt Buttm. §. 97. 2. et Matth. §. 215. n. 4. p. 411. ed. 2.

§. 22. *ἵνα καὶ παντάπασιν – οἴωνται*] Iunge cum *νόμον ἡμῖν αὐτοῖς ποιησαίμεθα*, nec magis in coniunctivo *οἴωνται* post optativum illato haerebis, quam post praeteritum tempus c. 2, 12.

§. 23. *οὐδαμῇ πεζὸς ἰών*] »Posterior aetas in mollitiem versa etsi equos molliter insternere coepit, morem tamen a maioribus traditum servavit.« Weiske. Vid. nostra in Epilog. p. 71 sq.

CAPUT IV.

Captivi ut contineantur sub imperio, dimittuntur liberi.

1 Ἡνίκα δ' ἦν ἔξω μέσου ἡμέρας, προςήλαυνον μὲν οἱ Μῆδοι ἱππεῖς καὶ οἱ Ὑρκάνιοι, ἵππους τε ἄγοντες αἰχμαλώτους καὶ ἄνδρας· ὅσοι γὰρ τὰ ὅπλα παρεδίδοσαν, οὐ κατέκανον·
2 ἐπεὶ δὲ προςήλασαν, πρῶτον μὲν αὐτῶν ἐπυνθάνετο ὁ Κῦρος, εἰ σωθεῖεν πάντες αὐτῷ· ἐπεὶ δὲ τοῦτ' ἔφασαν, ἐκ τούτου ἠρώτα ὅ τι ἔπραξαν. Οἱ δὲ διηγοῦντο ἅ τε ἐποίησαν καὶ ὡς ἀνδρείως ἕκαστα ἐμεγαληγόρουν.
3 Ὁ δὲ διήκουέ τε ἡδέως πάντων, ὅσα ἐβούλοντο λέγειν· ἔπειτα δὲ καὶ ἐπῄνεσεν αὐτοὺς οὕτως· Ἀλλὰ καὶ δῆλοί τοι, ἔφη, ἐστὲ, ὅτι ἄνδρες ἀγαθοὶ ἐγένεσθε· καὶ γὰρ μείζους, ἔφη, φαίνεσθε, καὶ καλλίους, καὶ γοργότεροι ἢ πρόσθεν ἰδεῖν.
4 Ἐκ δὲ τούτου ἐπυνθάνετο ἤδη αὐτῶν, καὶ ὁπόσην ὁδὸν διήλασαν, καὶ εἰ οἰκοῖτο ἡ χώρα. Οἱ δ' ἔλεγον, ὅτι καὶ πολλὴν διελάσειαν, καὶ πᾶσα οἰκοῖτο ἡ χώρα, καὶ μεστὴ εἴη καὶ οἰῶν καὶ αἰγῶν καὶ βοῶν καὶ ἵππων καὶ σίτου καὶ πάν-

Cap. IV. §. 1. *ἦν ἔξω μέσου ἡμέρας*] *ἔξω μέσου ἡμέρα ἐγένετο* boni codd.

κατέκανον] *κατέκαινον* vulgo, ut *κατεκαίνετε* §. 6.

§. 2. *εἰ σωθεῖεν πάντες αὐτῷ*] Libri scripti commendant *εἴ οἱ σωθεῖεν πάντες αὐτῶν.*

ἐμεγαληγόρουν] Malim *μεγαληγοροῦντες.*

§. 3. *διήκουέ τε ἡδέως πάντων*] *διήκουε* vel *διηκούετο πάντα ἡδέως* alii, *διήκουε τότε ἡδ.* Iacobs. Post *μείζους* ex m. Vict. *ἔφη* accessit.

§. 4. *ἡ χώρα, καὶ*] *ἡ χώρα* abest Pariss.

Cap. IV. §. 1. *ἦν ἔξω μέσου ἡμέρας*] post meridiem. Hellen. I. 6, 20. *ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν.* Anab. I. 8, 8. VII. 3, 44. Etenim *ἔτι φάους ὄντος* ut redirent, Cyrus c. 2, 26. postulaverat.

§. 2. *διηγοῦντο ἅ τε ἐποίησαν*] Debebat dici *διηγοῦντό τε ἃ ἐποίησαν, καὶ ἐμεγαληγόρουν, ὡς ἀνδρείως ἕκαστα ἐποίησαν,* necdum firmam satis sedem habet illud *τέ* in verbis *ἅ τε ἐποίησαν*, quorum loco vetusta lectio *ἅπερ ἐποίησαν* substituenda esse videtur.

§. 3. *διήκουέ τε ἡδέως πάντων*] diligenter et libenter ex omnibus audivit. In altero membro infertur *δὲ καί*, ut II. 1, 22.

5 των ἀγαθῶν. Δυοῖν ἄν, ἔφη, ἐπιμελητέον ἡμῖν εἴη,
ὅπως τε κρείσσους ἐσόμεθα τῶν αὐτὰ ἐχόντων, καὶ ὅπως
οὗτοι μενοῦσιν· οἰκουμένη μὲν γὰρ χώρα πολλοῦ ἄξιον
κτῆμα· ἐρήμη δ' ἀνθρώπων οὖσα ἐρήμη καὶ τῶν ἀγαθῶν
6 γίγνεται. Τοὺς μὲν οὖν ἀμυνομένους, ἔφη, οἶδα ὅτι
κατεκάνετε, ὀρθῶς ποιοῦντες· τοῦτο γὰρ μάλιστα σώζει
τὴν νίκην· τοὺς δὲ παραδιδόντας αἰχμαλώτους ἠγάγετε·
οὓς εἰ ἀφείημεν, τοῦτ' αὐτὸ σύμφορον ἄν, ὡς ἐγώ
7 φημι, ποιήσαιμεν. Πρῶτον μὲν γὰρ νῦν οὐκ ἂν φυ-
λάττεσθαι οὐδὲ φυλάττειν τούτους ἡμᾶς δέοι, οὐδ' αὖ
σιτοποιεῖν τούτοις· οὐ γὰρ δὴ λιμῷ γε δήπου κατακα-
νοῦμεν αὐτούς· ἔπειτα δὲ τούτους ἀφέντες πλείοσιν αἰ-
8 χμαλώτοις χρησόμεθα. Ἢν γὰρ κρατῶμεν τῆς χώρας,
πάντες ἡμῖν οἱ ἐν αὐτῇ οἰκοῦντες αἰχμάλωτοι ἔσονται·
μᾶλλον δὲ τούτους ζῶντας ἰδόντες καὶ ἀφεθέντας μενοῦ-
σιν οἱ ἄλλοι, καὶ πείθεσθαι αἱρήσονται μᾶλλον ἢ μά-
χεσθαι. Ἐγὼ μὲν οὖν οὕτω γιγνώσκω· εἰ δ' ἄλλο τις
9 ὁρᾷ ἄμεινον, λεγέτω. Οἱ δὲ ἀκούσαντες συνῄνουν
ταῦτα ποιεῖν. Οὕτω δὴ ὁ Κῦρος καλέσας τοὺς αἰχμα-

§. 6. ἠγάγετε] ἐλάβετε al.

§. 8. ἄλλο τις] ἄλλος τις edd. vett.

§. 5. *Δυοῖν ἄν, ἔφη, ἐπιμελητέον ἡμῖν εἴη*] Hellen. III. 1, 26. *ἡμέτερ' ἂν εἴη, ἔφη, ἐπεὶ κρατοῦμεν*, ubi *οὖν* intersertum voluit Stephanus, perperam. Cyrop. VII. 5, 25. *Οὐκ ἂν ἀμελεῖν δέοι – ἀλλ' ἰέναι.* I. 4, 13. Conviv. III. 9. *Ἀκουστέον ἂν εἴη καὶ σοῦ.*

οὗτοι] *οἱ τὰ ἀγαθὰ ἔχοντες.*

§. 6. *τοὺς δὲ παραδιδόντας*] *τὰ ὅπλα* vel *ἑαυτούς* supplent, quanquam ab h. l. aliena sunt quae de intransitivo verbi *παραδιδόναι* usu afferuntur ad Lamb. Bos. Ellips. p. 128. Schaef.

τοῦτ' αὐτό] hoc ipsum, gerade das.

§. 7. *οὐ γὰρ δὴ λιμῷ γε δήπου κατ. αὐτούς*] nam sane fame quidem, opinor, eos non enecabimus. Crebro in particulas *οὐ γὰρ δή – γε* incidas, sed ubi *δή* cum *δήπου* in eodem membr coniunctum reperiatur, certum mihi exemplum nondum innotuit: unde reponendum videatur *οὐ γὰρ δήπου λιμῷ γε κατ.* Plat. Protag. §. 2. p. 459. Heind. *Καὶ σοφωτάτῳ μὲν οὖν δήπου τῶν γε νῦν.* et paullo ante *οὐ γὰρ δήπου τινὶ καλλίονι ἐνέτυχες ἄλλῳ ἔν γε τῇδε τῇ πόλει.* Aeschyl. Prom. 1100. Blomf. *οὐ γὰρ δήπου τοῦτό γε τλητὸν παρέσυρας ἔπος.*

§. 9. *Οἱ δὲ ἀκούσαντες συνῄνουν τ. ποιεῖν*] His illi auditis comprobarunt sic prorsus faciendum esse. Gabr.

λώτους λέγει τοιάδε· Ἄνδρες, ἔφη, νῦν τε, ὅτι ἐπεί- 10
θεσθε, τὰς ψυχὰς περιεποιήσασθε, τοῦ τε λοιποῦ, ἢν
οὕτω ποιῆτε, οὐδ' ὁτιοῦν κακὸν ἔσται ὑμῖν, ἀλλ' ἢ οὐχ
ὁ αὐτὸς ἄρξει ὑμῶν, ὥςπερ καὶ πρότερον· οἰκήσετε δὲ
τὰς αὐτὰς οἰκίας, καὶ χώραν τὴν αὐτὴν ἐργάσεσθε, καὶ
γυναιξὶ ταῖς αὐταῖς συνοικήσετε, καὶ παίδων τῶν ὑμε-
τέρων ἄρξετε, ὥςπερ νῦν. Ἡμῖν μέντοι οὐ μαχεῖσθε, 11
οὐδὲ ἄλλῳ οὐδενί· ἡνίκα δ' ἄν τις ὑμᾶς ἀδικῇ, ἡμεῖς
ὑπὲρ ὑμῶν μαχούμεθα. Ὅπως δὲ μηδ' ἐπαγγέλλῃ μηδεὶς
ὑμῖν στρατεύειν, τὰ ὅπλα πρὸς ἡμᾶς κομίσατε· καὶ τοῖς
μὲν κομίζουσιν ἔσται εἰρήνη καὶ ἃ λέγομεν ἀδόλως· ὁπό-
σοι δ' ἂν τὰ πολεμικὰ μὴ ἀποφέρωσιν ὅπλα, ἐπὶ τού-
τους ἡμεῖς καὶ δὴ στρατευσόμεθα. Ἂν δέ τις ὑμῶν καὶ 12
ἰὼν ὡς ἡμᾶς εὐνοϊκῶς καὶ πράττων τι καὶ διδάσκων
φαίνηται, τοῦτον ἡμεῖς ὡς εὐεργέτην καὶ φίλον, οὐχ
ὡς δοῦλον, περιέψομεν. Ταῦτ' οὖν, ἔφη, αὐτοί τε
ἴστε καὶ τοῖς ἄλλοις διαγγέλλετε. Ἢν δ' ἄρα, ἔφη, 13
ὑμῶν βουλομένων ταῦτα, μὴ πείθωνταί τινες, ἐπὶ τού-
τους ἡμᾶς ἄγετε, ὅπως ὑμεῖς ἐκείνων, μὴ ὑμεῖς ὑπ' ἐκεί-

§. 10. *κακόν*] *καινόν* Zon. Vat. Chis. probo.
ὥςπερ καί] Sic optimi, *ὅςπερ καί* deteriores.
§. 11. *ἐπαγγέλλῃ μηδεὶς ὑμῖν στρατεύειν*] *ἐπαγγελθῇ τις ὑμῖν στρατεία* Pop.
ἀποφέρωσιν] *ἀποτίθωνται* alii.
§. 13. *ὑμεῖς ἐκείνων, μὴ ὑμεῖς ὑπ' ἐκείνων ἄρχησθε*] *ὑμεῖς ἐκείνων, μὴ ἐκεῖνοι ὑμῶν ἄρχωσιν* vulgo.

§. 10. *τοῦ τε λοιποῦ – ἀλλ' ἢ*] Priorem formulam ad Viger. p. 706. posteriorem p. 812. explanavit Hermann.
ὥςπερ καὶ πρότερον] Demosth. Philipp. p. 119. (572. Apparat. Schaef.) *ἀνέχονται καὶ τὸν αὐτὸν τρόπον ὥςπερ τὴν χάλαζαν ἔμοιγε δοκοῦσι θεωρεῖν.* Lobeck. ad Phrynich. p. 427. et nos ad Conviv. p. 134 sq.
§. 11. *καὶ ἃ λέγομεν ἀδόλως*] scil. *ἔσται*, et quae promittimus nos facturos esse (§. 10.), sine dolo, bona fide consequentur. Adverbiis tum maxime *εἶναι* adiungitur, quum in *εἶναι* notio inest verbi *γίγνεσθαι, γενέσθαι.* Cf. ad Anab. IV. 3, 8. Matth. §. 308. et Bremi ad Lys. et Aesch. p. 278.
καὶ δή] i. q. *ἤδη* esse dixi ad III. 1, 2.
§. 12. *καὶ διδάσκων*] Huc quoque praegressa referenda sunt *τι ἡμᾶς εὐνοϊκῶς.*
§. 13. *ὑμεῖς ἐκείνων*] scil. *ἄρχητε*, quod ex seqq. supplendum docuit Poppo. Non nego hanc omissionem multis modis excusari posse et similibus exemplis adstrui, sed oppositio tamen postulabat *ὅπως ὑφ' ὑμῶν ἐκεῖνοι, μὴ ὑμεῖς.*

νων ἄρχησθε. Ὁ μὲν δὴ ταῦτ' εἶπεν· οἱ δὲ προσεκύνουν τε καὶ ὑπισχνοῦντο ταῦτα ποιήσειν.

CAPUT V.

Coena sumitur et castra custodiuntur.

1 Ἐπεὶ δὲ ἐκεῖνοι ᾤχοντο, ὁ Κῦρος εἶπεν· Ὥρα δή, ὦ Μῆδοι καὶ Ἀρμένιοι, δειπνεῖν πᾶσιν ἡμῖν· παρεσκεύασται δὲ ὑμῖν τὰ ἐπιτήδεια, ὡς ἡμεῖς βέλτιστα ἐδυνάμεθα. Ἀλλ' ἴτε, καὶ ἡμῖν πέμπετε τοῦ πεποιημένου σίτου τὸν ἥμισυν· ἱκανὸς δὲ ἀμφοτέροις πεποίηται· ὄψον δὲ μὴ πέμπετε, μηδὲ πιεῖν· ἱκανὰ γὰρ ἔχομεν παρ' ἡμῖν
2 αὐτοῖς παρεσκευασμένα. Καὶ ὑμεῖς δέ, ὦ Ὑρκάνιοι, ἔφη, διάγετε αὐτοὺς ἐπὶ τὰς σκηνάς, τοὺς μὲν ἄρχοντας ἐπὶ τὰς μεγίστας, γιγνώσκετε δέ, τοὺς δ' ἄλλους ὡς ἂν δοκῇ κάλλιστα ἔχειν· καὶ αὐτοὶ δὲ δειπνεῖτε ὅπουπερ ἥδιστον ὑμῖν· σῶαι μὲν γὰρ ὑμῖν καὶ ἀκέραιοι αἱ σκηναί· παρεσκεύασται δὲ καὶ ἐνθάδε, ὥςπερ καὶ τού-
3 τοις. Καὶ τοῦτο δ' ἴστε ἀμφότεροι, ὅτι τὰ μὲν ἔξω ὑμῖν ἡμεῖς νυκτοφυλακήσομεν, τὰ δ' ἐν ταῖς σκηναῖς αὐτοὶ

προσεκύνουν τε καὶ ὑπισχνοῦντο ταῦτα] προσκυνήσαντες ἀπῆεσαν καὶ ταῦτα ἔφασαν Chis.

Cap. V. §. 1. ἀμφοτέροις] et vobis et nobis.

§. 2. γιγνώσκετε δέ] quippe qui in iisdem Assyriorum castris fueritis.

ἐνθάδε] ibi in tentoriis vestris, quae Cyrus intacta reliquerat. Ne quis ὑμῖν adiectum desideret, haud ita raro Graeci primarium pronomen licet in oppositione positum reticuerunt. Infra §. 31. οὐχ ὅπως ἂν θέλωσιν, ἀλλ' ὅπως ἂν σὺ βούλῃ. Anab. III. 4, 41. εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι· ἐγὼ δὲ ἐθέλω πορεύεσθαι. Conviv. VI. 3. Ἦ οὖν βούλεσθε, ἔφη, ὥςπερ Νικόστρατος ὁ ὑποκριτὴς τετράμετρα πρὸς τὸν αὐλὸν κατέλεγεν, οὕτω καὶ ὑπὸ τὸν αὐλὸν ὑμῖν διαλέγωμαι; exspectasses οὕτω καὶ ἐγὼ ὑπό. Oeconom. XII. 4. εἴπερ γὰρ ἱκανός εἰμι τῶν ἔργων προστατεύειν, κἂν ἄλλον δήπου δυναίμην διδάξαι.

§. 3. ἀμφότεροι] tum Medi et Armenii, tum Hyrcani.

τὰ μὲν ἔξω] quae sunt extra castra.

ὁρᾶτε, καὶ τὰ ὅπλα εὖ τίθεσθε· οἱ γὰρ ἐν ταῖς σκηναῖς οὔπω φίλοι ἡμῖν. Οἱ μὲν δὴ Μῆδοι καὶ οἱ ἀμφὶ Τι- 4
γράνην ἐλοῦντο καί, ἦν γὰρ παρεσκευασμένα, ἱμάτια μεταλαβόντες ἐδείπνουν· καὶ οἱ ἵπποι αὐτοῖς εἶχον τὰ ἐπιτήδεια· καὶ τοῖς Πέρσαις δὲ ἔπεμπον τῶν ἄρτων τοὺς ἡμίσεις· ὄψον δὲ οὐκ ἔπεμπον οὐδὲ οἶνον, οἰόμενοι ἔχειν τοὺς ἀμφὶ Κῦρον, ὅτι ἔφη ἄφθονα ταῦτα ἔχειν. Ὁ δὲ Κῦρος ταῦτα ἔλεγεν, ὄψον μὲν τὸν λιμόν, πιεῖν δ' ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. Ὁ μὲν οὖν Κῦρος δει- 5
πνίσας τοὺς Πέρσας, ἐπεὶ συνεσκότασε, κατὰ πεμπάδας καὶ κατὰ δεκάδας πολλοὺς αὐτῶν διέπεμψε, καὶ ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν, νομίζων ἅμα μὲν φυλακὴν ἔσεσθαι, ἄν τις ἔξωθεν προσίῃ, ἅμα δέ, ἄν τις ἔξω χρήματα φέρων ἀποδιδράσκῃ, ἁλώσεσθαι αὐτόν· καὶ ἐγένετο οὕτως· πολλοὶ μὲν γὰρ ἀπεδίδρασκον, πολλοὶ δὲ ἑάλωσαν. Ὁ δὲ Κῦρος τὰ μὲν χρή- 6
ματα τοὺς λαβόντας εἴα ἔχειν, τοὺς δὲ ἀνθρώπους ἀποσφάξαι ἐκέλευσεν· ὥςτε τοῦ λοιποῦ οὐδὲ βουλόμενος ἂν εὗρες ῥᾳδίως τὸν νύκτωρ πορευόμενον. Οἱ μὲν δὴ 7

Cap. V. §. 4. ἐλοῦντο καί, ἦν γὰρ παρ., ἱμάτια] ἐλοῦντο vel ἐλούοντο, (ἦν γὰρ παρ.) καὶ ἱμάτ. libri, ἐλοῦντο, καὶ ἱμάτια (ἦν γὰρ παρ.) Schn. ἱμάτια postposuit Pop. inclusum tamen cancellis.

τὰ ὅπλα εὖ τίθεσθε] arma in loco apto collocate, ut, si opus sit, in promtu ea habeatis.

§. 4. ἦν γὰρ παρεσκευασμένα] Vid. Matth. §. 613. VII. p. 906.

ἱμάτια μεταλαβόντες] Formulae admodum frequentis exempla dedit Hemsterhus. Append. Animadvers. ad Lucian. p. 15.

ταῦτα ἔλεγεν] Ut incertum ταῦτα faciant codices, nescio tamen an male omittatur. Anab. IV. 6, 3. Τοῦτό γε δὴ – μόνον διάφορον ἐν τῇ πορείᾳ ἐγένετο, ἡ τοῦ ἡγεμόνος κάκωσις καὶ ἀμέλεια. VII. 2, 4. integerrimi libri habent Ἀναξίβιος δ' ἔχαιρε ταῦτα ἀκούων, διαφθειρόμενον τὸ στράτευμα. De Persarum temperantia vid. I. 2, 8.

§. 5. ἀποδιδράσκῃ] aufugere velit; quam eandem rem, sed frustra tentatam, exprimit seq. ἀπεδίδρασκον. Pari modo usurpatum vidimus II. 2, 28. ἐποίουν.

§. 6. τὰ μὲν χρήματα τοὺς λαβ. εἴα ἔχειν] opes quidem iis, qui interceperant, concessit.

ἐκέλευσεν] nempe τοὺς λαβόντας.

τὸν νύκτωρ πορευόμενον] eum, qui noctu pedem efferret. Lobeck. ad Phryn. p. 13. not. Matth. §. 266. p. 374. Buttmann. §. 110. n. 2.

Πέρσαι οὕτω διῆγον· οἱ δὲ Μῆδοι καὶ ἔπινον καὶ εὐωχοῦντο καὶ ηὐλοῦντο καὶ πάσης εὐθυμίας ἐνεπίμπλαντο· πολλὰ γὰρ καὶ τὰ τοιαῦτα ἥλω, ὥςτε μὴ ἀπορεῖν ἔργων τοὺς ἐγρηγορότας.

Cyaxares, cognito suorum discessu iratus, mittit qui confestim illos redire iubeat; sed Cyrus nuntium retinere studet.

8 Ὁ δὲ Κυαξάρης, ὁ τῶν Μήδων βασιλεύς, τὴν μὲν νύκτα, ᾗ ἐξῆλθεν ὁ Κῦρος, αὐτὸς ἐμεθύσκετο μεθ᾽ ὧνπερ ἐσκήνου, ὡς ἐπ᾽ εὐτυχίᾳ, καὶ τοὺς ἄλλους δὲ Μήδους ᾤετο παρεῖναι ἐν τῷ στρατοπέδῳ, πλὴν ὀλίγων, ἀκούων θόρυβον πολύν· οἱ γὰρ οἰκέται τῶν Μήδων, ἅτε τῶν δεσποτῶν ἀπελθόντων, ἀνειμένως ἔπινον καὶ ἐθορύβουν, ἄλλως τε καὶ ἐκ τοῦ Ἀσσυρίου στρατεύματος
9 καὶ οἶνον καὶ ἄλλα πολλὰ εἰληφότες. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ἐπὶ θύρας οὐδεὶς ἧκε, πλὴν οἵπερ καὶ συνεδείπνουν, καὶ τὸ στρατόπεδον ἤκουε κενὸν εἶναι τῶν Μήδων καὶ τῶν ἱππέων, καὶ ἑώρα, ἐπειδὴ ἐξῆλθεν, οὕτως ἔχοντα, ἐνταῦθα δὴ ἐβριμοῦτό τε τῷ

§. 7. καὶ ἔπινον καὶ εὐωχοῦντο καὶ ηὐλοῦντο] ἔπινον καὶ ἥδοντο καὶ πάσης A. B. G. καὶ εὐωχοῦντο καὶ ἔπινον καὶ ηὐλοῦντο ex Vat. praefero.

ἔργων] Vat. pro ἔργον.

§. 7. πολλὰ γὰρ καὶ τὰ τοιαῦτα – ἐγρηγορότας] »plurima (multa) enim huius etiam generis in hostium castris inventa fuerant (vina, cibaria, tibicines), ita ut vigilantibus quod agerent non deesset.« Gabr. De ἥλω vid. Matth. §. 161. p. 297. 432. ed. 2.

§. 8. τὴν μὲν νύκτα, ᾗ ἐξῆλθεν ὁ Κῦρος] Intelligitur tempus, quod coenam sequitur, vesperam simul et noctem complectens; nam ἔτι φάους ὄντος Cyrus egressus erat c. 2, 9.

ἀνειμένως ἔπινον καὶ ἐθορύβουν] Terent. Eunuch. III. 5, 52. Perstrepunt, ita ut fit, domini ubi absunt.

ἄλλως τε καὶ] Vid. III. 2, 21. V. 1, 27. IV. 5, 19. et ad I. 6, 11.

§. 9. ἐπὶ θύρας οὐδεὶς ἧκε] ad praetorium nemo venit salutandi Cyaxaris causa, niemand machte ihm die Aufwartung.

καὶ τῶν ἱππέων] et quidem equitibus, qui prae ceteris castra reliquerant. Hanc voculae καί vim frustra fuerunt qui in dubitationem vocarent teste Schaefero ad Gregor. Cor. p. 985 sq. not.

Κύρῳ καὶ τοῖς Μήδοις τῷ καταλιπόντας αὐτὸν ἔρημον
οἴχεσθαι· καὶ εὐθύς, ὥςπερ λέγεται ὠμὸς εἶναι καὶ ἀ-
γνώμων, τῶν παρόντων κελεύει τινὰ λαβόντα τοὺς ἑαυ-
τοῦ ἱππέας πορεύεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἀμφὶ Κῦρον
στράτευμα, καὶ λέγειν τάδε· Ὤιμην μὲν ἔγωγε οὐδ' ἂν 10
σέ, ὦ Κῦρε, περὶ ἐμοῦ οὕτως ἀπρονοήτως βουλεῦσαι·
εἰ δὲ Κῦρος οὕτω γιγνώσκοι, οὐκ ἂν ὑμᾶς γε, ὦ Μῆ-
δοι, ἐθελῆσαι οὕτως ἔρημον ἐμὲ καταλιπεῖν. Καὶ νῦν,
ἂν μὲν ὁ Κῦρος βούληται, εἰ δὲ μή, ὑμεῖς γε τὴν τα-
χίστην πάρεστε. Ταῦτα δὴ ἐπέστελλεν. Ὁ δὲ τασσό- 11
μενος πορεύεσθαι ἔφη, Καὶ πῶς, ὦ δέσποτα, ἐγὼ εὑ-
ρήσω ἐκείνους; Ὅπη δὴ ὁ Κῦρος, ἔφη, καὶ οἱ σὺν
αὐτῷ ἐφ' οὓς ἐπορεύοντο. Ὅτι νὴ Δί', ἔφη, ἀκούω
ἀφεστηκότας τῶν πολεμίων Ὑρκανίους τινάς, καὶ ἐλθόν-
τας δεῦρο οἴχεσθαι ἡγουμένους αὐτῷ. Ἀκούσας δὲ ταῦ- 12
τα ὁ Κυαξάρης, πολὺ μᾶλλον ἔτι τῷ Κύρῳ ὠργίζετο

§. 10. *περὶ ἐμοῦ*] Legebantur minore cum vi ante *βουλεῦσαι*.
§. 11. *Ὅπη δὴ ὁ Κῦρος*] *Πῶς δὲ Κῦρος* al. *ὁ* servaverat Vat. *ἡγουμένους αὐτῷ*] *αὐτῷ* V. Gabr. cod. pro *αὐτῶν*.

τῷ καταλιπόντας αὐτὸν ἔρημον οἴχεσθαι] eo quod se relicto abiissent. Matth. §. 540. p. 778.

ὥςπερ λέγεται] »Sollemnis huius verbi usus de rebus factis, quarum memoria viva voce propagatur: aliam enim, h. e. nostram libros legentium, rationem propagandae rerum praeteritarum memoriae veteres illi fere ignorabant.« Schaef. in Apparat. III. p. 430. cl. Cyr. I. 2, 1. 4, 25.

§. 10. *ἂν μὲν ὁ Κῦρος βούληται, εἰ δὲ μή*] sive velit Cyrus sive nolit vos redire. Itidem accipienda puto verba Anab. VII. 7, 15. *Εἰ μὲν σύ τι ἔχεις, ὦ Μηδόσαδες, πρὸς ἡμᾶς λέγειν, εἰ δὲ μή, ἡμεῖς πρὸς σὲ ἔχομεν.* Plat. Protag. §. 43. p. 521. Heind. *καὶ ἐὰν μὲν ἑκὼν πείθηται, εἰ δὲ μή (ὁ παῖς), ὥςπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς*, quorum sensus est: pueri, velint nolint, coguntur recte agere. Alius est generis quod ad VII. 5, 54. illustrabitur.

§. 11. *Ὅπη δὴ ὁ Κῦρος – ἐπορεύοντο*] eo nempe modo, quo Cyrus eiusque comites invenerunt eos, contra quos proficiscebantur.

Ὅτι νὴ Δί'] ideo quaesivi, quoniam audio medius fidius etc. Pari modo *γάρ* inferri constat inter omnes.

ἐλθόντας δεῦρο] postquam huc i. e. ad partes nostras se contulerunt. Quod ex quo tempore factum esset, negat legatus itinerum rationem melius se perspectam habere posse quam Hyrcanos, harum regionum peritissimos.

τῷ μηδ' εἰπεῖν αὐτῷ ταῦτα· καὶ πολλῇ σπουδῇ μᾶλλον ἔπεμπεν ἐπὶ τοὺς Μήδους, ὡς ψιλώσων αὐτόν· καὶ ἰσχυρότερον ἔτι ἢ πρόσθεν τοῖς Μήδοις ἀπειλῶν ἀπεκάλει· καὶ τῷ πεμπομένῳ δὲ ἠπείλει, εἰ μὴ ἰσχυρῶς ταῦτα ἀπαγγέλλοι.

13 Ὁ μὲν δὴ πεμπόμενος ἐπορεύετο ἔχων τοὺς ἑαυτοῦ ἱππέας ὡς ἑκατόν, ἀνιώμενος, ὅτι οὐκ ἐπορεύθη καὶ αὐτὸς μετὰ τοῦ Κύρου. Ἐν δὲ τῇ ὁδῷ πορευόμενοι, διασχισθέντες τρίβῳ τινί, ἐπλανῶντο· καὶ οὐ πρόσθεν ἀφίκοντο ἐπὶ τὸ φίλιον στράτευμα, πρὶν ἐντυχόντες ἀποχωροῦσί τισι τῶν Ἀσσυρίων ἠνάγκασαν αὐτοὺς ἡγεῖσθαι· καὶ οὕτως ἀφικνοῦνται, τὰ πυρὰ κατιδόντες,
14 ἀμφὶ μέσας πως νύκτας. Ἐπεὶ δ' ἐγένοντο πρὸς τῷ στρατοπέδῳ, οἱ φύλακες, ὥςπερ εἰρημένον ἦν ὑπὸ Κύρου, οὐκ εἰςαφῆκαν αὐτοὺς πρὸ ἡμέρας. Ἐπεὶ δὲ ἡμέρα ὑπέφαινε, πρῶτον μὲν τοὺς μάγους καλέσας ὁ Κῦρος, τὰ τοῖς θεοῖς νομιζόμενα ἐπὶ τοῖς τοιούτοις ἀγα-
15 θοῖς ἐξαιρεῖσθαι ἐκέλευε. Καὶ οἱ μὲν ἀμφὶ ταῦτα εἶχον· ὁ δὲ συγκαλέσας τοὺς ὁμοτίμους εἶπεν· Ἄνδρες, ὁ μὲν θεὸς προφαίνει πολλὰ καὶ ἀγαθά· ἡμεῖς δέ,

§. 12. *τοῖς Μήδοις*] *αὐτοῦ* nescio unde praefixit Popp. codice G. *αὐτοῖς*, i. e. ut arbitror, *αὖθις τοῖς Μ.* exhibente.

§. 13. *ἔχων τοὺς ἑαυτοῦ*] *ἔχων μεθ' ἑαυτοῦ* coni. Schn. Sufficiat *ἔχ. τοὺς αὐτοῦ.*

διασχισθέντες τρίβῳ τινί] *διασχιζομένων ὁδῶν τρίβῳ τινί* altera est corrupta scriptura, cum nec *τρίβος* de semita usitatum sit, et pro *διασχισθέντες* requiratur *διασπασθέντες* vel simile quid.

τὸ φίλιον στράτευμα] *τὸ τοῦ Κύρου στρ.* al.

§. 12. *τῷ μηδ' εἰπεῖν*] Vid. not. ad §. 9.

πολλῇ σπουδῇ μᾶλλον] maiore studio; nam ad *πολλῇ* pertinet *μᾶλλον.*

§. 13. *Ἐν δὲ τῇ ὁδῷ πορ. — ἐπλανῶντο*] Reddunt fere sic: in via regia incedentes quum semita quadam ab hac divulsi essent, oberrabant; rectius fortasse: in itinere faciendo via aliqua trita divulsi aberrarunt ab ea, quae ad castra Cyri ducebat.

§. 14. *ὑπέφαινε*] Sic etiam Vat. pro *ὑπεφαίνετο.* Dinarch. contra Demosth. §. 21. p. 17. ed. Schmidt. *τοσαύτας ὁρῶν ἐλπίδας ὑποφαινούσας.* Adde Anab. III. 2, 1. IV. 2, 7. 3, 9.

τοὺς μάγους] quos Medorum fuisse annotavi ad III. 3, 34.

ὦ Πέρσαι, ἐν τῷ παρόντι ὀλίγοι ἐσμέν, ὡς ἐγκρατεῖς εἶναι αὐτῶν. Εἴτε γὰρ ὁποῖα ἂν προσεργασώμεθα μὴ φυλάξομεν, πάλιν ταῦτα ἀλλότρια ἔσται· εἴτε καταλείψομέν τινας ἡμῶν αὐτῶν φύλακας ἐπὶ τοῖς ἐφ' ἡμῖν γιγνομένοις, αὐτίκα οὐδεμίαν ἰσχὺν ἔχοντες ἀναφανούμεθα.
16 Δοκεῖ οὖν μοι ὡς τάχιστα ἰέναι τινὰ ὑμῶν εἰς Πέρσας, καὶ διδάσκειν ἅπερ ἐγὼ λέγω, καὶ κελεύειν ὡς τάχιστα ἐπιπέμπειν στράτευμα, εἴπερ ἐπιθυμοῦσι Πέρσαι τὴν ἀρχὴν τῆς Ἀσίας αὐτοῖς καὶ τὴν κάρπωσιν γενέσθαι.
17 Ἴθι μὲν οὖν σύ, ἔφη, ὁ πρεσβύτατος, καὶ ἰὼν ταῦτα λέγε, καὶ ὅτι, οὓς ἂν πέμπωσι στρατιώτας, ἐπειδὰν ἔλθωσι παρ' ἐμέ, ἐμοὶ μελήσει περὶ τῆς τροφῆς αὐτῶν. Ἃ δ' ἔχομεν ἡμεῖς, ὁρᾷς μὲν αὐτά, κρύπτε δὲ τούτων μηδέν· ὅ τι δὲ τούτων ἐγὼ πέμπων εἰς Πέρσας καλῶς καὶ νομίμως ποιοίην ἄν, τὰ μὲν πρὸς τοὺς θεοὺς τὸν πατέρα ἐρώτα, τὰ δὲ πρὸς τὸ κοινὸν τὰς ἀρχάς. Πεμψάντων δὲ καὶ ὀπτῆρας ὧν πράττομεν, καὶ φραστῆρας ὧν ἐρωτῶμεν. Καὶ σὺ μέν, ἔφη, συσκευάζου, καὶ τὸν λόχον προπομπὸν ἄγε.

18 Ἐκ τούτου δὲ καὶ τοὺς Μήδους ἐκάλει, καὶ ἅμα ὁ παρὰ τοῦ Κυαξάρου ἄγγελος παρίσταται, καὶ ἐν πᾶσι

§. 15. ἡμεῖς δέ, ὦ Πέρσαι] ἡμεῖς δὲ οἱ Πέρσαι. Both. ὁποῖα ἂν προσεργασώμεθα] ὁπόσα ἂν προσκατεργ. P. ἐφ' ἡμῖν γιγνομένοις] ὑφ' ἡμῖν Dind. et γενομένοις. Fisch.
§. 17. σύ, ἔφη] codd. ἔφη, σύ edd.

§. 15. ὀλίγοι ἐσμέν, ὡς ἐγκρατεῖς εἶναι αὐτῶν] pauciores sumus, quam ut eorum compotes esse possimus. Respice ad I. 5, 11. allata.

τοῖς ἐφ' ἡμῖν γιγνομένοις] τὰ ἐφ' ἡμῖν γιγνόμενα sunt quae in nostram potestatem veniunt, τὰ ἐφ' ἡμῖν γενόμενα quae in nostram potestatem venerunt. Illis comprehenduntur etiam acquirenda, his tantum acquisita. Utriusque discrimen participii perspici potest etiam ex not. ad c. 3. §. 6.

§. 16. Δοκεῖ οὖν μοι] Videtur igitur mihi consentaneum esse. Non enim recte δεῖν ante seq. infinitivum ἰέναι suppleveris. Vid. ad II. 1, 22. et III. 3, 14. IV. 2, 43.

§. 17. παρ' ἐμέ] Addidit haec Cyrus ambigens, an novarum copiarum curam Cyaxares per Mediam suscepturus esset.

ὅ τι δὲ τούτων ἐγὼ πέμπων — τὰς ἀρχάς] Bene Italus: »quid autem ego ex his rebus possim salva dignitate et legibus ad Persas mittere, quod quidem ad deos pertinet, patrem meum, quod vero ad communia, magistratus consule.« Penes reges enim sacrorum erat administratio. Cf. I, 6, 2.

§. 18. ἐν πᾶσι] Explicatum vide ad III. 3, 56.

τήν τε πρὸς Κῦρον ὀργὴν καὶ τὰς πρὸς Μήδους ἀπει-
λὰς αὐτοῦ ἔλεγε· καὶ τέλος εἶπεν, ὅτι ἀπιέναι Μήδους
19 κελεύει, καὶ εἰ Κῦρος μένειν βούλεται. Οἱ μὲν οὖν
Μῆδοι ἀκούσαντες τοῦ ἀγγέλου ἐσίγησαν, ἀποροῦντες
μὲν πῶς χρὴ καλοῦντος ἀπειθεῖν, φοβούμενοι δὲ
πῶς χρὴ ἀπειλοῦντι ὑπακοῦσαι, ἄλλως τε καὶ εἰδότες
20 τὴν ὠμότητα αὐτοῦ. Ὁ δὲ Κῦρος εἶπεν· Ἀλλ' ἐγώ, ὦ
ἄγγελέ τε καὶ Μῆδοι, οὐδέν, ἔφη, θαυμάζω, εἰ Κυα-
ξάρης, πολλοὺς μὲν πολεμίους τότ' ἰδών, ἡμᾶς δὲ οὐκ
εἰδὼς ὅ τι πράττομεν, ὀκνεῖ περί τε ἡμῶν καὶ περὶ αὐ-
τοῦ· ἐπειδὰν δὲ αἴσθηται πολλοὺς μὲν τῶν πολεμίων
ἀπολωλότας, πάντας δὲ ἀπεληλαμένους, πρῶτον μὲν
παύσεται φοβούμενος, ἔπειτα γνώσεται, ὅτι οὐ νῦν ἔρη-
μος γίγνεται, ἡνίκα οἱ φίλοι αὐτοῦ τοὺς ἐκείνου ἐχθροὺς
21 ἀπολλύουσιν. Ἀλλὰ μὴν μέμψεώς γε πῶς ἐσμεν ἄξιοι,
εὖ τε ποιοῦντες ἐκεῖνον, καὶ οὐδὲ ταῦτα αὐτοματίσαν-
τες; Ἀλλ' ἐγὼ μὲν ἐκεῖνον πείσας ἐᾶσαί με λαβόντα ὑμᾶς
ἐξελθεῖν τάδε ποιῶ· ὑμεῖς δὲ οὐχ, ὡς ἐπιθυμοῦντες τῆς

§. 19. *πῶς χρὴ ἀπειλοῦντι ὑπακοῦσαι*] *πῶς ἀπειλοῦντι ὑπακούσειαν* edd. vett. Antiquius, ni fallor, fuit *πῶς ἀπειλοῦντι ὑπακοῦσαι.* V. *ἀπειλοῦντος* et *καλοῦντι* antea.

§. 21. *πείσας – τάδε ποιῶ*] *ἔπεισα* invitis codd. Schn.

ὅτι ἀπιέναι Μήδους κελεύει, καὶ εἰ Κῦρος μένειν βούλεται] reverti Medos iubet, etiam si Cyrus eos manere vult. Quae si recte ita accipienda sunt, et directam orationem esse manifestum est, et indicativum *βούλεται* minime sollicitandum esse, quippe aliquanto illum quam optativum graviorem.

§. 19. *καλοῦντος*] Genitivis huiusmodi absolutis adeo Graeci adsueverunt, ut ne ubi alium quidem casum poni liceret, ab eorum usu abstinuerint: IV. 2, 15. Anab. I. 4, 12. 10, 6. II. 4, 24. 6, 3.

φοβούμενοι δὲ πῶς χρὴ ἀπειλοῦντι ὑπακοῦσαι] verentes vero, quomodo minanti oporteret eos parere, i. e. prae timore nescientes, qui fieri posset, ut obtemperando minas eius effugerent.

§. 20. *τότ' ἰδών*] *ὅτε πρῶτον τοῖς πολεμίοις ἐμάχοντο* III. 3, 56.

ἔπειτα] »Si hic deesse particulam *δέ* post *ἔπειτα* dicamus, quae praecedenti *μέν* respondeat, idem et de quibusdam aliis locis dicendum fuerit.« Steph. rectissime, vid. VII. 3, 1. II. 3, 22. Anab. I. 3, 2. IV. 8, 11.

ἀπολλύουσιν] Quam apud Thucyd. IV. 25. non ferendam putat formam Matth. §. 210. p. 394. ed. 2., eandem non sine temeritate ex Xenophontis operibus expulcris.

§. 21. *τάδε ποιῶ*] hocce facio, nempe persequor fugatos hostes, praedamque colligo.

ἐξόδου, ἠρωτήσατε, εἰ ἐξίοιτε, καὶ νῦν δεῦρο ἥκετε,
ἀλλ' ὑπ' ἐκείνου κελευσθέντες ἐξιέναι, ὅτῳ ὑμῶν μὴ
ἀχθομένῳ εἴη. Καὶ ἡ ὀργὴ οὖν αὕτη, σάφ' οἶδ', ὑπό
τε τῶν ἀγαθῶν πεπανθήσεται, καὶ σὺν τῷ φόβῳ λήγοντι
ἄπεισι. Νῦν μὲν οὖν, ἔφη, σύ τε, ὦ ἄγγελε, ἀνά- **22**
παυσαι, ἐπεὶ καὶ πεπόνηκας, ἡμεῖς τε, ὦ Πέρσαι, ἐπεὶ
προςδεχόμεθα πολεμίους ἤτοι μαχουμένους γε ἢ πεισο-
μένους παρέσεσθαι, ἐκταχθῶμεν ὡς κάλλιστα· οὕτω
γὰρ ὁρωμένους εἰκὸς πλείονα προανύτειν ὧν χρῄζομεν.
Σὺ δ', ἔφη, ὁ τῶν Ὑρκανίων ἄρχων, ὑπόμεινον προς-
τάξας τοῖς ἡγεμόσι τῶν σῶν στρατιωτῶν ἐξοπλίζειν αὐ-
τούς. Ἐπειδὴ δὲ ταῦτα ποιήσας ὁ Ὑρκάνιος προςῆλ- **23**
θε, λέγει ὁ Κῦρος, Ἐγὼ δ', ἔφη, ὦ Ὑρκάνιε, ἥδομαι
αἰσθανόμενος, ὅτι οὐ μόνον φιλίαν ἐπιδεικνύμενος πά-
ρει, ἀλλὰ καὶ ξύνεσιν φαίνῃ μοι ἔχειν. Καὶ νῦν ὅτι
συμφέρει ἡμῖν ταὐτά, δῆλον· ἐμοί τε γὰρ πολέμιοι
Ἀσσύριοι, σοί τε νῦν ἐχθίονές εἰσιν ἢ ἐμοί· οὕτως οὖν **24**

§. 22. *ἐκταχθῶμεν*] Vat. m. Vict. *ἐπιτάττωμεν* M. *ἐνταχθῶμεν* m. Vill. *ταχθῶμεν* edd.
πλείονα] *πλέον* edd.
§. 23. *Ἐπειδὴ*] Vat. et Pariss. pro *Ἐπεί.*

ἠρωτήσατε – καὶ νῦν δεῦρο ἥκετε] »Elegantius est, inquit Porson. in Addend. ad Eurip. Hecub. p. 103. ed. tert., participium cum verbo, copula omissa, coniunctum, quam duo verba per copulam coniuncta.« Sed centies tamen scriptores ipsos ab huius elegantiae usu abstinuisse certum est et indubitatum. I. 4, 8. *βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κάπρον.* II. 2, 3. *ἠχθέσθην, εἴ τι μεῖον δοκοῖεν ἔχειν, καὶ ἐκάλεσα εὐθὺς αὐτὸν πρὸς ἐμέ.* VII. 3, 14. *Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω.* Adde Anab. VII. 6, 1.

ὅτῳ ὑμῶν μὴ ἀχθομένῳ εἴη] De gemina dativi attractione ad I. 4, 28. II. 2, 12. III. 3, 55. et Matth. §. 391. p. 524. notatum.

§. 22. *ἤτοι μαχουμένους γε*] Particulas *ἤτοι – γε* primus adhibuit Homerus teste Thiersch. §. 303. 2. a. p. 550.

οὕτω γὰρ ὁρωμένους εἰκὸς πλείονα προανύτειν ὧν χρῄζομεν] ita enim si conspiciamur, probabile est nos plura, quam quae volumus, in nostram salutem efficere. Nam hanc vim *προανύτειν* habere arbitror, nisi praepositionem verbi abundare quis malit statuere: *πλείονα ὧν χρῄζομεν* dicta sunt pro *πλείονα τούτων, ἃ χρῄζ.* sollemni graecismo. Volebat autem Cyrus non modo vincere Assyrios, sed etiam quam plurimos eorum ad se deficere.

§. 23. *φαίνῃ μοι ἔχειν*] Infinitivus h. l. non improbandus. Cf. ad II. 1, 24. et Rost. §. 129. 4. d.

§. 24. *οὕτως οὖν*] hac igi-

ἡμῖν ἀμφοτέροις βουλευτέον, ὅπως τῶν μὲν νῦν παρόντων μηδεὶς ἀποστατήσει ἡμῖν συμμάχων, ἄλλους δέ, ἂν δυνώμεθα, προςληψόμεθα. Τοῦ δὲ Μήδου ἤκουες ἀποκαλοῦντος τοὺς ἱππέας· εἰ δὲ οὗτοι ἀπίασιν, ἡμεῖς
25 μόνοι οἱ πεζοὶ μενοῦμεν. Οὕτως οὖν δεῖ ποιεῖν ἐμὲ καὶ σέ, ὅπως ὁ ἀποκαλῶν οὗτος καὶ αὐτὸς μένειν παρ' ἡμῖν βουλήσεται. Σὺ μὲν οὖν εὑρὼν σκηνὴν δὸς αὐτῷ, ὅπου κάλλιστα διάξει πάντα τὰ δέοντα ἔχων· ἐγὼ δ' αὖ πειράσομαι αὐτῷ ἔργον τι προςτάξαι, ὅπερ αὐτὸς ἥδιον πράξει ἢ ἄπεισι· καὶ διαλέγου δὲ αὐτῷ, ὁπόσα ἐλπὶς γενέσθαι ἀγαθὰ πᾶσι τοῖς φίλοις, ἢν ταῦτ' εὖ γένηται· ποιήσας μέντοι αὐτὰ ἧκε πάλιν παρ' ἐμέ.

Mittitur nuntius cum mandatis in Persas, ut novos milites mittant, sed cum literis idem ad Cyaxarem.

26 Ὁ μὲν δὴ Ὑρκάνιος τὸν Μῆδον ᾤχετο ἄγων ἐπὶ σκηνήν· ὁ δὲ εἰς Πέρσας ἰὼν παρῆν συνεσκευασμένος· ὁ δὲ Κῦρος αὐτῷ ἐπέστελλε πρὸς μὲν Πέρσας λέγειν ἃ καὶ πρόσθεν ἐν τῷ λόγῳ δεδήλωται, Κυαξάρῃ δὲ ἀποδοῦναι τὰ γράμματα. Ἀναγνῶναι δέ σοι καὶ τὰ ἐπιστελλόμενα, ἔφη, βούλομαι, ἵνα εἰδὼς αὐτὰ ὁμολογῇς, ἄν τί σε πρὸς ταῦτα ἐρωτᾷ. Ἐνῆν δὲ ἐν τῇ ἐπιστολῇ τάδε·

§. 24. ἀπίασιν, ἡμεῖς] ἀπίασι, πῶς ἡμεῖς ante Schn. Videtur olim fuisse ἀπίασί πῃ, ἡμεῖς, quo de vid. ad Anab. IV. 8, 11.
§. 25. διάξει πάντα τὰ δέοντα ἔχων] Ex his conflatum in melioribus codd. ἕξει πάντα τὰ δέοντα, non contra.
πράξει] πάντα τὰ δέοντα αὐτῷ, ὁπόσα qui huc annexuerunt, ad superius ἕξει delapsi esse censendi sunt.
ὁπόσα] ὁπόσῃ Weckh. coni.
§. 26. ἐπὶ σκηνήν] ἐπὶ σκηνῆς ἵν' ἔδει m. Vict. ἵν' cum aliis, ut reponendum suspicer ἐπὶ σκηνήν, ἣν ἔδει.
καὶ τὰ ἐπιστελλόμενα, ἔφη] ἔφη, καὶ ἃ ἐπιστέλλω al.

tur ratione, unter diesen Umständen also.
ἡμεῖς μόνοι οἱ πεζοὶ μενοῦμεν] nos soli, qui sumus pedites, remanebimus.
§. 25. εὑρὼν σκηνὴν δός] sedulo quaesitum tentorium da, non forte oblatum.

§. 26. ἰών] iturus. Buttm. §. 96. V. 6. p. 231.
πρόσθεν ἐν τῷ λόγῳ] Vid. §. 17.
πρὸς ταῦτα] non praeterea, sed his de rebus, in Beziehung hierauf. Cf. §. 34. et c. 2, 26.

Κῦρος Κυαξάρῃ χαίρειν. Ἡμεῖς σε οὔτε ἔρη- 27
μον κατελίπομεν· οὐδεὶς γάρ, ὅταν ἐχθρῶν κρατῇ, τότε
φίλων ἔρημος γίγνεται· οὐδὲ μὴν ἀποχωροῦντές γέ σε
οἰόμεθα ἐν κινδύνῳ καθιστάναι· ἀλλ' ὅσῳ πλέον ἀπέχο-
μεν, τοσούτῳ πλέονά σοι τὴν ἀσφάλειαν ποιεῖν νομίζο-
μεν· οὐ γὰρ οἱ ἐγγύτατα τῶν φίλων καθήμενοι μάλιστα 28
τοῖς φίλοις τὴν ἀσφάλειαν παρέχουσιν, ἀλλ' οἱ τοὺς
ἐχθροὺς μήκιστον ἀπελαύνοντες μᾶλλον τοὺς φίλους ἐν
ἀκινδύνῳ καθιστᾶσι. Σκέψαι δὲ οἵῳ ὄντι μοι περὶ σὲ 29
οἷος ὢν περὶ ἐμὲ ἔπειτά μοι μέμφῃ. Ἐγὼ μέν γέ σοι
ἤγαγον συμμάχους, οὐχ ὅσους σὺ ἔπεισας, ἀλλ' ὁπό-
σους ἐγὼ πλείστους ἠδυνάμην· σὺ δέ μοι ἔδωκας μὲν
ἐν τῇ φιλίᾳ ὄντι ὅσους πεῖσαι δυνασθείην· νῦν δ' ἐν τῇ
πολεμίᾳ ὄντος οὐ τὸν θέλοντα ἀλλὰ πάντας ἀποκαλεῖς.
Καὶ γὰρ οὖν τότε μὲν ᾤμην ἀμφοτέροις ὑμῖν χάριν ὀφεί- 30
λειν· νῦν δὲ σύ με ἀναγκάζεις σοῦ μὲν ἐπιλαθέσθαι,

§. 27. *σε οἰόμεθα ἐν κινδύνῳ*] Non sine librorum consensu scripseris *σου οἰόμεθα ἐν κιν. σε.*

§. 30. *σύ με*] Gabr. cod. pro *σὺ μέν.*

§. 27. *Ἡμεῖς σε οὔτε ἔρημον κατελίπομεν*] »Cum ea, quae nuntius in mandatis habebat, ad duo commode capita revocari possint, ad prius paucis respondetur § 27. et 28; ad alterum deinceps magna cum vi, neque tam copiose, quam breviter et perspicue, imprimis autem admirabiliter §. 29.« Weisk.

οὐδεὶς γάρ, ὅταν ἐχθρῶν κρατῇ, – γίγνεται] Explicat Gabr.: »nemo enim ab his derelictus dici potest, quorum opera hostes devincit.«

οὐδὲ μήν] Bene habere *οὐδέ* praegresso licet *οὔτε* observari licebat ad II. 2, 15. 26.

§. 29. *οἵῳ ὄντι μοι περὶ σὲ οἷος ὢν περὶ ἐμὲ ἔπειτά μοι μέμφῃ*] Adverte duo relativa iuncta sine copula, quo modo scripsit Demosth. *περὶ τῆς παραπρεσβ.* p. 360. (Dind. p. 259. 10.) *ἵν' εἰδῆτε οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν ὧν ἔτυχον διὰ τουτουσὶ τοὺς θεοῖς ἐχθρούς.* Plura habet Reisig. in Comment. ad Soph. Oed. Col. p. 306 sq. etiam e Latinis, de quibus vid. Matth. ad Epp. Sel. Cic. 2, 6. ed. sec. Quare laude dignissima est Caselii interpretatio: quomodo de te merenti quam ingrate mihi succenseas.

Ἐγὼ μέν γε] Platon. Menex. §. 3. *Καὶ ἐμοὶ μέν γε*, quibus contrariae sunt voculae *δέ γε* non minus frequentes, sicubi loci ratio postulat. Cf. not. ad II. 1, 16.

ἐν τῇ πολεμίᾳ ὄντος] scil. *μου*, quod ex praegressis quis non videat facillime suppleri posse? Omittuntur alia pronomina in locis ad I. 4, 21. allatis.

§. 30. *ἀμφοτέροις ὑμῖν*] tibi et Medis, qui me secuti sunt.

τοῖς δ' ἀκολουθήσασι πειρᾶσθαι πᾶσαν τὴν χάριν ἀπο-
31 διδόναι. Οὐ μέντοι ἔγωγε σοὶ ὅμοιος δύναμαι γενέσθαι·
ἀλλὰ καὶ νῦν πέμπων ἐπὶ στράτευμα εἰς Πέρσας ἐπιστέλ-
λω, ὁπόσοι ἂν ἴωσιν ὡς ἐμέ, ἤν τι σὺ αὐτῶν δέῃ, πρὶν
ἡμᾶς ἐλθεῖν, σοὶ ὑπάρχειν, οὐχ ὅπως ἂν θέλωσιν,
32 ἀλλ' ὅπως ἂν σὺ βούλῃ χρῆσθαι αὐτοῖς. Συμβουλεύω
δέ σοι, καίπερ νεώτερος ὤν, μὴ ἀφαιρεῖσθαι ἃ ἂν δῷς,
ἵνα μή σοι ἀντὶ χαρίτων ἔχθραι ὀφείλωνται· μηδ' ὅντινα
βούλει πρός σε ταχὺ ἐλθεῖν ἀπειλοῦντα μεταπέμπεσθαι·
μηδὲ φάσκοντα ἔρημον εἶναι, ἅμα πολλοῖς ἀπειλεῖν, ἵνα
33 μὴ διδάσκῃς αὐτοὺς σοῦ μὴ φροντίζειν. Ἡμεῖς δὲ πει-
ρασόμεθα παρεῖναι, ὅταν τάχιστα διαπραξώμεθα ἃ σοί
τ' ἂν καὶ ἡμῖν νομίζομεν πραχθέντα κοινὰ γενέσθαι ἀγα-
θά. Ἔῤῥωσο.

34 Ταύτην αὐτῷ ἀπόδος, καὶ ὅ τι ἄν σε τούτων ἐρω-
τᾷ, ᾗπερ γέγραπται σύμφαθι· καὶ γὰρ ἐγὼ ἐπιστέλ-
λω σοι περὶ Περσῶν ᾗπερ γέγραπται. Τούτῳ μὲν
οὕτως εἶπε, καὶ δοὺς τὴν ἐπιστολὴν ἀπέπεμψε, προσεν-
τειλάμενος οὕτω σπεύδειν, ὥςπερ οἶδεν, ὅτι ξυμφέρει
ταχὺ παρεῖναι.

§. 31. *πρὶν ἡμᾶς ἐλθεῖν*] *πρὶν εἰς ἡμᾶς ἐλθεῖν* cod. *ὡς* pro *εἰς* Leuncl.

§. 34. *Τούτῳ μὲν οὕτως εἶπε*] *Τούτῳ μὲν οὖν οὕτως εἰπών* vulgo.

§. 31. *πέμπων ἐπὶ στράτευμα*] Sic I. 6, 12. *ἦλθον ἐπ' ἀργύριον*. I. 2, 6. *ἐπὶ τοῦτο ἔρχονται*. V. 3, 12. *ὅτι ἐπὶ στράτευμα ἀπέρχονται*.

πρὶν ἡμᾶς ἐλθεῖν] antequam nos redierimus ad te.

οὐχ ὅπως ἂν θέλωσιν] Ne quis *ἐκεῖνοι* vel *αὐτοί* deesse putet, cavere volui ad §. 2.

§. 33. *ἃ σοί τ' ἂν καὶ ἡμῖν νομίζομεν – ἀγαθά*] *ἃ νομίζομεν, εἰ πραχθείη, σοί τ' ἂν καὶ ἡμῖν κοινὰ ἀγαθὰ γενέσθαι*.

§. 34. *ἐπιστέλλω σοι περὶ Περσῶν ᾗπερ γέγραπται*] Sensum perspexit Weiskius: quod attinet ad Persas nobis mittendos, ita tibi mando, ut in epistola scriptum est; scil. *πρὶν ἡμᾶς ἐλθεῖν, Κυαξάρῃ ὑπάρχειν* etc.

De praeda dividenda ita Cyrus agit, ut equi et omnia, quae ad rem equestrem pertinent, Persis ad instituendum equitatum cedant.

Ἐκ τούτου δὲ ἑώρα μὲν ἐξωπλισμένους ἤδη πάντας, **35** *καὶ τοὺς Μήδους, καὶ τοὺς Ὑρκανίους, καὶ τοὺς ἀμφὶ Τιγράνην· καὶ οἱ Πέρσαι δὲ ἐξωπλισμένοι ἦσαν· ἤδη δέ τινες πλησιόχωροι καὶ ἵππους ἀπῆγον καὶ ὅπλα ἀπέφερον. Ὁ δὲ τὰ μὲν παλτὰ ὅπουπερ καὶ τοὺς πρόσθεν κα-* **36** *ταβάλλειν ἐκέλευσε, καὶ ἔκαον οἷς τοῦτο ἔργον ἦν ὁπόσων μὴ αὐτοὶ ἐδέοντο· τοὺς δὲ ἵππους ἐκέλευσε φυλάττειν μένοντας τοὺς ἀγαγόντας, ἕως ἄν τις σημάνῃ αὐτοῖς· τοὺς δ' ἄρχοντας τῶν ἱππέων καὶ Ὑρκανίων καλέσας τάδε ἔλεξεν·*

Ἄνδρες φίλοι τε καὶ σύμμαχοι, μὴ θαυμάζετε, ὅτι **37** *πολλάκις ὑμᾶς συγκαλῶ· καινὰ γὰρ ἡμῖν ὄντα τὰ παρόντα, πολλὰ αὐτῶν ἐστιν ἀσύντακτα· ἃ δ' ἂν ἀσύντακτα ᾖ, ἀνάγκη ταῦτα ἀεὶ πράγματα παρέχειν, ἕως ἂν χώραν λάβῃ. Καὶ νῦν ἐστι μὲν ἡμῖν πολλὰ τὰ αἰχμάλωτα* **38**

§. 35. *καὶ τοὺς Μήδους*] Desunt in Steph. aliisque.
§. 36. *ἔκαον*] G. pro *ἔκαιον*.
§. 37. *καινὰ*] Vat. Steph. *κοινά*.

§. 35. *καὶ τοὺς Μήδους*] §. 22. Persis tantum et Hyrcanis Cyrus imperaverat, ut hostium adventum armati exspectarent; sed quum §. 36. Medorum, qui equites erant, duces ad se arcessat, Medos quoque probabile est ceterorum exemplum secutos esse, eoque magis, quod ex Cyri oratione §. 20 sqq. facillime colligere poterant, si et ipsi armarentur, gratificaturos se Cyro esse.

καὶ ἵππους ἀπῆγον καὶ ὅπλα ἀπέφερον] et equos adducebant et arma afferebant. Gabr. Cf. c. 4, 10 sq.

§. 36. *ὅπουπερ καὶ τοὺς πρόσθεν*] sc. *τὰ ὅπλα καταβάλλειν ἐκέλευσε*. Neque est quod *ὅποι* cum Fischero reponas. Vid. VIII. 3, 23. et Lobeck. ad Phryn. p. 43 sq.

τοὺς δὲ ἵππους ἐκέλευσε φυλ. μένοντας τοὺς ἀγαγόντας] equos vero iussit ab iis custodiri, qui adduxerant, exspectantibus.

σημάνῃ] *σημήνῃ* Atticorum dicitur proprium esse, tametsi nec Xenophon nec alii scriptores illam ubique formam evitarunt. Vid. Matth. §. 185. ed. 2. Lobeck. l. l. p. 25. et de modo subiunctivo ad III. 2, 27. IV. 2, 12. 3, 22.

§. 37. *καινὰ γὰρ ἡμῖν ὄντα τὰ παρόντα*] Nominativos hos esse absolutos ut non fugit Fischerum, ita illatum statim pronomen *αὐτῶν* structurae mutatae lectorem admonet. Exemplis non carent Matth. §. 562. Rost. §. 131. 6.

χρήματα καὶ ἄνδρες ἐπ᾽ αὐτοῖς· διὰ δὲ τὸ μήθ᾽ ἡμᾶς εἰδέναι, ποῖα τούτων ἑκάστου ἐστὶν ἡμῶν, μήτε τούτους εἰδέναι, ὅςτις ἑκάστῳ αὐτῶν δεσπότης, περαίνοντας μὲν δὴ τὰ δέοντα οὐ πάνυ ἐστὶν ὁρᾶν αὐτῶν πολλούς, ἀπο-
39 ροῦντας δὲ ὅ τι χρὴ ποιεῖν σχεδὸν πάντας. Ὡς οὖν μὴ οὕτως ἔχῃ, διορίσατε αὐτά· καὶ ὅςτις μὲν ἔλαβε σκηνὴν ἔχουσαν ἱκανὰ καὶ σῖτα καὶ ποτά, καὶ τοὺς ὑπηρετήσοντας, καὶ στρωμνὴν καὶ ἐσθῆτα, καὶ τἄλλ᾽, οἷς οἰκεῖται σκηνὴ καλῶς στρατιωτική, ἐνταῦθα μὲν οὖν οὐδὲν ἄλλο δεῖ προςγενέσθαι ἢ τὸν λαβόντα εἰδέναι, ὅτι τούτων ὡς οἰκείων ἐπιμέλεσθαι δεῖ· ὅςτις δὲ εἰς ἐνδεόμενά του κατεσκήνωσε, τούτους ὑμεῖς σκεψάμενοι, τὸ ἐλλεῖπον
40 ἐκπλήσατε. Πολλὰ δὲ καὶ τὰ περιττὰ οἶδα ὅτι ἔσται· πλείω γὰρ ἅπαντα ἢ κατὰ τὸ ἡμέτερον πλῆθος εἶχον οἱ πολέμιοι. Ἦλθον δὲ πρὸς ἐμὲ καὶ χρημάτων ταμίαι, οἵ τε τοῦ Ἀσσυρίου βασιλέως καὶ ἄλλων δυναστῶν, οἳ ἔλεγον, ὅτι χρυσίον εἴη παρὰ σφίσιν ἐπίσημον, δασμούς
41 τινας λέγοντες. Καὶ ταῦτα οὖν κηρύττετε πάντα ἀποφέρειν πρὸς ὑμᾶς, ὅπου ἂν καθέζησθε· καὶ φόβον ἐπιτίθεσθε τῷ μὴ ποιοῦντι τὰ παραγγελλόμενα· ὑμεῖς δὲ λαβόντες διαδίδοτε ἱππεῖ μὲν τὸ διπλοῦν, πεζῷ δὲ τὸ

§. 39. *ἐνταῦθα μὲν οὖν*] *οὖν* obtulit Vat.
§. 41. *λαβόντες διαδίδοτε*] *διάδοτε λαβόντες* codd. Antea *ἐπιτίθετε* maluit Schn.

§. 38. *καὶ ἄνδρες ἐπ᾽ αὐτοῖς*] captivi illi, qui c. 2, 35. *ἐπίτροποι* vocantur.

§. 39. *οἷς οἰκεῖται σκηνὴ καλῶς στρατιωτική*] quibus instructum tentorium militare bene habitatur, i. e. quibus efficitur, ut in tentorio militari commode vivatur.

εἰς ἐνδεόμενά του] in tabernacula, ubi quid rerum necessariarum desideretur.

τούτους ὑμεῖς σκεψάμενοι, τὸ ἐλλεῖπον ἐκπλήσατε] hos si vos videritis, quod deest supplete. *Τούτους* ad collectivum *ὅςτις* relatum ut nihil habeat insolentiae, vid. not. §. 44. ad I. 2, 2. II. 3, 10, tamen h. l. *τούτοις* ab m. Vict. alioque cod. exhibitum praeferendum arbitror.

§. 40. *Πολλὰ δὲ καὶ τὰ περιττὰ οἶδα ὅτι ἔσται*] Iunge *οἶδα δὲ καὶ ὅτι τὰ περιττὰ ἔσται πολλά*, quae vox cur ceteris praemissa fuerit, unusquisque vel non monitus intelliget.

ἄλλων δυναστῶν] aliorum principum, quos quia Cyrus vel contemnebat vel ignorabat, articulo adiecto accuracius designare nec voluit nec potuit.

§. 41. *Καὶ ταῦτα οὖν κηρύττετε πάντα ἀποφέρειν πρὸς ὑμᾶς*]

ἁπλοῦν, ἵνα ἔχητε, ἥν τινος προςδέησθε, καὶ ὅτου ὠνήσεσθε. Τὴν δ' ἀγορὰν τὴν οὖσαν ἐν τῷ στρατοπέδῳ 42
κηρυξάτω μὲν ἤδη, ἔφη, μὴ ἀδικεῖν μηδένα, πωλεῖν δὲ τοὺς καπήλους ὅ τι ἔχει ἕκαστος πράσιμον, καὶ ταῦτα διαθεμένους ἄλλα ἄγειν, ὅπως οἰκῆται ἡμῖν τὸ στρατόπεδον. Καὶ ταῦτα μὲν ἐκήρυσσον εὐθύς. Οἱ δὲ Μῆ- 43
δοι καὶ Ὑρκάνιοι εἶπον ὧδε· Καὶ πῶς ἄν, ἔφασαν, ἡμεῖς ἄνευ σοῦ καὶ τῶν σῶν διανέμοιμεν ταῦτα; Ὁ δ' αὖ 44
Κῦρος πρὸς τοῦτον τὸν λόγον ὧδε προςηνέχθη· Ἦ γὰρ οὕτως, ἔφη, ὦ ἄνδρες, γιγνώσκετε, ὡς, ὅ τι ἂν δέῃ πραχθῆναι, ἐπὶ πᾶσι πάντας ἡμᾶς δεήσει παρεῖναι, καὶ οὔτε ἐγὼ ἀρκέσω πράττων τι πρὸ ὑμῶν, ὅ τι ἂν δέῃ, οὔτε ὑμεῖς πρὸ ἡμῶν; Καὶ πῶς ἂν ἄλλως πλείω μὲν πράγματα ἔχοιμεν, μείω δὲ διαπραττοίμεθα, ἢ οὕτως; Ἀλλ' ὁρᾶτε, ἔφη, ὑμεῖς· ἡμεῖς μὲν γὰρ διεφυλάξαμεν 45
ὑμῖν τάδε, καὶ ὑμεῖς ἡμῖν πιστεύετε καλῶς διαπεφυλάχθαι· ὑμεῖς δέ γ' αὖ διανείματε, καὶ ἡμεῖς πιστεύσομεν

§. 42. καπήλους] καὶ ἐμπόρους quidam adiiciunt.

Deest τοὺς τῶν χρημάτων ταμίας, qui signatum illud aurum in tentoriis servabant.

ἵνα ἔχητε] ut habeatis sive equites sitis sive pedites. De ducibus enim agitur demum §. 53 sq. Ad stipendium quod attinet, moris erat equitibus et centurionibus duplum, praetoribus quadruplum attribui. Vid. Anab. VII. 3, 10. et Boeckh. Oecon. Polit. I. p. 131. 294 sq.

§. 42. κηρυξάτω] Suppleto τις vel κῆρυξ consule not. ad c. 3, 21.

καὶ ταῦτα διαθεμένους ἄλλα ἄγειν, ὅπως οἰκῆται ἡμῖν τὸ στρατόπεδον] Gabr. atque haec ubi venerint, alia importare: nostra enim multum interest castra frequentari. Obscurius Caselius: numis paratis alia advehant, ubi castra erunt. Aliorum interpretationes ut omittam, sensus sit necesse est: et his divenditis alia apportare, ut castra nostra instruantur rebus necessariis, damit unser Lager versorgt wird. Hoc modo οἰκεῖσθαι etiam §. 39. V. 4, 39. VIII. 6, 14. accipi poterit, nisi quis εὖ ante οἰκῆται excidisse malit statuere.

§. 44. ἐπὶ πᾶσι] Similiter §. 39. ὅστις et τούτους sese invicem excipiebant.

οὔτε ὑμεῖς] videlicet ἀρκέσετε πράττοντές τι.

§. 45. ἔφη, ὑμεῖς· ἡμεῖς μὲν γάρ] Ellipticam dicendi rationem, quae hic est, sic supplendam interpretandamque esse censet Zeunius: Sed vosmet ipsi reputetis velim, praedae distributionem vobis recte esse committendam. Nam nos etc.

ὑμεῖς δέ γ' αὖ διανείματε] vos vero ipsi vicissim distribuite. Cf. ad I. 6, 26.

46 ὑμῖν καλῶς διανενεμηκέναι. Καὶ ἄλλο δέ τι αὖ ἡμεῖς
πειρασόμεθα κοινὸν ἀγαθὸν πράττειν. Ὁρᾶτε γὰρ δή,
ἔφη, νυνὶ πρῶτον, ἵπποι ὅσοι ἡμῖν πάρεισιν, οἱ δὲ
προσάγονται· τούτους οὖν εἰ μὲν ἐάσομεν ἀναμβάτους,
ὠφελήσουσι μὲν οὐδὲν ἡμᾶς, πράγματα δὲ παρέξουσιν
ἐπιμέλεσθαι· ἢν δ' ἱππέας ἐπ' αὐτοὺς καταστήσωμεν,
ἅμα πραγμάτων τε ἀπαλλαξόμεθα, καὶ ἰσχὺν ἡμῖν αὐτοῖς
47 προσθησόμεθα. Εἰ μὲν οὖν ἄλλους ἔχετε, οἷστισιν ἂν
δοίητε αὐτούς, μεθ' ὧν ἂν καὶ κινδυνεύοιτε ἥδιον, εἴ
τι δέοι, ἢ μεθ' ἡμῶν, ἐκείνοις δίδοτε· εἰ μέντοι ἡμᾶς
ἂν βούλοισθε παραστάτας μάλιστα ἔχειν, ἡμῖν αὐτοὺς
48 δότε. Καὶ γὰρ νῦν, ὅτε ἄνευ ἡμῶν προσελάσαντες
ἐκινδυνεύετε, πολὺν μὲν φόβον ἡμῖν παρείχετε, μή τι
πάθητε, μάλα δὲ αἰσχύνεσθαι ἡμᾶς ἐποιήσατε, ὅτι οὐ
παρῆμεν ὅπουπερ ὑμεῖς· ἢν δὲ λάβωμεν τοὺς ἵππους,

§. 46. *Καὶ ἄλλο δέ τι αὖ ἡμεῖς*] *Καὶ ἐν ἄλλοις δέ τι αὖ ἡμεῖς* Pop. *Καὶ ἄλλοις* (fort. *ἄλλως*) *δέ τι αὖ ἡμεῖς* codd. *Καὶ ἐν τούτῳ αὖ ἄλλό τι ἡμεῖς.* Schn.

ἡμεῖς πιστεύσομεν ὑμῖν καλῶς διανενεμηκέναι] »Phil. legisse videtur *διανενεμῆσθαι*: vertit enim, bene a vobis esse distributa; quae scriptura magis placet, cum quia accusativus personae sic omitti per leges linguae non potest, tum quia *διανενεμῆσθαι* magis respondet verbo *διαπεφυλάχθαι* membri superioris: sed *ὑμῖν* coniungi debet cum verbo *πιστεύσομεν*.« Fischer. Linguae legibus non est quod quisquam formidet inspectis verbis Anab. II. 1, 12. *Μὴ οὖν οἴου τὰ μόνα ἡμῖν ἀγαθὰ ὄντα ὑμῖν παραδώσειν*, in quibus *ἡμᾶς* ex praegresso *ἡμῖν* supplendum esse manifestum est.

§. 46. *ὅσοι ἡμῖν πάρεισιν, οἱ δὲ προσάγονται*] Anab. II. 3, 10. *ἐποιοῦντο διαβάσεις ἐκ τῶν φοινίκων, οἳ ἦσαν ἐκπεπτωκότες, τοὺς δὲ καὶ ἐξέκοπτον.* Addantur comparata ad II. 2, 27. III. 1, 32.

πράγματα δὲ παρέξουσιν ἐπιμέλεσθαι] Ad explendam dictionem et *ἡμῖν* et *αὐτῶν* requiritur: infinitivum quo minus tentes, obstat locus Anab. III. 2, 27. *αὗται (αἱ σκηναὶ) γὰρ αὖ ὄχλον μὲν παρέχουσιν ἄγειν, συνωφελοῦσι δὲ οὐδέν.* Matth. §. 541. p. 779. nescio quid de duabus constructionibus h. l. in unam coniunctis disputat, quarum alteram *οἱ ἵπποι πράγματα παρέξουσιν ἐπιμελόμενοι* quomodo expediri voluerit, non assequor. Imo locutionum *πράγματα παρέξουσιν οἱ ἵπποι* et *χαλεποὶ ἔσονται οἱ ἵπποι* quum par sit ratio, maiore iure provocabis ad §. 534. b.

§. 47. *εἰ – ἂν βούλοισθε*] Attigi ad IV. 2, 37.

§. 48. *προσελάσαντες*] nempe ad Assyrios hostes.

μή τι πάθητε] I. 4, 2. *ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνῃ*, ubi vid. not.

ὅπουπερ ὑμεῖς] sc. *ἦτε*. Se-

ἑψόμεθα ὑμῖν. Κἂν μὲν δοκῶμεν ὠφελεῖν πλέον ἐπ' αὐ- 49
τῶν συναγωνιζόμενοι, οὕτω προθυμίας οὐδὲν ἂν ἐλλεί-
ψομεν· ἢν δὲ πεζοὶ γενόμενοι δοκῶμεν καιριωτέρως ἂν
παρεῖναι, τότε καταβάντες ἐν μέσῳ καὶ εὐθὺς πεζοὶ ὑμῖν
παρεσόμεθα· τοὺς δ' ἵππους μηχανησόμεθα οἷς ἂν πα-
ραδοίημεν. Ὁ μὲν οὕτως ἔλεξεν· οἱ δὲ ἀπεκρίναντο· 50
Ἀλλ' ἡμεῖς μέν, ὦ Κῦρε, οὔτε ἄνδρας ἔχομεν, οὓς
ἀναβιβάσαιμεν ἂν ἐπὶ τούτους τοὺς ἵππους, οὔτε, εἰ
εἴχομεν, σοῦ ταῦτα βουλομένου, ἄλλο ἂν ἀντὶ τούτων
ᾑρούμεθα. Καὶ νῦν, ἔφασαν, τούτους λαβὼν ποίει
ὅπως ἄριστόν σοι δοκεῖ εἶναι. Ἀλλὰ δέχομαί τε, ἔφη, 51
καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς

§. 49. πλέον ἐπ' αὐτῶν συναγ.] Sic optimi praeter marg. Steph. ὑπ' αὐτῶν, pro quo scribendum fuerat ἀπ' αὐτῶν. Interpretationem continet lectio πλείονα ἐπὶ τῶν ἵππων συναγ.

τότε καταβάντες ἐν μέσῳ καὶ] τότε καταβῆναι ἐν μέσῳ καί vel τὸ καταβῆναι edd. vett. et codd. Certe καί duriuscule ad πεζοί retuleris.

παραδοίημεν] G. V. al. pro παραδιδοίημεν.

quens ἑψόμεθα Cyri prudentiae et modestiae adscribit Zeunius, quum dici potuisset ἡγησόμεθα ὑμῶν, συμμαχήσομεν aut βοηθήσομεν ὑμῖν.

§. 49. ὠφελεῖν] Infinitivus caret ἄν particula, quippe, si libera oratio esset, in ὅτι ὠφελοῦμεν vel ὠφελοίημεν mutandus. Vide Hermann. ad Soph. Aiac. locum I. 2, 5. a me excitatum.

οὕτω] ἐπὶ τῶν ἵππων συναγωνιζόμενοι. Cf. not. ad VIII. 1, 3.

οὐδὲν ἂν ἐλλείψομεν] ἄν cum indicativo futuri copulavit Eurip. tum Andromach. 465. Οὐδέποτ' ἂν δίδυμα λέκτρ' ἐπαινέσω βροτῶν, tum in iis, quae ad illum locum Matthiae protulit. Cf. Rost. §. 120. 5. c. β. p. 459.

τότε καταβάντες ἐν μέσῳ καὶ εὐθὺς πεζοί] Plusculum omisit Gabr. tum desilientes continuo pedites vobis praesto erimus, nec magis ferri potest conversio Caselii: nihil facilius est quam descendere de equis, erimusque vobis praesto pedites, quasi in Graecis legisset οὐδὲν τοῦ καταβῆναι ἐν μέσῳ, καί. Vulgatam, si quis sanam habet, reddat: tunc relictis in media acie equis statim pedites quoque praesto vobis erimus.

§. 50. σοῦ ταῦτα βουλομένου] τὸ τοὺς ἄνδρας ἀναβιβάσαι ἐπὶ τοὺς ἵππους.

οὔτε, εἰ εἴχομεν, — ἄλλο ἂν ἀντὶ τούτων ᾑρούμεθα] nec si haberemus, — aliud his mallemus. Vetustiora exemplaria iterata negatione scriptum habent οὐκ ἂν ἄλλο ἀντὶ τ., neutiquam inepte, siquidem probantur quae dixi ad II. 1, 8.

§. 51. Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε — τὰ κοινά] Accipio vero, in-

διέλοιτε τὰ κοινά. Πρῶτον μὲν οὖν τοῖς θεοῖς, ἔφη, ἐξαιρεῖτε ὅ τι ἂν οἱ μάγοι ἐξηγῶνται· ἔπειτα δὲ καὶ Κυαξάρῃ ἐκλέξασθε ὁποῖ' ἂν οἴεσθε αὐτῷ μάλιστα χαρί-
52 ζεσθαι. Καὶ οἳ γελάσαντες εἶπον, ὅτι γυναῖκας ἐξαιρετέον ἂν εἴη. Γυναῖκάς τε τοίνυν ἐξαιρεῖτε, ἔφη, καὶ ὅ τι ἄλλο ἂν δοκῇ ὑμῖν. Ἐπειδὰν δ' ἐκείνῳ ἐξέλητε, τοὺς ἐμοί, ὦ Ὑρκάνιοι, ἐθελουσίους τούτους ἐπισπομένους
53 ἀμέμπτους πάντας ποιεῖτε εἰς δύναμιν. Ὑμεῖς δ' αὖ, ὦ Μῆδοι, τοὺς πρώτους ξυμμάχους γενομένους τιμᾶτε τούτους, ὅπως εὖ βεβουλεῦσθαι ἡγήσωνται ἡμῖν φίλοι γενόμενοι. Νείματε δὲ πάντων τὸ μέρος καὶ τῷ παρὰ Κυαξάρου ἥκοντι, αὐτῷ τε καὶ τοῖς μετ' αὐτοῦ· καὶ

§. 51. ἐκλέξασθε] ἐξέλετε Schn. Illud tuentur codd. non refragante consuetudine scriptoris, quam Conviv. IV. 17 et not. exeget. ad IV. 2, 21. c. 5, 41. II. 2, 15. testantur.

§. 52. γυναῖκας ἐξαιρετέον ἂν εἴη] οὖν καλάς post γυναῖκας habebatur olim.

ἐθελουσίους τούτους ἐπισπομένους] Libri scripti commendant ἐθελουσίους ἐπισπομένους Μήδους ἀμ. πάντως.

§. 53. ἥκοντι] ἀγγέλῳ alibi additur.

quit, et, quod felix faustumque sit, (vid. Bremi ad Lys. et Aesch. p. 372.) utinam nos equites evadamus et vos communem praedam distribuatis. Anab. I. 8, 17. Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ τοῦτο ἔστω. Qui subiiciuntur optativi γενοίμεθα et διέλοιτε, his voculam ἂν detrahi usus voluit, a Matth. §. 513. Rost. §. 119. 3. c. p. 454. non omissus.

§. 52. ὅτι γυναῖκας ἐξαιρετέον ἂν εἴη] mulieres posse deligi. Pulchras intelligi inde, opinor, potest perspici, quod articulum τάς ante γυναῖκας non expressit. Praeterea καλός in iis est vocabulis, in quibus addendis lusisse scias librarios. Vid. lectt. varr. ad Anab. I. 8, 15. VI. 2, 9. §. 13. §. 22. c. 3, 2. VII. 2, 17. nec VII. 3, 31. pulchrae mulieres omnibus interpretibus placuerunt.

ἀμέμπτους πάντας ποιεῖτε εἰς δύναμιν] Bene Gabr. curate, quantum fieri potest, ut nemo possit conqueri. VIII. 4, 28. ἀμέμπτους ποιησάμενος καὶ ἄρχοντας καὶ στρατιώτας ἀπεπέμψατο. Aliter Anab. I. 7, 4. ἐγὼ ὑμῶν τὸν μὲν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν, et ibid. c. 9, 6. καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολλοῖς μακαριστὸν ἐποίησε.

§. 53. τοὺς πρώτους ξυμμάχους] Hyrcanos esse patet ex 2, 3.

τὸ μέρος] partem eam, quam aequum est legatum accipere. De hoc usu articuli ad III. 3, 6. disserui.

συνδιαμένειν δὲ παρακαλεῖτε, ὡς καὶ ἐμοὶ τούτου συνδοκοῦντος, ἵνα καὶ Κυαξάρῃ μᾶλλον εἰδὼς περὶ ἑκάστου ἀπαγγείλῃ τὰ ὄντα. Πέρσαις δ', ἔφη, τοῖς μετ' ἐμοῦ, 54
ὅσα ἂν περιττὰ γένηται, ὑμῶν καλῶς κατεσκευασμένων, ταῦτα ἀρκέσει· καὶ γάρ, ἔφη, μάλα πως ἡμεῖς οὐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ χωριτικῶς· ὥςτε ἴσως ἂν ἡμῶν καταγελάσαιτε, εἴ τι σεμνὸν ἡμῖν περιτιθείητε· ὥςπερ, ἔφη, οἶδα, ὅτι πολὺν ὑμῖν γέλωτα παρέξομεν καὶ ἐπὶ τῶν ἵππων καθήμενοι, οἶμαι δέ, ἔφη, καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες.

Ἐκ τούτου οἱ μὲν ᾖεσαν ἐπὶ τὴν διαίρεσιν, μάλα 55
ἐπὶ τῷ ἱππικῷ γελῶντες· ὁ δὲ τοὺς ταξιάρχους καλέσας ἐκέλευσε τοὺς ἵππους λαμβάνειν καὶ τὰ τῶν ἵππων σκεύη, καὶ τοὺς ἱπποκόμους ἀριθμήσαντας λαβεῖν κληρωσαμένους εἰς τάξιν ἴσους ἑκάστοις. Αὖθις δὲ ὁ Κῦρος ἀνει- 56
πεῖν ἐκέλευσεν, εἴ τις εἴη ἐν τῷ Ἀσσυρίων, ἢ Σύρων, ἢ Ἀραβίων στρατεύματι ἀνὴρ δοῦλος, ἢ Μήδων, ἢ

τούτου συνδοκοῦντος] τοῦτο συνδοκοῦν al. lect.
§. 55. καὶ τοὺς ἱπποκόμους ἀριθμήσαντας] καὶ τοὺς ἱπποκόμους, καὶ ἀριθ. Schn.
§. 56. Αὖθις δὲ] Αὐτὸς δέ al. Pro Σύρων Fisch. Λυδῶν coni.

ὡς καὶ ἐμοὶ τούτου συνδοκοῦντος] affirmantes mihi quoque (non vobis solum) id maxime probari. Cf. not. ad III. 1, 9. Matthiae p. 831 sq.

§. 54. καὶ γάρ, ἔφη, μάλα πως ἡμεῖς οὐκ ἐν χλιδῇ τεθράμμεθα] i. e. καὶ γὰρ ἡμεῖς οὐ μάλα πως τεθράμμεθα ἐν χλιδῇ, etenim nos non adeo in magnis deliciis educati sumus, i. e. omnino in nullis.

χωριτικῶς] Ut Micio Demeam dicit Terent. Adelph. I. 1, 20. ruri agere vitam, semper parce ac duriter se habere.

τι σεμνὸν] elegantiores maxime vestes intelligit, quibus Medos delectatos esse legimus I. 3, 3.

καταπίπτοντες] sc. πολὺν ὑμῖν γέλωτα παρέξομεν. Similia afferam ad VI. 1, 40.

§. 55. τοὺς ἵππους – σκεύη] nempe κληρωσαμένους εἰς τάξιν ἴσους (et ἴσα) ἑκάστοις, quae verba ad equisones solum apponere scriptori placuit. Cf. ad §. 31. et c. 1. §. 3.

καὶ τοὺς ἱπποκόμους ἀριθμήσαντας λαβεῖν – ἑκάστοις] et ut centuriones, equisonum numero inito, sortirentur ad usum suae quisque centuriae parem numerum illorum.

§. 56. ἢ Σύρων, ἢ Ἀραβίων] »Syros enim omnes rex Assyriorum I. 5, 2. in potestatem suam redegerat, ita ut milites eorum credibile sit eum adiuvisse.« Sic recte Fischerus, qui tamen quod Lydorum nomen in Syro-

Περσῶν, ἢ Βακτρίων, ἢ Καρῶν, ἢ Κιλίκων, ἢ Ἑλ-
λήνων, ἢ ἄλλοθέν ποθεν βεβιασμένος, ἐκφαίνεσθαι.
57 Οἱ δὲ ἀκούσαντες τοῦ κήρυκος ἄσμενοι πολλοὶ προεφά-
νησαν· ὁ δέ, ἐκλεξάμενος αὐτῶν τοὺς τὰ εἴδη βελτί-
στους, ἔλεγεν, ὅτι ἐλευθέρους αὐτοὺς ὄντας δεήσει
ὅπλα ὑποφέρειν, ἃ ἂν αὐτοῖς διδῶσι· τὰ δὲ ἐπιτήδεια
58 ὅπως ἔχωσιν, ἔφη αὐτῷ μελήσειν. Καὶ εὐθὺς ἄγων
πρὸς τοὺς ταξιάρχους συνέστησεν αὐτούς· καὶ ἐκέλευσε
τά τε γέρρα καὶ τὰς ψιλὰς μαχαίρας τούτοις δοῦναι,
ὅπως ἔχοντες τοῖς ἵπποις ἕπωνται, καὶ τὰ ἐπιτήδεια τού-
τοις, ὥσπερ καὶ τοῖς μετ' αὐτοῦ Πέρσαις, λαμβάνειν·
αὐτοὺς δέ, τοὺς θώρακας καὶ τὰ ξυστὰ ἔχοντας, ἀεὶ

§. 58. *ἀεί*] deest in optimis codd. Vid. IV. 3, 22 sq.

rum locum substitutum maluit, vereor ne oblitus fuerit loci c. 2, 29. ex quo Croesum apparet superiore nocte, quam Cyrus hostium castra assecutus esset, relictis sociis profectum esse. Quae cum ita sint, Lydorum quenquam quomodo capere Cyrus potuerit, non liquet.

ἢ Βακτρίων, ἢ Καρῶν, ἢ Κιλίκων, ἢ Ἑλλήνων] Bactrii nondum ab Assyriis subiecti erant I. 5, 2. V. 1, 3. atque II. 1, 5. *τοὺς Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ οἰκοῦντας, οὐδέν πω σαφὲς λέγεται, εἰ ἕπονται.* Hi demum VI. 2, 10. Croeso opem ferre coguntur.

§. 57. *Οἱ δὲ ἀκούσαντες τοῦ κήρυκος ἄσμενοι πολλοὶ προεφάνησαν*] Sensus postulat *Οἱ δὲ (δοῦλοι) ἤκουσαν τοῦ κήρυκος ἄσμενοι, καὶ πολλοὶ προεφάνησαν*, non autem *Τῶν δὲ ἀκουσάντων τοῦ κήρυκος ἄσμενοι πολλοὶ προεφάνησαν.* Cur enim Cyrus noluisset praeconium illud ab omnibus servis exaudiri? Itaque subdistinctionem post *κήρυκος* vulgo collocatam necesse erat delerem.

ἃ ἂν αὐτοῖς διδῶσι] quaecunque iis dederint equites. Spartanis dicebantur *ὑπασπισταί* vel *θεράποντες*, quorum rationes praeter V. 2, 1. Mueller. Dor. II. p. 38. 244. doceat.

§. 58. *τὰς ψιλὰς μαχαίρας*] interpretantur leves gladios, quos *κοπίδας* dixerint. Locus tamen I. 2, 9. *Ἔχειν δεῖ τοὺς ἐξιόντας τόξα, καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν*, in eam me adducit sententiam, ut de nudis gladiis cogitandum putem, eoque magis, quod qui ministri equites subsequebantur, sive descendentibus equitibus arma pedestria subministraturi, sive vitam equitum ipsi tuituri erant, fieri non poterat, quin strictos gladios haberent.

καὶ τὰ ἐπιτήδεια τούτοις, ὥσπερ καὶ τοῖς μετ' αὐτοῦ Πέρσαις, λαμβάνειν] Haec omisit Camerarius, temere verborum sensu pro membro §. 57. *τὰ δὲ ἐπιτήδεια – μελήσειν* illato. Intellige: edixit etiam, ut res ad victum necessarias ministrorum in usum aeque bonas atque Persis suis centuriones curarent.

ἐπὶ τῶν ἵππων ὀχεῖσθαι· καὶ αὐτὸς οὕτω ποιῶν κατῆρχεν· ἐπὶ δὲ τοὺς πεζοὺς τῶν ὁμοτίμων ἀνθ' αὐτοῦ ἕκαστον καθιστάναι ἄλλον ἄρχοντα τῶν ὁμοτίμων.

CAPUT VI.

Gobryas ab Assyrio deficit ad Cyrum.

Οἱ μὲν δὴ ἀμφὶ ταῦτα εἶχον. Γωβρύας δ' ἐν τού- 1
τῳ παρῆν Ἀσσύριος, πρεσβύτης ἀνήρ, ἐφ' ἵππου σὺν ἱππικῇ θεραπείᾳ· εἶχον δὲ πάντες τὰ ἐφ' ἵππων ὅπλα. Καὶ οἱ μὲν ἐπὶ τῷ τὰ ὅπλα παραλαμβάνειν τεταγμένοι ἐκέλευον παραδιδόναι τὰ ξυστά, ὅπως κατακαίοιεν, ὥςπερ τἆλλα. Ὁ δὲ Γωβρύας εἶπεν, ὅτι Κῦρον πρῶτον βούλοιτο ἰδεῖν· καὶ οἱ ὑπηρέται τοὺς μὲν ἄλλους ἱππέας αὐτοῦ κατέλιπον, τὸν δὲ Γωβρύαν ἄγουσι πρὸς τὸν
Κῦρον. Ὁ δὲ ὡς εἶδε τὸν Κῦρον, ἔλεξεν· Ὦ δέσποτα, 2
ἐγώ εἰμι τὸ μὲν γένος Ἀσσύριος· ἔχω δὲ καὶ τεῖχος ἰσχυρόν, καὶ χώρας ἐπάρχω πολλῆς· καὶ ἵππον ἔχω δ' εἰς χιλίαν τριακοσίαν, ἣν τῷ τῶν Ἀσσυρίων βασιλεῖ παρειχόμην, καὶ φίλος ἦν ἐκείνῳ ὡς μάλιστα· ἐπεὶ δὲ ἐκεῖνος

Cap. VI. §. 2. *ἔχω δὲ καὶ τεῖχος ἰσχυρόν, καὶ χώρας ἐπάρχω πολλῆς· καὶ ἵππον ἔχω δ' εἰς χιλίαν τριακοσίαν, ἣν τῷ*] Membranarum auctoritas legi iubet *ἔχων δὲ – ἐπάρχων πολλῆς, καὶ ἵππον ἔχων διςχιλίαν τριακοσίαν τῷ* aut certe *καὶ ἵππον ἔχω διςχιλίαν τρι. ἣν τῷ.*

Cap. VI. §. 1. *τὰ ἐφ' ἵππων ὅπλα*] Breviter dictum puto pro *τὰ ὅπλα τῶν ἐφ' ἵππων* sc. *καθημένων*. Alio sensu *τὰ τῶν ἵππων ὅπλα* occurrunt VI. 3, 21.

ὥςπερ καὶ τἆλλα] i. e. auctore Zeunio *ὥςπερ καὶ τὰ τῶν ἄλλων* sc. *ξυστά*. Sic Hipparch. VII. 2. *σὺν ἄλλοις ἱππεῦσι* pro *σὺν ἱππεῦσι τῶν ἄλλων πόλεων*, et Anab. I. 3, 7. *οἱ ἄλλοι* i. q. *οἱ τῶν ἄλλων στρατηγῶν στρατιῶται.* Sentеntiae causa vid. c. 5, 36. c. 2, 33.

§. 2. *εἰς χιλίαν τριακοσίαν*] fere decem millia equitum habet nescio unde Gabr. Singularis ille cum nomine collectivo iungitur etiam Anab. I. 7, 10. *ἀσπὶς μυρία καὶ τετρακοσία.* Aeschyl. Pers. 307. Blomfield. *μυρίας ἵππου βραβεύς.* 320. *ἵππου τριςμυρίας.* Viger. p. 74.

μὲν τέθνηκεν ὑφ᾽ ὑμῶν, ἀνὴρ ἀγαθὸς ὤν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει, ἔχθιστος ὤν μοι, ἥκω πρὸς σέ, καὶ ἱκέτης προςπίπτω, καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαι ἐμοὶ γενέσθαι· καὶ παῖδα οὕτως ὡς δυνατόν σε ποιοῦμαι· ἄπαις
3 δέ εἰμι ἀῤῥένων παίδων. Ὃς γὰρ ἦν μοι μόνος καὶ καλὸς καὶ ἀγαθός, ὦ δέσποτα, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν, ὥςπερ ἂν εὐδαίμονα πατέρα παῖς τιμῶν τιθείη, τοῦτον ὁ νῦν βασιλεὺς οὗτος, καλέσαντος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν, ὡς δώσοντος τὴν θυγατέρα τῷ ἐμῷ παιδί· ἐγὼ μὲν ἀπεπεμψάμην, μέγα φρονῶν, ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὀψοίμην τὸν ἐμὸν υἱὸν γαμέτην· ὁ δὲ νῦν βασιλεὺς εἰς θήραν αὐτὸν παρακαλέσας, καὶ ἀνεὶς αὐτὸν θηρᾶν ἀνὰ κράτος, ὡς πολὺ κρείσσων αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι· ὁ μὲν ὡς φίλῳ συνεθήρα, φανείσης δ᾽ ἄρκτου, διώκοντες ἀμφότεροι, ὁ μὲν νῦν ἄρχων οὗτος ἀκοντίσας ἥμαρτεν· ὡς μήποτ᾽ ὤφελεν· ὁ δ᾽ ἐμὸς παῖς βαλών, οὐδὲν δέον, καταβάλλει τὴν ἄρ-

§. 3. *ἀνεὶς αὐτὸν θηρᾶν*] V. Chis. et m. Steph. pro *ἀνεὶς αὐτῷ θηρᾶν.*

ἀνὴρ ἀγαθὸς ὤν] Non magis haec verba loco suo moverim quam sqq. *ἔχθιστος ὤν μοι*, praesertim quum tota haec narratio Herodoteum colorem prae se ferat, nec quidquam naturae sit convenientius, quam ut primum morte nobis ereptum esse amicum narremus, deinde, quo magis auditores nostri misereat, probum fuisse addamus.

ὁ δὲ παῖς ἐκείνου] Fuisse credunt Laborosoarchodum, Neriglissori filium, qui Beroso auctore p. 68. ed. Richter. *ἐκυρίευσε μὲν τῆς βασιλείας μῆνας ἐννέα· ἐπιβουλευθεὶς δὲ διὰ τὸ πολλὰ ἐμφαίνειν κακοήθη ὑπὸ τῶν φίλων ἀπετυμπανίσθη.* Sed vid. nos ad I. 4, 16. 5, 2.

ἄπαις δέ εἰμι ἀῤῥένων παίδων] Excitarunt Matth. §. 317. et Thiersch. §. 314. 4.

§. 3. *τοῦτον ὁ νῦν βασιλεὺς οὗτος*] »Cum Gobrias *τοῦτον* diceret, in mente habebat, quod §. 4. demum redditur, *ἀφείλετο τὴν ψυχήν.* Dolor autem animi alia interim suggerebat, ut hyperbato duriore, sed quod conveniret menti perturbatae, uteretur, saepiusque interrumperet verborum structuram.« Ad hanc Weiskii observationem accedat Matth. §. 610. p. 901.

ἀκοντίσας] Nemini enim praeter regem vel regis filium conveniebat primum telum in feram emittere. Vid. not. I. 4, 14.

ὡς μήποτ᾽ ὤφελεν] Similia habent Buttm. §. 137. p. 443. Matth. §. 513. n. 3. Herm. ad Viger. p. 756 sq.

οὐδὲν δέον] quod non oportuisset facere. Refer ad *βαλών*, non ad *καταβάλλει.*

κτον. Καὶ τότε μὲν δὴ ἀνιαθεὶς ἄρ' οὗτος κατέσχεν ὑπὸ 4
σκότου τὸν φθόνον· ὡς δὲ πάλιν λέοντος παρατυχόντος ὁ μὲν αὖ ἥμαρτεν, οὐδὲν θαυμαστόν, οἶμαι, παθών, ὁ δ' αὖ ἐμὸς παῖς αὖθις τυχὼν κατειργάσατό τε τὸν λέοντα, καὶ εἶπεν, Ἆρα βέβληκα δὶς ἐφεξῆς, καὶ καταβέβληκα θῆρα ἑκατεράκις; ἐν τούτῳ δὲ οὐκέτι κατίσχει ὁ ἀνόσιος τὸν φθόνον, ἀλλ' αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς τὰ στέρνα τὸν μόνον μοι καὶ φίλον παῖδα ἀφείλετο τὴν ψυχήν. Κἀγὼ μὲν ὁ τά- 5
λας νεκρὸν ἀντὶ νυμφίου ἐκομισάμην, καὶ ἔθαψα, τηλικοῦτος ὤν, ἄρτι γενειάσκοντα τὸν ἄριστον παῖδα, τὸν ἀγαπητόν· ὁ δὲ κατακανών, ὥςπερ ἐχθρὸν ἀπολέσας, οὔτε μεταμελόμενος πώποτε φανερὸς ἐγένετο, οὔτε ἀντὶ τοῦ κακοῦ ἔργου τιμῆς τινος ἠξίωσε τὸν κατὰ γῆς. Ὅ γε μὴν πατὴρ αὐτοῦ καὶ συνῴκτισέ με, καὶ δῆλος ἦν συναχθόμενός μοι τῇ συμφορᾷ. Ἐγὼ μὲν οὖν, εἰ μὲν 6
ἔζη ἐκεῖνος, οὐκ ἄν ποτε ἦλθον πρὸς σὲ ἐπὶ τῷ ἐκείνου κακῷ· πολλὰ γὰρ φιλικὰ ἔπαθον ὑπ' ἐκείνου καὶ ὑπηρέτησα ἐκείνῳ· ἐπεὶ δὲ εἰς τὸν τοῦ ἐμοῦ παιδὸς φονέα ἡ ἀρχὴ περιήκει, οὐκ ἄν ποτε τούτῳ ἐγὼ δυναίμην εὔ-

§. 4. αὖθις τυχὼν κατειργάσατο] δυςτυχῶς τυχὼν κατειρ. quod olim legebatur, conflatum ex syllabis θις τυχών videtur.

βέβληκα δὶς ἐφεξῆς] βέβληκα μιᾷ δὶς ἐφ. edd. vett. aliud aliis supplentibus, Schaefero ὁρμῇ ad Lamb. Bos. Ellips. p. 357. μὰ Δία, imo νὴ Δία coniici ab alio debebat. Equidem μιᾷ post καταβέβληκα reponendum puto.

Herodt. III. 65. ἀδελφεοκτόνος τε, οὐδὲν δέον, γέγονα. Matth. §. 564. Ast. ad Platon. Legg. p. 109.

§. 4. ὑπὸ σκότου] Sic ὑπὸ γῆς τι κρύπτειν, ὑπὸ μάλης, ὑπὸ κόλπου aliaque Graeci dixerunt, de quibus nonnulla exposuit Lobeck. ad Phryn. p. 196.

Ἆρα βέβληκα] Nonne iaculatus sum? Vulgo colo interpungebatur post ἑκατεράκις improbante ad Platon. Protagor. p. 497. Heindorfio, cuius mentionem facere debebat Thiersch. §. 351. 17. Cf. not. ad c. 3, 8.

ἐν τούτῳ δέ] Tetigi ad I. 6, 41.

§. 5. ἐκομισάμην] domum portandum curavi.

τὸν ἀγαπητόν] unicum, quo modo explicant etiam Demosth. Mid. c. 45. p. 90. Buttm. ὁ τοῦ Νικίου, ὁ ἀγαπητός, ὁ ἄπαις, ὁ παντάπασιν ἀσθενὴς τῷ σώματι.

τιμῆς τινος ἠξίωσε τὸν κατὰ γῆς] Sepulta mortuorum corpora quo pacto Persae honoraverint, disces ex VII. 3, 7. VIII. 7, 1. et Brisson. lib. II. 249. p. 619 sqq.

νους γενέσθαι, οὐδὲ οὗτος εὖ οἶδ' ὅτι φίλον ἄν ποτ' ἐμὲ ἡγήσαιτο. Οἶδε γὰρ, ὡς ἐγὼ πρὸς αὐτὸν ἔχω, καὶ ὡς, πρόσθεν φαιδρῶς βιοτεύων, νῦν διάκειμαι, ἔρη-
7 μος ὢν καὶ διὰ πένθους τὸ γῆρας διάγων. Εἰ οὖν σύ με δέχῃ, καὶ ἐλπίδα τινὰ λάβοιμι τῷ φίλῳ παιδὶ τιμωρίας ἄν τινος μετὰ σοῦ τυχεῖν, καὶ ἀνηβῆσαι ἂν πάλιν δοκῶ μοι, καὶ οὔτε ζῶν ἂν ἔτι αἰσχυνοίμην, οὔτε ἀπο-
8 θνήσκων ἀνιώμενος ἂν τελευτᾶν δοκῶ. Ὁ μὲν αὕτως εἶπε· Κῦρος δ' ἀπεκρίνατο·

Ἀλλ' ἤνπερ, ὦ Γωβρύα, καὶ φρονῶν φαίνῃ ὅσαπερ λέγεις πρὸς ἡμᾶς, δέχομαί τε ἱκέτην σε, καὶ τιμωρήσειν σοι τοῦ παιδὸς σὺν θεοῖς ὑπισχνοῦμαι. Λέξον δέ μοι, ἔφη, ἐάν σοι ταῦτα ποιῶμεν, καὶ τὰ τείχη ἐῶμεν ἔχειν σε καὶ τὴν χώραν καὶ τὴν δύναμιν, ἥνπερ πρό-
9 σθεν εἶχες, σὺ ἡμῖν τί ἀντὶ τούτων ὑπηρετήσεις; Ὁ δὲ εἶπε· Τὰ μὲν τείχη, ὅταν ἔλθῃς, οἶκόν σοι παρέξω· δασμὸν δὲ τῆς χώρας, ὅνπερ ἔφερον ἐκείνῳ, σοὶ ἀποίσω· καὶ ὅποι ἂν στρατεύῃ, συστρατεύσομαι τὴν ἐκ τῆς χώρας δύναμιν ἔχων. Ἔστι δέ μοι, ἔφη, καὶ θυγάτηρ παρθένος, ἀγαπητή, γάμου ἤδη ὡραία, ἣν ἐγὼ πρό-

§. 8. τιμωρήσειν σοι τοῦ παιδὸς σὺν] τιμωρήσειν σοι τοῦ παιδὸς τὸν φονέα σύν ex cod. Leidens. ductum praeferre videtur Schaefer. ad Eurip. Hecub. Porson. 603. ed. tert.

§. 9. στρατεύῃ] δεήσοι στρατεύειν edd. vett. sed I. 2, 13. et al. est στρατεύεσθαι; nec optativus ferendus. Magis arridet στρατεύσῃ.

§. 7. Εἰ οὖν σύ με δέχῃ] Quamvis ab eadem coniunctione suspensus optativus sequatur, cavendum tamen arbitror, ne quis vel δέξῃ scribat vel δέχοιο, post ea, quae Bremius monuit ad Lys. et Aesch. p. 447. nosque ipsi ad c. 2, 37.

§. 8. ὦ Γωβρύα] »Unde autem, inquit Muretus, divinarat Cyrus hunc senem Gobryam vocari?« At nomen eius a ministris Cyro §. 1. indicatum fuisse, ut sponte intelligitur, ita non fugit Schneiderum.

καὶ φρονῶν φαίνῃ] h. e. interprete Weiskio οὐ μόνον λέγων, ἀλλὰ καὶ φρονῶν. Ab hoc usu voculae καί nihil magnopere discrepant quae ad III. 3, 38. 66. examinavimus.

τιμωρήσειν σοι τοῦ παιδός] Omnium simplicissime statuas dici pro τιμωρόν σοι γενήσεσθαι τοῦ παιδός, cl. V. 2, 7. ut VIII. 7, 17. ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω ad analogiam verborum λήγω et ἀπέλθω vel formulae ἡ τελευτὴ ἥκῃ scripta esse apparet.

§. 9. γάμου ἤδη ὡραία] i. e. γάμου ἤδη ὥραν ἔχουσα. Herodt. VI. 122. ἐπειδὴ γὰρ ἐγένοντο γάμου ὡραῖαι. Eurip. Helen. 12. Ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραίαν γάμων, καλοῦσιν

σθεν μὲν ᾤμην τῷ νῦν βασιλεύοντι γυναῖκα τρέφειν·
νῦν δὲ αὐτή τέ μοι ἡ θυγάτηρ πολλὰ γοωμένη ἱκέτευσε
μὴ δοῦναι αὐτὴν τῷ τοῦ ἀδελφοῦ φονεῖ, ἐγώ τε ὡσαύ-
τως γιγνώσκω. Νῦν δέ σοι δίδωμι βουλεύσασθαι καὶ
περὶ ταύτης οὕτως, ὥσπερ ἂν καὶ ἐγὼ βουλεύων περὶ
σοῦ φαίνωμαι. Οὕτω δὴ οὗτος ἔφη· καὶ ὁ Κῦρος εἶ- 10
πεν, Ἐπὶ τούτοις, ἔφη, ἐγὼ ἀληθευομένοις δίδωμί σοι
τὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν δεξιάν· θεοὶ δὲ ἡμῖν
μάρτυρες ἔστων. Ἐπεὶ δὲ ταῦτα ἐπράχθη, ἀπιέναι τε
κελεύει τὸν Γωβρύαν ἔχοντα τὰ ὅπλα, καὶ ἐπήρετο, πό-
ση τις ὁδὸς ὡς αὐτὸν εἴη, ὡς ἥξων. Ὁ δ' ἔλεγεν· Ἢν
αὔριον ἴῃς πρωΐ, τῇ ἑτέρᾳ ἂν αὐλίζοιο παρ' ἡμῖν.

Medi de praeda divisa referunt.

Οὕτω δὴ οὗτος μὲν ᾤχετο, ἡγεμόνα καταλιπών. 11
Οἱ δὲ Μῆδοι παρῆσαν, ἃ μὲν οἱ μάγοι ἔφασαν τοῖς θεοῖς
ἐξελεῖν ἀποδόντες τοῖς μάγοις· Κύρῳ δ' ἐξῃρηκότες τὴν
καλλίστην σκηνὴν καὶ τὴν Σουσίδα γυναῖκα, ἣ καλ-

περὶ σοῦ] περὶ σέ A. B. G. V. al.
§. 10. *Οὕτω δὴ οὗτος ἔφη· καὶ ὁ Κῦρος*] Vat. Gabr. pro *Οὕτω δὴ ὁ Κῦρος*, quod in *Οὕτω δὲ ὁ Κ.* mutandum erat.
ἀληθευομένοις] Gabr. *ἀληθευόμενος* media forma, de qua v. ad Oecon. III. 12., dederant ceteri.

αὐτὴν Θεονόην, ad quae verba illustranda Matthiae usus est iisdem atque in Gr. gr. §. 317. p. 436.
ἱκέτευσε] sc. *μέ*, quod quia *μοί* praecessit, neutiquam incommodius reticetur, quam *ὑμᾶς* c. 5, 45.
ὥσπερ ἂν καὶ ἐγὼ βουλεύων περὶ σοῦ φαίνωμαι] quomodocunque me quoque de te statuere patet, i. e. eadem benevolentia, qua me tibi consulere vides, velim tu quoque de filia collocanda statuas. De Cyro ut genero suo Gobryam cogitasse non est quod quis concludat ex V. 2, 7 sqq. Activum *ἐβούλευον* pro *ἐβουλεύοντο*, cum *βουλεύειν* paullo ante usurpatum vidisset, corrigendo etiam in libellum de rep. Athen. c. 1. 6. inferre Morus voluerat. Cf. supra II. 4, 15. IV. 5, 10.
§. 10. *Ἐπὶ τούτοις — ἀληθευομένοις*] ea conditione, ut vere haec dicta sint. Matthiae §. 585. β. Viger. p. 617 sq.
τῇ ἑτέρᾳ ἂν αὐλίζοιό παρ' ἡμῖν] perendie apud nos deverteris. II. 3, 24. eodem sensu *τῇ ἄλλῃ* scripserat.
§. 11. *τὴν Σουσίδα γυναῖκα*] Pantheam, Abradatae uxorem, quam V. 1, 2 sqq. cognoscimus.

λίστη δὴ λέγεται ἐν τῇ Ἀσίᾳ γυνὴ γενέσθαι, καὶ μουσουργοὺς δύο τὰς κρατίστας· δεύτερον δὲ Κυαξάρῃ τὰ δεύτερα· τοιαῦτα δ' ἄλλα, ὧν ἐδέοντο, ἑαυτοῖς ἐκπληρώσαντες, ὡς μηδενὸς δεόμενοι στρατεύωνται· πάντα
12 γὰρ ἦν πολλά. Προςέλαβον δὲ καὶ οἱ Ὑρκάνιοι ὧν ἐδέοντο· ἰσόμοιρον δ' ἐποίησαν καὶ τὸν παρὰ Κυαξάρου ἄγγελον· τὰς δὲ περισσὰς σκηνάς, ὅσαι ἦσαν, Κύρῳ παρέδοσαν, ὡς τοῖς Πέρσαις γένοιντο. Τὸ δὲ νόμισμα ἔφασαν, ἐπειδὰν ἅπαν συναχθῇ, διαδώσειν· καὶ διέδωκαν.

§. 11. *στρατεύωνται*] *στρατεύοιντο* vulgo ante Schn.

μουσουργοὺς δύο] Ctes. fr. 13. *βασιλέως δούλῳ ὄντι αὐτῷ* (*Ἀννάρῳ*) *εἰς τὸ δεῖπνον εἰςήεσαν πεντήκοντα καὶ ἑκατὸν ψάλλουσαι καὶ ᾄδουσαι γυναῖκες· ἔψαλλον δὲ αὗται καὶ ᾖδον ἐκείνου δειπνοῦντος*, ubi vid. Baehr. p. 228 sq.

δεύτερον δὲ Κυαξάρῃ τὰ δεύτερα] Repetito *ἐξῃρηκότες* sensus est: secundo autem loco Cyaxari secundas partes elegerant. Post *πρῶτον μέν* frequens est *δεύτερον δέ*, nec rarius incidas in *ἔπειτα* licet non praegresso *πρῶτον* vocabulo, at etiam *δευτέρως* video in Steph. Thesaur. Lond. p. 3231. Aristot. Eth. X. 8. *Καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος εὐδαιμονέστατος· δευτέρως δὲ ὁ κατὰ τὴν ἄλλην ἀρετήν*, non aliter et *δεύτερον δέ* usurpatum, ut nihil videatur Schneideri emendatione *Κυαξάρει δὲ τὰ δεύτερα* opus esse.

ὡς — στρατεύωνται] Ad coniunctivum post praeterita tuendum quae Bremi in Excurs. I. ad Lys. p. 435. statim ab initio protulit, praeter notata a nobis ad I. 2, 3. IV. 3, 22. scitu digna sunt.

§. 12. *Τὸ δὲ νόμισμα*] *τὸ ἐπίσημον χρυσίον* appellabatur c. 5, 40.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Ε'.

CAPUT I.

Cyrus de praeda sibi tributa ornat alios.

Οἱ μὲν δὴ ταῦτα ἔπραξάν τε καὶ ἔλεξαν· ὁ δὲ Κῦρος 1 ἐκέλευσε τὰ μὲν Κυαξάρου διαλαβόντας φυλάττειν οὓς ᾔδει οἰκειοτάτους αὐτῷ ὄντας· καὶ ὅσα δὲ ἐμοὶ δίδοτε ἡδέως, ἔφη, δέχομαι· χρήσεται δ' αὐτοῖς ὑμῶν ὁ ἀεὶ μάλιστα δεόμενος. Φιλόμουσος δέ τις τῶν Μήδων εἶπε· Καὶ μὴν ἐγώ, ὦ Κῦρε, τῶν μουσουργῶν ἀκούσας ἑσπέρας, ὧν σὺ νῦν ἔχεις, ἤκουσά τε ἡδέως, καὶ ἤν μοι δῷς αὐτῶν μίαν, στρατεύεσθαι ἄν μοι δοκῶ ἥδιον ἢ οἴκοι μένειν. Ὁ δὲ Κῦρος εἶπεν, Ἀλλ' ἔγωγε, ἔφη, καὶ δίδωμί σοι, καὶ χάριν οἴομαί σοι πλείω ἔχειν, ὅτι ἐμὲ ᾔτησας, ἢ σὺ ἐμοί, ὅτι λαμβάνεις· οὕτως ἐγὼ ὑμῖν διψῶ χαρίζεσθαι. Ταύτην μὲν οὖν ἔλαβεν ὁ αἰτήσας.

Cap. I. §. 1. *Οἱ μὲν δὴ*] Ab his verbis novum librum exordiuntur codd., sed edd. vett. a §. 2. *Καλέσας.*
δέχομαι] *ἐγώ* praeponunt deteriores libri.

Cap. I. §. 1. *ἀκούσας ἑσπέρας – ἤκουσά τε ἡδέως*] Abesse poterat illud *ἀκούσας*, non tamen sine sensus dispendio, qui orationem hic flagitat a familiari sermone quam minime remotam. VIII. 4, 9. *Ἀλλ' ὑπακούων σχολῇ ὑπήκουσα*; Memor. IV. 2, 21. *ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν τοτὲ μὲν πλείω, τοτὲ δ' ἐλάττω ἀποφαίνηται.* Eurip. Phoeniss. 771. Pors. *θανὼν γοῦν ὧδε κάλλιον θανεῖ.*

ἢ σὺ ἐμοί] sc. *ἔχεις.*

Panthea, forma et virtute excellens mulier, custodienda committitur Araspae: qui cum adversus Cyrum egregie disputasset de amore, suamque adversus eius illecebras iactasset firmitatem, ad extremum vehementi capitur amore Pantheae.

2 Καλέσας δὲ ὁ Κῦρος Ἀράσπην Μῆδον, ὃς ἦν ἐκ παιδὸς αὐτῷ ἑταῖρος, ᾧ καὶ τὴν στολὴν ἐκδὺς ἔδωκε τὴν Μηδικήν, ὅτε παρὰ Ἀστυάγους εἰς Πέρσας ἀπῄει, τοῦτον ἐκέλευσε διαφυλάττειν αὐτῷ τήν τε γυναῖκα καὶ
3 τὴν σκηνήν· ἦν δὲ αὕτη ἡ γυνὴ τοῦ Ἀβραδάτου τοῦ Σουσίου· ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς οὐκ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὤν, ἀλλὰ πρὸς τὸν τῶν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο· ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ ξυμμαχίας· ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτριανῶν βασιλεῖ· ταύτην οὖν ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπην, ἕως
4 ἂν αὐτὸς λάβῃ. Κελευόμενος δὲ ὁ Ἀράσπης ἐπήρετο, Ἑώρακας δ', ἔφη, τὴν γυναῖκα, ὦ Κῦρε, ἥν με κελεύεις φυλάττειν; Μὰ Δί', ἔφη ὁ Κῦρος, οὐκ ἔγωγε. Ἀλλ' ἔγωγε, ἔφη, ἡνίκα ἐξῃροῦμέν σοι αὐτήν· καὶ δῆτα, ὅτε μὲν εἰςήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς, τὸ πρῶτον οὐ διέγνωμεν αὐτήν· χαμαί τε γὰρ ἐκάθητο, καὶ αἱ

§. 2. διαφυλάττειν] V. margg. Vict. Vill. pro διαφυλάξαι.
§. 3. τοῦ Ἀβραδάτου τοῦ Σουσίου] Ἀβραδάτα τοῦ Σούσων βασιλέως al. lect.

§. 2. εἰς Πέρσας ἀπῄει] Vid. I. 4, 26.

§. 3. πρὸς τὸν τῶν Βακτριανῶν βασιλέα] »Si Bactrianos hic intellexeris ultra mare Caspium sitos (ad Oxum fluvium); viam, quaeso, quam ingressus est Assyrii legatus ille, qua adiri poterat in istorum regionem? Haud, opinor, dixeris Mediam illam Persiamque, hostium scilicet regiones, qua maxime in longitudinem patent, ausum esse peragrare, neque aliud facile monstraveris iter, eo quod incolumem, qua par erat celeritate, duceret.« Hutchins. p. XXXIX. qui Bactrianos in Susianis vicinia ponit. Minime tamen improbabile est et Margianam et Ariam in Bactriani regis ditione fuisse. vid. Sainte-Croix. Nouv. Observ. p. 679. Schn., praesertim quum Parthi quoque Assyriis olim paruerint. Vid. Baehr. ad Ctes. p. 114. et not. ad I. 5, 2.

ξένος γὰρ ὢν] Abradatas, non Assyriorum rex.

§. 4. χαμαί τε γὰρ ἐκάθητο] ut et libertatis iacturam et mariti absentis fortunam lugens. Dorvill. ad Charit. p. 588. Lips. hoc de more sedendi comparavit VII. 3, 5.

θεράπαιναι πᾶσαι περὶ αὐτήν· καὶ τοίνυν ὁμοίαν ταῖς
δούλαις εἶχε τὴν ἐσθῆτα· ἐπεὶ δὲ γνῶναι βουλόμενοι,
ποία εἴη ἡ δέσποινα, πάσας περιεβλέψαμεν, ταχὺ πάνυ
καὶ πασῶν ἐφαίνετο διαφέρουσα τῶν ἄλλων, καίπερ κα-
θημένη κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. Ὡς δὲ ἀνα- 5
στῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ
ἅπασαι αἱ ἀμφ᾽ αὐτήν, διήνεγκε δὲ ἐνταῦθα πρῶτον μὲν
τῷ μεγέθει, ἔπειτα δὲ καὶ τῇ ἀρετῇ καὶ τῇ εὐσχημοσύνῃ,
καίπερ ἐν ταπεινῷ σχήματι ἑστηκυῖα. Δῆλα δ᾽ ἦν αὐτῇ
καὶ τὰ δάκρυα καταστάζοντα, τὰ μὲν κατὰ τῶν πέπλων,
τὰ δὲ καὶ ἐπὶ τοὺς πόδας. Ὡς δ᾽ ἡμῶν ὁ γεραίτερος 6
εἶπε, Θάρσει, ὦ γύναι· καλὸν μὲν γὰρ κἀγαθὸν ἀκούο-
μεν καὶ τὸν σὸν ἄνδρα εἶναι· νῦν μέντοι ἐξαιροῦμεν ἀν-
δρί σε εὖ ἴσθι ὅτι οὔτε τὸ εἶδος ἐκείνου χείρονι, οὔτε
τὴν γνώμην, οὔτε τὴν δύναμιν ἧττω ἔχοντι· ἀλλ᾽, ὡς
ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνήρ, καὶ Κῦρος
ἄξιός ἐστι θαυμάζεσθαι, οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε· ὡς

§. 5. *καὶ τῇ ἀρετῇ*] *τῇ ῥώμῃ* qui praemittunt, certe non poterunt ad Conviv. II. 9. provocare, inculcatum haud dubie ab iis, qui *τὴν ἀρετήν* de virili corporis vigore accipi voluerunt. Cf. Act. Monac. III. f. 1. p. 38.

§. 6. *ἧττω ἔχοντι*] Desunt in deterioribus libris.

ταῖς δούλαις] i. e. *τῇ τῶν δούλων ἐσθῆτι*, docentibus Schaefer. ad Apollon. Rhod. II. p. 164. et Matth. §. 453. p. 630.

καίπερ καθημένη κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα] quamvis sederet et velo tecta et terram intuens. Non igitur supervacuum esse potest illud *καθημένη*, quippe quod nova notione impertiant sequentia. Iacobs. tamen ad Achill. Tat. p. 845. *καί* post *καθημένη* interpositum desiderat.

§. 5. *τῇ ἀρετῇ καὶ τῇ εὐσχημοσύνῃ*] »Cum *ἀρετῇ* omnino sit praestantia (vid. Hermann. ad Soph. Philoct. 1406.) s. id quo quis placet, videtur hic significare venustatem, quae non in singulis partibus insit, verum in tota forma. – *εὐσχημοσύνη* est decus et gratia in statu corporis et in vestis etiam compositione: der ganze äussere gute Anstand.« Weiske.

§. 6. *Ὡς δ᾽ ἡμῶν ὁ γεραίτερος*] Primus vidit Weiskius protasin interiectis aliis sententiis protractam post *τὸ ἀπὸ τοῦδε* repeti, nec nisi a verbo *περικατεῤῥήξατο* apodosin subiici.

τὴν δύναμιν] potentiam, non vigorem virilem, quam explicationem non tam loquendi usus quam mulieris decor locique ratio repudiare videtur.

εἴ τις καὶ ἄλλος] Non praeteriit hic locus Heindorfium ad Plat. Phaedon. p. 42. in similibus colligendis occupatum.

οὖν τοῦτο ἤκουσεν ἡ γυνή, περικατεῤῥήξατό τε τὸν
ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ καὶ
7 αἱ δμωαί. Ἐν τούτῳ δ' ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον
μέρος τοῦ προσώπου, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες·
καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς
ἄλλοις ἅπασι τοῖς ἰδοῦσι μήπω φῦναι μηδὲ γενέσθαι
γυνὴ ἀπὸ θνητῶν τοιαύτη ἐν τῇ Ἀσίᾳ· ἀλλὰ πάντως,
8 ἔφη, καὶ σὺ θέασαι αὐτήν. Καὶ ὁ Κῦρος ἔφη, Ναὶ
μὰ Δία, πολύ γε ἧττον, εἰ τοιαύτη ἐστίν, οἵαν σὺ λέ-
γεις. Τί δαί; ἔφη ὁ νεανίσκος. Ὅτι, ἔφη, εἰ νυνί,
σοῦ ἀκούσας, ὅτι καλή ἐστιν, ἐλθεῖν πεισθήσομαι θεα-
σόμενος, οὐδὲ πάνυ μοι σχολῆς οὔσης, δέδοικα, μὴ
πολὺ θᾶττον ἐκείνη με αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν
θεασόμενον· ἐκ δὲ τούτου ἴσως ἂν ἀμελήσας ὧν με δεῖ
πράττειν καθοίμην ἐκείνην θεώμενος.
9 Καὶ ὁ νεανίσκος ἀναγελάσας εἶπεν· Οἴει γάρ, ἔφη,
ὦ Κῦρε, ἱκανὸν εἶναι κάλλος ἀνθρώπου ἀναγκάζειν τὸν
μὴ βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον; Εἰ μέν-
τοι, ἔφη, τοῦτο οὕτως ἐπεφύκει, πάντας ἂν ἠνάγκα-
10 ζεν ὁμοίως. Ὁρᾷς, ἔφη, τὸ πῦρ, ὡς πάντας ὁμοίως

§. 7. ἐμοί τε ἔδοξε] ἔμοιγε scribendum aut prisca lectio revocanda erat: ἐμοί τε ἔδοξε – ἰδοῦσι, μήπω – γυναῖκα – τοιαύτην.

§. 8. οὐδὲ πάνυ] codd. optimi pro οὐ πάνυ.

τὸν ἄνωθεν πέπλον] a superiore corporis parte peplum, τὸν ἄνω ὄντα πέπλον, qui nimirum caput, collum, manus, pectus, quin etiam totum fere corpus tegebat. Vid. ad III. 1, 13.

§. 7. τὸ πλεῖστον μέρος τοῦ προσώπου] In pictura Philostr. p. 68. Iacobs. Panthea describitur χαίτην μὲν οὕτω μέλαινάν τε καὶ ἀμφιλαφῆ περιχέασα τοῖς ὤμοις καὶ τῷ αὐχένι, δέρην δὲ λευκὴν ὑπεκφαίνουσα, ἣν ἱδρύψατο μέν, οὐ μὴν ὡς αἰσχῦναι· – Τὸ δὲ ἐν τῇ παρειᾷ ἔρευθος οὐδὲ ἀποθνήσκουσαν διαφεύγει, χορηγοὶ δὲ αὐτοῦ ἥ τε ὥρα καὶ ἡ αἰδώς etc.

§. 8. πολύ γε ἧττον] sc. θεάσομαι αὐτήν.

Τί δαί;] quid ita? Sic Hermann. ad Viger. p. 848.

οὐδὲ πάνυ μοι σχολῆς οὔσης] quum ne otii quidem quidquam habeam, da ich durchaus nicht einmal Muſse habe.

πολὺ θᾶττον] multo citius, quam si hoc non facerem. Nostrates dicunt viel zu schnell, nur allzu bald. Sequens αὖθις, ad Araspam respiciens Cyro, ut mulierem conspiciat, persuadere conantem, reddas: vicissim.

§. 9. κάλλος ἀνθρώπου] i. e. καλὸν ἄνθρωπον. Quanquam alibi quoque κάλλος constat articulo destitutum esse, ut ad Conviv. p. 52 ostendisse videor.

καίει; πέφυκε γὰρ τοιοῦτον· τῶν δὲ καλῶν τῶν μὲν
ἐρῶσι, τῶν δ' οὔ, καὶ ἄλλος γε ἄλλου. Ἐθελούσιον
γάρ, ἔφη, ἐστί, καὶ ἐρᾷ ἕκαστος ὧν ἂν βούληται· αὐ-
τίκα, ἔφη, οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς, ἄλλος δὲ
ταύτης· οὐδὲ πατὴρ θυγατρός, ἄλλος δὲ ταύτης·
καὶ γὰρ φόβος καὶ νόμος ἱκανὸς ἔρωτα κωλύειν. Εἰ 11
δέ γ', ἔφη, νόμος τεθείη μὴ ἐσθίοντας μὴ πεινῆν,
καὶ μὴ πίνοντας μὴ διψῆν, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος,
μηδὲ θάλπεσθαι τοῦ θέρους, οὐδεὶς ἂν νόμος δυνη-
θείη διαπράξασθαι ταῦτα πείθεσθαι ἀνθρώπους· πε-
φύκασι γὰρ ὑπὸ τούτων κρατεῖσθαι. Τὸ δ' ἐρᾶν ἐθε-
λούσιόν ἐστιν· ἕκαστος γοῦν τῶν καθ' αὑτὸν ἐρᾷ, ὥς-
περ ἱματίων καὶ ὑποδημάτων. Πῶς οὖν, ἔφη ὁ Κῦ- 12
ρος, εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύσα-
σθαι ἔστιν, ὅταν τις βούληται; Ἀλλ' ἐγώ, ἔφη, ἑώ-
ρακα καὶ κλαίοντας ὑπὸ λύπης δι' ἔρωτα, καὶ δουλεύον-
τάς γε τοῖς ἐρωμένοις, καὶ μάλα κακὸν νομίζοντας, πρίν
γε ἐρᾶν, τὸ δουλεύειν· καὶ διδόντας γε ὧν πολλῶν οὐ
βέλτιον αὐτοῖς στέρεσθαι· καὶ εὐχομένους ὥςπερ καὶ

§. 12. *καὶ διδόντας γε ὧν πολλῶν οὐ βέλτιον*] *καὶ διδόντας γε πολλά, οὗ βέλτιον ἦν* alii vertentes: qui magno pretio redimebant illud (consuetudinem turpem), quo illos privari melius erat.

§. 10. *τῶν δὲ καλῶν τῶν μὲν ἐρῶσι, τῶν δ' οὔ*] sed rerum pulchrarum hae amantur, illae non item. Gabr. Ad pluralis personam tertiam *ἐρῶσι* supplent *οἱ ἄνθρωποι* dicendi genere admodum vulgato, cuius exempla dedit Wyttenbach. ad Plut. Moral. VI. P. I. p. 426 sq.

οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς] videlicet apud Graecos: Persae enim, Aegyptii et Assyrii connubia cum sororibus cognatisque non aspernabantur. Eurip. Androm. 173. *τοιοῦτο πᾶν τὸ βάρβαρον γένος· πατήρ τε θυγατρὶ παῖς τε μητρὶ μίγνυται κόρη τ' ἀδελφῷ, διὰ φόνου δ' οἱ φίλτατοι χωροῦσι, καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.* Ridet hunc morem etiam Aristophanes secundum eius interprett. ad Nub. 1362.

φόβος καὶ νόμος] *φόβος* est metus, ne flagitium cognoscant alii homines; *νόμος* graves poenas in flagitiosos constituit.

§. 11. *τῶν καθ' αὑτόν*] *τὰ καθ' αὑτόν* dicuntur, quae sunt ex voto et voluntate eius, was nach seinem Geschmacke ist.

§. 12. *καὶ διδόντας γε ὧν πολλῶν οὐ βέλτιον αὐτοῖς στέρεσθαι*] i. e. *καὶ διδόντας γε πολλά, ὧν οὐ στέρεσθαι βέλτιον αὐτοῖς ἦν*, largiri item multa, inquit Gabr., quibus privari ipsorum rationibus minime conducebat, vel potius minus utile erat. De hoc usu comparativorum *ἀμει-*

ἄλλης τινὸς νόσου ἀπαλλαγῆναι, καὶ οὐ δυναμένους μέντοι ἀπαλλάττεσθαι, ἀλλὰ δεδεμένους ἰσχυροτέρᾳ τινὶ ἀνάγκῃ ἢ εἰ ἐν σιδήρῳ ἐδέδεντο. Παρέχουσι γοῦν ἑαυτοὺς τοῖς ἐρωμένοις πολλὰ καὶ εἰκῇ ὑπηρετοῦντας· καὶ μέντοι οὐδ' ἀποδιδράσκειν ἐπιχειροῦσι, τοιαῦτα κακὰ ἔχοντες, ἀλλὰ καὶ φυλάττουσι τοὺς ἐρωμένους, μή ποι ἀποδρῶσι.

13 *Καὶ ὁ νεανίσκος εἶπε πρὸς ταῦτα· Ποιοῦσι γάρ, ἔφη, ταῦτα· εἰσὶ μέντοι οἱ τοιοῦτοι, ἔφη, μοχθηροί· διόπερ, οἶμαι, καὶ εὔχονται μὲν ἀεί, ὡς ἄθλιοι ὄντες, ἀποθανεῖν· μυρίων δ' οὐσῶν μηχανῶν ἀπαλλαγῆς τοῦ βίου, οὐκ ἀπαλλάττονται. Οἱ αὐτοὶ δέ γε οὗτοι καὶ κλέπτειν ἐπιχειροῦσι, καὶ οὐκ ἀπέχονται τῶν ἀλλοτρίων· ἀλλ' ἐπειδάν τι ἁρπάσωσιν ἢ κλέψωσιν, ὁρᾷς, ὅτι σὺ πρῶτος, ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν, αἰτιᾷ τὸν κλέπτοντα καὶ ἁρπάζοντα, καὶ οὐ συγγιγνώσκεις, ἀλλὰ*

14 *κολάζεις; Οὕτω μέντοι, ἔφη, καὶ οἱ καλοὶ οὐκ ἀναγκάζουσιν ἐρᾶν ἑαυτῶν οὐδ' ἐφίεσθαι ἀνθρώπους ὧν μὴ δεῖ· ἀλλὰ τὰ μοχθηρὰ ἀνθρώπια πασῶν, οἶμαι, τῶν*

§. 12. *μή ποι ἀποδρῶσι*] *μή πῃ ἀποδρῶσι* libri nonnulli.

νον, βέλτιον, νεώτερον aliorumque recte laudavit Poppo Matthiae §. 457. 3. et Buttm. Ind. ad Plat. Men. s. *ἄμεινον*. Adde Nitzsch. de Comparat. p. 61.

ἀπαλλαγῆναι] Supplebis cogitatione *οὕτω καὶ τούτου τοῦ κακοῦ, τοῦ ἔρωτος, ἀπαλλαγῆναι.*

ἐν σιδήρῳ ἐδέδεντο] Bene habere *ἐν* praepositionem testetur Heindorf. ad Plat. Cratyl. p. 71.

πολλὰ καὶ εἰκῇ] multa et quidem temere.

μή ποι ἀποδρῶσι] ne quo aufugiant, ubi reperiri nequeunt.

§. 13. *ἀπαλλαγῆς τοῦ βίου*] Ab Heindorfio congesti loci ad Plat. Phaedon. p. 219. evicerunt nec *τῆς ἀπαλλαγῆς τοῦ βίου*, nec *ἀπαλλαγῆς, τοῦ βίου οὐκ ἀπαλλάττονται* scribendum esse, licet ibi alia in re demonstranda occupatus sit.

Οἱ αὐτοὶ δέ γε οὗτοι] sc. *οἱ μοχθηροί.*

ὡς οὐκ ἀναγκαῖον] i. e. *νομίζων ὅτι οὐκ ἀναγκαῖόν* (unnöthig) *ἐστι*. Contra *μή* si scripsisset, fieri posse significavisset, ut quis cogatur furari. Participium *ὄν* praetermissum ne quem moretur, adeat not. ad III. 2, 24. 3, 67. Ceterum pro plena interpunctione post *κολάζεις* satius visum interrogandi signum ponere.

§. 14. *ἑαυτῶν οὐδ' ἐφίεσθαι ἀνθρώπους*] Quo clarius in oculos incurreret *ἀνθρώπους* ab *ἀναγκάζουσι* suspensum tam ad *ἐρᾶν* quam ad *ἐφίεσθαι* trahendum esse, incisum malui post *ἑαυτῶν* delere quam ante *ἀνθρώπους* iterare.

ἐπιθυμιῶν ἀκρατεῖς εἰσι, κἄπειτα ἔρωτας αἰτιῶνται· οἱ
δέ γε καλοὶ κἀγαθοί, ἐπιθυμοῦντες καὶ χρυσίου καὶ ἵπ-
πων ἀγαθῶν καὶ γυναικῶν καλῶν, ὅμως ἁπάντων τού-
των ῥᾳδίως δύνανται ἀπέχεσθαι, ὥςτε μὴ ἅπτεσθαι αὐ-
τῶν παρὰ τὸ δίκαιον. Ἐγὼ γοῦν, ἔφη, ταύτην ἑωρα- 15
κώς, καὶ πάνυ μοι καλῆς δοξάσης εἶναι, ὅμως καὶ πα-
ρὰ σοί εἰμι, καὶ ἱππεύω, καὶ τἆλλα τά μοι προςήκοντα
ἀποτελῶ. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος· ἴσως γὰρ θᾶττον 16
ἀπῆλθες ἢ ἐν ὅσῳ χρόνῳ ὁ ἔρως πέφυκε συσκευάζεσθαι
ἄνθρωπον. Καὶ πυρὸς γάρ τοι ἔστι θιγόντα μὴ εὐθὺς
καίεσθαι, καὶ τὰ ξύλα οὐκ εὐθὺς ἀναλάμπει· ὅμως δὲ
ἔγωγε οὔτε πυρὸς ἑκὼν εἶναι ἅπτομαι, οὔτε τοὺς καλοὺς
ἐσορῶ. Οὐδέ γε σοὶ συμβουλεύω, ἔφη, ὦ Ἀράσπα,
ἐν τοῖς καλοῖς ἐᾶν τὴν ὄψιν ἐνδιατρίβειν· ὡς τὸ μὲν πῦρ
τοὺς ἁπτομένους καίει, οἱ δὲ καλοὶ καὶ τοὺς ἄποθεν
θεωμένους ὑφάπτουσιν, ὥςτε αἴθεσθαι τῷ ἔρωτι. Θάῤ- 17
ῥει, ἔφη, ὦ Κῦρε· οὐδ' ἐὰν μηδέποτε παύσωμαι θεώ-
μενος, οὐ μὴ κρατηθῶ, ὥςτε ποιεῖν τι ὧν μὴ χρὴ ποι-
εῖν. Κάλλιστα, ἔφη, λέγεις· φύλαττε τοίνυν, ἔφη,

§. 14. *ἀκρατεῖς εἰσι*] *ἀκρατῆ ἐστι* damnavit Vat.

ἔρωτας] ex G. receperat Zeun. pro *ἔρωτα*: amores etiam Latini.

§. 16. *ἄποθεν*] *ἄπωθεν* Chis. quam hic illic scripturam etiam in Xenophonteis deprehendas, ut in Aeschin. Or. Ctesiph. p. 338. Brem.

ἀκρατεῖς εἰσι] Huiusmodi enallage generis quum sit in utriusque linguae scriptoribus frequentissima, non est quod alios testes adhibeamus praeter laudatos ad I. 4, 12. p. 48.

§. 15. *καὶ πάνυ μοι καλῆς δοξάσης εἶναι*] sc. *αὐτῆς*, cuius pronominis adiectione nihil opus erat, si scriptori placuisset pergere *καὶ πάνυ μοι καλὴν δόξασαν εἶναι*. Sed neglexit hanc concinnitatem etiam I, 4, 20. IV. 2, 15.

§. 16. *Καὶ πυρὸς γάρ τοι ἔστι θιγόντα μὴ εὐθὺς καίεσθαι*] Nam ignem quoque qui tetigerit, eum sane videas non statim comburi.

§. 17. *οὐδ' ἐὰν – οὐ μὴ κρατηθῶ*] Hujus loci piget propemodum me non meminisse, de repetita negatione ad II. 1, 8. disserentem; tritissima enim sunt *οὐ μὴ* cum coniunctivo copulata nec a me praetermissa ad III. 2, 8.

φύλαττε τοίνυν] sc. *αὐτήν*, cuius loco *αὐτῆς* statim intulit proximo verbo annexum.

ὥςπερ σε κελεύω, καὶ ἐπιμελοῦ αὐτῆς· ἴσως γὰρ ἂν καὶ
18 *πάνυ ἡμῖν ἐν καιρῷ τι γένοιτο αὕτη ἡ γυνή. Τότε μὲν*
δὴ ταῦτα εἰπόντες διελύθησαν.

Ὁ δὲ νεανίσκος, ἅμα μὲν ὁρῶν ὑπερκαλλῆ τὴν γυναῖκα, ἅμα δὲ αἰσθανόμενος τὴν καλοκἀγαθίαν αὐτῆς, ἅμα δὲ θεραπεύων αὐτήν, καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ, ἅμα δὲ καὶ αἰσθανόμενος οὐκ ἀχάριστον οὖσαν, ἀλλ' ἀντεπιμελουμένην διὰ τῶν αὑτῆς οἰκετῶν, ὡς καὶ εἰςιόντι εἴη τὰ δέοντα, καί, εἴ ποτε ἀσθενήσειεν, ὡς μηδενὸς ἂν δέοιτο· ἐκ πάντων τούτων ἡλίσκετο ἔρωτι, καὶ ἴσως οὐδὲν θαυμαστὸν ἔπασχε. Καὶ ταῦτα μὲν δὴ οὕτως ἐπράττετο.

Cyrus de bello persequendo certus explorat Medorum et sociorum voluntatem, utrum secum manere velint: qui omnes haud dubitanter respondent se ab eo non esse discessuros.

19 *Βουλόμενος δὲ ὁ Κῦρος ἐθέλοντας μένειν μεθ' ἑαυτοῦ τούς τε Μήδους καὶ τοὺς συμμάχους, συνεκάλεσε πάντας τοὺς ἐπικαιρίους· ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιά-*

ἴσως γὰρ ἂν καὶ πάνυ ἡμῖν ἐν καιρῷ τι γένοιτο] nec *καί* nec *τι* agnoscunt codd., quod posterius non male quis in *ἔτι* mutaverit.

§. 18. *ἅμα δὲ καὶ αἰσθανόμενος*] *καί* receptum ex M. Chis. et m. Vict.

μηδενὸς ἂν δέοιτο] Fort. *μηδενὸς αὖ δέοιτο.* Inter *εἴη* et *τα δέοντα* legebatur *αὐτῷ.*

§. 19. *ἐθέλοντας*] Hoc probandum, non *ἐθελοντάς*, dixi ad Anab. I. 6, 9.

ἴσως γὰρ ἂν καὶ πάνυ ἡμῖν ἐν καιρῷ τι γένοιτο αὕτη ἡ γυνή] De sensu verborum non sinit dubitare locus Hellen. VII. 4, 9. *σωθέντες μὲν γὰρ ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα, ἐὰν δὲ νῦν ἀπολώμεθα, δῆλον ὅτι οὐδέποτε ἔτι χρήσιμοι ἐσόμεθα*, expressitque Italus: possit (posset, si fors ferret, VI. 1, 45.) enim fortasse haec mulier magno nobis aliqua in re usui esse; *καὶ πάνυ* tamen Germani aptius reddimus gar sehr.

§. 18. *διὰ τῶν αὑτῆς οἰκετῶν*] per famulos suos. Intelliguntur eunuchi, qui etsi §. 4. non commemorabantur, VII. 3. extrem. mortuae tamen Pantheae superstites esse nolebant.

ἴσως οὐδὲν θαυμαστὸν ἔπασχε] »Illud *ἴσως* Attica ironia conditur: confitetur Xenophon etiam sibi, si eodem loco esset, periclitandum fuisse.« Weiske.

§. 19. *τοὺς ἐπικαιρίους*] *τῶν φίλων τοὺς ἱκανωτάτους καὶ φρονεῖν καὶ συμπράττειν, εἴ τι δέοι* c. 5, 44. *μυριάρχους καὶ χιλιάρχους καὶ ταξιάρχους καὶ λοχαγούς* III. 3, 11 sq.

δε· Ἄνδρες Μῆδοι καὶ πάντες οἱ παρόντες, ἐγὼ ὑμᾶς 20
οἶδα σαφῶς, ὅτι οὔτε χρημάτων δεόμενοι σὺν ἐμοὶ
ἐξήλθετε, οὔτε Κυαξάρῃ νομίζοντες τοῦτο ὑπηρετεῖν·
ἀλλ' ἐμοὶ βουλόμενοι τοῦτο χαρίζεσθαι καὶ ἐμὲ τιμῶντες,
νυκτοπορεῖν καὶ κινδυνεύειν σὺν ἐμοὶ ἠθελήσατε. Καὶ 21
χάριν τούτων ἐγὼ ὑμῖν ἔχω μέν, εἴ γε μὴ ἀδικῶ· ἀπο-
διδόναι δὲ οὔπω ἀξίαν δύναμιν ἔχειν μοι δοκῶ. Καὶ
τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων· τὸ δὲ Ἐὰν μένητε
παρ' ἐμοί, ἀποδώσω, τοῦτο, εὖ ἴστε, αἰσχυνοίμην ἂν
εἰπεῖν· νομίζοιμι γὰρ ἐμαυτὸν ἐοικέναι λέγοντι ταῦτα
ἕνεκα τοῦ ὑμᾶς μᾶλλον ἐθέλειν παρ' ἐμοὶ καταμένειν.
Ἀντὶ δὲ τούτου τάδε λέγω· ἐγὼ γὰρ ὑμῖν, κἂν ἤδη
ἀπίητε Κυαξάρῃ πειθόμενοι, ὅμως, ἂν ἀγαθόν τι πρά-
ξω, πειράσομαι οὕτω ποιεῖν, ὥςτε καὶ ὑμᾶς ἐμὲ ἐπαι-
νεῖν. Οὐ γὰρ δὴ αὐτός γε ἄπειμι, ἀλλὰ καὶ Ὑρκα- 22

§. 21. τοῦτο, εὖ ἴστε, αἰσχ.] τοῦτο, εὖ ἴστε, ἔφη, αἰσχ. V. εὖ ἴστε, ὅτι τοῦτο αἰσχ. Schn.
νομίζοιμι γὰρ ἐμαυτόν] νομίζω γὰρ ἑαυτόν codd.

§. 20. κινδυνεύειν σὺν ἐμοί] Abesse poterant verba σὺν ἐμοί, utpote in antecedenti ἐμοί contenta, nisi Cyri humanitas id ipsum, quod sua causa mala omnia subierant, prae ceteris extollere voluisset. Occurrunt vero etiam loci, in quibus perspicuitatis causa idem pronomen post breve intervallum repetitur; ex quo genere vide quos apposuit Reisig. Comment. crit. ad Soph. Oed. Col. p. 353.

§. 21. τὸ δὲ Ἐὰν μένητε — εἰπεῖν] sed illud dicere, mihi credite, erubescerem: si apud me maneatis, gratiam referam. Memor. I. 2, 56. Ἡσιόδου μὲν τὸ Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος, τοῦτο δὴ λέγειν αὐτόν. His cognata sunt talia ex iisdem Mem. ducta III. 7, 4. οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες οὗτοι καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν, qualia II. 1, 13. plura collegi. Sed paene oblitus eram articuli τό causa integris membris praepositi ablegare lectorem ad Matth. §. 279. et Stallbaum ad Plat. Euthyphr. p. 55.

νομίζοιμι γὰρ ἐμαυτὸν ἐοικέναι λέγοντι] Ut nihil dicam de obliqua ratione, qua quis optativum νομίζοιμι, in cuius persona tertia nemo facile haesisset, excuset, quod paucis verbis ante legitur ἄν, hunc quoque modum afficit. Multo certe durius dicam illud βουλοίμην, quod intactam reliquit Bremi Bibl. Gr. Vol. XVI. p. 410. Praeterea notandus accusativus cum infinitivo ἐμαυτὸν ἐοικέναι pro ἐγὼ ἐοικέναι, quem ne soloecum esse existimes, permulta sunt quae impediant. Praeterquam enim quod similiter Xenophon I. 4, 4. locutus erat, exemplorum quod satis est geminorum habent Schaefer. ad Lamb. Bos. Ellips. p. 224. et Heindorf. ad Plat. Euthyd. p. 414 sq.

νίοις τοὺς ὅρκους καὶ τὰς δεξιάς, ἃς ἔδωκα, ἐμπεδώσω, καὶ οὔποτε τούτους προδιδοὺς ἁλώσομαι, καὶ τῷ νῦν διδόντι Γωβρύᾳ καὶ τείχη ἡμῖν καὶ χώραν καὶ δύναμιν πειράσομαι ποιεῖν μήποτε μεταμελῆσαι τῆς πρὸς ἐμὲ
23 ὁδοῦ. Καὶ τὸ μέγιστον δή, τῶν θεῶν οὕτω διδόντων περιφανῶς ἀγαθά, καὶ φοβοίμην ἂν αὐτοὺς καὶ αἰσχυνοίμην, ἀπολιπὼν ταῦτα, εἰκῇ ἀπελθεῖν. Ἐγὼ μὲν οὖν οὕτως, ἔφη, ποιήσω· ὑμεῖς δὲ ὅπως γιγνώσκετε, οὕτω καὶ ποιεῖτε, καὶ ἐμοὶ εἴπατε ὅ τι ἂν ὑμῖν δόξῃ.
24 Ὁ μὲν οὕτως εἶπε.

Πρῶτος δὲ ὁ φήσας ποτὲ συγγενὴς τοῦ Κύρου εἶναι πρὸς ταῦτα εἶπεν· Ἀλλ' ἐγὼ μέν, ἔφη, ὦ βασιλεῦ· βασιλεὺς γὰρ ἔμοιγε δοκεῖς σὺ φύσει πεφυκέναι οὐδὲν ἧττον ἢ ὁ ἐν τῷ σμήνει φυόμενος τῶν μελιττῶν ἡγεμών· ἐκείνῳ τε γὰρ ἀεὶ αἱ μέλιτται ἑκοῦσαι μὲν πείθονται· ὅπου δ' ἂν μένῃ, οὐδὲ μία ἐντεῦθεν ἀπέρχεται· ἐὰν δέ που ἐξίῃ, οὐδὲ μία αὐτοῦ ἀπολείπεται· οὕτω δεινός τις αὐταῖς ἔρως τοῦ ἄρχεσθαι ὑπ' ἐκείνου ἐγγίγνε-
25 ται· καὶ πρὸς σὲ δέ μοι δοκοῦσι παραπλησίως πως οἱ ἄνθρωποι οὗτοι διακεῖσθαι. Καὶ γὰρ εἰς Πέρσας ὅτε παρ' ἡμῶν ἀπῄεις, τίς Μήδων ἢ νέος ἢ γέρων σοῦ ἀπελείφθη τὸ μή σοι ἀκολουθεῖν, ἔςτε Ἀστυάγης ἡμᾶς

§. 23. *ἀπολιπὼν ταῦτα, εἰκῇ ἀπελθεῖν*] Pro *εἰκῇ* si qui optimae notae codices scriptum habent *κἀκεῖ*, hos voluisse suspicor *κἀτα εἰκῇ ἀπελθεῖν*. Postea *ὅπως καὶ γιγνώσκετε* non videtur relinquendum fuisse. Vid. ad III. 3, 38.

§. 22. *μήποτε μεταμελῆσαι τῆς πρὸς ἐμὲ ὁδοῦ*] Promiserat enim Cyrus IV. 6, 8. se Gobryae filii necem ulturum esse.

§. 23. *Καὶ τὸ μέγιστον δή*] Vid. ad III. 1, 1.

§. 24. *ὁ φήσας ποτὲ συγγενὴς τοῦ Κύρου εἶναι*] Artabazus I. 4, 27. IV. 1, 22. VI. 1, 9.

Ἀλλ' ἐγὼ μέν, ἔφη, ὦ βασιλεῦ] »Cum regis nomine Cyrum compellasset Artabazus, brevi parenthesi declarare poterat recte hoc factum esse. Sed eius admiratione abreptus iusto copiosius agit, et, quod dicturus erat, demum §. 26. affert: *ἐγὼ δέ, ὦ Κῦρε, καὶ ὧν ἐγὼ κρατῶ* etc.« Weiske.

ἐκείνῳ τε γάρ] Pergitur §. 25. *καὶ πρὸς σὲ δέ μοι δοκοῦσι*, nec quae interposita sunt alio spectant, quam ad sententiam priorem explanandam, cuius initium est a verbis *ἐκείνῳ τε γάρ*. Exempla huius generis, quae rara sunt, afferam ad c. 3, 43.

§. 25. *τὸ μή σοι ἀκολουθεῖν*] Anab. I. 3, 2. *μικρὸν ἐξέφυγε τὸ μὴ καταπετρωθῆναι*. Demosth. Leptin. p. 498. v. 12. *οὐδὲ γὰρ ἀμφιςβήτησις καταλείπεται τὸ*

ἀπέστρεψεν; Ἐπειδὴ δ' ἐκ Περσῶν βοηθὸς ἡμῖν ὡρμήθης, σχεδὸν αὖ ἑωρῶμεν τοὺς φίλους σου πάντας ἐθελουσίους συνεπομένους. Ὅτε δ' αὖ τῆς δεῦρο στρατείας ἐπεθύμησας, πάντες σοι Μῆδοι ἑκόντες ἠκολούθησαν. Νῦν δ' αὖ οὕτως ἔχομεν, ὡς σὺν μὲν σοὶ 26
ὅμως, καὶ ἐν τῇ πολεμίᾳ ὄντες, θαῤῥοῦμεν, ἄνευ δὲ σοῦ καὶ οἴκαδε ἀπιέναι φοβούμεθα. Οἱ μὲν οὖν ἄλλοι ὅπως ποιήσουσιν, αὐτοὶ ἐροῦσιν· ἐγὼ δέ, ὦ Κῦρε, καὶ ὧν ἐγὼ κρατῶ καὶ μενοῦμεν παρὰ σοί, καὶ ὁρῶντες σὲ ἀνεξόμεθα, καὶ καρτερήσομεν ὑπὸ σοῦ εὐεργετούμενοι.

Ἐπὶ τούτῳ ἔλεξεν ὁ Τιγράνης ὧδε· Σύ, ἔφη, 27
ὦ Κῦρε, μή ποτε θαυμάσῃς, ἂν ἐγὼ σιωπῶ· ἡ γὰρ ψυχή, ἔφη, οὐχ ὡς βουλεύσουσα παρεσκεύασται, ἀλλ' ὡς ποιήσουσα ὅ τι ἂν παραγγέλλῃς. Ὁ δὲ Ὑρκά- 28
νιος εἶπεν· Ἀλλ' ἐγὼ μέν, ὦ Μῆδοι, εἰ νῦν ἀπέλθοιτε, δαίμονος ἂν φαίην τὴν ἐπιβουλὴν εἶναι τὸ μὴ ἐᾶσαι ὑμᾶς μέγα εὐδαίμονας γενέσθαι· ἀνθρωπίνῃ δὲ γνώμῃ τίς ἂν ἢ φευγόντων τῶν πολεμίων ἀποτρέποιτο, ἢ ὅπλα παραδιδόντων οὐκ ἂν λαμβάνοι, ἢ ἑαυτοὺς διδόντων

§. 25. *ἀπέστρεψεν*] *ἀπέπεμψεν* al.
§. 27. *ἡ γὰρ ψυχή, ἔφη*] Lege *ἡ γὰρ ψυχή μοι, ἔφη.*
§. 28. *ἀνθρωπίνῃ δὲ γνώμῃ*] i. e. secundum humanam intelligentiam, menschlicher Einsicht zufolge. *ἀνθρωπίνῃ δὲ γνώμῃ* poeticum colorem redolet.

μὴ ταῦτα ποιεῖν. Haud secus *τὸ μὴ οὐ* negationem sequuntur tum Conviv. III. 3. *οὐδείς σοι — ἀντιλέξει τὸ μὴ οὐ λέξειν*, tum in excitatis ad I. 6, 32.

ὁρῶντες σὲ ἀνεξόμεθα, καὶ καρτερήσομεν — εὐεργετούμενοι] Non sine ironia simulque ad I. 4, 27. alludens dicit: adspectum tuum, iniucundum scilicet, tolerabimus, et beneficiorum tuorum molestias constanter perferemus.

§. 28. *δαίμονος ἂν φαίην τὴν ἐπιβουλὴν εἶναι τὸ μὴ ἐᾶσαι — γενέσθαι*] Breviter Gabr. daemonis cuiuspiam vestram summam felicitatem impedientis fraudem esse dixerim (dicerem). *Δαίμων* est Genius hominis, vel bonae vel adversae fortunae conciliator; quae tamen notio ita nonnunquam cum altera, ex qua vitae sortem fortunamque cuiusque propriam significat, confunditur, ut alteram utram accurate discernere nequeas. De malo hic numine dici manifestum est, eique melius convenire *τὴν ἐπιβουλὴν* quam *τὴν βούλησιν,* quae et ipsa scriptura patronos suos nacta est.

καὶ τὰ ἑαυτῶν οὐκ ἂν δέχοιτο; ἄλλως τε καὶ τοῦ ἡγε-
μόνος ἡμῖν ὄντος τοιούτου, ὃς ἐμοὶ δοκεῖ, ὡς ὄμνυμι
ὑμῖν πάντας τοὺς θεούς, εὖ ποιῶν ἡμᾶς μᾶλλον ἥδε-
29 σθαι ἢ ἑαυτὸν πλουτίζων. Ἐπὶ τούτῳ πάντες οἱ Μῆ-
δοι τοιάδ' ἔλεγον, Σύ, ὦ Κῦρε, καὶ ἐξήγαγες ἡμᾶς,
καί, οἴκαδε ὅταν ἀπιέναι καιρός σοι δοκῇ εἶναι, σὺν
σοὶ ἡμᾶς ἀπάγαγε. Ὁ δὲ Κῦρος ἀκούσας ταῦτα ἐπεύ-
ξατο, Ἀλλ' ὦ Ζεῦ μέγιστε, αἰτοῦμαί σε, δός μοι τοὺς
30 ἐμὲ τιμῶντας νικῆσαι εὖ ποιοῦντα. Ἐκ τούτου ἐκέλευ-
σε τοὺς μὲν ἄλλους, φυλακὰς καταστήσαντας, ἀμφ' αὑ-
τοὺς ἤδη ἔχειν, τοὺς δὲ Πέρσας διαλαβεῖν τὰς σκηνάς,
τοῖς μὲν ἱππεῦσι τὰς τούτοις πρεπούσας, τοῖς δὲ πεζοῖς
τὰς τούτοις ἀρκούσας· καὶ οὕτω καταστήσασθαι, ὅπως
ποιοῦντες οἱ ἐν ταῖς σκηναῖς πάντα τὰ δέοντα φέρωσιν
εἰς τὰς τάξεις τοῖς Πέρσαις, καὶ τοὺς ἵππους τεθερα-

§. 29. *τοιάδ' ἔλεγον*] Sic etiam Vat. pro *τοιαῦτα ἔλεγον*.
σοι δοκῇ εἶναι] *σοί* et *εἶναι* om. codd.
§. 30. *φυλακάς*] Legebatur *φύλακας*.

ὡς ὄμνυμι ὑμῖν πάντας τοὺς θεούς] omnes enim deos testor. Desideratur tamen simile particulae *ὡς* ante iusiurandum positae exemplum, nisi formulam *ὡς εἴθε* Lucianeam huc quis velit trahere.

§. 29. *αἰτοῦμαί σε*] Itidem interposita haec VIII. 7, 26. *αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω.* Eurip. Alcest. 319. *μὴ δῆτα δράσῃς ταῦτά γ', αἰτοῦμαί σ' ἐγώ.*

§. 30. *φυλακὰς καταστήσαντας*] Schneidero *καθιστάναι φύλακας* dictum videtur pro facere, constituere, creare, usu formae activae et mediae promiscuo; contra *καθιστάναι* de re dictum significare ordinare, corrigere vel restituere. Sed ut de permultis, quae in contrariam partem proferri poterunt, pauca commemorem, aliter Xenoph. Hellen. VI. 5, 24. *φρουρὰς δὲ καθιστάναι ἐνόμιζον ἐπὶ τοῖς εὐπροσοδωτάτοις.* II. 3, 11. *βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατέστησαν.* IV. 6, 7. *φυλακὰς καταστησάμενοι ἐκάθευδον.* cl. II. 2, 4. Cyr. I. 6, 43. Anab. IV. 5, 19. §. 21., ut nihil dicam de locutionibus *φυλακὰς φυλάττειν* et *ποιεῖσθαι*, quarum, ubicunque non de singulis custodibus sed de stationibus disponendis agitur, frequentissimus est apud hunc scriptorem usus.

διαλαβεῖν] seorsim capere, inter se distribuere. Reiskius *διαλαχεῖν* cur male proposuerit reponendum esse, apparebit comparantibus V. 1, 1. VII. 3, 1. et Schneid. ad Hellen. I. 7, 20.

ὅπως ποιοῦντες οἱ ἐν ταῖς σκηναῖς — τοῖς Πέρσαις] i. e. *ὅπως οἱ ἐν ταῖς σκηναῖς* (*οἱ ὑπηρέται* II. 1, 21.) *ποιῶσι πάντα τὰ δέοντα καὶ φέρωσιν αὐτὰ εἰς τὰς τάξεις τοῖς Πέρσαις.* Vidit hoc etiam Eugebinus: ut, quicunque in tabernaculis

πευμένους παρέχωσι, Πέρσαις δὲ μηδὲν ἄλλο ᾖ ἔργον ἢ τὰ πρὸς τὸν πόλεμον ἐκπονεῖν. Ταύτην μὲν οὖν οὕτω διῆγον τὴν ἡμέραν.

CAPUT II.

Cyrus proficiscitur ad Gobryam: hic se et sua omnia tradit Cyro.

Πρωῒ δ' ἀναστάντες ἐπορεύοντο πρὸς Γωβρύαν, 1
Κῦρος μὲν ἐφ' ἵππου, καὶ οἱ Περσῶν ἱππεῖς, γεγενημένοι εἰς δισχιλίους· οἱ δὲ τὰ τούτων γέῤῥα καὶ τὰς κοπίδας ἔχοντες ἐπὶ τούτοις εἵποντο, ἴσοι ὄντες τὸν ἀριθμόν· καὶ ἡ ἄλλη δὲ στρατιὰ τεταγμένη ἐπορεύετο. Ἕκαστον δὲ ἐκέλευσε τοῖς καινοῖς ἑαυτῶν θεράπουσιν εἰπεῖν, ὅτι, ὅςτις ἂν αὐτῶν ἢ τῶν ὀπισθοφυλάκων φαίνηται ὄπισθεν, ἢ τοῦ μετώπου πρόσθεν ἴῃ, ἢ κατὰ πλάγια ἔξω τῶν ἐν τῇ τάξει ὄντων ἁλίσκηται, κολασθήσεται.
Δευτεραῖοι δὲ ἀμφὶ δείλην γίγνονται πρὸς τῷ Γωβρύου 2
χωρίῳ, καὶ ὁρῶσιν ὑπερίσχυρόν τε τὸ ἔρυμα, καὶ ἐπὶ τῶν τειχῶν πάντα παρεσκευασμένα, ὡς ἂν κράτιστα ἀπομάχοιτο· καὶ βοῦς δὲ πολλοὺς καὶ πάμπολλα πρόβατα
ὑπὸ τὰ ἐρυμνὰ προςηγμένα ἑώρων. Πέμψας δὲ ὁ Γω- 3
βρύας πρὸς τὸν Κῦρον ἐκέλευσε περιελάσαντα ἰδεῖν, ᾗ

§. 2. τὰ ἐρυμνά] τὰ ἐρύματα quidam ex interpretatione.
§. 3. πρὸς τὸν Κῦρον ἐκέλευσε] ἐκέλευσε τὸν Κῦρον aeque bonum est.

essent, res necessarias (omnes) conficerent, et confectas Persis ad ordines afferrent. Τάξεις haud dubie sunt centuriae, in quas Persarum copiae divisae erant, partim in tentoriis partim extra tentoria versantes. vid. IV. 6, 12. II. 1, 25.

Cap. II. §. 1. τὰς κοπίδας ἔχοντες] libertate donati illi, de quibus IV. 5, 57 sq.

Ἕκαστον] equitem videlicet, non militem, quod ex proxime praegresso membro temere coniicias. Equitum turma intelligenda est etiam, nisi fallor, in iis, quae statim subiiciuntur.

§. 2. ὡς ἂν κράτιστα ἀπομάχοιτο] ut quam fortissime Gobryas propulsaret, si quid Assyriorum rex hostile suscepturus esset.

ἡ πρόςοδος εὐπετεστάτη, εἴσω δὲ πέμψαι πρὸς ἑαυ-
τὸν τῶν πιστῶν τινας, οἵτινες αὐτῷ τὰ ἔνδον ἰδόντες
4 ἀπαγγελοῦσιν. Οὕτω δὴ ὁ Κῦρος αὐτὸς μὲν τῷ ὄντι
βουλόμενος ἰδεῖν, εἴ που εἴη αἱρέσιμον τὸ τεῖχος, ἢ ψευ-
δὴς φαίνοιτο ὁ Γωβρύας, περιήλαυνε πάντοθεν, ἑώρα
τε ἰσχυρότερα πάντα ἢ προςελθεῖν· οὓς δ' ἔπεμψε πρὸς
Γωβρύαν, ἀπήγγελλον τῷ Κύρῳ, ὅτι τοσαῦτα εἴη ἔν-
δον ἀγαθά, ὅσα ἐπ' ἀνθρώπων γενεάν, ὡς σφίσι δοκεῖν,
5 μὴ ἂν ἐπιλιπεῖν τοὺς ἔνδον ὄντας. Ὁ μὲν δὴ Κῦρος ἐν
φροντίδι ἦν, ὅ τι ποτὲ εἴη ταῦτα, ὁ δὲ Γωβρύας αὐτός
τε ἐξῄει πρὸς αὐτόν, καὶ τοὺς ἔνδοθεν πάντας ἐξῆγε φέ-
ροντας οἶνον, ἄλφιτα, ἄλευρα, ἄλλους δὲ ἐλαύνοντας

§. 4. εἴ που εἴη αἱρέσιμον] εἴ πῃ εἴη αἱρ. Pop. εἰ μὴ εἴη αἱρ. Heind. Deinde εἰ ψευδὴς Pop.

ἢ προςελθεῖν] etiam Vat. ᾗ προςῆλθεν G. A. B. ἢ ᾗ προςῆλθεν Poppo. Quodsi mutatione opus esset, ἰσχυρότατα πάντα, ᾗ προςῆλθεν praeferrem.

§. 3. ᾗ ἡ πρόςοδος εὐπετεστάτη] »ironice et gloriose dictum: nulla sc. ex parte castrum suum infirmum esse.« Weisk.

οἵτινες – ἀπαγγελοῦσιν] Vid. ad II. 3, 5.

§. 4. ὁ Κῦρος αὐτὸς μὲν τῷ ὄντι βουλόμενος ἰδεῖν, εἴ που εἴη αἱρέσιμον – ὁ Γωβρύας] i. e. Cyrus ipse vere cupiens perspicere, num forte capi castrum posset, an mendax appareret Gobryas. Quod quum adversari videretur cogitandi legibus, plerique interpretes cum Weiskio scripserunt εἰ ψευδὴς φαίνοιτο ὁ Γωβρύας hoc sensu: Revera Cyrus videre volebat, an aliqua ex parte urbs capi posset, si Gobryas fallaciter ageret (et Persis strueret insidias). Sed ad haec significanda vix dubium esse arbitror, quin ἢν ψευδὴς φαίνηται ὁ Γωβρύας daturus fuisset Xen. Nunc ut sententiarum nexus postulaverit εἰ μή που εἴη αἱρέσιμον τὸ τεῖχος, quoniam hoc quodammodo inest in ambigua interrogatione εἴ που εἴη, aliquanto negligentius locutus est, ita tamen ut a Graecae ingenio linguae non abhorreat. Cf. Krueger. ad Dionys. Histor. p. 135. et Goeller. ad Thucyd. I. 2. p. 52.

ἰσχυρότερα πάντα ἢ προςελθεῖν] munitiora omnia quam ut adiri posset. Sic Wyttenbach. in Animadvers. Iulian. p. 216. ed. Schaefer., quem laudare poterat Matth. §. 448. p. 625.

ὅσα ἐπ' ἀνθρώπων γενεάν, ὡς σφίσι δοκεῖν, μὴ ἂν ἐπιλιπεῖν τοὺς ἔνδον ὄντας] i. e. ὅσα ἔνδον εἶναι δεῖ, ὥςτε τοὺς ἔνδον ὄντας, ὡς σφίσι δοκεῖν (Matth. §. 543.), ἐπ' ἀνθρώπων γενεὰν μὴ ἂν ἐπιλιπεῖν. Matth. §. 479. p. 663. Viger. p. 726. 88.

§. 5. τοὺς ἔνδοθεν πάντας ἐξῆγε] Pro ἔνδοθεν male dedit Vat. ἔνδον, quum vulgatae par sit dictio haec: τοὺς ἔνδον ὄντας ἔνδοθεν ἐξῆγε πάντας, τοὺς μέν. Vid. not. ad III. 2, 12.

βοῦς, αἶγας, οἶς, σῦς, καὶ εἴ τι βρωτόν, πάντα ἱκανὰ προςῆγον, ὡς δειπνῆσαι πᾶσαν τὴν σὺν Κύρῳ στρατιάν.
6 Οἱ μὲν δὴ ἐπὶ τούτῳ ταχθέντες διῄρουν τε ταῦτα καὶ ἐδειπνοποίουν· ὁ δὲ Γωβρύας, ἐπεὶ πάντες αὐτῷ οἱ ἄνδρες ἔξω ἦσαν, εἰςιέναι τὸν Κῦρον ἐκέλευσεν, ὅπως νομίζοι ἀσφαλέστατα. Προειςπέμψας οὖν ὁ Κῦρος προσκόπους καὶ δύναμιν, καὶ αὐτὸς οὕτως εἰςῄει. Ἐπεὶ δὲ εἰςῆλθεν, ἀναπεπταμένας ἔχων τὰς πύλας παρεκάλει τοὺς φίλους πάντας καὶ ἄρχοντας τῶν μεθ' ἑαυτοῦ.
7 Ἐπειδὴ δὲ ἔνδον ἦσαν, ἐκφέρων ὁ Γωβρύας φιάλας χρυσᾶς, καὶ πρόχους, καὶ κάλπιδας, καὶ κόσμον παντοῖον, καὶ δαρεικοὺς ἀμέτρους τινάς, καὶ πάντα καλά, καὶ τέλος τὴν θυγατέρα, δεινόν τι κάλλος καὶ μέγεθος, πενθικῶς δ' ἔχουσαν τοῦ ἀδελφοῦ τεθνηκότος, ἐξάγων ὧδε εἶπεν· Ἐγώ σοι, ὦ Κῦρε, τὰ μὲν χρήματα ταῦτα δωροῦμαι, τὴν δὲ θυγατέρα ταύτην ἐπιτρέπω διαθέσθαι ὅπως ἂν σὺ βούλῃ· ἱκετεύομεν δέ, ἐγὼ μὲν καὶ πρόσθεν τοῦ υἱοῦ, αὕτη δὲ νῦν τοῦ ἀδελφοῦ τιμωρὸν γενέσθαι σε.

§. 6. διῄρουν τε ταῦτα καὶ ἐδειπνοποίουν] Vat. M. Chis. διῃροῦντό τε ταῦτα καὶ ἐδειπνοποίουν.
τοὺς φίλους πάντας] codd. pro πάντας τοὺς φίλους. Incidebatur antea post τὰς πύλας.
§. 7. καὶ πάντα καλά, καὶ τέλος] καὶ πάντα καλὰ πολλά, τέλος A. B. G. V. καὶ πάντα τὰ καλά, καὶ τέλ. coni. Schn. ut §. 11. sed supra IV. 4, 4. πάντων ἀγαθῶν, II. 2. fin. πάντων γυμνασίων. Verte omnis generis pulcra, bona.

§. 6. Οἱ μὲν δὴ ἐπὶ τούτῳ ταχθέντες] Et qui huic quidem muneri praepositi erant, videlicet οἱ ὑπηρέται II. 1, 21.
ἀσφαλέστατα] sc. εἰςιέναι. Sequens καὶ αὐτός ita dictum, ut si οὐ μόνον οὗτοι ἀλλά praegressa essent. Non habent tamen καί qui in optimis sunt codices.
§. 7. δαρεικούς] Daricus numus erat auri purissimi, admixta tantum parte 24. alieni metalli, viginti drachmas continens Atticas easque argenteas, et trecentesimam talenti partem. Vid. Boeckh. Oecon. Athen. I. p. 23. Cyri aetate utrum darici, quos ab Dario Hyst. originem duxisse vulgo existimant, exstiterint necne, hoc magis est ambiguum, quod teste Gesen. Lex. Hebr. p. 14. nomen a voc. Dara s. Darig i. e. rege s. aula regia deducitur.
πενθικῶς δ' ἔχουσαν] veste lugubri indutam velatamque. Vid. Brisson. p. 564 sq. De Persis non liquet; Graeci in luctu utebantur μελαμπέπλῳ στολῇ Eurip. Alcest. 440. Monk.

8 Ὁ δὲ Κῦρος πρὸς ταῦτα εἶπεν· Ἀλλ' ἐγὼ σοὶ μὲν καὶ τότε ὑπεσχόμην, ἀψευδοῦντός σου, τιμωρήσειν εἰς δύναμιν· νῦν δέ, ὅτε ἀληθεύοντά σε ὁρῶ, ἤδη ὀφείλω τὴν ὑπόσχεσιν· καὶ ταύτῃ ὑπισχνοῦμαι τὰ αὐτὰ ταῦτα σὺν θεοῖς ποιήσειν. Καὶ τὰ μὲν χρήματα ταῦτα, ἔφη, ἐγὼ μὲν δέχομαι, δίδωμι δ' αὐτὰ τῇ παιδὶ ταύτῃ κἀκείνῳ, ὃς ἂν γήμῃ αὐτήν. Ἓν δὲ δῶρον ἄπειμι ἔχων παρὰ σοῦ, ἀνθ' οὗ ἐγὼ οὐδ' ἂν τὰ ἐν Βαβυλῶνι, εἰ καὶ πλεῖστά ἐστιν, οὐδὲ τὰ πανταχοῦ ἀντὶ τούτου, οὗ σύ μοι
9 δεδώρησαι, ἥδιον ἂν ἔχων ἀπέλθοιμι. Καὶ ὁ Γωβρύας θαυμάσας τε, τί ποτε τοῦτ' εἴη, καὶ ὑποπτεύσας, μὴ τὴν θυγατέρα λέγοι, οὕτως ἤρετο· Καὶ τί τοῦτ' ἐστίν, ἔφη, ὦ Κῦρε; Καὶ ὁ Κῦρος ἀπεκρίνατο, Ὅτι, ἔφη, ἐγώ, ὦ Γωβρύα, πολλοὺς μὲν οἶμαι εἶναι ἀνθρώπους, οἳ οὔτε ἀσεβεῖν ἂν θέλοιεν οὔτε ἀδικεῖν, οὔτε ἂν ψεύδοιντο ἑκόντες εἶναι· διὰ δὲ τὸ μηδένα αὐτοῖς ἠθεληκέναι προέσθαι μήτε χρήματα πολλά, μήτε τυραννίδα, μήτε τείχη ἐρυμνά, μήτε τέκνα ἀξιέραστα, ἀποθνήσκουσι πρότε-
10 ρον, πρὶν δῆλοι γενέσθαι, οἷοι ἦσαν· ἐμοὶ δὲ σὺ νυνὶ καὶ τείχη ἐρυμνά, καὶ πλοῦτον παντοδαπόν, καὶ δύναμιν τὴν σήν, καὶ θυγατέρα ἀξιόκτητον ἐγχειρίσας πεποίηκάς με δῆλον γενέσθαι πᾶσιν ἀνθρώποις, ὅτι οὔτ' ἂν ἀσεβεῖν περὶ ξένους θέλοιμι, οὔτ' ἂν ἀδικεῖν χρημάτων ἕνεκα,

§. 8. ὅτε ἀληθεύοντά σε ὁρῶ, ἤδη ὀφείλω] Vat. Chis. ὅτε σε ἀλ. ὁρῶ ἤδη, ὀφείλω vulg.
κἀκείνῳ, ὃς ἂν γήμῃ] κἀκείνῳ G. V. καὶ ἐκείνῳ edd. ὃς γαμεῖ V.
εἰ καὶ πλεῖστά ἐστιν] Quidni ex optimis libris εἰ ἐκεῖ πλεῖστά ἐστιν scribatur? ἐν ᾗ πλ. ἐστιν edd. vett. καὶ πλ. ἐστιν Dind.

§. 8. καὶ ταύτῃ ὑπισχνοῦμαι τὰ αὐτὰ ταῦτα σὺν θεοῖς ποιήσειν] et huic (filiae tuae) polliceor idem illud me diis iuvantibus facturum.
ἀντὶ τούτου, οὗ σύ μοι δεδώρησαι] Excidit ex constructione et illato pronomine demonstrativo post relativum (vid. ad III. 1, 38.) et iterata, ut in familiari colloquio, sententia οὗ σύ μοι δεδώρησαι.
§. 9. οἳ οὔτε ἀσεβεῖν ἂν θέλοιεν οὔτε ἀδικεῖν] qui nunquam profecto animum inducerent impie quidquam iniusteve facere, Gabr. nempe si occasio iis offerretur. Illud ἓν δῶρον quale intellexerit Cyrus, nimirum virtutis suae demonstrandae facultatem, declaravit demum §. 10. πεποίηκάς με δῆλον γενέσθαι κ. τ. λ.
μήτε τυραννίδα] §. 10. nominat δύναμιν τὴν σήν.

οὔτε συνθήκας ἂν ψευδοίμην ἑκὼν εἶναι. Τούτων ἐγώ 11
σοι, εὖ ἴσθι, ἕως ἂν ἀνὴρ δίκαιος ὦ, καὶ δοκῶν εἶναι
τοιοῦτος ἐπαινῶμαι ὑπ' ἀνθρώπων, οὔποτ' ἐπιλήσομαι,
ἀλλὰ πειράσομαί σε ἀντιτιμῆσαι πᾶσι τοῖς καλοῖς. Καὶ 12
ἀνδρὸς δ', ἔφη, τῇ θυγατρὶ μὴ φοβοῦ ὡς ἀπορήσεις
ἀξίου ταύτης· πολλοὶ γὰρ καὶ ἀγαθοὶ φίλοι εἰσὶν ἐμοί,
ὧν τις γαμεῖ ταύτην· εἰ μέντοι χρήματα ἕξει τοσαῦτα,
ὅσα δίδως, ἢ καὶ ἄλλα πολλαπλάσια τούτων, οὐκ ἂν
ἔχοιμι εἰπεῖν· σὺ μέντοι εὖ ἴσθι, ὅτι εἰσί τινες αὐτῶν,
οἵ, ὧν μὲν σὺ δίδως χρημάτων, οὐδὲ μικρὸν τούτων
ἕνεκά σε μᾶλλον θαυμάζουσιν· ἐμὲ δὲ ζηλοῦσι νυνί, καὶ
εὔχονται πᾶσι θεοῖς γενέσθαι ποτὲ ἐπιδείξασθαι, ὡς πι-
στοὶ μέν εἰσιν οὐδὲν ἧττον ἐμοῦ τοῖς φίλοις, τοῖς δὲ πο-

§. 11. *Τούτων ἐγώ σοι, εὖ ἴσθι, ἕως ἂν*] *Τούτων ἐγὼ ἔφη ἕως ἂν.* Vat. *Τούτων* cum M. aliisque pro *Τοῦτ' οὖν.*

§. 12. *γαμεῖ*] Temere Weckherl. *γαμέσει* coni. meliora docentibus Matth. §. 228. p. 441. ed. 2. et Buttm. gr. max. §. 114. p. 94.

εὔχονται πᾶσι θεοῖς γενέσθαι ποτὲ ἐπιδείξασθαι] *εὔχονται γενέσθαι πότε πᾶσι θεοῖς ἐπιδείξασθαι* Vat. *εὔχονται πᾶσι θεοῖς γενέσθαι ποτὲ καὶ ἑαυτοὺς ἐπιδεῖξαι* Schn. Fort. *εὔχ. πᾶσι θεοῖς γενέσθαι ποτὲ καὶ ἑαυτοῖς ἐπιδείξασθαι.*

§. 11. *Τούτων ἐγώ – οὔποτ' ἐπιλήσομαι*] Genitivus non minus bene habet quam accusativus *τοῦτο*, pluralis etiam melius. vid. Matth. §. 325. Rost. §. 108. p. 407 sq.

§. 12. *μὴ φοβοῦ ὡς ἀπορήσεις*] Demosth. Philipp. p. 141. v. 3. *καὶ τὸν φόβον ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ.* Symmor. p. 185. v. 5. *ὥστ' εἰ πάντες οἱ λέγοντες φοβοῖεν ὡς ἥξει βασιλεύς, ὡς πάρεστιν*, ubi tamen *ὡς ἥξει* cum *οἱ λέγοντες* iungendum esse rectius Schaefero statuas, qui ad Eurip. Med. 187. Porson. in his verbis dubitationem inesse censet cum metu coniunctam. Imo *ἐννοούμενος* vel *λέγων* ut h. l. et VI. 2, 30. ita Eurip. Heracl. 249. Elmsl. *μὴ τρέσῃς ὅπως σέ τις ξὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσει βίᾳ*, et Hippol. 520. *δέδοιχ' ὅπως μοι μὴ λίαν φανεῖ σοφή* cogitando supplere satius fuerit.

εἰ μέντοι χρήματα] i. e. *ἀνδρὸς μὲν οὐκ ἀπορήσεις, εἰ μέντοι χρ.* Illa autem *σὺ μέντοι εὖ ἴσθι* refer ad id, quod latet in praecedentibus *τοῦτο μὲν οὐκ ἂν ἔχοιμι εἰπεῖν.* Semper enim *μέντοι* in oppositione collocatum est vel expressa vel subaudienda. Idem valet de V. 5, 11. et *μέντοι – δέ* apud Heindorf. ad Plat. Lys. p. 50. Parmen. p. 284.

ὧν μὲν σὺ δίδως – θαυμάζουσιν] i. e. *τούτων τῶν χρημάτων ἕνεκα, ὧν σὺ μὲν δίδως, οὐδὲ μικρόν σε μᾶλλον θαυμάζουσιν.*

γενέσθαι ποτὲ ἐπιδείξασθαι] contingere aliquando, ut se ostendant, facultatem sibi dari re ostendendi. VI. 3, 11. *λαβεῖν μοι γένοιτο αὐτόν.* Viger. p. 231. b.

λεμίοις ὡς οὔποτ' ἂν ὑφεῖντο ζῶντες, εἰ μή τις θεὸς
βλάπτοι· ἀντὶ δ' ἀρετῆς καὶ δόξης ἀγαθῆς ὅτι οὐδ' ἂν
τὰ Σύρων πρὸς τοῖς σοῖς καὶ Ἀσσυρίων πάντα προέλοιν-
13 το· τοιούτους ἴσθι ἄνδρας ἐνταῦθα καθημένους. Καὶ
ὁ Γωβρύας εἶπε γελάσας, Πρὸς τῶν θεῶν, ἔφη, ὦ
Κῦρε, δεῖξον δή μοι, ποῦ οὗτοί εἰσιν, ἵνα σε τούτων
τινὰ αἰτήσωμαι παῖδά μοι γενέσθαι. Καὶ ὁ Κῦρος εἶπε·
Ἀμέλει, ἔφη, οὐδὲν ἐμοῦ σε δεήσει πυνθάνεσθαι, ἀλλ' ἂν
σὺν ἡμῖν ἕπῃ, αὐτὸς σὺ ἕξεις καὶ ἄλλῳ δεικνύναι αὐτῶν
ἕκαστον.

Gobryas in castra invitatus Persarum coenam admiratur.

14 Τοσαῦτ' εἰπών, δεξιάν τε λαβὼν τοῦ Γωβρύου
καὶ ἀναστὰς ἐξῄει, καὶ τοὺς μεθ' αὐτοῦ ἐξῆγεν ἅπαντας·
καὶ πολλὰ δεομένου τοῦ Γωβρύου ἔνδον δειπνεῖν οὐκ
ἠθέλησεν, ἀλλ' ἐν τῷ στρατοπέδῳ ἐδείπνει, καὶ τὸν Γω-
15 βρύαν σύνδειπνον παρέλαβεν. Ἐπὶ στιβάδος δὲ κατα-
κλιθεὶς ἤρετο αὐτὸν ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα,
πότερον οἴει σοὶ εἶναι πλείω ἢ ἡμῶν ἑκάστῳ στρώματα;
Καὶ ὃς εἶπεν, Ὑμῖν νὴ Δί' εὖ οἶδ' ὅτι, ἔφη, καὶ στρώ-
ματα πλείω ἐστὶ καὶ κλῖναι, καὶ οἰκία γε πολὺ μείζων ἡ
ὑμετέρα τῆς ἐμῆς· οἵ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐ-
ρανῷ, κλῖναι δ' ὑμῖν εἰσιν ὁπόσαι εὐναὶ γένοιντ' ἂν ἐπὶ
γῆς· στρώματα δὲ νομίζετε, οὐχ ὁπόσα πρόβατα φύει
16 ἔρια, ἀλλ' ὅσα φρύγανα ὄρη τε καὶ πεδία ἀνίησι. Τὸ
μὲν δὴ πρῶτον συνδειπνῶν αὐτοῖς ὁ Γωβρύας, καὶ ὁρῶν
τὴν φαυλότητα τῶν παρατιθεμένων βρωμάτων, πολὺ

§. 13. *Καὶ ὁ Κῦρος εἶπε· Ἀμέλει, ἔφη, οὐδέν*] In edd. desunt *Καὶ ὁ Κῦρος*, in codd. *Ἀμέλει ἔφη*. Vid. ad Conviv. p. 89.
§. 15. *φρύγανα*] Abest A. B. aliisque codd.

§. 14. *Γωβρύου*] Recepi in locum eius, quod ex §. 6. laudatur a Matth. §. 68. 9. ed. 2. *Γωβρύα*, idque duorum librorum manu exaratorum et unius editionis vet. iussu.
ἐν τῷ στρατοπέδῳ ἐδείπνει] Fecit hoc Cyrus, ut et semet ipsum et suos a luxu intactos servaret, simul ut Gobryae specimen exhiberet disciplinae Persicae.
§. 15. *κλῖναι δ' ὑμῖν εἰσιν*] Pergi oportebat *οἷς δὲ κλῖναί εἰσιν*, nisi notata ad III. 1, 38. docerent hac structurae mutatione nihil esse frequentius.
§. 16. *πολὺ σφᾶς ἐνόμιζεν ἐλευθεριωτέρους εἶναι αὐτῶν*] Italus: incesserat suspi-

σφᾶς ἐνόμιζεν ἐλευθεριωτέρους εἶναι αὐτῶν· ἐπεὶ δὲ κατενόησε τὴν μετριότητα τῶν συσσίτων· ἐπ' οὐδενὶ γὰρ βρώματι οὐδὲ πόματι Πέρσης ἀνὴρ τῶν πεπαιδευμένων οὔτ' ἂν ὄμμασιν ἐκπεπληγμένος καταφανὴς γένοιτο οὔτε ἁρπαγῇ οὔτε τῷ νῷ, μὴ οὐχὶ προσκοπεῖν ἅπερ ἂν καὶ μὴ ἐπὶ σίτῳ ὤν· ἀλλ' ὥςπερ οἱ ἱππικοὶ διὰ τὸ μὴ ταράσσεσθαι ἐπὶ τῶν ἵππων δύνανται ἅμα ἱππεύοντες καὶ ὁρᾶν καὶ ἀκούειν καὶ λέγειν τὸ δέον, οὕτω καὶ ἐκεῖνοι ἐπὶ τῷ σίτῳ οἴονται δεῖν φρόνιμοι καὶ μέτριοι φαίνεσθαι· τὸ δὲ κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως πάνυ αὐ- 17

§. 17. τὴν μετριότητα τῶν συσσίτων] Mureti est, non librorum scriptorum, τὴν μετρ. τῶν σίτων exhibentium. Receptae equidem praeferrem τὴν μετρ. τῶν σιτουμένων.

τῷ νῷ] Sic codd. pro νόῳ. Articulus nihil habet offensionis. vid. not. ad Anab. VII. 8, 9.

cio se suamque gentem multo illis liberaliorem et magnificentiorem esse, i. e. se suosque uti victu multo magis liberali et ingenuis hominibus digno, quam Persas.

§. 17. ἐπεὶ δὲ] ἀνανταπόδοτον vocant grammatici, quia ab orationis cursu, explicationibus additis §. 18. 19., delapsus, quod in animo habebat, §. demum 20. dicit: εἰπεῖν λέγεται· Οὐκέτι. Ad idem dicendi genus referuntur quae simillimi coloris habet Bremi ad Aesch. Orat. adv. Ctesiphont. §. 69. p. 318 sq.

τὴν μετριότητα τῶν συσσίτων] Ut scribatur τὴν μετριότητα τὴν τῶν συσσίτων, nihil opus esse censeo: sed videndum tamen, ne vulgata excusationem habeat ab similibus aliis, qualia sunt Demosth. Or. pro Coron. Schaefer. Apparat. II. p. 209. τὰ τῶν Ἀμφισσέων τῶν Λοκρῶν – δόγματα, i. e. τὰ περὶ τῶν Ἀμφισσέων – δόγματα. p. 561. ibid. τὸ τῶν συμμάχων δόγμα. Thucyd. I. 140. p. 209. Goell. τὸ τῶν Μεγαρέων ψήφισμα. Plat. Men. c. 7. p. 15. Buttm. πρὸς τὴν τῆς ἀρετῆς ἀπόκρισιν. cl. Matth. §. 320. Nam τὴν μετρ. τῶν σίτων Fischero teste dictum est pro τὴν μετρ. αὐτῶν περὶ τῶν σίτων.

ἐπ' οὐδενὶ γὰρ – οὔτ' ἂν ὄμμασιν ἐκπεπληγμένος καταφανὴς γένοιτο – ἐπὶ σίτῳ ὤν] Digna est Gabr. interpretatio, quam huc transcribam: nemo enim Persarum, qui quidem disciplina exculti sint, ullius cibi potusve gratia visus fuerit aut oculis aut manibus aut mente perturbari, quo minus ea omnia attendat, quae solet extra convivium, h. e. nemo Persarum cibi potusve cupiditate ita visus fuerit commotus esse, ut vel oculos coniiciat in fercula, vel arripiat ea, vel cogitatione sic abripiatur, ut non consideret ea, quae solet considerare alias, quando in cibo capiendo non est occupatus. Ita etiam Zeunius.

ἐπὶ σίτῳ ὤν] sc. προσκοποίη.

18 τοῖς ὑϊκὸν καὶ θηριῶδες δοκεῖ εἶναι· ἐνενόησε δὲ αὐτῶν
καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα, οἷα ἐρωτηθῆναι
ἥδιον ἦν ἢ μή, καὶ ὡς ἔσκωπτον, οἷα σκωφθῆναι ἥδιον
ἦν ἢ μή· ἅ τε ἔπαιζον ὡς πολὺ μὲν ὕβρεως ἀπῆν, πολὺ
δὲ τοῦ αἰσχρόν τι ποιεῖν, πολὺ δὲ τοῦ χαλεπαίνεσθαι
19 πρὸς ἀλλήλους. Μέγιστον δ' αὐτῷ ἔδοξεν εἶναι τὸ ἐν
στρατείᾳ ὄντας τῶν εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαινόντων
μηδενὸς οἴεσθαι δεῖν πλείω παρατίθεσθαι, ἀλλὰ τοῦτο
νομίζειν ἡδίστην εὐωχίαν εἶναι, τοὺς συμμάχεσθαι μέλ-
20 λοντας ὅτι βελτίστους παρασκευάζειν. Ἡνίκα δὲ Γω-
βρύας ὡς εἰς οἶκον ἀπιὼν ἀνίστατο, εἰπεῖν λέγεται· Οὐκ-
έτι θαυμάζω, ὦ Κῦρε, εἰ ἐκπώματα μὲν καὶ ἱμάτια καὶ
χρυσίον ἡμεῖς ὑμῶν πλέονα κεκτήμεθα, αὐτοὶ δ' ἐλάττο-
νος ὑμῶν ἄξιοί ἐσμεν. Ἡμεῖς μὲν γὰρ ἐπιμελού-
μεθα, ὅπως ἡμῖν ταῦτα ὡς πλεῖστα ἔσται, ὑμεῖς
δέ μοι δοκεῖτε ἐπιμέλεσθαι, ὅπως αὐτοὶ ὡς βέλτι-
21 στοι ἔσεσθε. Ὁ μὲν ταῦτ' εἶπεν· ὁ δὲ Κῦρος, Ἄγ', ἔφη,
ὦ Γωβρύα, ὅπως πρωῒ παρέσῃ ἔχων τοὺς ἱππέας ἐξω-
πλισμένους, ἵνα τὴν δύναμίν σου ἴδωμεν, καὶ ἅμα διὰ
τῆς σῆς χώρας ἄξεις ἡμᾶς, ὅπως ἂν εἰδῶμεν, ἅ τε δεῖ
φίλια καὶ πολέμια νομίζειν.

§. 18. *αὐτῶν καὶ ὡς ἐπηρώτων*] Supra I. 6, 44. *Μάθε δέ μου καὶ τάδε* adiectum genitivo vidimus pronomen, cuius hic locum sustinent quae sequuntur posita pro *αὐτῶν τὰς ἐπερωτήσεις*. Vid. Buttmann. ad Soph. Philoct. 439.

οἷα ἐρωτηθῆναι ἥδιον ἦν ἢ μή] Haec quoque a Lacedaemoniis ad Persas translata sunt. De rep. Laced. V. 6. *Καὶ γὰρ δὴ ἐπιχώριον ἐν τοῖς φιλιτίοις λέγεσθαι ὅ τι ἂν καλῶς τις ἐν τῇ πόλει ποιήσῃ· ὥςτ' ἐκεῖ ἥκιστα μὲν ὕβριν, ἥκιστα δὲ παροινίαν, ἥκιστα δὲ αἰσχρουργίαν καὶ αἰσχρολογίαν ἐγγίγνεσθαι.* Adde O. Mueller. Dor. II. p. 277 sq.

§. 19. *τὸ ἐν στρατείᾳ ὄντας τῶν εἰς τὸν αὐτὸν κίνδυνον — παρατίθεσθαι*] h. e. *ὅτι οἱ Πέρσαι ἐν στρατείᾳ ὄντες ᾤοντο δεῖν μηδενὸς πλείω ἑαυτοῖς παρατίθεσθαι ἢ τοῖς εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαίνουσι, τοῖς συμμάχεσθαι μέλλουσι.* Illa verba *μηδενὸς πλείω* qui respondere Latinis existimarunt: nihilo plura, Platonicam locutionem *παντὸς μᾶλλον* locumque Xenoph. de Vectig. I. 1. *γιγνώσκουσι μὲν τὸ δίκαιον οὐδενὸς ἧττον τῶν ἄλλων ἀνθρώπων* comparare poterant.

§. 20. *Ἡνίκα δὲ*] Vid. ad §. 17.

ταῦτα ὡς πλεῖστα] *τὰ ἐκπώματα καὶ ἱμάτια καὶ χρυσίον.*

§. 21. *ὅπως πρωῒ παρέσῃ*] Inserta negatione I. 3, 18. dixerat *Ὅπως οὖν μὴ ἀπολῇ.*

καὶ πολέμια] Pleue scripsisset *καὶ ἃ δεῖ πολέμια.*

Cyrus a Gobrya et Hyrcanio exquirit, quae nova sociorum auxilia possit adsciscere; et, si via propter Babylonem ducat, non refugiendum, sed nunc maxime illuc iter dirigendum esse docet.

22 Τότε μὲν δὴ τοιαῦτα εἰπόντες ἀπῆλθον ἑκάτερος ἐπὶ τὰ προςήκοντα. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, παρῆν ὁ Γωβρύας ἔχων τοὺς ἱππέας, καὶ ἡγεῖτο. Ὁ δὲ Κῦρος, ὡς προςήκει ἀνδρὶ ἄρχοντι, οὐ μόνον τῷ πορεύεσθαι τὴν ὁδὸν προςεῖχε τὸν νοῦν, ἀλλ' ἅμα προϊὼν ἐπεσκοπεῖτο, εἴ τι δυνατὸν εἴη τοὺς πολεμίους ἀσθενεστέρους ποιεῖν, ἢ αὐτοὺς ἰσχυροτέρους. 23 Καλέσας οὖν τὸν Ὑρκάνιον καὶ τὸν Γωβρύαν, τούτους γὰρ ἐνόμιζεν εἰδέναι μάλιστα, ὧν αὐτὸς ᾤετο δεῖσθαι μαθεῖν, Ἐγώ τοι, ἔφη, ὦ ἄνδρες φίλοι, οἶμαι σὺν ὑμῖν ἂν ὡς πιστοῖς βουλευόμενος περὶ τοῦ πολέμου τοῦδε οὐκ ἂν ἐξαμαρτάνειν· ὁρῶ γάρ, ὅτι ὑμῖν ἔτι μᾶλλον ἢ ἐμοὶ σκεπτέον, ὅπως ὁ Ἀσσύριος ἡμῶν μὴ ἐπικρατήσει. Ἐμοὶ μὲν γάρ, ἔφη, τῶνδε ἀποσφαλέντι, ἔστιν ἴσως καὶ ἄλλη ἀποστροφή· ὑμῖν δέ, εἰ οὗτος ἐπικρατήσει, ὁρῶ ἅμα πάντα τὰ ὄντα ἀλλότρια γιγνόμενα. 24 Καὶ γὰρ ἐμοὶ μὲν πολέμιός ἐστιν, οὐκ ἐμὲ μισῶν, ἀλλ' οἰόμενος ἀσύμφορον ἑαυτῷ μεγάλους εἶναι ἡμᾶς· καὶ στρατεύει διὰ τοῦτο ἐφ' ἡμᾶς· ὑμᾶς δὲ καὶ μισεῖ, ἀδικεῖσθαι νομίζων ὑφ' ὑμῶν. Πρὸς ταῦτα ἀ-

§. 22. *τοιαῦτα εἰπόντες*] Vat. pro *ταῦτα εἰπ.*

§. 23. *ᾤετο δεῖσθαι μαθεῖν*] notabilis scriptura Vat. *ἐδέετο μαθεῖν.*

ὁρῶ ἅμα πάντα] codd. *ὁρῶ ἅπαντα* edd.

§. 23. *ὧν αὐτὸς ᾤετο δεῖσθαι μαθεῖν*] Alius pro *ἐξ ὧν* genitivum pronominis, alius pro *ὥςτε μαθεῖν* posteriorem infinitivum interpretatur dictum esse. Neutrum probabile, quum et *δεῖσθαι* sollemniter sequatur infinitivus, et attractionem appareat in causa esse, cur pronominis appositi casus propiori quam remotiori verbo adhaereat. Anabas. V. 4, 9. *τί ἡμῶν δεήσεσθε χρήσασθαι.* Eurip. Med. 1395. Porson. Schaef. tert. ed. *φιλίου χρῄζω στόματος παίδων ὁ τάλας προςπτύξασθαι.*

σκεπτέον] *ὂν* libri quidam addebant, non male, ut ad c. 5, 21. not. crit. significabitur.

ὅπως — μὴ ἐπικρατήσει] De constructione a me dictum memini II. 4, 11. III. 1, 27.

πεκρίναντο ἀμφότεροι κατὰ ταὐτά, περαίνειν ὅ τι μέλλοι, ὡς ταῦτα εἰδόσι σφίσι, καὶ μέλον αὐτοῖς ἰσχυρῶς, ὅποι τὰ νῦν παρόντα ἀποβήσοιτο. ✗

25 Ἐνταῦθα δὴ ἤρξατο ὧδε, Λέξατε δή μοι, ἔφη, ὑμᾶς νομίζει μόνους πολεμικῶς ἔχειν ὁ Ἀσσύριος πρὸς ἑαυτόν, ἢ ἐπίστασθε καὶ ἄλλον τινὰ αὐτῷ πολέμιον; Ναὶ μὰ Δί', ἔφη ὁ Ὑρκάνιος, πολεμιώτατοι μέν εἰσιν αὐτῷ Καδούσιοι, ἔθνος πολύ τε καὶ ἄλκιμον· Σάκαι γε μήν, ὅμοροι ἡμῖν, οἳ πολλὰ κακὰ πεπόνθασιν ὑπὸ τοῦ Ἀσσυρίου· ἐπειρᾶτο γὰρ κἀκείνους ὥσπερ καὶ ἡμᾶς
26 καταστρέψασθαι. Οὔκουν, ἔφη, οἴεσθ' ἂν νῦν αὐτοὺς

§. 24. ἀμφότεροι κατὰ ταὐτά, περαίνειν ὅ τι μέλλοι, ὡς ταῦτα εἰδόσι σφίσι, καὶ μέλον αὐτοῖς ἰσχυρῶς, ὅποι τὰ νῦν παρόντα ἀποβήσοιτο] Sic Schn. ἀμφότεροι, κατὰ ταῦτα (καὶ τὰ αὐτὰ Vat.) περαίνειν ὅτι μέλει (ὅτι μέλλει V.) ὡς ταῦτα εἰδόσι σφίσι, καὶ μέλον (μέλλων V.) αὐτοῖς ἰσχυρῶς, ὅπῃ (ὅποι V.) τὸ μέλλον ἀποβήσοιτο Pop. sine sensu. ἀμφότεροι, κατὰ ταῦτα περανεῖν, ὅτι μέλοι ὡς ταῦτα εἰδόσι σφίσι καὶ αὐτοῖς ἰσχ. ὅπῃ Heindorf.

§. 25. ἡμῖν, οἳ] οἳ delendum censuit Heindorf.

§. 24. ἀπεκρίναντο ἀμφότεροι κατὰ ταὐτά, – ἀποβήσοιτο] Locum perdifficilem, quamvis minime sanatum, tamen ita constitutum, ut intelligi quodammodo possit, malui apponere quam sensu prorsus destitutum. Responderunt, inquit, ambo pari ratione, iubentes Cyrum pergere in dicendo, quae vellet, quippe scire sese illa, et magnopere sibi curae esse, quorsum res praesentes evasurae essent. Credo enim defectum pronominis αὐτόν ante περαίνειν tum verbis ὅ τι μέλλοι, ad quae confisus exemplis Anab. II. 5, 5. annotatis περαίνειν repetas, tum iis, quae de supplendo pronomine ad I. 4, 21. IV. 5, 45. c. 6, 9. animadvertenda erant, tantum non plane excusari posse. Nec duram vero dixerim structurae mutationem in ὡς ταῦτα εἰδόσι et καὶ μέλον, quum, ut μέλουσι praeferret, graecitatis leges non admitterent. Cf. not. ad II. 1, 11.

§. 25. Καδούσιοι] Tenebant illud Mediae latus, quod ad mare Caspium situm est (v. Tzschuck. Mel. I. 2, 5.), sed in hoc opere, ut videtur, Assyriae partem septentrionalem et orientalem, vid. St. Croix Nouvell. Obs. p. 676. Schn.

ὅμοροι ἡμῖν, οἳ] Supple simul et explica πολεμιώτατοί εἰσιν αὐτῷ, ὅτι οὗτοι, si fides habenda est Matthiaeo Eurip. Iphig. Taur. 147. αἵ μοι συμβαίνουσ' ἆται explicanti per ὅτι αὗται ἆταί μοι συμβαίνουσι. – De Sacis cognitione sunt dignissima quae disputavit Baehr. ad Ctes. Fragm. p. 95. et Tzschuck. l. l. III. 7, 1.

§. 26. οἴεσθ' ἂν] Male Zeunius ἂν ad οἴεσθε retulit, quod ad seq. infinitivum pertinere elucet ex §. 23. I. 6, 18. et Buttmann. ad Demosth. Mid. §. 23. p. 48.

ἀμφοτέρους ἡδέως ἂν ἐπιβῆναι μεθ' ἡμῶν τῷ Ἀσσυρίῳ; Ἔφασαν καὶ σφόδρ' ἄν, εἴ πη γε δύναιντο συμμῖξαι. Τί δ', ἔφη, ἐν μέσῳ ἐστὶ τοῦ συμμῖξαι; Ἀσσύριοι, ἔφασαν, τὸ αὐτὸ ἔθνος, δι' οὗπερ νυνὶ πορεύῃ. Ἐπεὶ δὲ 27 ταῦτα ἤκουσεν ὁ Κῦρος, Τί γάρ, ἔφη, ὦ Γωβρύα; οὐ σὺ τοῦ νεανίσκου τούτου, ὃς νῦν εἰς τὴν βασιλείαν καθέστηκεν, ὑπερηφανίαν πολλήν τινα τοῦ τρόπου κατηγορεῖς; Τοιαῦτα γάρ, οἶμαι, ἔφη ὁ Γωβρύας, ἔπαθον ὑπ' αὐτοῦ. Πότερα δῆτα, ἔφη ὁ Κῦρος, εἰς σὲ μόνον ἐγένετο τοιοῦτος, ἢ καὶ εἰς ἄλλους τινάς; Νὴ Δί', 28 ἔφη ὁ Γωβρύας, καὶ εἰς ἄλλους γε πολλούς. Ἀλλὰ τοὺς μὲν ἀσθενοῦντας οἷα ὑβρίζει, τί δεῖ λέγειν; ἑνὸς δ' ἀνδρὸς πολὺ δυνατωτέρου ἢ ἐγὼ υἱόν, καὶ ἐκείνου ἑταῖρον ὄντα, ὥσπερ τὸν ἐμόν, συμπίνοντα παρ' ἑαυτῷ συλλαβὼν ἐξέτεμεν, ὡς μέν τινες ἔφασαν, ὅτι ἡ παλλακὴ αὐτοῦ ἐπῄνεσεν αὐτόν, ὡς καλὸς εἴη, καὶ ἐμακάρισε τὴν μέλλουσαν αὐτῷ γυναῖκα ἔσεσθαι· ὡς δ' αὐτὸς νῦν λέγει, ὅτι ἐπείρασεν αὐτοῦ τὴν παλλακίδα. Καὶ νῦν οὗτος εὐνοῦχος μέν ἐστι, τὴν δὲ ἀρχὴν ἔχει, ἐπεὶ ὁ πα-

§. 28. ἄλλους γε πολλούς] πολλούς abest Mss.

καὶ σφόδρ' ἄν] sc. ἡδέως αὐτοὺς οἴεσθαι ἐπιβῆναι τῷ Ἀσσυρίῳ.

§. 27. Τί γάρ, ἔφη, ὦ Γωβρύα;] Interrogandi signum debetur Schneidero provocanti ad V. 5, 18. 19. Memor. III. 10, 3. quibus accedant Mem. III. 3, 6. II. 6, 2 sq. Heindorf. ad Platon. Soph. p. 328. et a me not. ad I. 6, 5.

τοῦ νεανίσκου] νεανίσκος de homine insolenti et feroce dicitur, id quod iam veteres lexicographi memoriae tradiderunt.

τοῦ τρόπου] cum τοῦ νεανίσκου τούτου cohaeret, ingenii ingentem quandam crudelitatem in iuvenili rege denotans. Haesit tamen in simili genitivorum repetitione Iacobs ad Achill. Tat. p. 517. 528. sed vid. Herm. ad Soph. Trach. 57.

Τοιαῦτα γάρ] sc. ἃ αὐτοῦ τὴν ὑπερηφανίαν κατηγορεῖ.

§. 28. καὶ ἐκείνου] Prisci Assyriorum regis filium intellige, qui regnum nunc tenebat. Frustra quidam huic pronominis usui litem moverunt, quem dubitationi eximit Schneid. ad h. l. Conviv. II. 25. Schaefer. Apparat. T. III. p. 160. et Bremi ad Lys. Or. p. 154.

τὴν δὲ ἀρχὴν ἔχει] Non enim eunuchorum erat terrae imperare; simul vero etiam inde patet Gadatam (sic enim c. 3, 10. nominatur) non contemnendum Cyri socium esse.

29 τὴν αὐτοῦ ἐτελεύτησεν. Οὔκουν, ἔφη, οἴει ἂν καὶ τοῦτον ἡδέως ἡμᾶς ἰδεῖν, εἰ οἴοιτο ἑαυτῷ βοηθοὺς ἂν γενέσθαι; Εὖ μὲν οὖν, ἔφη, οἶδα, ὁ Γωβρύας· ἀλλ' ἰδεῖν τοι αὐτὸν χαλεπόν ἐστιν, ὦ Κῦρε. Πῶς; ἔφη ὁ Κῦρος. Ὅτι, εἰ μέλλει τις ἐκείνῳ συμμίξειν, παρ' αὐτὴν τὴν Βα-
30 βυλῶνα δεῖ παριέναι. Τί οὖν, ἔφη, τοῦτο χαλεπόν; Ὅτι νὴ Δί', ἔφη ὁ Γωβρύας, οἶδα ἐξελθοῦσαν δύναμιν αὐτόθεν πολλαπλασίαν ἧς σὺ νῦν ἔχεις· εὖ δ' ἴσθι, ἔφη, ὅτι καὶ δι' αὐτὸ τοῦτο ἧττόν σοι νῦν ἢ τὸ πρότερον Ἀσσύριοι καὶ τὰ ὅπλα ἀποφέρουσι, καὶ τοὺς ἵππους ἀπάγουσιν, ὅτι τοῖς ἰδοῦσιν αὐτῶν ὀλίγη ἔδοξεν εἶναι ἡ σὴ δύναμις· καὶ ὁ λόγος οὗτος πολὺς ἤδη ἔσπαρται· δοκεῖ δή μοι, ἔφη, βέλτιον εἶναι φυλαττομένους πορεύεσθαι.

31 Καὶ ὁ Κῦρος, ἀκούσας τοῦ Γωβρύου τοιαῦτα, τοιάδε πρὸς αὐτὸν ἔλεξε· Καλῶς μοι δοκεῖς λέγειν, ὦ Γωβρύα, κελεύων ὡς ἀσφαλέστατα τὰς πορείας ποιεῖσθαι. Ἔγωγ' οὖν σκοπῶν οὐ δύναμαι ἐννοῆσαι ἀσφαλεστέραν οὐδὲ μίαν πορείαν ἡμῖν τῆς πρὸς αὐτὴν Βαβυλῶνα πορείας ἰέναι, εἰ ἐκεῖ τῶν πολεμίων ἐστὶ τὸ κράτι-

§. 29. ἔφη, οἶδα, ὁ Γωβρύας] Rariorem hanc verbi ἔφη collocationem ex melioribus libris ductam minus spernendam duxi h. h. quam I. 4, 28. I. 6, 3. 5. ubi vid. Schn.

§. 30. αὐτόθεν] ἐξ αὐτῆς librarii interpretati sunt, sed αὐτόθεν non urbem modo, verum etiam Babyloniam terram designat.

πολὺς ἤδη] πολλοῖς ἤδη Vat.

§. 31. τοιαῦτα, τοιάδε πρὸς αὐτόν] Concursum hunc pronominum, qui Schneidero Bothioque displicuit, Graecorum auribus iniucundum fuisse negavi ad IV. 2, 26.

πρὸς αὐτὴν Βαβυλῶνα] τήν intersertum eiiciendum erat.

§. 31. τῆς πρὸς αὐτὴν Βαβυλῶνα πορείας ἰέναι] Weiskii sententiae: »vereor, ut itineris faciendi actus, πορεία, dici possit ἰέναι. Fortasse scribendum εἶναι.« ita assensus est Schneid., ut textu eiiceret vocem πορείας. Sed Weiskii opinio uti iusta ratione destituitur, quod docent inter alia Anab. VI. 2, 4. ἐβουλεύοντο τὴν λοιπὴν πορείαν πότερον κατὰ γῆν ἢ κατὰ θάλατταν χρὴ πορευθῆναι ἐκ τοῦ Πόντου, ita nemo, opinor, ad vulgatam offendisset, si omisso verbo ἐννοῆσαι ita fere loqui Xenophonti placuisset: οὐδὲ μία πορεία ἀσφαλεστέρα ἡμῖν ἰέναι τῆς πρὸς αὐτὴν Βαβυλῶνα πορείας. Anab. IV. 1, 24. αὐτὸς δ' ἔφη ἡγήσεσθαι δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν, quibus verbis utitur Heind. ad Platon. Soph. p. 364.

στον. Πολλοὶ μὲν γάρ εἰσιν, ὡς σὺ φής· εἰ δὲ θαρ-
σοῦσι, καὶ δῆλοι ἡμῖν, ὡς ἐγώ φημι, ἔσονται. Μὴ οὖν 32
ὁρῶντες μὲν ἡμᾶς, ἀλλ' οἰόμενοι ἀφανεῖς εἶναι διὰ τὸ
φοβεῖσθαι ἐκείνους, σάφ' ἴσθι, ἔφη, ὅτι τοῦ μὲν φό-
βου ἀπαλλάξονται, ὃς αὐτοῖς ἐνεγένετο, θάρσος δ' ἐμ-
φύσεται ἀντὶ τούτου τοσούτῳ μεῖζον, ὅσῳ ἂν πλείονα
χρόνον ἡμᾶς μὴ ὁρῶσιν· ἂν δὲ ἤδη ἴωμεν ἐπ' αὐτούς,
πολλοὺς μὲν αὐτῶν εὑρήσομεν ἔτι κλάοντας τοὺς ἀποθα-
νόντας ὑφ' ἡμῶν, πολλοὺς δ' ἔτι τραύματα ἐπιδεδεμέ-
νους, ἃ ὑπὸ τῶν ἡμετέρων ἔλαβον, πάντας δ' ἔτι μεμνη-
μένους τῆς μὲν τοῦδε τοῦ στρατεύματος τόλμης, τῆς
δ' αὐτῶν φυγῆς τε καὶ ξυμφορᾶς. Εὖ δ' ἴσθι, ὦ Γω- 33
βρύα, ἔφη, ἵνα καὶ τοῦτ' εἰδῇς, οἱ πολλοὶ ἄνθρωποι,
ὅταν μὲν θαρσῶσιν, ἀνυπόστατον τὸ φρόνημα παρέχον-
ται· ὅταν δὲ δείσωσιν, ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ
μείζω καὶ ἐκπεπληγμένον μᾶλλον τὸν φόβον κέκτηνται.
Ἐκ πολλῶν μὲν γὰρ καὶ κακῶν λόγων ηὐξημένος αὐτοῖς 34

§. 32. *ἂν δὲ ἤδη ἴωμεν*] *ἢν δὲ καὶ ἤδη* vulgabatur, ut non inepte quis scripserit *ἂν δὲ καὶ δὴ ἴωμεν* significatione ad III. 1, 2. indicata.

§. 33. *ἔφη, ἵνα καὶ τοῦτ' εἰδῇς*] *εἶναι καὶ τοῦτο ἤδη* Zeun. et edd. vett. Receptam addito *ἔφη* habet etiam Vat. *Ἵνα δὲ καὶ τοῦτο εἰδῇς, ὦ Γωβρύα*, audacter sane edidit Weckherl., secutus fortasse locum VIII. 2, 23.

θαρσῶσιν] G. A. B. V. al. pro *θαῤῥήσωσιν*. Certe *δείσωσιν* quoque praesentis vim habere quis nesciat?

§. 34. *ηὐξημένος*] *εὑρησόμενος* codd. in quo *εὑρημένος* latere pu-

Πολλοὶ μὲν γάρ εἰσιν, ὡς σὺ φής· εἰ δὲ θαρσοῦσι, καὶ δῆλοι ἡμῖν, ὡς ἐγώ φημι, ἔσονται] Argumentatio Cyri, quam paucis duntaxat absolutam voluit, haec est: numerosi quidem hostes sunt, ut tu ais, sed fortesne sint an ignavi, incertum: qui si fortes sunt, nobis quoque, ut equidem arbitror, in conspectum venient; sin ignavi, nihil eos multitudo adiuvabit.

§. 32. *διὰ τὸ φοβεῖσθαι ἐκείνους*] sc. *ἡμᾶς*, quod non erat cur h. l. repeteret, h. e. propterea quod illos metuamus.

§. 33. *Εὖ δ' ἴσθι, – ἵνα καὶ τοῦτ' εἰδῇς*] Mihi crede, ut hoc quoque scias; nam cum *εὖ δ' ἴσθι* verba *οἱ πολλοὶ ἄνθρωποι* iungenda sunt, nescio an *ὡς* ex marg. Steph. interposito.

οἱ πολλοὶ ἄνθρωποι] plerique homines, ergo non omnes; multorum enim militum animo et confidentiae felicissimo successu resisti potuit. Contra Weiskius explicat: magna hominum multitudo, *πολύ τι πλῆθος ἀνθρώπων*, cui interpretationi vereor ne constans Graecorum usus obloquatur.

πάρεστιν, ἐκ πολλῶν δὲ καὶ πονηρῶν χρημάτων, ἐκ πολλῶν δὲ καὶ δυςθύμων τε καὶ ἐξεστηκότων προςώπων ἤθροισται· ὥςτε ὑπὸ τοῦ μεγέθους οὐ ῥᾴδιον αὐτόν ἐστιν οὔτε λόγοις κατασβέσαι, οὔτε προςάγοντα πολεμίοις μένος ἐμβαλεῖν, οὔτ' ἀπαγαγόντα ἀναθρέψαι τὸ φρόνημα· ἀλλ' ὅσῳ ἂν μᾶλλον αὐτοῖς θαῤῥεῖν παρακελεύῃ,
35 τοσούτῳ ἐν δεινοτέροις ἡγοῦνται εἶναι. Ἐκεῖνο μέντοι, νὴ Δία, ἔφη, σκεψώμεθα ἀκριβῶς, ὅπως ἔχει. Εἰ μὲν γὰρ τὸ ἀπὸ τοῦδε αἱ νῖκαι ἔσονται ἐν τοῖς πολεμικοῖς ἔργοις, ὁπότεροι ἂν πλείονα ὄχλον ἀπαριθμήσωσιν, ὀρθῶς καὶ σὺ φοβῇ περὶ ἡμῶν, καὶ ἡμεῖς τῷ ὄντι ἐν δεινοῖς ἐσμεν· εἰ μέντοι, ὥςπερ πρόσθεν, διὰ τοὺς εὖ μαχομένους ἔτι καὶ νῦν αἱ μάχαι κρίνονται, θαῤῥῶν οὐδὲν ἂν σφαλείης· πολὺ γὰρ σὺν τοῖς θεοῖς πλείονας εὑρήσεις παρ' ἡμῖν τοὺς θέλοντας μάχεσθαι ἢ παρ' ἐκείνοις.
36 Ὡς δ' ἔτι μᾶλλον θαῤῥήσῃς, καὶ τόδε κατανόησον· οἱ μὲν γὰρ πολέμιοι πολὺ μὲν ἐλάττονές εἰσι νῦν ἢ πρὶν ἡττηθῆναι ὑφ' ἡμῶν, πολὺ δὲ ἐλάττονες ἢ ὅτε ἀπέδρασαν

tat Schn. Sequens χρημάτων parum certae fidei est, χρωμάτων aliis, aliis σχημάτων probantibus. Prodigiorum vel oraculorum (χρησμῶν) mentionem desidero.

§. 35. αἱ μάχαι] Deest in cod. Vat.

§. 36. ἢ ὅτε ἀπέδρασαν ἡμᾶς] Omittunt ἢ codd. daturi fortasse ὅτι ἀπέδρ. ἡμᾶς.

§. 34. χρημάτων] idem esse et πραγμάτων statuunt, quod ut comico poeta dignum orationis mihi gravitas vix admittere videtur, etsi Fischerus verbis πονηρὰ χρήματα significari putat ea, quae ab hominibus timidis, incommodis adventantibus, fieri solent, tanquam fletum, clamorem tollere etc.

οὔτε προςάγοντα πολεμίοις μένος ἐμβαλεῖν] neque in hostes impellendo animum iis iniicere.

§. 35. Ἐκεῖνο μέντοι] Spectant sequentia; Gobryas enim de Persarum paucitate conquestus erat.

τὸ ἀπὸ τοῦδε] non est secundo loco, sed dehinc, von nun an, quippe his ὥςπερ πρόσθεν oppositum. Cf. IV. 2, 22. V. 5, 43. VII. 1, 11. c. 2, 9.

αἱ νῖκαι ἔσονται] sc. τούτοις. Anab. III. 1, 21. Ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα, ὁπότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν. Conviv. IV. 42. Οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται.

§. 36. πολὺ δὲ ἐλάττονες] Priore loco ἐλάττονες de numero, hic de animo dicitur, quippe quem, ex quo fugerint, debilitatum magis et fractum hostes habeant. Paucitati hostium opponuntur Persae πλείονες, ignaviae eorum

ἡμᾶς· ἡμεῖς δὲ καὶ μείζονες νῦν ἢ πρίν, ἐπεὶ νενικήκα-
μεν· καὶ ἰσχυρότεροι, ἐπεὶ εὐτυχήκαμεν· καὶ πλείονες
δέ, ἐπεὶ ὑμεῖς ἡμῖν προσεγένεσθε· μὴ γὰρ ἔτι ἀτίμαζε
μηδὲ τοὺς σούς, ἐπεὶ σὺν ἡμῖν εἰσι· σὺν γὰρ τοῖς νικῶ-
σι, σάφ' ἴσθι, ὦ Γωβρύα, θαῤῥοῦντες καὶ οἱ ἀκόλου-
θοι ἕπονται. Μὴ λανθανέτω δέ σε μηδὲ τοῦτ', ἔφη, ὅτι 37
ἔξεστι μὲν τοῖς πολεμίοις καὶ νῦν ἰδεῖν ἡμᾶς· γοργότεροι
δέ, σάφ' ἴσθι, οὐδαμῶς ἂν αὐτοῖς φανείημεν μένοντες ἢ
ἰόντες ἐπ' ἐκείνους. Ὡς οὖν ἐμοῦ ταῦτα γιγνώσκοντος,
ἄγε ἡμᾶς εὐθὺ τὴν ἐπὶ Βαβυλῶνος. *

ἐπεὶ εὐτυχήκαμεν· καὶ πλείονες δέ] Recte ex optimis adsciverat Zeunius.

μηδὲ τοὺς σούς] *μηδὲν τοὺς σούς* Both. Imo verte: ne tuos quidem (nedum meos).

et *μείζονες* et *ἰσχυρότεροι*, et *μείζονες* quidem eo sensu, cui explanando inserviunt a Schn. laudata IV. 4, 3. *δῆλοί τοι - ἐστὲ, ὅτι ἄνδρες ἀγαθοὶ ἐγένεσθε· καὶ γὰρ μείζους φαίνεσθε καὶ καλλίους καὶ γοργότεροι ἢ πρόσθεν ἰδεῖν.* Quod idem vocabulum diverso sensu tanta in vicinia positum recurrit, si cui forte molestum acciderit, eum iuvabit consulere Wyttenbach. annot. ad Plat. Phaedon. p. 267 sq.

καὶ ἰσχυρότεροι, ἐπεὶ εὐτυχήκαμεν· καὶ πλείονες δέ] De orationis concinnitate solliciti non satis perpenderunt ne sophistas quidem tam anxiam, quam requirunt, singularum partium vel consensionem vel oppositionem sectatos esse, nedum quos liberalioris dictionis causa in classicorum numero scriptorum aetates retulerint. Paucis ut defungar, I. 4, 11. vocibus duabus *λεπτὰ καὶ ψωραλέα* respondent tres *καλά - μεγάλα - λιπαρά*, atque III. 3, 52. *βίος ταπεινός τε καὶ ἀλγεινὸς καὶ ἀβίωτος ἐντίμῳ καὶ ἐλευθερίῳ.* Adde Anab. II. 6, 22. Arrian. de Venat. XXIII. 3.

§. 37. *μηδὲ τοῦτ'*] ne hoc quidem, quemadmodum nec cetera, quae ab initio orationis dixi. Sensus totius loci hic est: hoc quoque apud animum cogites velim, fieri posse, ut hostes etiam nunc aggrediantur nos: sed praestat, mihi crede, eosdem persequi, quippe quibus alia nulla ratione plus terroris incutiemus.

Ὡς οὖν ἐμοῦ ταῦτα γιγνώσκοντος] Vid. ad IV. 5, 53.

CAPUT III.

Assyria denuo vastata praedae maxima pars tribuitur Gobryae.

1 Οὕτω μὲν δὴ πορευόμενοι τεταρταῖοι πρὸς τοῖς ὁρίοις τῆς Γωβρύου χώρας ἐγένοντο. Ὡς δ' ἐν τῇ πολεμίᾳ ἦν, κατέστησε λαβὼν ἐν τάξει μεθ' ἑαυτοῦ τούς τε πεζοὺς καὶ τῶν ἱππέων ὁπόσους ἐδόκει καλῶς αὐτῷ ἔχειν· τοὺς δ' ἄλλους ἱππεῖς ἀφῆκε καταθεῖν, καὶ ἐκέλευσε τοὺς μὲν ὅπλα ἔχοντας κατακαίνειν, τοὺς δ' ἄλλους καὶ πρόβατα, ὅσα ἂν λάβωσι, πρὸς αὐτὸν ἄγειν. Ἐκέλευσε δὲ καὶ τοὺς Πέρσας συγκαταθεῖν· καὶ ἧκον πολλοὶ μὲν αὐτῶν κατακεκυλισμένοι ἀπὸ τῶν ἵππων, πολλοὶ
2 δὲ καὶ λείαν πλείστην ἄγοντες. Ὡς δὲ παρῆν ἡ λεία, συγκαλέσας τούς τε τῶν Μήδων ἄρχοντας καὶ τῶν Ὑρκανίων καὶ τοὺς ὁμοτίμους, ἔλεξεν· Ὦ ἄνδρες φίλοι, ἐξένισεν ἡμᾶς ἅπαντας πολλοῖς ἀγαθοῖς ὁ Γωβρύας. Εἰ οὖν, ἔφη, τοῖς θεοῖς ἐξελόντες τὰ νομιζόμενα καὶ τῇ στρατιᾷ τὰ ἱκανά, τὴν ἄλλην τούτῳ δοίημεν λείαν, ἆρ' ἄν, ἔφη, καλὸν ποιήσαιμεν τῷ εὐθὺς φανεροὶ εἶναι, ὅτι καὶ τοὺς εὖ ποιοῦντας πειρώμεθα νικᾶν εὖ
3 ποιοῦντες. Ὡς δὲ τοῦτ' ἤκουσαν, πάντες μὲν ἐπῄνουν, πάντες δ' ἐνεκωμίαζον· εἷς δὲ καὶ ἔλεξεν ὧδε, Πάνυ, ἔφη, ὦ Κῦρε, τοῦτο ποιήσομεν. Καὶ γάρ μοι, ἔφη, δοκεῖ ὁ Γωβρύας πτωχούς τινας νομίζειν ἡμᾶς, ὅτι

§. 2. ἱκανά, τὴν ἄλλην τούτῳ δοίημεν λείαν] ἱκανὰ δόντες τὴν ἄλλην τούτῳ δοίημεν λείαν Vat. Chis. m. Vict. non improbo.
§. 3. Καὶ γάρ μοι, ἔφη, δοκεῖ – νομίζειν] Καὶ γάρ, ἔμοιγε δοκεῖν s. δοκεῖ, ἔφη, – ἐνόμιζεν libri commendare mihi visi sunt ad Conviv. p. 92.

Cap. III. §. 1. ἦν, κατέστησε] A multitudinis numero transitur ad Cyrum solum, quo transitu in Graeca lingua nihil est crebrius, etiam ubi maior quam h. l. inde oritur ambiguitas. Exemplis abundat Heindorf. ad Plat. Protag. p. 499.
τοὺς δ' ἄλλους καὶ πρόβατα] ceteros vero Assyrios (non armatos) et pecudes.

§. 2. ἆρ' ἂν – καλὸν ποιήσαιμεν] nonne recte faceremus? Vid. ad II. 2, 18. IV. 3, 8. Pronominis τὶ defectum ad πάσχειν quoque tuetur Iacobs. ad Achill. Tat. p. 898 sq.
τῷ εὐθὺς φανεροὶ εἶναι] i. e. διὰ τὸ εὐθὺς φανεροὶ εἶναι, quo modo IV. 5, 9. dativum τῷ infinitivo adiunctum vidimus.

οὐ δαρεικῶν μεστοὶ ἥκομεν, οὐδ' ἐκ χρυσῶν πίνομεν φιαλῶν· εἰ δὲ τοῦτο ποιήσαιμεν, γνοίη ἄν, ἔφη, ὅτι ἔστιν ἐλευθερίους εἶναι καὶ ἄνευ χρυσοῦ. Ἄγε δή, ἔφη, 4
τὰ τῶν θεῶν ἀποδόντες τοῖς μάγοις, καὶ ὅσα τῇ στρατιᾷ ἱκανὰ ἐξελόντες, τἄλλα, καλέσαντες τὸν Γωβρύαν, δότε αὐτῷ. Οὕτω δὴ λαβόντες ἐκεῖνοι ὅσα ἔδει, τἄλλα ἔδοσαν τῷ Γωβρύᾳ.

Cyrus ad Babylonem accedit, et Assyrium ad pugnam, sed frustra, provocat.

Ἐκ τούτου δὴ ἄγει πρὸς Βαβυλῶνα, παραταξάμε- 5
νος ὥςπερ ὅτε ἡ μάχη ἦν. Ὡς δ' οὐκ ἀντεξῄεσαν οἱ Ἀσσύριοι, ἐκέλευσεν ὁ Κῦρος τὸν Γωβρύαν προςελάσαντα εἰπεῖν, ὅτι, εἰ βούλεται ὁ βασιλεὺς ἐξιὼν ὑπὲρ τῆς χώρας μάχεσθαι, κἂν αὐτὸς σὺν ἐκείνῳ μάχοιτο· εἰ δὲ μὴ ἀμυνεῖ τῇ χώρᾳ, ὅτι ἀνάγκη τοῖς κρατοῦσι πείθεσθαι. Ὁ μὲν δὴ Γωβρύας προςήλασεν ἔνθα ἀσφα- 6
λὲς ἦν ταῦτα εἰπεῖν· ὁ δὲ αὐτῷ ἐξέπεμψεν ἀποκρινούμενον τοιάδε· Δεσπότης ὁ σὸς λέγει, ὦ Γωβρύα, Οὐχ ὅτι ἀπέκτεινά σου τὸν υἱὸν μεταμέλει μοι, ἀλλ' ὅτι οὐ

§. 4. Ἄγε δή] ἴτε δή libri veteres; male. vid. ad IV. 2, 47.
§. 5. ἐκέλευσεν ὁ Κῦρος] καὶ ὁ Κῦρος ἐκέλευσε Pop., ut apodosis incommodo sane et loco et sensu a §. 6. ὁ μὲν δὴ Γωβρύας exordiatur.

καὶ ὅσα τῇ στρατιᾷ ἱκανὰ ἐξελόντες] καὶ τῇ στρατιᾷ ἐξελόντες ὅσα ἱκανὰ αὐτῇ ἐστιν.

ὅσα ἔδει] sc. λαβεῖν. Cf. VI. 1, 6.

§. 5. παραταξάμενος ὥςπερ ὅτε ἡ μάχη ἦν] acie haud secus instructa et quo tempore pugna erat, i. e. velut in pugnam acie instructa.

εἰ βούλεται ὁ βασιλεὺς ἐξιὼν — κἂν αὐτὸς σὺν ἐκείνῳ μάχοιτο] Optime sensum attigit Gabriel. si velit rex (Assyrius) pro tuenda regione sua (Gobryae puta) decertare, se quoque ei auxilio futurum. Nam ut ad certamen singulare vel Cyrus Assyrium provocet vel Gobryas, nec res ipsa patitur, quoniam Gobryam novimus senem fuisse IV. 6, 1., nec loquendi formula σύν τινι μάχεσθαι, quae Anab. VI. 3, 13. permutatur cum βοηθεῖν τινι.

ὅτι ἀνάγκη τοῖς κρατοῦσι πείθεσθαι] i. e. ὅτι ἀνάγκη ἂν εἴη τοῖς κρατοῦσι (Πέρσαις) πείθεσθαι. In protasi cave βούλοιτο et ἀμύνοι proponas scribendum esse, a quibus optativis etiam II. 1, 8. III. 2, 21. abstinuit.

καὶ σὲ προσαπέκτεινα. Μάχεσθαι δὲ ἐὰν βούλησθε,
ἥκετε εἰς τριακοστὴν ἡμέραν· νῦν δ' οὔπω ἡμῖν σχολή·
7 ἔτι γὰρ παρασκευαζόμεθα. Ὁ δὲ Γωβρύας εἶπεν· Ἀλ-
λὰ μήποτέ σοι λήξειεν αὕτη ἡ μεταμέλεια· δῆλον γάρ,
ὅτι ἀνιῶ σέ τι, ἐξ οὗ αὕτη σε ἡ μεταμέλεια ἔχει.

Gadatas, regulus sub Assyriorum ditione agens, sed per vim a rege castratus, ad Cyrum transit et aliud castellum dolo occupatum eidem tradit.

8 Ὁ μὲν δὴ Γωβρύας ἀπήγγειλε τὰ τοῦ Ἀσσυρίου·
ὁ δὲ Κῦρος ἀκούσας ταῦτα ἀπήγαγε τὸ στράτευμα· καὶ
καλέσας τὸν Γωβρύαν, Εἰπέ μοι, ἔφη, οὐκ ἔλεγες μέν-
τοι σύ, ὅτι τὸν ἐκτμηθέντα ὑπὸ τοῦ Ἀσσυρίου οἴει ἂν
σὺν ἡμῖν γενέσθαι; Εὖ μὲν οὖν, ἔφη, δοκῶ εἰδέναι·
πολλὰ γὰρ δὴ ἔγωγε κἀκεῖνος ἐπαῤῥησιασάμεθα πρὸς ἀλ-
9 λήλους. Ὁπότε τοίνυν σοι δοκεῖ καλῶς ἔχειν, πρὸς
αὐτὸν πρόσιθι· καὶ πρῶτον μὲν οὕτω ποίει, ὅπως ἂν
αὐτοὶ ὅ τι ἂν λέγῃ εἰδῆτε· ἐπειδὰν δὲ συγγένῃ αὐτῷ,
ἐὰν γνῷς αὐτὸν φίλον ἡμῶν βουλόμενον εἶναι, τοῦτο

§. 6. εἰς τριακοστὴν ἡμέραν] Articulum τήν iussu codicum delevi.

§. 9. ὅπως ἂν αὐτοὶ ὅ τι ἂν λέγῃ εἰδῆτε] ὅπως ἂν οὗτος λέγει Vat. i. e. λέγῃ; ὅπως ἂν αὐτὸς λέγῃ etiam m. Steph. Praetulerim ὅπως ἂν αὐτοὶ ὅ τι ἂν λέγητε εἰδῆτε.

§. 6. εἰς τριακοστὴν ἡμέραν] Verba quidem supra III. 1, 42. a me illustrata sunt, sed ex VIII. 4, 27. εἰς τριακοστὸν ἔτος probabiliter colligas trigesimum numerum tempus indefinitum significasse, nec tardum Assyrium nisi hoc dicere voluisse: revertimini ad Calendas Graecas, auf den Nimmermehrstag.

§. 7. ἀνιῶ σέ τι] inferri τι cum emphasi, ut idem sit et vehementer, si quis est tironum qui nesciat, evolvat Matth. §. 487. 6.

§. 8. Εὖ μὲν οὖν, ἔφη, δοκῶ εἰδέναι] imo, inquit, non nescire mihi videor, Gadatam nobiscum futurum esse. Corrigentis enim sunt voculae μὲν οὖν testantibus interprett. Viger. p. 541. 845. n. 343.

§. 9. ὅπως ἂν αὐτοὶ ὅ τι ἂν λέγῃ εἰδῆτε] ut soli, quidquid dicat, sciatis, i. e. ut tu et Gadatas remotis arbitris, quidquid ille dicat, sciatis. Duriusculum tamen est ante λέγῃ deesse vel οὗτος vel ἐκεῖνος. In alia omnia abiit Gabr. ac primum quidem curam adhibe, ut hominis mentem et sensum introspicias.

δεῖ μηχανᾶσθαι, ὅπως λάθῃ φίλος ὢν ἡμῖν· οὔτε γὰρ ἂν φίλους τις ποιήσειεν ἄλλως πως πλείω ἀγαθὰ ἐν πολέμῳ ἢ πολέμιος δοκῶν εἶναι, οὔτ' ἂν ἐχθροὺς πλείω τις βλάψειεν ἄλλως πως ἢ φίλος δοκῶν εἶναι.
10 Καὶ μήν, ἔφη ὁ Γωβρύας, οἶδ', ὅτι κἂν πρίαιτο Γαδάτας τὸ μέγα τι ποιῆσαι κακὸν τὸν νῦν βασιλέα Ἀσσυρίων· ἀλλ' ὅ τι ἂν δύναιτο, τοῦτο δεῖ καὶ ἡμᾶς σκοπεῖν.
11 Λέγε δή μοι, ἔφη ὁ Κῦρος, εἰς τὸ φρούριον τὸ πρὸ τῆς χώρας, ὅ φατε Ὑρκανίοις τε καὶ Σάκαις ἐπιτετειχίσθαι τῇδε τῇ χώρᾳ πρόβολον εἶναι τοῦ πολέμου, ἆρ' ἄν, ἔφη, οἴει ὑπὸ τοῦ φρουράρχου παρεθῆναι τὸν εὐνοῦχον, ἐλθόντα σὺν δυνάμει; Σαφῶς γε, ἔφη ὁ Γωβρύας, εἴπερ ἀνύποπτος ὤν, ὥσπερ νῦν ἐστιν, ἀφίκοιτο πρὸς αὐτόν.
12 Οὔκουν, ἔφη, ἀνύποπτος ἂν εἴη, εἰ προσβάλοιμι μὲν ἐγὼ πρὸς τὰ χωρία αὐτοῦ, ὡς λαβεῖν βουλόμενος, ἀπομάχοιτο δ' ἐκεῖνος ἀνὰ κράτος, καὶ λάβοιμι μὲν αὐτοῦ τι ἐγώ, ἀντιλάβοι δὲ κἀκεῖνος ἡμῶν ἢ ἄλλους τινάς, ἢ καὶ ἀγγέλους πεμπομένους ὑπ' ἐμοῦ πρὸς τούτους, οὕς φατε πολεμίους τῷ Ἀσσυρίῳ εἶναι· καὶ οἱ μὲν ληφθέν-

τοῦτο δεῖ μηχανᾶσθαι] τοῦτο δὴ μηχ. vel τοῦτ' ἤδη μηχ. alii.
§. 12. ἢ ἄλλους τινάς, ἢ] ἢ [καὶ] ἄλλους τινὰς Pop. de quo iam Zeunius dubitavit; ἤ τι καὶ ἄλλο ἢ coni. Schn.

φίλος δοκῶν] »Hoc modo Araspas adiuvit Cyri causam VI. 1, 31. VI. 3, 14. Gabios tradidit Tarquinio Superbo Sextus filius Liv. I. 53 sq. et Dario Zopyrus Babylonem. Herodt. III. 153. etc. « Zeun. Non optime contra Persae audiebant, quod simili fraude Graecorum duces in castra allectos trucidaverant Anab. II. 5 sq.

§. 10. ὅ τι ἂν δύναιτο] sc. μέγα κακὸν ποιῆσαι τὸν νῦν βασιλέα.

καὶ ἡμᾶς] nos quoque, non solum Gadatas, si ad nos accesserit.

§. 11. τὸ πρὸ τῆς χώρας] in ipso Assyriae vestibulo positum explicantis sunt, non vertentis verba Gabrielii.

τῇδε τῇ χώρᾳ πρόβολον εἶναι] Consilium, quod secuti castellum illud exstruxerint, infinitivus exprimit, cui fere ὥστε praeponitur. Matth. §. 534. d. et Bremi ad Lys. Or. p. 230.

ἆρ' ἂν — παρεθῆναι] Plerique admissum, intromissum iri, accuratius ἆρ' οἴει, ὅτι παρεθείη ἂν ὁ εὐνοῦχος, εἰ ἔλθοι σὺν δυν.

§ 12. ἢ ἄλλους τινάς] vel aliquos alios, milites, sicubi pabulantes vagantesque offenderit.

πρὸς τούτους] Sacas et Cadusios, de quibus §. 22. c. 2, 25.

τες λέγοιεν, ὅτι ἐπὶ στράτευμα ἀπέρχονται καὶ κλίμακας, ὥςπερ εἰς τὸ φρούριον ἄξοντες· ὁ δὲ εὐνοῦχος ἀκούσας προςποιήσαιτο προαγγεῖλαι βουλόμενος ταῦτα παρεῖναι.
13 Καὶ ὁ Γωβρύας εἶπεν, Ὅτι οὕτω μὲν γιγνομένων σαφῶς οἶδα παριέναι ἂν αὐτόν, καὶ δέοιτό γ' ἂν αὐτοῦ μένειν, ἔςτε σὺ ἀπέλθοις. Οὔκουν, ἔφη ὁ Κῦρος, εἴγε ἅπαξ εἰςέλθοι, δύναιτ' ἂν ἡμῖν ὑποχείριον ποιῆσαι τὸ
14 χωρίον; Εἰκὸς γοῦν, ἔφη ὁ Γωβρύας, τὰ μὲν ἔνδον ἐκείνου συμπαρασκευάζοντος, τὰ δ' ἔξωθεν σοῦ ἰσχυρότερα προςάγοντος. Ἴθι οὖν, ἔφη, καὶ πειρῶ ταῦτα διδάξας καὶ διαπραξάμενος παρεῖναι· πιστὰ δὲ αὐτῷ οὐκ ἂν μείζω οὔτε εἴποις οὔτε δείξαις ὧν αὐτὸς σὺ τυγχάνεις παρ' ἡμῶν εἰληφώς.

15 Ἐκ τούτου ᾤχετο μὲν ὁ Γωβρύας· ἄσμενος δὲ ἰδὼν αὐτὸν ὁ εὐνοῦχος, συνωμολόγει τε πάντα καὶ συνέθετο, ἃ ἔδει. Ἐπεὶ δὲ ἀπήγγειλεν ὁ Γωβρύας, ὅτι πάντα δοκοίη ἰσχυρῶς τῷ εὐνούχῳ ἔχειν τὰ ἐπισταλέντα, ἐκ τούτου τῇ ὑστεραίᾳ προςέβαλε μὲν ὁ Κῦρος, ἀπεμά-
16 χετο δὲ ὁ Γαδάτας. Ἦν δὲ καὶ ὃ ἔλαβε χωρίον ὁ Κῦρος, ὁποῖον ἔφη ὁ Γαδάτας. Τοὺς δὲ ἀγγέλους, οὓς ἔπεμψεν ὁ Κῦρος προειπὼν οἷ πορεύσοιντο, τοὺς μὲν

ἀπέρχονται καὶ κλίμακας, ὥςπερ εἰς τὸ φρούριον ἄξοντες] *ἀπέρχονται, καὶ κλίμακας ὡς εἰς τὸ φ. ἄξοντες* Schn. et Pop. *ὥςπερ* et edd. et codd. quidam servarunt.

§. 13. *Ὅτι οὕτω μὲν γιγ. σαφῶς οἶδα παριέναι ἂν αὐτόν*] Sic codd. nisi quod et *οἶδα* et *ἄν* omittunt suppleta ex edd. scriptura *Οὕτω μὲν γιγ. σαφῶς οἶδα ὅτι παρείη ἂν αὐτόν.* Quum tamen *ὅτι* ad *δύναιτ' ἄν* vix possit repeti, veriora fortasse erunt *Οὕτω – οἶδα ὅτι παριέναι ἂν αὐτόν, καὶ δέοιτο*, cll. not. ad I. 6, 18. I. 3, 13.

§. 16. *Τοὺς δὲ ἀγγέλους*] Dedi ex Vat. pro *τῶν δὲ ἀγγέλων.* Vid. ad I. 1, 1. Postea *οἷ πορεύσοιντο* revocavi, *οὗ πορ.* Vat. M. *ᾗ πορ.* Pop.

ὥςπερ εἰς τὸ φρούριον ἄξοντες] velut ad castellum ducturi, videlicet novas copias pariter et scalas.

προαγγεῖλαι βουλόμενος ταῦτα παρεῖναι] accessisse se, ut de his castelli praefectum certiorem faceret.

§. 13. *δέοιτό γ' ἂν αὐτοῦ μένειν*] Quaeritur *αὐτοῦ* sitne adverbium an genitivus; sed adverbii notio magis hic efferatur necesse est, quam pronominis, quo Gobryas modo usus erat, cf. VI. 1, 1.

§. 16. *Ἦν δὲ καὶ ὅ*] Laudantur a Matth. §. 482. n. 1.

προειπὼν οἷ πορεύσοιντο] dum scripsit Xenophon, cogitavit iam de verbis *ὅπως ἄγοιεν* –

εἴασεν ὁ Γαδάτας διαφεύγειν, ὅπως ἄγοιεν τὰ στρατεύματα, καὶ τὰς κλίμακας κομίζοιεν· οὓς δ' ἔλαβε, βασανίζων ἐναντίον πολλῶν, ὡς ἤκουσεν, ἐφ' ἃ ἔφασαν πορεύεσθαι, εὐθέως συσκευασάμενος ὡς ἐξαγγελῶν, τῆς νυκτὸς ἐπορεύετο. Τέλος δὲ πιστευθεὶς ὡς βοηθὸς εἰς- 17
έρχεται εἰς τὸ φρούριον· καὶ τέως μὲν συμπαρεσκευάζετο ὅ τι δύναιτο τῷ φρουράρχῳ· ἐπεὶ δὲ ὁ Κῦρος ἦλθε, καταλαμβάνει τὸ χωρίον, συνεργοὺς ποιησάμενος καὶ τοὺς παρὰ τοῦ Κύρου αἰχμαλώτους. Ἐπεὶ δὲ τοῦτο 18
ἐγένετο, εὐθὺς Γαδάτας ὁ εὐνοῦχος τὰ ἔνδον καταστήσας ἐξῆλθε πρὸς τὸν Κῦρον, καὶ τῷ νόμῳ προςκυνήσας εἶπε, Χαῖρε, ὦ Κῦρε. Ἀλλὰ ποιῶ ταῦτ', ἔφη· σὺ 19
γάρ με σὺν τοῖς θεοῖς οὐ κελεύεις μόνον, ἀλλὰ καὶ ἀναγκάζεις χαίρειν. Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι ἐγὼ μέγα ποιοῦμαι, φίλον τοῦτο τὸ χωρίον τοῖς ἐνθάδε συμμάχοις

§. 17. συμπαρεσκευάζετο ὅ τι δύναιτο τῷ φρουράρχῳ] A. B. G. aliique. συμπαρεσκεύαζεν ὅ τι ἐδύνατο τῷ φρουράρχῃ vulgo.

κομίζοιεν, quae aptius deinde intermediis adnexuit, ut quae, cur Gadatas nuntios dimisisset, causam patefacerent. Articulo autem τοὺς μὲν subiicitur pronomen relativum eodem modo, quo contrarium ordinem IV. 5, 46. ὅσοι ἡμῖν πάρεισιν, οἱ δὲ προςάγονται, optaverat.

βασανίζων ἐναντίον πολλῶν] coram multis quaestione habita, per verba, opinor, non per tormenta, quae vix erat quare adhiberet Gadatas. Cui interpretationi favet praeter observationem Spanhemii ad Aristoph. Ran. 629. etiam Schweigh. Lex. Herodt. I. p. 118.

§. 17. Τέλος δέ] Ut paucis dicam, denique. Vid. Viger. p. 144. 729. n. 101.

καὶ τέως μὲν συμπαρεσκευάζετο ὅ τι δύναιτο τῷ φρουράρχῳ] Aperte eadem verba menti interpretis Itali obversabantur, cum redderet: et quidem parumper quibuscunque in rebus poterat parandis praefecto socium se praebuit.

τοὺς παρὰ τοῦ Κύρου αἰχμαλώτους] quos Gobryas, cum suum castellum relinqueret, quo maiorem praefecto fidem faceret, testificationis causa secum duxisse putandus est.

§. 18. Γαδάτας ὁ εὐνοῦχος] Ad Muretum, qui ὁ εὐνοῦχος deleri voluit, Fischerus »Xen., inquit, Cyrum iubet agere cum Gadata, tanquam cum castrato, eiusque sortem miseram non inepto loco lectorum in memoriam revocat.« Sed idem additamentum ut habes VI. 1, 1., ita Cyaxares ὁ τοῦ Ἀστυάγους παῖς nominatur et I. 5, 2. et §. 4.

§. 19. ποιῶ ταῦτ'] ἅ με κελεύεις ποιεῖν, δηλονότι χαίρειν. Sic ταῦτα de una re etiam alibi. Vid. Schaefer. Demosth. Apparat. I. p. 856.

καταλιπών· σοῦ δ', ἔφη, ὦ Γαδάτα, ὁ Ἀσσύριος παῖδας μέν, ὡς ἔοικε, τὸ ποιεῖσθαι ἀφείλετο, οὐ μέντοι τό γε φίλους κτᾶσθαι δύνασθαί σε ἀπεστέρησεν· ἀλλ' εὖ ἴσθι, ὅτι ἡμᾶς τῷ ἔργῳ τούτῳ φίλους πεποίησαι, οἵ σοι, ἐὰν δυνώμεθα, πειρασόμεθα μὴ χείρονες βοηθοὶ
20 παραστῆναι ἢ εἰ παῖδας ἢ ἐκγόνους ἐκέκτησο. Ὁ μὲν
ταῦτ' ἔλεξεν. Ἐν δὲ τούτῳ ὁ Ὑρκάνιος, ἄρτι ᾐσθημένος τὸ γεγενημένον, προσθεῖ τῷ Κύρῳ, καὶ λαβὼν τὴν δεξιὰν αὐτοῦ εἶπεν, Ὦ μέγα ἀγαθὸν σὺ τοῖς φίλοις Κῦρε, ὡς πολλήν με τοῖς θεοῖς ποιεῖς χάριν ὀφείλειν,
21 ὅτι σοί με συνήγαγον. Ἴθι νῦν, ἔφη ὁ Κῦρος, καὶ
λαβὼν τὸ χωρίον, οὗπερ ἕνεκά με ἀσπάζῃ, διατίθει αὐτὸ οὕτως, ὡς ἂν τῷ ὑμετέρῳ φύλῳ πλείστου ἄξιον ᾖ καὶ τοῖς ἄλλοις συμμάχοις, μάλιστα δ', ἔφη, Γαδάτᾳ τούτῳ, ὃς ἡμῖν αὐτὸ λαβὼν παραδίδωσι.

Cadusios et Sacas cum Cyro se coniunxisse paucis significatur: qui maiores copias, ut etiam Hyrcanii, ad bellum educunt.

22 Τί οὖν; ἔφη ὁ Ὑρκάνιος, ἐπειδὰν Καδούσιοι ἔλθωσι καὶ Σάκαι, καὶ οἱ ἐμοὶ πολῖται, καλέσωμεν καὶ

§. 20. ἔλεξεν. Ἐν δὲ τούτῳ ὁ Ὑρκάνιος, ἄρτι] ἔλεγεν· ὁ δὲ Ὑρκάνιος ἐκ τούτου δὴ ἄρτι Vat. receptae posthabeam.

§. 21. Ἴθι νῦν] Ἴθι τοίνυν dedisse suspicor Xen., quid? quod Ἴθι νῦν τοίνυν bene habiturum esse docuisse videor in Friedem. et Seebod. Miscell. critt. II. p. I. p. 145.

παῖδας μέν, ὡς ἔοικε, τὸ ποιεῖσθαι] ὡς ἔοικε vertunt ut facile intelligo, uti rei naturae convenit, quasi ὡς εἰκός legissent. Tu potius redde: ut fertur, cum Wyttenbach. ad Plutarch. T. I. p. 351 sq. Praeterea sedem nominis παῖδας nota inter τὸ ποιεῖσθαι collocandi. Supra §. 15., quod ex eodem genere est, legimus τῷ εὐνούχῳ – τὰ ἐπισταλέντα. Memor. IV. 4, 7. περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν. Apol. §. 9. ἀνελευθέρως τὸ ζῆν. Cf. not. ad Anab. V. 6, 7.

παῖδας ἢ ἐκγόνους] »Alterum abesse malim.« Schn. i. e. παῖδας, ut arbitror. Nam ἔκγονος de filio, ἔγγονος de prole vel nepote usurpatum statuunt. Itaque aut cum Vat. ἢ ἐγγόνους scribatur, aut vulgatum de posteris interpretemur.

§. 20. ἄρτι ᾐσθημένος τὸ γεγενημένον] modo certior factus de re gesta. Male quidam ἄρτι cum τὸ γεγενημένον copulavit.

§. 21. τῷ ὑμετέρῳ φύλῳ] vestrae genti, Hyrcanis, ut οἱ ἄλλοι σύμμαχοι dicantur Sacae et Cadusii, quorum causa munitum erat castellum. Weiskius τῷ ὑμετέρῳ φίλῳ, quemadmodum edidit, ad Cyrum refert, quem ubique tamen videas sociorum commoditatem suae praeferre, etsi concedam non necessarium fuisse τῷδε τῷ ὑμετέρῳ

τοῦτον, ἵνα κοινῇ συμβουλευσώμεθα πάντες, ὅσοις προςήκει, πῶς ἂν συμφορώτατα χρῴμεθα τῷ φρουρίῳ;

23 Ταῦτα μὲν οὕτω συνῄνεσεν ὁ Κῦρος· ἐπεὶ δὲ συνῆλθον, οἷς ἔμελε περὶ τοῦ φρουρίου, ἐβουλεύσαντο κοινῇ φυλάττειν, οἷςπερ ἀγαθὸν ἦν φίλιον ὄν, ὅπως αὐτοῖς μὲν πρόβολος εἴη πολέμου, τοῖς δ' Ἀσσυρίοις ἐπιτετειχισμένον εἴη.

24 Τούτων δὲ γενομένων, πολὺ δὴ προθυμότερον καὶ πλείους καὶ Καδούσιοι συνεστρατεύοντο καὶ Σάκαι καὶ Ὑρκάνιοι· καὶ συνελέγη ἐντεῦθεν στράτευμα, Καδουσίων μὲν πελτασταὶ εἰς δισμυρίους καὶ ἱππεῖς εἰς τετρακιςχιλίους, Σακῶν δὲ τοξόται εἰς μυρίους καὶ ἱπποτοξόται εἰς διςχιλίους· καὶ Ὑρκάνιοι δὲ πεζούς τε ὁπόσους ἐδύναντο προςεξέπεμψαν, καὶ ἱππεῖς ἐξεπλήρωσαν εἰς διςχιλίους· τὸ γὰρ πρόσθεν καταλελειμμένοι ἦσαν πλείους οἴκοι αὐτοῖς ἱππεῖς, ὅτι καὶ οἱ Καδούσιοι

§. 23. *πρόβολος εἴη πολέμου*] Hoc *εἴη*, non sequens incertum reddunt codices.

§. 24. *Τούτων δὲ γενομένων*] *Ἐπεὶ δὲ τοῦτο ἐγένετο* edd. vett. *Τούτων γενομένων* codd. bene.

φίλῳ. Alii *τῷ ἡμετέρῳ φίλῳ* dederunt, Gobryam communem Cyro et Hyrcanio (?) amicum intelligentes, sed Gobryae quid potissimum interfuerit, si hoc castellum recte custodiretur, quum sua ipse arce ab hostium impetu satis munitus esset?

§. 22. *ἵνα κοινῇ συμβουλευσώμεθα*] IV. 1, 7. *καὶ συνησθεὶς ἐκείνῳ κοινῇ*, ubi Schneid. Aristophanicum *κοινῇ ξυνέβημεν* comparavit, similia nos ad II. 2, 7. sed vix toleranda est verbositas loci Anab. V. 6, 27. *ἰδίᾳ μὲν Ξενοφῶντα πείθειν τε καταμένειν καὶ θύεσθαι ὑπὲρ τῆς μονῆς, μὴ κοινούμενον τῇ στρατιᾷ· εἰς δὲ τὸ κοινὸν μηδὲν ἀγορεύειν περὶ τούτων.*

§. 24. *πολὺ δὴ προθυμότερον καὶ πλείους*] multo sane alacrius et multo plures vel etiam plures (sogar mehrere). At in promtu est simplicior scriptura *πολὺ δὴ προθυμότεροι καὶ πλείους.*

ἐντεῦθεν] i. e. *ἐπεὶ τοῦτο ἐγένετο*, ab hoc inde tempore, quo Cyrus captum castellum novis sociis custodiendum tradiderat. Ceterum ampliore harum rerum enarratione, quam desideravit Weiskius, tanto magis Xenophon supersedere potuit, quod quibus initis consiliis hostiles populos principesque in suam societatem Cyrus adduxerit, solis in Hyrcanis, Gobrya et Gadata abunde satis exposuerat. Accedit quod castellum illud, quo nunc demum Cyrus potitus erat, solum impedimento fuit, quo minus se Sacae et Cadusii cum Cyro coniungerent.

25 καὶ Σάκαι τοῖς Ἀσσυρίοις πολέμιοι ἦσαν. Ὅσον δὲ χρόνον ἐκαθέζετο ὁ Κῦρος ἀμφὶ τὴν περὶ τὸ φρούριον οἰκονομίαν, τῶν Ἀσσυρίων τῶν κατὰ ταῦτα τὰ χωρία πολλοὶ μὲν ἀπῆγον ἵππους, πολλοὶ δὲ ἀπέφερον ὅπλα, φοβούμενοι ἤδη πάντας τοὺς προςχώρους.

Gadatas ad oppida sua defendenda proficiscitur, et Cyrus suos hortatur, ut ei auxilium ferant.

26 Ἐκ δὲ τούτου προςέρχεται τῷ Κύρῳ ὁ Γαδάτας, καὶ λέγει, ὅτι ἥκουσιν αὐτῷ ἄγγελοι, ὡς ὁ Ἀσσύριος, ἐπεὶ πύθοιτο τὰ περὶ τοῦ φρουρίου, χαλεπῶς τε ἐνέγκοι, καὶ συσκευάζοιτο ὡς ἐμβαλῶν εἰς τὴν αὐτοῦ χώραν. Ἐὰν οὖν ἀφῇς με, ὦ Κῦρε, τὰ τείχη ἂν πειραθείην
27 διασῶσαι, τῶν δὲ ἄλλων μείων μοι λόγος. Καὶ ὁ Κῦρος εἶπεν, Ἐὰν οὖν ἴῃς νῦν, πότε ἔσῃ οἴκοι; Καὶ ὁ Γαδάτας εἶπεν, Εἰς τρίτην δειπνήσω ἐν τῇ ἡμετέρᾳ. Ἦ καὶ τὸν Ἀσσύριον, ἔφη, οἴει ἐκεῖ ἤδη καταλήψεσθαι; Εὖ μὲν οὖν, ἔφη, οἶδα· σπεύσει γάρ, ἕως ἔτι πρόσω
28 δοκεῖς ἀπεῖναι. Ἐγὼ δέ, ἔφη ὁ Κῦρος, ποσταῖος ἂν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην; Πρὸς τοῦτο δὴ ὁ Γαδάτας λέγει· Πολὺ ἤδη, ὦ δέσποτα, ἔχεις τὸ στράτευμα, καὶ οὐκ ἂν δύναιο μεῖον ἢ ἐν ἓξ ἢ ἑπτὰ ἡμέραις ἐλθεῖν πρὸς τὴν ἐμὴν οἴκησιν. Σὺ μὲν τοίνυν,

§. 25. *κατὰ ταῦτα τὰ χωρία*] Miro consensu codd. *κατ' αὐτὰ τὰ χωρίων*, Vat. *κατ' αὐτὰ χωρίων*, qui genitivus vide ne conflatus fuerit ex *χωρία ὄντων*.

§. 27. *ἕως ἔτι πρόσω δοκεῖς ἀπεῖναι*] *ὅσῳ σὺ πρόσω δοκεῖς ἰέναι* alii.

§. 26. *τῶν δὲ ἄλλων*] ceteras res dicit, quae sunt in agris locisque non munitis, ut pecudes, fruges, servos.

§. 27. *πότε ἔσῃ οἴκοι*] Ne mireris Cyrum de longitudine itineris quaerere, quod ipse confecerat, Schneidero observante viarum compendia festinans Gadatas sectatus erat cum suis: quod non facile fuit facere exercitui satis magno cum impedimentis suis. Atqui Cyrus intra triduum (§. 35.) itineris huius spatium absolvit, ad quod perficiendum sex vel septem diebus opus esse affirmaverat Gadatas.

Εἰς τρίτην] Vid. ad §. 6. atque de his *Εὖ μὲν οὖν, ἔφη, οἶδα* ad §. 8.

§. 28. *μεῖον ἢ ἐν ἕξ*] i. e. *ἐν μείονι χρόνῳ ἢ ἐν ἕξ*. Dixi de hac constructione ad II. 1, 5.

ἔφη ὁ Κῦρος, ἄπιθι ὡς τάχιστα· ἐγὼ δέ, ὡς ἂν δυνα-
τὸν ᾖ, πορεύσομαι. Ὁ μὲν δὴ Γαδάτας ᾤχετο· ὁ δὲ 29
Κῦρος συνεκάλεσε πάντας τοὺς ἄρχοντας τῶν συμμάχων·
καὶ ἤδη πολλοί τε ἐδόκουν καὶ καλοὶ κἀγαθοὶ παρεῖναι·
ἐν οἷς δὴ λέγει ὁ Κῦρος ταῦτα·
Ἄνδρες σύμμαχοι, Γαδάτας διέπραξεν, ἃ δοκεῖ 30
πᾶσιν ἡμῖν πολλοῦ ἄξια εἶναι, καὶ ταῦτα, πρὶν καὶ
ὁτιοῦν ἀγαθὸν ὑφ' ἡμῶν παθεῖν. Νῦν δὲ ὁ Ἀσσύριος
εἰς τὴν χώραν αὐτοῦ ἐμβάλλειν ἀγγέλλεται, δῆλον ὅτι
ἅμα μὲν τιμωρεῖσθαι αὐτὸν βουλόμενος, ὅτι δοκεῖ
ὑπ' αὐτοῦ μεγάλα βεβλάφθαι· ἅμα δ' ἴσως κἀκεῖνο ἐν-
νοεῖται, ὡς, εἰ οἱ μὲν πρὸς ἡμᾶς ἀφιστάμενοι μηδὲν
ὑπ' ἐκείνου κακὸν πείσονται, οἱ δὲ σὺν ἐκείνῳ ὄντες
ὑφ' ἡμῶν ἀπολοῦνται, ὅτι τάχα οὐδένα εἰκὸς σὺν αὐτῷ
βουλήσεσθαι εἶναι. Νῦν οὖν, ὦ ἄνδρες, καλόν τι ἂν 31
μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαι-
μεν, ἀνδρὶ εὐεργέτῃ· καὶ ἅμα δίκαια ποιοῖμεν ἄν, χά-
ριν ἀποδιδόντες· ἀλλὰ μὴν καὶ ξύμφορά γ' ἄν, ὡς ἐμοὶ

§. 30. *ἐμβάλλειν*] omnes praeter M. codd., *ἐμβαλεῖν* P. *δῆλον ὅτι* pro *δηλονότι* etiam Vat. i. e. *δῆλον ὅτι ἐμβάλλει.*
μεγάλα βεβλάφθαι] *μεγάλα* inest in V. M. margg. Vict. Vill. *μέγα* in edd. Vid. ad II. 1, 26.
§. 31. *ὡς ἐμοὶ δοκῶ, πράξαιμεν*] Ducibus A. B. V. M. dedi pro *ὡς ἐγὼ δοκῶ, πράττοιμεν.*

§. 29. *καὶ ἤδη πολλοί τε ἐδόκουν*] Primum nunc Cyrus sociorum duces cunctos convocaverat, quorum quum iam satis magna adesset copia, ita ut nonnullos potuisset praetermittere, noluit hoc facere Cyri humanitas, quia nobiles honestique viri esse videbantur.

§. 30. *ἐμβάλλειν*] §. 26. quia Assyrius dicebatur *συσκευάζεσθαι ὡς ἐμβαλῶν*, praesenti tempori aptior hic locus dabitur quam aoristo.

ὅτι δοκεῖ ὑπ' αὐτοῦ μεγάλα βεβλάφθαι] quia putat se ab eo s. per eum magno detrimento affectum esse. Contra si qui librorum scripturam *ἀπ' αὐτοῦ* retinere voluerint, Gadatas dicetur Cyro copiam fecisse, ut Assyrio noceret. Discrimen hoc alterius utrius praepositionis posuit Hermann. ad Soph. Electr. v. 65. exempla Engelhardt. ad Plat. Apol. p. 174 sq.

ὡς – ὅτι] Iteratarum coniunctionum *ὡς* et *ὅτι* ex Xenophonte collectos locos Vigero p. 551. b. adscripsit Zeunius, quocum tamen nolim de ellipsi cogites, ubi pleonasmum rectius nominaveris.

§. 31. *ὡς ἐμοὶ δοκῶ*] Magis hoc Atticum censetur, quam *ὡς ἐγὼ δοκῶ* vel *ὡς ἐμοὶ δοκεῖ*, quae et ipsa frequentantur. Vid. Ou-

32 δοκῶ, πράξαιμεν ἡμῖν αὐτοῖς. Εἰ γὰρ πᾶσι φαινοίμεθα τοὺς μὲν κακῶς ποιοῦντας νικᾶν πειρώμενοι κακῶς ποιοῦντες, τοὺς δ' εὐεργετοῦντας ἀγαθοῖς ὑπερβαλλόμενοι, εἰκὸς ἐκ τῶν τοιούτων φίλους μὲν πολλοὺς ἡμῖν βούλεσθαι γίγνεσθαι, ἐχθρὸν δὲ μηδένα ἐπιθυμεῖν εἶναι·
33 εἰ δὲ ἀμελῆσαι δόξαιμεν Γαδάτου, πρὸς τῶν θεῶν, ποίοις λόγοις ἂν ἄλλον πείθοιμεν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν τολμῷμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντιβλέψαι τις ἡμῶν δύναιτο Γαδάτᾳ, εἰ ἡττῴμεθα αὐτοῦ εὖ ποιοῦντος, τοσοῦτοι ὄντες, ἑνὸς ἀνδρός, καὶ
34 τούτου οὕτω διακειμένου; Ὁ μὲν οὕτως εἶπεν· οἱ δὲ πάντες ἰσχυρῶς συνεπῄνουν ταῦτα ποιεῖν.

Cyrus docet, quomodo agmen ad iter nocturnum institui velit.

Ἄγετε τοίνυν, ἔφη, ἐπεὶ καὶ ὑμῖν συνδοκεῖ ταῦτα, ἐπὶ μὲν τοῖς ὑποζυγίοις καὶ ὀχήμασι καταλίπωμεν ἕκα-
35 στοι τοὺς μετ' αὐτῶν ἐπιτηδειοτάτους πορεύεσθαι. Γωβρύας δὲ ἡμῖν ἀρχέτω αὐτῶν, καὶ ἡγείσθω αὐτοῖς· καὶ γὰρ ὁδῶν ἔμπειρος, καὶ τἆλλα ἱκανός· ἡμεῖς δέ, ἔφη, καὶ ἵπποις τοῖς δυνατωτάτοις καὶ ἀνδράσι πορευώμεθα,

§. 33. αὐτοῦ εὖ ποιοῦντος] αὐτοῦ recte omittunt Vat. M. et m. Vict. Omnino legendum εἰ ἡττώμεθα εὖ ποιοῦντες, τοσοῦτοι ὄντες, ἑνὸς ἀνδρός. Hinc illud ὑφ' ἑνὸς ἀνδρός in G. A. B. Cf. V. 4, 32. Anab. II. 2, 23. 6, 17. et Monk. ad Eurip. Alcest. 707.

dend. ad Thom. Mag. p. 168. et Iacobs. ad Achill. Tat. p. 436. Aliud suadet librorum auctoritas infra c. 4, 37.

πράξαιμεν] Superiora illa ποιοῖμεν ἂν δίκαια spectant in omne tempus: semper enim iustum habebitur bene meritis gratiam referre; utilitas autem illa, quam sibimet ipsis Cyrus eiusque socii ferendo auxilio conciliabunt, serius ocius penitus evanescet. Haec, opinor, causa fuit, quare temporibus Cyrus diversis utendum existimaret. Cf. Buttm. §. 124. 5.

§. 32. εἰκὸς ἐκ τῶν τοιούτων] Vulgo verba ἐκ τῶν τοιούτων inciso interserto ab εἰκός dirimunt, etsi sensus est: in tali rerum statu consentaneum est, so ist es demzufolge natürlich.

§. 33. πῶς δ' ἂν ἀντιβλέψαι τις ἡμῶν δύναιτο Γαδάτᾳ] Aeschin. adv. Ctesiph. §. 151. γράψειν ἔφη ψήφισμα ὃ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας docte Bremius p. 370. explanavit.

καὶ τούτου οὕτω διακειμένου] eoque ita affecto. Gabr. i. e. praesertim cum sit hac in rerum conditione, ut alieno auxilio destitutus nequeat terram suam fortunamque tueri. Minus apte de castrato Gadata Schneider. accipi voluit.

§. 35. καὶ ἵπποις τοῖς δυνατωτάτοις] Huiusmodi dativis

τὰ ἐπιτήδεια τριῶν ἡμερῶν λαβόντες· ὅσῳ δ' ἂν κουφότερον συσκευασώμεθα καὶ εὐτελέστερον, τοσούτῳ ἥδιον τὰς ἐπιούσας ἡμέρας ἀριστήσομέν τε καὶ δειπνήσομεν καὶ καθευδήσομεν. Νῦν δ', ἔφη, πορευώμεθα ὧδε· 36 πρῶτον μὲν ἄγε σύ, Χρυσάντα, τοὺς θωρακοφόρους, ἐπεὶ ὁμαλή τε καὶ πλατεῖα ἡ ὁδός ἐστι, τοὺς ταξιάρχους ἔχων ἐν μετώπῳ πάντας· ἡ δὲ τάξις ἑκάστη ἐφ' ἑνὸς ἴτω· ἀθρόοι γὰρ ὄντες καὶ τάχιστα καὶ ἀσφαλέστατα πορευοίμεθ' ἄν. Τούτου δὲ ἕνεκα, ἔφη, κελεύω τοὺς θωρα- 37 κοφόρους ἡγεῖσθαι, ὅτι τοῦτο βαρύτατόν ἐστι τοῦ στρατεύματος. Τοῦ δὲ βαρυτάτου ἡγουμένου, ἀνάγκη ῥᾳδίως ἕπεσθαι πάντα τὰ θᾶττον ἰόντα· ὅταν δὲ τὸ τάχιστον ἡγῆται ἐν νυκτί, οὐδέν ἐστι θαυμαστὸν καὶ διεσπάσθαι τὰ στρατεύματα· τὸ γὰρ προταχθὲν ἀποδιδρά-

§. 35. ὅσῳ δ' ἂν] ὅσῳ γὰρ ἄν quum neque in scriptis nec in editis libris compareat, typothetae errore in ed. Schneid. indeque in alias propagatum est.

§. 37. τὰ θᾶττον ἰόντα] τὰ ἐλάσσονα Zeun. Mox διεσπάσθαι optimi pro διασπᾶσθαι.

Graecos scriptores refertos esse cum inter omnes constat, tum indicare non omisi ad III. 1, 5. III. 2, 4. 3, 40.

ὅσῳ δ' ἂν κουφότερον] »Neque multos cibos neque exquisitos et pretiosos parari vult, quia utrumque invitat, ut plusculum absumant et ventrem onerent, neque adeo cum voluptate postea cibum et somnum capiant. Vid. Mem. I. 3, 5. et I. 6, 5.« Weiske.

§. 36. πρῶτον μὲν ἄγε σύ] Singulis nationibus pro temporis ratione, ex quo ad Cyri exercitum accesserunt, suus cuique locus assignatur, ita ut principem locum obtineant Persae, quos Medi ceterique pedites deinceps sequuntur. Eodem ordine incedunt equites, in quibus Hyrcani haud dubie post Tigranem §. 42. collocati erant. Agminis forma quae fuerit, facile intelligitur, si 29 millia Persarum thorace munitorum (duo enim millia c. 2, 1. equitatum constituerunt) praesto fuisse Cyro una cum ducibus sumamus. Etenim latitudo agminis fuit 290 militum, altitudo 100, ita ut singuli, suum quisque centurionem, (ἐφ' ἑνός) sequerentur. Vid. Weisk. h. l.

ὁμαλή τε καὶ πλατεῖα ἡ ὁδός] In montosa enim et angusta via satius erat et levioris armaturae milites praeire et latitudinem agminis minorem esse altitudine.

καὶ τάχιστα καὶ ἀσφαλέστατα] Tum quia conferti milites et late incedentes metam propositam celerius assequuntur, tum quia hostibus, sicubi appareant, quasi acie instructa, occurrere possunt.

§. 37. καὶ διεσπάσθαι τὰ στρατεύματα] vel disiuncta fuisse agmina. Matth. §. 503. 2. Rost. §. 116. II. 7. p. 443. »Forma perfecti autem (ἀνῃρῆσθαι, ἡλωκέναι, προσηλῶσθαι) hic et alibi efficacior

38 σκει. Ἐπὶ δὲ τούτοις, ἔφη, Ἀρτάβαζος τοὺς Περσῶν
πελταστὰς καὶ τοξότας ἀγέτω· ἐπὶ δὲ τούτοις Ἀνδραμύας
ὁ Μῆδος τὸ Μήδων πεζικόν· ἐπὶ δὲ τούτοις Ἔμβας τὸ
Ἀρμενίων πεζικόν· ἐπὶ δὲ τούτοις Ἀρτούχας Ὑρκανίους·
ἐπὶ δὲ τούτοις Θαμβράδας τὸ Σακῶν πεζικόν· ἐπὶ δὲ
39 τούτοις Δαμάτας Καδουσίους. Ἀγόντων δὲ καὶ οὗτοι
πάντες, ἐν μετώπῳ μὲν τοὺς ταξιάρχους ἔχοντες, δε-
ξιοὺς δὲ τοὺς πελταστάς, ἀριστεροὺς δὲ τοὺς τοξότας
τοῦ ἑαυτῶν πλαισίου· οὕτω γὰρ πορευόμενοι καὶ εὐχρη-
40 στότεροι γίγνονται. Ἐπὶ δὲ τούτοις οἱ σκευοφόροι, ἔφη,
πάντων ἑπέσθων· οἱ δ᾽ ἄρχοντες αὐτῶν ἐπιμελείσθων,
ὅπως συνεσκευασμένοι τε ὦσι πάντα, πρὶν καθεύδειν,
καὶ πρωῒ σὺν τοῖς σκεύεσι παρῶσιν εἰς τὴν συντεταγμέ-
41 νην χώραν, καὶ ὅπως κοσμίως ἕπωνται. Ἐπὶ δὲ τοῖς
σκευοφόροις, ἔφη, τοὺς Πέρσας ἱππέας Μαδάτας ὁ
Πέρσης ἀγέτω, ἔχων καὶ οὗτος τοὺς ἑκατοντάρχους τῶν
ἱππέων ἐν μετώπῳ· ὁ δ᾽ ἑκατόνταρχος τὴν τάξιν ἀγέτω

§. 38. *Δαμάτας*] *Δατάμας* Iunt. qui decem millia ducit VIII. 3, 17. *Δοτάμας* commemoratur Aeschylo Pers. 951. Blomf. sed nec cetera nomina certioris sunt fidei.

§. 39. *τοῦ ἑαυτῶν πλαισίου*] *τοὺς ἑαυτῶν πλαγίους* codd. i. e. *τοῦ ἑαυτῶν πλαγίου.*

§. 40. *ὅπως κοσμίως*] *ὅπως εὐκοσμίως* Vat., corrigendum *ὅπως εὐκόσμως* ut II. 4, 1.

est. Cf. §. 33. d. *ἀνηρπάσθαι.* a Buttmann. ad Demosth. Mid. p. 63.

§. 38. *τοὺς Περσῶν πελταστὰς καὶ τοξότας*] quos arcessitos quidem e patria IV. 5, 16 sqq. fuisse, sed advenisse demum V. 5, 3. legimus. Leviora enim arma nonnullos vel retinuisse vel recepisse, non patitur locus II. 1, 19. ut credamus.

§. 39. *οὕτω γὰρ πορευόμενοι*] quadrato enim agmine eoque oblongo (*ἐν πλαισίῳ*) procedentes etiam utiliores sunt. Onosander. p. 33. Schweb. *Ἡ δὲ συνεσταλμένη πορεία καὶ τετράγωνος, ἤπερ ἡ πάνυ παραμήκης, εἰς πάντα καιρὸν εὐμεταχείριστός ἐστι καὶ ἀσφαλής.* Cf. Anab. III. 2, 36. et 4, 19. ibiq. not.

§. 40. *οἱ σκευοφόροι, – πάντων ἑπέσθων*] calones omnium gentium sequantur, *ἑπέσθων* pro *ἑπέσθωσαν*, quam hic formam a praestantissimis libris oblatam vix mihi temperavi quin adsciscerem. Matth. §. 203. 4. p. 375. ed. sec. Cyri praeceptum probavit etiam Onosand. p. 34. *Λαμβανέτω δὲ (ὁ στρατηγὸς) τὴν θεραπείαν καὶ τὰ ὑποζύγια καὶ τὴν ἀποσκευὴν ἅπασαν ἐν μέσῃ τῇ δυνάμει χωρίς, ἂν μὴ τὰ κατόπιν ἀσφαλῆ πάλιν καὶ εἰρηναῖα νομίζῃ.*

εἰς ἕνα, ὥςπερ οἱ πέζαρχοι. Ἐπὶ δὲ τούτῳ Ἱερσομβάτας ὁ Μῆδος ὡςαύτως τοὺς ἑαυτοῦ ἱππέας· ἐπὶ δὲ τούτοις σύ, ὦ Τιγράνη, τὸ σαυτοῦ ἱππικόν· καὶ οἱ ἄλλοι δ' ἵππαρχοι, μεθ' ὧν ἕκαστοι ἀφίκοντο πρὸς ἡμᾶς· ἐπὶ δὲ τούτοις Σάκαι ἄγετε· ἔσχατοι δ', ὥςπερ ἦλθον, Καδούσιοι ἀγόντων τὸ στράτευμα· Ἀλκεύνα, σὺ δέ, ὁ ἄγων αὐτούς, ἐπιμελοῦ τὸ νῦν εἶναι πάντων τῶν ὄπισθεν, καὶ μηδένα ἔα ὕστερον τῶν σῶν ἱππέων γίγνεσθαι. 42
Ἐπιμελεῖσθε δὲ τοῦ σιωπῇ πορεύεσθαι οἵ τε ἄρχοντες καὶ πάντες δὲ οἱ σωφρονοῦντες· διὰ γὰρ τῶν ὤτων ἐν τῇ νυκτὶ ἀνάγκη μᾶλλον ἢ διὰ τῶν ὀφθαλμῶν ἕκαστα καὶ αἰσθάνεσθαι καὶ πράττεσθαι· καὶ τὸ ταραχθῆναι δ' ἐν τῇ νυκτὶ πολὺ μεῖζόν ἐστι πρᾶγμα ἢ ἐν τῇ ἡμέρᾳ, καὶ δυςκαταστατώτερον· οὗ ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα, καὶ ἡ τάξις διαφυλακτέα. 43
Τὰς δὲ νυκτερινὰς φυλακάς, 44

§. 42. Ἐπὶ δὲ τούτῳ] Ἐπὶ τούτῳ optimi quique, Ἐπὶ δὲ τούτοις edd. sed etiam in seqq. vocula δέ a codd. omittitur.

ἀγόντων τὸ στράτευμα] m. Vict. pro ἀγ. στράτευμα. Nomen seq. Ἀλκεύνα vox στράτευμα in codd. obliteravit.

§. 43. καὶ πράττεσθαι] καὶ ταράττεσθαι alii, parum apte ad sensum, qui postulat καὶ προεπίστασθαι, ex G. A. προΐστασθαι eliciendum.

§. 41. εἰς ἕνα] §. 36. ἐφ' ἑνός, eodem utrumque significatu. Cf. II. 3, 21. 4, 2.

§. 42. Ἀλκεύνα, σὺ δέ] Subito Cyrus, quasi oblitus Alceunam Cadusiorum ducem esse, orationem ad hunc convertit postposito pronomine, qua locutione ut crebro usi sunt poetae, ita ex Aeschine exemplum protulit haud absimile Schaefer. ad Porson. Eurip. Orest. p. 60. ed. tert.

ἐπιμελοῦ τὸ νῦν εἶναι πάντων τῶν ὄπισθεν] curam id temporis suscipe omnium, qui postremo erunt. Recte ita Gabr. errantque qui aliter intelligunt. Formulam dicendi τὸ νῦν εἶναι, quam invenies etiam c. 5, 35., illustratam dederunt ad Viger. p. 23. p. 888.

§. 43. οἵ τε ἄρχοντες καὶ πάντες δέ] Ad IV. 1, 2. Schneiderus »Dubito, inquit, an post τέ recte sequatur καὶ – δέ.« Aliter idem de varietate scripturae ad I. 6, 36. commemorata statuerat, immemor locorum V. 1, 24. 4, 29. VII. 5, 62. Hipparch. IV. 18. οἵ τε ἴκτινοι δύνανται, – καὶ οἱ λύκοι δὲ τὰ ἐρημούμενα φυλακῆς ἀγρεύουσι. Hellen. II. 4, 6. ἀπέκτειναν – Νικόστρατόν τε τὸν Καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο, ἔτι καταλαβόντες ἐν ταῖς εὐναῖς.

πολὺ μεῖζόν ἐστι πρᾶγμα] multo gravior est res, ist ein viel schlimmeres Ding Germani dicimus.

ὅταν μέλλητε νυκτὸς ἐξαναστήσεσθαι, χρὴ ὡς βραχυτάτας καὶ πλείστας ποιεῖσθαι, ὡς μηδένα ἢ ἐν τῇ φυλακῇ ἀγρυπνία, πολλὴ οὖσα, λυμαίνηται ἐν τῇ πορείᾳ· ἡνίκα δ' ἂν ὥρα ᾖ πορεύεσθαι, σημανεῖ τῷ κέρατι.
45 Ὑμεῖς δὲ ἔχοντες ἃ δεῖ ἕκαστοι πάρεστε εἰς τὴν ἐπὶ Βαβυλῶνος ὁδόν· ὁ δὲ ὁρμώμενος ἀεὶ τῷ κατ' οὐρὰν παρεγγυάτω ἕπεσθαι.

Quibus de causis Cyrus militum duces nominatim appellarit.

46 Ἐκ τούτου δὴ ᾤχοντο ἐπὶ τὰς σκηνάς, καὶ ἅμα ἀπιόντες διελέγοντο πρὸς ἀλλήλους, ὡς μνημονικῶς ὁ Κῦρος ὁπόσοις συνέταττε πᾶσιν ὀνομάζων ἐνετέλλετο.

§. 44. *σημανεῖ*] *σημαίνειν* qui tuentur, non perpenderunt signum datum iri Cyri, non reliquorum ducum iussu.

§. 45. *παρεγγυάτω ἕπεσθαι*] *ἐγγυτάτω ἑπέσθω* libri deteriores, idque ut per se ineptum est, ita *τοῦ κατ' οὐράν* pro *τῷ κατ' οὐράν* postulat.

§. 46. *πᾶσιν ὀνομάζων*] *πᾶσιν* ingenio Heindorfii debetur, a quo proxime abest Vat. *πᾶς ὀνομάζων*, ceteris *πῶς ὀνομάζων* exhibentibus, quod minus improbassem, si aliud vel adverbium vel adiectivum post *πῶς* alicubi subiectum vidissem, ut quae ad IV. 5, 29. animadvertimus comparari liceret.

§. 44. *ὡς βραχυτάτας καὶ πλείστας*] Aeneas Tact. p. 62 sq. ed. Orell. iubet *διὰ βραχέων τε φυλάσσειν καὶ πολλὰς εἶναι τὰς φυλακὰς καὶ ἅμα πολλοὺς ἀνθρώπους· ἐν γὰρ τῷ δι' ὀλίγου φυλάττειν – ἧττον ἂν ὕπνοι ἐγγίγνοιντο διὰ βραχέος φυλασσόντων*, eadem praecipiente Onosandro p. 50.

§. 45. *ὁ δὲ ὁρμώμενος ἀεὶ τῷ κατ' οὐρὰν παρεγγυάτω ἕπεσθαι*] qui quoque tempore proficiscitur, (wer jedesmal sich aufmacht, aufbricht) subsequentem moneat, ut se sequatur. Quippe Chrysantam thoracatorum ducem Artabazo vult imperare, ut se cum cetratis et sagittariis a tergo sequatur, Artabazum, ut idem Andramyae Medo praecipiat etc. Neque vero sermo est de itinere, quod iam ingressi sint milites, sed de profectione agminum e castris: ad illud, non ad hanc Cyri mandata spectant de silentio, quod in itinere nocturno servent milites. De vocis *ἀεί* positu exquisitiore ne dubites, eiusdem generis exempla ad VII. 1, 20. depromere animus est.

§. 46. *ὡς μνημονικῶς ὁ Κῦρος ὁπόσοις συνέταττε πᾶσιν ὀνομάζων ἐνετέλλετο*] Construe *ὡς μνημονικῶς ὀνομάζων ὁ Κῦρος ἐνετέλλετο πᾶσιν, ὁπόσοις συνέταττε*, quanta memoria Cyrus nominatim omnibus, quotquot instruebat, mandata dabat. Plura ex arbitrio, ut arbitror, addidit Gabr. reddendo: Quanta est memoria Cyrus, quam multos uno tempore instruxit: ut singulis singula (*ἑκάστοις*) mandavit, hisque nomine appellatis!

Ὁ δὲ Κῦρος ἐπιμελείᾳ τοῦτο ἐποίει· πάνυ γὰρ αὐτῷ 47
ἐδόκει θαυμαστὸν εἶναι, εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς ἑαυτοῦ τέχνης ἕκαστος τῶν ἐργαλείων τὰ ὀνόματα, καὶ ὁ ἰατρὸς δὲ οἶδε καὶ τῶν ὀργάνων καὶ τῶν φαρμάκων, οἷς χρῆται, πάντων τὰ ὀνόματα· ὁ δὲ στρατηγὸς οὕτως ἠλίθιος ἔσοιτο, ὥςτε οὐκ εἴσεται τῶν ὑφ' αὐτὸν ἡγεμόνων τὰ ὀνόματα, οἷς ἀνάγκη ἐστὶν αὐτῷ ὀργάνοις χρῆσθαι, καὶ ὅταν καταλαβεῖν τι βούληται, καὶ ὅταν φυλάξαι, καὶ ὅταν θαῤῥῦναι, καὶ ὅταν φοβῆσαι· καὶ τιμῆσαι δὲ ὁπότε τινὰ βούλοιτο, πρέπον αὐτῷ ἐδόκει εἶναι ὀνομαστὶ προςαγορεύειν. Ἐδόκουν δὲ αὐτῷ οἱ γι- 48
γνώσκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος καὶ τοῦ καλόν τι ποιοῦντες ὁρᾶσθαι μᾶλλον ὀρέγεσθαι, καὶ τοῦ αἰσχρόν τι ποιεῖν μᾶλλον προθυμεῖσθαι ἀπέχεσθαι. Ἠλί- 49
θιον δὲ καὶ τοῦτ' ἐδόκει εἶναι αὐτῷ τό, ὁπότε βούλοιτό τι πραχθῆναι, οὕτω προςτάττειν, ὥςπερ ἐν οἴκῳ ἔνιοι δεσπόται προςτάττουσι, Ἴτω τις ἐφ' ὕδωρ, Ξύλα τις 50
σχισάτω· οὕτω γὰρ προςταττομένων, εἰς ἀλλήλους τε ὁρᾶν πάντες ἐδόκουν αὐτῷ, καὶ οὐδεὶς περαίνειν τὸ

§. 47. *καὶ τιμῆσαι δὲ ὁπότε τινὰ βούλοιτο*] *Καὶ ὅταν τιμῆσαι δέ ποτέ τινα βούλοιτο* libri plerique, *βούληται* tamen M. cum marg. Vict. sed praestat recepta etiam propterea, quod *τιμῆσαι* ab initio collocatum est.

§. 47. *ὁ δὲ στρατηγὸς — ἔσοιτο*] i. e. *εἰ δὲ ὁ στρατηγὸς — ἔσοιτο*. Optativus est de re a cogitatione Cyri pendente, ut IV. 2, 46.

τῶν ὑφ' αὐτὸν ἡγεμόνων] Hanc vulgatam prae altera *τῶν ὑφ' ἑαυτῷ ἡγεμόνων* abunde mihi tuitus esse videor ad III. 3, 6. Ceterum ex hoc loco (adde §. 50. extrem.) Latini scriptores nescio an hauserint, quod tradiderunt Cyrum tenuisse nomina omnium suorum militum, non tantum ducum, Valer. Max. VIII. 7. extr. 16. Quinctil. XI. 2, 51. al. Apud Thucyd. VII. 69. Nicias *αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων καὶ αὐτοὺς ὀνομαστὶ καὶ φυλὴν κ. τ. λ.* Caesar etiam Bell. Gall. II. 25. *Centurionibusque nominatim adpellatis, reliquos cohortatus milites, signa inferre et manipulos laxare iussit.*

οἷς — ὀργάνοις χρῆσθαι] Cicer. Ep. Div. XI. 14, 1. *ὄργανον enim erat meum senatus*, eademque vi vocabulum in nostram linguam receptum est.

§. 48. *οἱ γιγνώσκεσθαι δοκοῦντες*] Similes rationes Cyrum permoverant, ut gregarios milites in eodem tabernaculo atque centuriones habitare curaret II. 1, 25 sq.

§. 49. *ὁπότε βούλοιτό τι πραχθῆναι*] sc. *ὁ στρατηγός*.

προςταχθέν, καὶ πάντες ἐν αἰτίᾳ εἶναι, καὶ οὐδεὶς τῇ αἰτίᾳ οὔτε αἰσχύνεσθαι οὔτε φοβεῖσθαι ὁμοίως διὰ τὸ σὺν πολλοῖς αἰτίαν ἔχειν· διὰ ταῦτα δὴ αὐτὸς πάντας ὠνόμαζεν, ὅτῳ τι προστάττοι.

Cyri cura et sollertia in itinere instituto conficiendo.

51 Καὶ ὁ Κῦρος μὲν δὴ περὶ τούτων οὕτως ἐγίγνωσκεν. Οἱ δὲ στρατιῶται τότε μὲν δειπνήσαντες, καὶ φυλακὰς καταστησάμενοι, καὶ συσκευασάμενοι πάντα
52 ἃ ἔδει ἐκοιμήθησαν. Ἡνίκα δ' ἦν ἐν μέσῳ νυκτῶν, ἐσήμηνε τῷ κέρατι. Κῦρος δ' εἰπὼν τῷ Χρυσάντᾳ, ὅτι ἐπὶ τῇ ὁδῷ ὑπομένοι δὴ ἐν τῷ πρόσθεν τοῦ στρατεύματος, ἐξῄει λαβὼν τοὺς ἀμφ' αὐτὸν ὑπηρέτας· βραχεῖ δὲ χρόνῳ ὕστερον Χρυσάντας παρῆν, ἄγων τοὺς θωρακοφό-
53 ρους. Τούτῳ μὲν οὖν ὁ Κῦρος δοὺς τοὺς ἡγεμόνας τῆς ὁδοῦ, πορεύεσθαι ἐκέλευεν ἡσύχως, ἕως ἄγγελος ἔλθοι· οὐ γάρ πω ἐν ὁδῷ πάντες ἦσαν· αὐτὸς δὲ ἑστη-

§. 50. διὰ ταῦτα δὴ αὐτὸς πάντας ὠνόμαζεν, ὅτῳ τι πρ.] διὰ ταῦτα δὲ πάντα ὠνόμαζεν αὐτὸς ὅτῳ προστ. Vat. Probaverim διὰ ταῦτα δὴ πάντα ὠνόμαζεν αὐτός, ὅτῳ τι προστ.

§. 52. εἰπὼν τῷ Χρ. – ἐξῄει λαβὼν] εἶπε τῷ Χρ. – ἐξῄει δέ libri praestantissimi, non male.

§. 53. ἡσύχως, ἕως ἄγγελος ἔλθοι· οὐ γάρ πω ἐν ὁδῷ] alii ἡσύχως· οὐ γάρ πω ἐν ὁδῷ, alii ἡσύχως, ἕως ἄγγελος ἔλθοι, ὅτι πάντες ἐν ὁδῷ.

§. 50. οὐδεὶς τῇ αἰτίᾳ οὔτε αἰσχύνεσθαι οὔτε φοβεῖσθαι ὁμοίως] Minorem, opinor, offensionem habitura haec verba fuissent, si affirmative scripsisset ἕκαστος τῇ αἰτίᾳ αἰσχύνεταί τε ὁμοίως καὶ φοβεῖται vel certe οὔτε αἰσχύνεσθαι οὔτε ὁμοίως φοβεῖσθαι, quod multo hic durius fuisset quam de Re Equ. III. 1. ὁ γὰρ μηκέτι ἔχων γνώμονας οὔτ' ἐλπίσιν εὐφραίνει οὔτε ὁμοίως εὐαπάλλακτος γίγνεται.

πάντας – ὅτῳ] Hoc dicendi genus supra tractavi ad II. 3, 10. III. 3, 67.

§. 51. φυλακὰς καταστησάμενοι] Ita ut mutarem φύλακας κατ., et scriptorum librorum fides postulavit et §. 44. Cf. ad V. 1, 30.

§. 52. ἐπὶ τῇ ὁδῷ ὑπομένοι] sc. Cyrus. Quod codices habent ἐπὶ τῇ ἕῳ, vereor ne ad praegressa ἐν μέσῳ νυκτῶν interpretationis causa adiectum fuerit. Non solum enim marg. Vill. alio loco adscripta illa refert, sed Curtius etiam III. 3, 8. *Patrio more*, inquit, *Persarum traditum est orto sole demum procedere.* Interpretamentum tamen illud cum §. 44 non convenit.

§. 53. ἕως ἄγγελος ἔλθοι] Haec scripturae οὐ γάρ πω ἐν ὁδῷ

κὼς ἐν τῷ αὐτῷ τὸν μὲν προσιόντα προὐπέμπετο ἐν τά-
ξει, ἐπὶ δὲ τὸν ὑστερίζοντα ἔπεμπε καλῶν. Ἐπεὶ δὲ 54
πάντες ἐν ὁδῷ ἦσαν, πρὸς μὲν Χρυσάνταν ἱππέας ἔπεμ-
ψεν ἐροῦντας, ὅτι ἐν ὁδῷ ἤδη πάντες· ἄγε οὖν ἤδη
θᾶσσον. Αὐτὸς δὲ παρελαύνων τὸν ἵππον εἰς τὸ πρό- 55
σθεν ἥσυχος, κατεθεᾶτο τὰς τάξεις· καὶ οὓς μὲν ἴδοι
εὐτάκτως καὶ σιωπῇ ἰόντας, προσελαύνων αὐτοῖς, τίνες
τε εἶεν, ἤρετο, καί, ἐπεὶ πύθοιτο, ἐπῄνει· εἰ δέ τινας
θορυβουμένους αἴσθοιτο, τὸ αἴτιον τούτου σκοπῶν κα-
τασβεννύναι τὴν ταραχὴν ἐπειρᾶτο.

Ἓν μόνον παραλέλειπται τῆς ἐν νυκτὶ ἐπιμελείας 56
αὐτοῦ, ὅτι πρὸ παντὸς τοῦ στρατεύματος πεζοὺς εὐ-
ζώνους οὐ πολλοὺς προὔπεμπεν, ἐφορωμένους ὑπὸ
Χρυσάντα, καὶ ἐφορῶντας αὐτόν, ὡς ὠτακουστοῦντες,

ἐν τῷ αὐτῷ] *ἐν τῇ ὁδῷ* ab codd. explicatur.

§. 56. *ὠτακουστοῦντες*] Si *ὑπωτακουστεῖν* in usu esset, *ὑπωτακουστοῦντες* vel *ὑπακουστιῶντες* codicum ductu scriberem.

πάντες ἦσαν minime accommodata esse, sed alteri *ὅτι πάντες ἐν ὁδῷ εἴησαν*, sententia est Schneideri, vera sine dubio, si constructio regulis grammaticis ubique adstricta reperiretur, sed usum loquendi cum aliorum scriptorum tum Xenophontis proprium, ex quo deserta oratione obliqua ad rectam transeunt, consideranti facile apparebit membrum illud eo minus improbandum esse, quo facilius eo addito reliqua lectionis diversitas expediri poterit. Quum enim sensus verborum esset: diesem übergab Cyrus die Wegweiser und befahl ihm langsam zu marschiren, bis ein Bote käme; denn es waren noch nicht alle auf dem Wege, alii voc. *ἄγγελος*, quod vernaculo Nachricht respondere putarunt, inducti sunt, ut ex seqq. *ἐπεὶ δὲ πάντες ἐν ὁδῷ ἦσαν* et ex *ἐροῦντας, ὅτι ἐν ὁδῷ ἤδη πάντες*, additamentum comminiscerentur: *ὅτι πάντες ἐν ὁδῷ*, alii contra praecedens membrum enotare neglexerunt.

προὐπέμπετο ἐν τάξει] praecedere iubebat. Schn. ad Anab. VII. 2, 14. *ἐν τάξει* refer ad participium.

§. 55. *ἥσυχος*] non concitato equo, ut equites ad Chrysantam missi, sed lento gressu cuncta agmina obequitavit ab extremo usque ad primum. Stephanus maluit *ἡσύχως*, sine causa. Vid. ad Anab. VI. 5, 11.

οὓς μὲν ἴδοι] quos animadvertisset. Sat magnus enim militum erat numerus, ita ut, quum ultima agmina e castris egressa essent, dies illucesceret. De lunae luce tacere scriptor non poterat.

§. 56. *ἐφορωμένους ὑπὸ Χρυσάντα, καὶ ἐφορῶντας αὐτόν*] tanto intervallo, quanto possent a Chrysanta conspici, atque eum ipsi vicissim conspicerent. Gabriel. i. e. haud procul a Chrysanta. Constat enim *ἐφορᾶν* de eo dici, qui, ut verbis utar Hermanni ad Soph. Trach. 1260., aliquid totum e longinquo con-

καὶ εἴ πως ἄλλως δύναιντο αἰσθάνεσθαι, σημαίνοιεν τῷ Χρυσάντᾳ, ὅ τι καιρὸς δοκοίη εἶναι· ἄρχων δὲ καὶ ἐπὶ τούτοις ἦν, ὃς καὶ τούτους ἐκόσμει, καὶ τὸ μὲν ἄξιον
57 λόγου ἐσήμαινε, τὸ δὲ μὴ οὐκ ἠνώχλει λέγων. Τὴν μὲν δὴ νύκτα οὕτως ἐπορεύοντο· ἐπεὶ δὲ ἡμέρα ἐγένετο, τοὺς μὲν τῶν Καδουσίων ἱππέας, ὅτι αὐτῶν καὶ οἱ πεζοὶ ἔσχατοι ἐπορεύοντο, παρὰ τούτοις κατέλιπεν, ὡς μηδ' οὗτοι ψιλοὶ ἱππέων ἴοιεν· τοὺς δ' ἄλλους εἰς τὸ πρόσθεν παρελαύνειν ἐκέλευσεν, ὅτι καὶ οἱ πολέμιοι ἐν τῷ πρόσθεν ἦσαν· ὅπως, εἴ τί που ἐναντιοῖτο αὐτῷ, ἀπαντῴη ἔχων τὴν ἰσχὺν ἐν τάξει καὶ μάχοιτο· εἴ τέ τί
58 που φεῦγον ὀφθείη, ὡς ἐξ ἑτοιμοτάτου διώκοι. Ἦσαν δὲ αὐτῷ ἀεὶ τεταγμένοι, οὕς τε διώκειν δέοι, καὶ οὓς παρ' αὐτῷ μένειν· πᾶσαν δὲ τὴν τάξιν λυθῆναι οὐδέ-
59 ποτε εἴα. Κῦρος μὲν δὴ οὕτως ἦγε τὸ στράτευμα· οὐ μέντοι αὐτός γε μιᾷ χώρᾳ ἐχρῆτο, ἀλλ' ἄλλοτε ἀλλαχῇ περιελαύνων ἐφεώρα τε καὶ ἐπεμελεῖτο, εἴ του δέοιντο. Οἱ μὲν δὴ ἀμφὶ Κῦρον οὕτως ἐπορεύοντο.

§. 57. *εἴ τί που ἐναντιοῖτο αὐτῷ, ἀπαντῴη ἔχων τὴν ἰσχὺν ἐν τάξει καὶ μάχοιτο*] Ex hac scriptura, quam firmavit etiam Vat., nata est deterior *εἴ τί* (*εἴ τε* et *εἴ τέ τι*) *που ἐναντίον αὐτῷ ὑπαντῴη, ὑφ' αὐτῷ ἔχων ἐν τάξει τὴν ἰσχὺν μάχοιτο*, errore scribarum
ὑπαντῴη.
ἐναντίον et *ὑφ' αὐτῷ* ex *ἀπαντῴη*.

§. 58. *ἀεὶ τεταγμένοι*] *αἰεὶ τεταγμένοι, εἰ δέοι διωγμοῦ* omnes editi ante Zeunium, qui et *ἀεί* (fortasse ex G.) dedit et, quia in codd. desunt, verbis *εἰ δέοι διωγμοῦ* uncos apposuit.

tuetur; constat vero etiam noctes in oriente non tantis, quantis his in terris, obductas esse tenebris.

ὅ τι καιρὸς δοκοίη εἶναι] Laudavi locum ad III. 2, 1. Sequentis verbi *ἠνώχλει* augmenta tetigit Bremi ad Aeschin. Orat. adv. Ctesiph. §. 44. p. 304.

§. 57. *τοὺς δ' ἄλλους*] i. e. *τοὺς τῶν ἄλλων ἱππέας*, ut ad IV. 6, 1. ostendimus. Intelliguntur ii equites, quibus per noctem impedimentorum cura tradita erat §. 41 sqq.

εἴ τί που — εἴ τέ τί που] Anab. I. 8, 11. *ἕως γε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ὡς ἀσφαλέστατα μένωμεν· εἴτε ἤδη δοκεῖ ἀπιέναι, ὅπως ὡς ἀσφαλέστατα ἄπιμεν.* Cf. supra ad II. 1, 7. Sed Anabas. locus ille simul docere videtur paullo post legendum esse *ὅπως ὡς ἐξ ἑτοιμοτάτου*, vel receptum *ὡς* ad superlativum pertinere. Certum vero est coniunctiones *ὅπως* et *ὡς* inter se creberrime a scriptoribus permutari.

§. 59. *εἴ του δέοιντο*] sc. *οἱ στρατιῶται*, quod nomen ex praegresso *στράτευμα* supplendum vidimus etiam II. 4, 21. III. 3, 1.

CAPUT IV.

Gadatas a perfido vulneratus servatur a Cyro.

Ἐκ δὲ τοῦ Γαδάτα ἱππικοῦ τῶν δυνατῶν τις ἀν- 1
δρῶν, ἐπεὶ ἑώρα αὐτὸν ἀφεστηκότα ἀπὸ τοῦ Ἀσσυρίου,
ἐνόμισεν, ὅτι, εἴ τι οὗτος πάθοι, αὐτὸς ἂν λαβεῖν πα-
ρὰ τοῦ Ἀσσυρίου πάντα τὰ Γαδάτα· οὕτω δὴ πέμπει
τινὰ τῶν ἑαυτοῦ πιστῶν πρὸς τὸν Ἀσσύριον, καὶ κε-
λεύει τὸν ἰόντα, εἰ καταλάβοι ἤδη ἐν τῇ Γαδάτα χώρᾳ
τὸ Ἀσσύριον στράτευμα, λέγειν τῷ Ἀσσυρίῳ, ὅτι, εἰ
βούλοιτο ἐνεδρεῦσαι, λαβεῖν ἂν Γαδάταν καὶ τοὺς σὺν
αὐτῷ. Δηλοῦν δὲ ἐνετέλλετο, ὅσην τε εἶχεν ὁ Γαδάτας 2
δύναμιν, καὶ ὅτι Κῦρος οὐ συνείπετο αὐτῷ· καὶ τὴν
ὁδὸν ἐδήλωσεν, ᾗ προσιέναι μέλλοι. Προσεπέστειλε δὲ
καὶ τοῖς αὐτοῦ οἰκέταις, ὡς πιστεύοιτο μᾶλλον, καὶ
τὸ τεῖχος, ὃ ἐτύγχανεν αὐτὸς ἔχων ἐν τῇ Γαδάτου χώρᾳ,
παραδοῦναι τῷ Ἀσσυρίῳ καὶ τὰ ἐνόντα· ἥξειν δὲ καὶ
αὐτὸς ἔφασκεν, εἰ μὲν δύναιτο, ἀποκτείνας Γαδάταν,
εἰ δὲ μή, ὡς σὺν τῷ Ἀσσυρίῳ τὸ λοιπὸν ἐσόμενος.
Ἐπεὶ δὲ ὁ ἐπὶ ταῦτα ταχθείς, ἐξελαύνων ὡς δυνατὸν 3
ἦν τάχιστα, ἀφικνεῖται πρὸς τὸν Ἀσσύριον καὶ ἐδήλω-

Cap. IV. §. 1. τὰ Γαδάτα] τὰ ἀγαθά e libris depromptum paullo audacius esset receptae adnectere: τὰ Γαδάτα ἀγαθά. Ceterum Γαδάτου ubique habet Vat. recte.
§. 3. ἐξελαύνων] Dedi ex Vat. pro ἐλαύνων.

Cap. IV. §. 1. τῶν δυνατῶν τις ἀνδρῶν] Amant Graeci pronomen τὶς inter articulum et substantivum etiam adiectivo inserto collocatum; id quod testatur praeter Porson. in Adversar. p. 43. Lips. Matth. §. 278.
ὅτι – αὐτὸς ἂν λαβεῖν] Duplex constructio ὅτι – αὐτὸς ἂν λάβοι et αὐτὸς ἂν λαβεῖν in unam coniuncta est, ut mox in his ὅτι – λαβεῖν ἄν et in iis, quae ad I. 6, 18. eiusdem generis excitantur. Cf. Rost. §. 122. not. 3.

§. 2. ὅσην – δύναμιν] quantas i. e. quam exiguas copias.
Προσεπέστειλε δὲ καὶ τοῖς αὐτοῦ οἰκέταις] Praeterea vero etiam per literas mandavit ministris suis, quos domi reliquerat in eodem, ut videtur, castello, quod hostibus proditurus erat.
§. 3. ὡς δυνατὸν ἦν τάχιστα] quam fieri poterat celerrime. Quum tamen praeter consuetudinem ἦν interpositum sit, haud satis scio an scriptor τάχιστα artius cum ἐπεὶ iunctum

σεν ἐφ' ἃ ἥκοι, ἀκούσας ἐκεῖνος τό τε χωρίον εὐθὺς παρέλαβε, καὶ πολλὴν ἵππον ἔχων καὶ ἅρματα ἐνήδρευεν
4 ἐν κώμαις ἀθρόαις. Ὁ δὲ Γαδάτας ὡς ἐγγὺς ἦν τούτων τῶν κωμῶν, πέμπει τινὰς προδιερευνησομένους. Ὁ δὲ Ἀσσύριος ὡς ἔγνω προσιόντας τοὺς διερευνητάς, φεύγειν κελεύει ἅρματα ἐξαναστάντα δύο ἢ τρία καὶ ἵππους ὀλίγους, ὡς δὴ φοβηθέντας καὶ ὀλίγους ὄντας. Οἱ δὲ προδιερευνηταὶ ὡς εἶδον ταῦτα, αὐτοί τε ἐδίωκον, καὶ τῷ Γαδάτᾳ κατέσειον· καὶ ὃς ἐξαπατηθεὶς διώκει ἀνὰ κράτος. Οἱ δὲ Ἀσσύριοι, ὡς ἐδόκει ἁλώσιμος εἶναι ὁ Γαδάτας, εὐθέως ἀνίστανται ἐκ τῆς ἐνέδρας.
5 Καὶ οἱ μὲν ἀμφὶ Γαδάταν ἰδόντες, ὥςπερ εἰκός, ἔφευγον· οἱ δ' αὖ, ὥςπερ εἰκός, ἐδίωκον. Καὶ ἐν τούτῳ ὁ ἐπιβουλεύων τῷ Γαδάτᾳ παίει αὐτόν, καὶ καιρίας μὲν πληγῆς ἁμαρτάνει, τύπτει δὲ αὐτὸν εἰς τὸν ὦμον, καὶ τιτρώσκει. Ποιήσας δὲ τοῦτο ἐξίσταται, ἕως σὺν τοῖς διώκουσιν ἐγένετο· ἐπεὶ δὲ ἐγνώσθη, ὡς ἦν ὁμοῦ

§. 4. *ἵππους ὀλίγους*] *ἵππους ὀλίγους ἤδη* effecit Dind. ex *ἵπ. ὀλίγους ηδε ως δη* in Pariss. repertis. Ipse malim *ἵππους ὀλίγους νὴ Δί.*

§. 5. *ἐξίσταται, ἕως σὺν τοῖς διώκουσιν ἐγένετο· ἐπεὶ δὲ ἐγνώσθη, ὡς ἦν ὁμοῦ δή, ἐν τοῖς Ἀσσυρίοις προθύμως ἐκτείνων τὸν ἵππον σὺν τῷ β.*] Quot diversitates lectionum de his verbis in lucem emissae sunt, tot virorum doctorum sententiae exstant: *ἐξίσταται, προθύμως ἐκτείνων τὸν ἵππον, ἕως σὺν τοῖς Ἀσσυρίοις* volucrit: simulatque ad Assyrium pervenit. Praeterea praesenti tempori *ἀφικνεῖται* subiicitur praeteritum *ἐδήλωσεν*, quod ne quem moretur, obstant not. ad II. 1, 19.

§. 4. *πέμπει τινὰς προδιερευνησομένους*] Non mirum speculatores a Gadata praemitti, ut qui iam pridem (c. 3, 26.) cognoverit Assyrios hostilia arma in terram suam illaturos esse.

ὡς δὴ φοβηθέντας καὶ ὀλίγους ὄντας] ut adeo viderentur esse in metu et pauci esse. Sic Zeunius, clarius Gabriel. quasi timore perterritos ac paucitate diffisos. Ὡς δὴ φοβηθέντας de fugam simulantibus aptissime dici nemo non intelligit, et ad verba *καὶ ὀλίγους ὄντας* quod attinet, Assyrius, quo melius falleret Gadatam, paucos illos milites eo consilio in fugam misit, ut Gadatas quoque perspiceret pauciores esse quam ut secum pugnare possent. Adde annot. ad Conviv. p. 185 sq.

§. 5. *οἱ δ' αὖ*] Assyrii, qui modo ex insidiis ad Gadatam persequendum prosilierant.

σὺν τοῖς διώκουσιν] *σὺν τοῖς Ἀσσυρίοις* doctores quidam veteres explicarunt.

ὡς ἦν ὁμοῦ δή] sc. ὁ Ἀσσύριος, quem Gadatae partes reli-

δή, ἐν τοῖς Ἀσσυρίοις προθύμως ἐκτείνων τὸν ἵππον
σὺν τῷ βασιλεῖ ἐδίωκεν.* Ἐνταῦθα δὴ ἡλίσκοντο μὲν 6
δηλονότι οἱ βραδυτάτους ἔχοντες τοὺς ἵππους ὑπὸ τῶν
ταχίστων· ἤδη δὲ μάλα πάντες πιεζόμενοι διὰ τὸ κατα-
τετρῦσθαι ὑπὸ τῆς πορείας οἱ τοῦ Γαδάτα ἱππεῖς καθο-
ρῶσι τὸν Κῦρον προσιόντα σὺν τῷ στρατεύματι· δοκεῖν
δὲ χρὴ ἀσμένως καὶ ἡδέως ὥςπερ εἰς λιμένα ἐκ χειμῶνος
προςφέρεσθαι αὐτούς. Ὁ δὲ Κῦρος τὸ μὲν πρῶτον 7
ἐθαύμασεν· ὡς δ' ἔγνω τὸ πρᾶγμα, ἔςτε μὲν πάντες ἐναν-
τίοι ἤλαυνον, ἐναντίος καὶ αὐτὸς ἐν τάξει ἦγε τὴν στρα-
τιάν· ὡς δὲ γνόντες οἱ πολέμιοι τὸ ὂν ἐτράπησαν εἰς φυ-
γήν, ἐνταῦθα δὴ ὁ Κῦρος διώκειν ἐκέλευσε τοὺς πρὸς
τοῦτο τεταγμένους, αὐτὸς δὲ σὺν τοῖς ἄλλοις εἵπετο,
ὡς ᾤετο συμφέρειν. Ἐνταῦθα δὴ καὶ ἅρματα ἡλίσκον- 8
το, ἔνια μὲν καὶ ἐκπιπτόντων τῶν ἡνιόχων, τῶν μὲν ἐν
τῇ ἀναστροφῇ, τῶν δὲ καὶ ἄλλως· ἔνια δὲ καὶ περιτε-
μνόμενα ὑπὸ τῶν ἱππέων ἡλίσκετο. Καὶ ἀποκτείνουσι

τοῖς διώκουσιν ἐγένετο· ἐπεὶ δὲ ἐγνώσθη, ὡς ἦν ὁμοῦ δή, σὺν Schn. ἐξίσταται, ἕως σὺν τοῖς διώκουσιν ἐγένετο· ἐπεὶ δὲ ἐγ. ὃς ἦν ὁμοῦ δὴ σὺν τοῖς Ἀσσυρίοις προθύμως ἐκτείνων τὸν ἵππον σὺν τῷ β. Pop. legunt. Equidem quod recepi, maximam partem nititur libris optimis, in iisque Vat. ubi est ἐπεὶ δ' ἐγνώσθη ὃς ἦν ὁμοῦ δ' ἦν ἐν τοῖς ἀσσυρίοις, προθύμως.

§. 7. ἔςτε μὲν πάντες] Revocavi, cum antea esset ἕως vel ὡς μὲν πάντες.

διώκειν ἐκέλευσε] codd. ἐκέλευσε διώκειν edd.

§. 8. ἅρματα ἡλίσκοντο] Pluralem quis credat temere in libros praestantissimos pervenisse? ἅρματα ἡλίσκετο edd. Vid. not. ad II. 2, 2.

cturum esse hostes non ignorabant. Paucis rem absolvit Zonaras: Ποιήσας δὲ τοῦτο πρὸς τὸν Ἀσσύριον παραχρῆμα ἀποχωρεῖ, καὶ ἐδίωκε σὺν αὐτῷ.

§. 6. ὑπὸ τῶν ταχίστων] accuratius dicendum erat ὑπὸ τῶν τοὺς ταχίστους ἐχόντων.

δοκεῖν δὲ χρὴ ἀσμένως καὶ ἡδέως — αὐτούς] credibile autem est lubenti hilarique animo eos ad Cyrum tanquam ex tempestate in portum ferri.

§. 7. ὡς δ' ἔγνω τὸ πρᾶγμα] Zonaras: Ὁ δὲ ὡς ἔγνω τὸ πρᾶγμα, ἐναντίος αὐτοῖς ἦγε τὴν στρατιάν. Καὶ οἱ πολέμιοι τοῦτον ἰδόντες ἐτράπησαν εἰς φυγήν, καὶ ὁ Κῦρος διώκειν ἐκέλευσεν.

τοὺς πρὸς τοῦτο τεταγμένους] Cap. 3, 58.

ὡς ᾤετο συμφέρειν] ut expedire putabat, nempe nunc tardiore, nunc velociore gradu procedens.

§. 8. ἐν τῇ ἀναστροφῇ] Flectendorum enim huiusmodi curruum nec aurigae satis erant pe-

δὲ ἄλλους τε πολλοὺς καὶ τὸν παίσαντα Γαδάταν.
9 Τῶν μέντοι πεζῶν Ἀσσυρίων, οἳ ἔτυχον τὸ Γαδάτα χωρίον πολιορκοῦντες, οἱ μὲν εἰς τὸ τεῖχος κατέφευγον τὸ ἀπὸ Γαδάτου ἀποστάν, οἱ δὲ φθάσαντες εἰς πόλιν τινὰ τοῦ Ἀσσυρίου μεγάλην· ἔνθα καὶ αὐτὸς σὺν τοῖς ἵπποις καὶ τοῖς ἅρμασι κατέφυγεν ὁ Ἀσσύριος.
10 Κῦρος μὲν δή, διαπραξάμενος ταῦτα, ἐπαναχωρεῖ εἰς τὴν Γαδάτου χώραν· καὶ προστάξας οἷς ἔδει ἀμφὶ τὰ αἰχμάλωτα ἔχειν, εὐθὺς ἐπορεύετο, ὡς ἐπισκέψαιτο τὸν Γαδάταν, πῶς ἔχοι ἐκ τοῦ τραύματος. Πορευομένῳ δ' αὐτῷ ὁ Γαδάτας ἐπιδεδεμένος ἤδη τὸ τραῦμα ἀπαντᾷ. Ἰδὼν δὲ αὐτὸν ὁ Κῦρος ἥσθη τε καὶ εἶπεν· Ἐγὼ δὲ
11 πρὸς σὲ ᾔα ἐπισκεψόμενος πῶς ἔχεις. Ἐγὼ δέ γ', ἔφη ὁ Γαδάτας, ναὶ μὰ τοὺς θεούς, σὲ ἐπαναθεασόμενος ᾔα, ὁποῖός τις φαίνῃ ἰδεῖν ὁ τοιαύτην ψυχὴν ἔχων· ὅστις οὔτ' οἶδ' ἔγωγε ὅτι νῦν ἐμοῦ δεόμενος, οὔτε μὴν ὑποσχόμενός γέ μοι ταῦτα πράξειν, οὔτε μὴν εὖ πεπονθὼς ὑπ' ἐμοῦ εἴς γε τὸ ἴδιον οὐδ' ὁτιοῦν, ἀλλ' ὅτι τοὺς φίλους ἔδοξά σοί τι ὀνῆσαι, οὕτω μοι προθύμως ἐβοή-

§. 9. *οἱ μὲν εἰς τὸ τεῖχος*] *οἱ πλεῖστοι αὐτῶν οἱ μὲν εἰς τὸ τ.* Iunt. et Alt. ut reponendum videatur *οἱ μὲν πλεῖστοι αὐτῶν εἰς τὸ τ.* Deinde *κατέφευγον* rectius codd. quam *κατέφυγον*.

riti et currus ipsi parum habiles et expediti.

§. 9. *οἱ δὲ φθάσαντες*] Repetendum iam Stephanus existimat *κατέφευγον*, quod commodius h. l. poterat abesse quam post *ἔνθα καὶ αὐτὸς κ. τ. λ.* Imperfectum illic de fuga dicitur adhuc perdurante, quo tempore Cyri copiae Assyrios persequebantur; *κατέφυγεν* de regis fuga feliciter transacta.

§. 10. *καὶ προστάξας οἷς ἔδει ἀμφὶ τὰ αἰχμάλωτα ἔχειν*] et postquam mandata dederat iis, quibus rerum captivarum cura committenda erat.

Ἐγὼ δὲ πρὸς σὲ ᾔα ἐπισκεψόμενος] Illud *δέ* ab initio membri illatum est quasi suppressa hac sententia: Non te volebam ad me adire, sed ego ad te ibam visurus. Olim edebatur *Ἐγὼ δὲ πρὸς σέ, ἔφη, ἐπισκεψόμενος πῶς ἔχεις ἐπορευόμην*, improbante Buttmanno §. 96. V. 8. p. 232. Cf. Matth. §. 219. 4. p. 417 sq. ed. sec.

§. 11. *ὁποῖός τις φαίνῃ ἰδεῖν*] qualis visu appareas. Platon. Phaedon. p. 84. C. *ὡς ἰδεῖν ἐφαίνετο*, ubi vid. Wyttenb. et Heind.

ὅστις οὔτ' οἶδ' ἔγωγε ὅτι νῦν ἐμοῦ δεόμενος] Verbum finitum patet esse *ἐβοήθησας*: qui nescio quid ope mea nunc indigens adiuvisti. Male alius construit *ὅστις, οὔτε δεόμενος ἐμοῦ τι, ὃ οἶδ' ἔγωγε.*

θήσας, ὡς νῦν τὸ μὲν ἐπ' ἐμοὶ οἴχομαι, τὸ δ' ἐπὶ σοὶ σέσωσμαι. Οὐ μὰ τοὺς θεούς, ὦ Κῦρε, εἰ ἦν οἷος 12
ἔφυν ἐξ ἀρχῆς, καὶ ἐπαιδοποιησάμην, οὐκ οἶδ' ἂν εἰ ἐκτησάμην παῖδά ποτε τοιοῦτον περὶ ἐμέ· ἐπεὶ ἄλλους τε οἶδα παῖδας, καὶ τοῦτον τὸν νῦν Ἀσσυρίων βασιλέα, πολὺ πλείω ἤδη τὸν αὑτοῦ πατέρα ἀνιάσαντα ἢ σὲ νῦν δύναται ἀνιᾶν. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπεν ὧδε· Ὦ 13
Γαδάτα, ἦ πολὺ μεῖζον παρεὶς θαῦμα ἐμὲ νῦν θαυμάζεις. Καὶ τί δὴ τοῦτ' ἐστίν; ἔφη ὁ Γαδάτας. Ὅτι τοσοῦτοι μέν, ἔφη, Περσῶν ἐσπούδασαν περί σε, τοσοῦτοι δὲ Μήδων, τοσοῦτοι δὲ Ὑρκανίων, πάντες δὲ οἱ παρόντες Ἀρμενίων καὶ Σακῶν καὶ Καδουσίων. Καὶ 14
ὁ Γαδάτας ἐπεύξατο, Ἀλλ' ὦ Ζεῦ, ἔφη, καὶ τούτοις πολλὰ ἀγαθὰ δοῖεν οἱ θεοί, καὶ πλεῖστα τῷ αἰτίῳ τοῦ καὶ τούτους τοιούτους εἶναι. Ὅπως μέντοι, οὓς ἐπαινεῖς, τούτους, ὦ Κῦρε, καὶ ξενίσωμεν καλῶς, δέχου τάδε ξένια, οἷα ἐγὼ δύναμαι. Ἅμα δὲ προςῆγε πάμπολλα,

§. 12. οὐκ οἶδ' ἂν εἰ ἐκτησάμην παῖδά ποτε] Sic libri meliores, οὐκ οἶδα, εἰ ἐκτησάμην παῖδά ποτ' ἂν edd. sed ποτέ temere excidit.

§. 14. τάδε ξένια] codd. omnes praeter Med., qui habet τάδε τὰ ξένια probatum a Iacobs. ad Achill. Tat. p. 728.

πάμπολλα] Libri commendant πάνυ πολλά.

ὡς νῦν τὸ μὲν ἐπ' ἐμοὶ οἴχομαι, τὸ δ' ἐπὶ σοὶ σέσωσμαι] ut nunc, quantum quidem in me est, perierim, sed tua opera servatus sim. Eurip. Orest. 1338. Pors. σώθηθ', ὅσον γε τοὐπ' ἐμ'.

§. 12. οὐκ οἶδ' ἂν εἰ ἐκτησάμην παῖδά ποτε] haud scio an nunquam filium consequutus essem. Eurip. Alcest. v. 48. οὐ γὰρ οἶδ' ἂν εἰ πείσαιμί σε, ad quae Hermann. » Constat hodie, inquit, aut debet certe constare, in hac formula, quae minime rara est, particulam ἂν cum sequente optativo coniungendam esse, οὐκ οἶδα εἰ πείσαιμ' ἄν σε. Ideoque non est post ἂν incidendum. Vide Elmsleium ad Med. 911. « annotat. ad Conviv. p. 103. Thiersch. gr. §. 334, 11. p. 641. Rost. §. 120. 5. c. α. et §. 121. not. 6.

§. 13. Καὶ τί δὴ τοῦτ' ἐστίν] Hoc loco augeri possunt laudata ad I. 3, 5.

§. 14. δέχου τάδε ξένια] i. e. δέχου τάδε (τὰ ξένια) ξένια. Soph. Oed. Col. 593. Herm. οὐ σμικρός, οὔκ, ἀγὼν ὅδε. Conf. Rost. §. 98. not. 8.

οἷα ἐγὼ δύναμαι] so gut ich sie vermag bene vertitur.

πάμπολλα] Intellige ξένια. Anab. VI. 2, 3. τοῖς Ἕλλησιν οἱ Ἡρακλεῶται ξένια πέμπουσιν, ἀλφίτων μεδίμνους τρισχιλίους,

ὥστε καὶ θύειν τὸν βουλόμενον, καὶ ξενίζεσθαι πᾶν το στράτευμα ἀξίως τῶν καλῶς πεποιημένων καὶ καλῶς συμβάντων.

Cadusii temere Babylona versus excurrunt, et amisso duce magnam contrahunt cladem.

15 Ὁ δὲ Καδούσιος ὠπισθοφυλάκει, καὶ οὐ μετέσχε τῆς διώξεως· βουλόμενος δὲ καὶ αὐτὸς λαμπρόν τι ποιῆσαι, οὔτε ἀνακοινωσάμενος οὔτε εἰπὼν οὐδὲν Κύρῳ, καταθεῖ τὴν πρὸς Βαβυλῶνα χώραν. Διεσπαρμένοις δὲ τοῖς ἵπποις αὐτοῦ ἀπιὼν ὁ Ἀσσύριος ἐκ τῆς ἑαυτοῦ πόλεως, οὗ δὴ κατέφυγε, συντυγχάνει μάλα
16 συντεταγμένον ἔχων τὸ ἑαυτοῦ στράτευμα. Ὡς δ' ἔγνω μόνους ὄντας τοὺς Καδουσίους, ἐπιτίθεται, καὶ τόν τε ἄρχοντα τῶν Καδουσίων ἀποκτείνει καὶ ἄλλους πολλούς· καὶ ἵππους δέ τινας λαμβάνει τῶν Καδουσίων, καὶ ἣν ἄγοντες λείαν ἐτύγχανον ἀφαιρεῖται. Καὶ ὁ μὲν Ἀσσύριος διώξας ἄχρις οὗ ἀσφαλὲς ᾤετο εἶναι, ἀπετράπετο· οἱ δὲ Καδούσιοι ἐσώζοντο πρὸς τὸ στρατόπεδον, ἀμφὶ
17 δείλην οἱ πρῶτοι. Κῦρος δὲ ὡς ᾔσθετο τὸ γεγονός, ἀπήντα τε τοῖς Καδουσίοις, καὶ ὅντινα ἴδοι τετρωμένον, ἀναλαμβάνων τοῦτον μὲν ὡς Γαδάταν ἔπεμπεν, ὅπως θεραπεύσοιτο· τοὺς δ' ἄλλους συγκατεσκήνου, καὶ ὅπως

§. 16. *καὶ ἵππους δέ*] *δέ* non potuit temere in libros aliquot invehi.

§. 17. *θεραπεύσοιτο*] *θεραπεύοιτο* edd.

καὶ οἴνου κεράμια δισχίλια, καὶ βοῦς εἴκοσι, καὶ οἶς ἑκατόν.

§. 15. *οὗ δὴ κατέφυγε*] i. e. *οἷ δὴ κατέφυγε καὶ οὗ ἦν*. Perperam enim Heindorf. ad Plat. Sophist. p. 428. negat hanc verbi structuram nisi in perfecto tempore reperiri, hic fortasse *οἷ* scribendum proponens. §. 9. *ἔνθα καὶ αὐτὸς – κατέφυγεν ὁ Ἀσσύριος.* Thucyd. III. 106. *ὡς ᾔσθοντο τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας.* Lobeck. ad Phryn. p. 43 sq. et cf. ad c. 1, 6.

§. 16. *οἱ δὲ Καδούσιοι – ἀμφὶ δείλην οἱ πρῶτοι*] Genus dicendi idem est, quod ad I. 1, 1. attigi.

§. 17. *ὅπως θεραπεύσοιτο*] ut eum sanandum curaret, Matthiae §. 492. c. p. 683., per medicos, quos scimus Cyrum in expeditione secum habuisse I. 6, 15. III. 2, 12. [nisi forte forma media posita est sensu passivo, ut saepissime. cf. gr. Gr. nostram §. 114. not. 1. V. C. F. R.]. Adde quod vulneratos sub tecto in Gadatae domibus curari voluit, incolumes secum commorari sub

τὰ ἐπιτήδεια ἕξουσι συνεπεμελεῖτο, παραλαμβάνων Περσῶν τῶν ὁμοτίμων συνεπιμελητάς· ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσι. Καὶ ἀνιώμενος μέντοι 18 ἰσχυρῶς δῆλος ἦν· ὡς καὶ τῶν ἄλλων δειπνούντων, ἡνίκα ὥρα ἦν, Κῦρος ἔτι σὺν τοῖς ὑπηρέταις καὶ τοῖς ἰατροῖς οὐδένα ἑκὼν ἀτημέλητον παρέλειπεν, ἀλλ' ἢ αὐτόπτης ἐφεώρα, ἤ, εἰ μὴ αὐτὸς ἐξανύτοι, πέμπων φανερὸς ἦν τοὺς θεραπεύσοντας.

Cyrus Cadusios humaniter monet et meliora edocet, simulque cum novo eorum duce hostes ulciscitur.

Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν· ἅμα δὲ τῇ ἡμέρᾳ 19 κηρύξας συνιέναι τῶν μὲν ἄλλων τοὺς ἄρχοντας, τοὺς δὲ Καδουσίους ἅπαντας, ἔλεξε τοιάδε·

Ἄνδρες ξύμμαχοι, ἀνθρώπινον τὸ γεγενημένον. Τὸ γὰρ ἁμαρτάνειν ἀνθρώπους ὄντας οὐδέν, οἶμαι, θαυμαστόν. Ἄξιοί γε μέντοι ἐσμὲν τοῦ γεγενημένου πράγματος τούτου ἀπολαῦσαί τι ἀγαθόν, τὸ μαθεῖν μήποτε διασπᾶν ἀπὸ τοῦ ὅλου δύναμιν ἀσθενεστέραν τῆς τῶν πολεμίων δυνάμεως. Καὶ οὐ τοῦτ', ἔφη, λέγω, ὡς 20 οὐ δεῖ ποτε καὶ ἐλάσσονι ἔτι μορίῳ ἰέναι, ὅπου ἂν δέῃ,

ἐπιπονεῖν ἐθέλουσι] καὶ ἄνειν non invitis codd. adiecit Zeun. i. e. καὶ ἀνύειν. Vid. Commentar. in Aristoph. Vol. VII. P. I. p. 572. Dind.

§. 19. τὸ γεγενημένον] πάθος postponunt libri deteriores.

tabernaculis in castris (συγκατεσκήνου).

συνεπεμελεῖτο] Qui rerum necessariarum curam habuerunt, dicebantur ὑπηρέται, praeter quos Cyrus ipse adiunctis sibi ex homotimis aliquot adiutoribus id egit, ut nemini Cadusiorum quidquam deesset.

§. 18. ἡνίκα ὥρα ἦν] Repete τοῦ δειπνεῖν.

§. 19. ἀνθρώπινον τὸ γεγενημένον] III. 1, 40. ἀνθρώπινά μοι δοκεῖς ἁμαρτεῖν. Cicer. Philipp. XII. 2. *Cuiusvis hominis est errare; nullius, nisi insipientis, in errore perseverare.* Plura collegit Iacobs ad Achill. Tat. p. 833.

Ἄξιοί γε μέντοι ἐσμὲν] Libro scripto duce explices Ἄξιόν γε μέντοι ἡμῖν. III. 1, 16. ὁπότε σοι πλείστου ἄξιοι εἶεν κεκτῆσθαι. Oecon. XXI. extrem. οὓς ἂν ἡγῶνται ἀξίους εἶναι βιοτεύειν. Matth. §. 296. p. 412. Sententiae causa iuvabit inspicere Anab. V. 1, 8. 4, 23 sqq.

§. 20. καὶ ἐλάσσονι ἔτι μορίῳ ἰέναι, ὅπου ἂν δέῃ] vel cum paucioribus militibus egredi, quandocunque opus sit, cf. not. ad c. 3, 35.

ἢ νῦν ὁ Καδούσιος ᾤχετο· ἀλλ' ἐάν τις κοινούμενος ὁρμᾶται τῷ ἱκανῷ βοηθῆσαι, ἔστι μὲν ἀπατηθῆναι, ἔστι δὲ τῷ ὑπομένοντι, ἐξαπατήσαντι τοὺς πολεμίους, ἄλλοσε τρέψαι ἀπὸ τῶν ἐξεληλυθότων· ἔστι δέ, ἄλλα παρέχοντα πράγματα τοῖς πολεμίοις, τοῖς φίλοις ἀσφάλειαν παρέχειν. Καὶ οὕτω μὲν οὐδ' ὁ χωρὶς ὢν ἀπέσται, ἀλλ' ἐξαρτήσεται τῆς ἰσχύος· ὁ δὲ ἀπεληλυθὼς μὴ ἀνακοινωσάμενος, ὅπου ἂν ᾖ, οὐδέν τι διάφορον πάσχει,
21 ἢ εἰ μόνος ἐστρατεύετο. Ἀλλ' ἀντὶ μὲν τούτου, ἔφη, ἐὰν θεὸς θέλῃ, ἀμυνούμεθα τοὺς πολεμίους οὐκ εἰς μακράν. Ἀλλ' ἐπειδὰν τάχιστα ἀριστήσητε, ἄξω ὑμᾶς, ἔνθα τὸ πρᾶγμα ἐγένετο· καὶ ἅμα μὲν θάψομεν τοὺς τελευτήσαντας, ἅμα δὲ δείξομεν τοῖς πολεμίοις, ἔνθα κρατῆσαι νομίζουσιν, ἐνταῦθα ἄλλους αὐτῶν κρείττους, ἐὰν θεὸς θέλῃ· καὶ ὅπως γε μηδὲ τὸ χωρίον ἡδέως ὁρῶσιν, ἔνθα ἀπέκτειναν ἡμῶν τοὺς συμμάχους· ἐὰν δὲ μὴ

§. 20. κοινούμενος] Praeferunt codd. coniecturae κοινωσάμενος.
§. 21. ἀπέκτειναν] libri deteriores κατέκαινον, mutandum in κατέκανον. Mox coniunctivi καύσωμεν — δηώσωμεν minus quam futura fortes forent.

ὅπου autem constat temporis simul et loci notionem complecti.

ἐάν τις κοινούμενος ὁρμᾶται τῷ ἱκανῷ βοηθ.] si quis consilium suum cum eo communicet, qui ad auxilium ferendum idoneus est, et iter propositum instituat. I. 6, 6. οὐδὲ μὴ σπείροντάς γε σῖτον εὔχεσθαι καλὸν αὐτοῖς φύεσθαι rectius haberet aoristus σπείραντας, ut πέμψας III. 1, 1. ὅτι ἀδικοίη καὶ τὸν δασμὸν λιπών, καὶ τὸ στράτευμα οὐ πέμπων. Cf. infra §. 32.

ἄλλοσε τρέψαι] sc. αὐτούς. Praestat tamen inciso deleto τοὺς πολεμίους etiam ad verbum finitum trahere. Paullo post adverte accusativum participii παρέχοντα dativis τῷ ὑπομένοντι, ἐξαπατήσαντι, postpositum: quo de genere dicendi vid. ad II. 1, 15. III. 3, 14.

§. 21. κρείττους] sc. ὄντας, quod participium deerat etiam III. 3, 67.

καὶ ὅπως γε μηδὲ τὸ χωρίον ἡδέως ὁρῶσιν] Plerique interpretes totum hoc membrum ad δείξομεν — ἄλλους αὐτῶν κρείττους referri aeque existimant, atque ἵνα μὴ — ἀνιῶνται ad δηώσομεν τὴν χώραν, recte sine dubio, modo ne καί ut aliunde invectum cancellis inclusissent. Fallor enim aut nemini tantam illa vocula molestiam creasset, si Xenophonti scribere placuisset: καὶ δείξομέν γε ὅπως μηδὲ — ὁρῶσιν i. e. quin ostendemus hostibus, faciemus, ut hostes ne locum quidem laeto animo adspiciant, in

ἀντεπεξίωσι, καύσομεν αὐτῶν τὰς κώμας, καὶ δῃώσομεν τὴν χώραν· ἵνα μὴ ἃ ἡμᾶς ἐποίησαν ὁρῶντες εὐφραίνωνται, ἀλλὰ τὰ ἑαυτῶν κακὰ θεώμενοι ἀνιῶνται.
Οἱ μὲν οὖν ἄλλοι, ἔφη, ἀριστᾶτε ἰόντες· ὑμεῖς δέ, ὦ 22
Καδούσιοι, πρῶτον μὲν ἀπελθόντες ἄρχοντα ὑμῶν αὐτῶν ἕλεσθε, ᾗπερ ὑμῖν νόμος, ὅςτις ὑμῶν ἐπιμελήσεται σὺν τοῖς θεοῖς καὶ σὺν ἡμῖν, ἄν τι προςδέησθε· ἐπειδὰν δὲ ἕλησθε καὶ ἀριστήσητε, πέμψατε πρός με τὸν αἱρεθέντα. Οἱ μὲν δὴ ταῦτα ἔπραξαν· ὁ δὲ Κῦρος ἐπεὶ ἐξήγαγε 23
τὸ στράτευμα, κατέστησεν εἰς τάξιν τὸν ᾑρημένον ὑπὸ τῶν Καδουσίων, καὶ ἐκέλευσε πλησίον αὐτοῦ ἄγειν τὴν τάξιν, ὅπως, ἔφη, ἂν δυνώμεθα, ἀναθαῤῥύνωμεν τοὺς ἄνδρας. Οὕτω δὴ ἐπορεύοντο· καὶ ἐλθόντες ἔθαπτον μὲν τοὺς Καδουσίους, ἐδῄουν δὲ τὴν χώραν. Ποιήσαντες δὲ ταῦτα, ἀπῆλθον τὰ ἐπιτήδεια ἐκ τῆς πολεμίας ἔχοντες πάλιν εἰς τὴν Γαδάτα.

Pactum conventum de parcendo agricolis.

Ἐννοήσας δὲ, ὅτι οἱ πρὸς αὐτὸν ἀφεστηκότες, ὄντες 24
πλησίον Βαβυλῶνος, κακῶς πείσονται, ἂν μὴ αὐτὸς

quo nostros socios trucidarunt. Commotus Cyri animus ab instituto orationis cursu paullulum deflexit, quod idem accidit Demostheni Philipp. I. p. 45. v. 21. *ξένους μὲν λέγω, καὶ ὅπως μὴ ποιήσητε τοῦθ' ὃ πολλάκις ὑμᾶς ἔβλαψεν.* De reb. Cherson. p. 99. v. 14. *οὐ μὴν ἀλλὰ καὶ καθ' ἕκαστον ἀκριβῶς ἐρῶ· καὶ ὅπως, ὥςπερ ἐρωτῶσι προθύμως, οὕτω καὶ ποιεῖν ἐθελήσωσιν* vel *ἐθελήσουσιν.* De male gest. legat. p. 355. v. 16. *Ταχέως δ' ὑμῶν τῷ μηδὲ προςδοκᾶν σχόντων, καὶ ὅπως γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην, ἄν τι τούτων γίγνηται, τούτους ἐπαινέσεσθε καὶ τιμήσετε καὶ στεφανώσετε, ἐμὲ δὲ μή.* Diversum colorem prae se ferunt verba Cyrop. III. 3, 42.

§. 22. *ὑμῶν αὐτῶν*] Non sollicitem *αὐτῶν* a Vat. omissum; quippe eius pronominis perexiguam vim esse neminem fugit. Anab. VI. 6, 5. *κελεύουσι διασώσαντα τὰ πρόβατα τὰ μὲν αὐτὸν λαβεῖν, τὰ δὲ σφίσιν αὐτοῖς ἀποδοῦναι.* Vid. infra §. 34. c. 5, 13. VI. 3, 21. Huc pertinent etiam dicta ad III. 1, 9. Non defuit tamen qui *ὑμῶν αὐτοὶ ἕλεσθε* emendandum proponeret.

§. 23. *κατέστησεν εἰς τάξιν*] centuriae suae praefecit. *ὅπως, ἔφη, — ἀναθαῤῥύνωμεν τοὺς ἄνδρας*] Hoc simulavit Cyrus, revera id spectavit, ut novum ducem cum Cadusiis legitimae disciplinae vinculis adsuefaceret.

τὰ ἐπιτήδεια ἐκ τῆς πολεμίας ἔχοντες] Schneidero monente verba haec curam demonstrant,

ἀεὶ παρῇ, οὕτως, ὅσους τε τῶν πολεμίων ἀφίει, τού-
τους ἐκέλευε λέγειν τῷ Ἀσσυρίῳ, καὶ αὐτὸς κήρυκα
ἔπεμψε πρὸς αὐτὸν, ταῦτα λέγοντα, ὅτι ἕτοιμος εἴη τοὺς
ἐργαζομένους τὴν γῆν ἐᾶν καὶ μὴ ἀδικεῖν, εἰ καὶ ἐκεῖνος
βούλοιτο ἐᾶν ἐργάζεσθαι τοὺς τῶν πρὸς αὐτὸν ἀφεστη-
25 κότων ἐργάτας. Καίτοι, ἔφη, σὺ μέν, ἂν καὶ δύνῃ
κωλύειν, ὀλίγους τινὰς κωλύσεις· ὀλίγη γάρ ἐστι χώρα
ἡ τῶν πρὸς ἐμὲ ἀφεστηκότων· ἐγὼ δὲ πολλὴν ἄν σοι
χώραν ἐῴην ἐνεργὸν εἶναι. Εἰς δὲ τὴν τοῦ καρποῦ κο-
μιδήν, ἐὰν μὲν πόλεμος ᾖ, ὁ ἐπικρατῶν, οἶμαι, καρ-
πώσεται· ἐὰν δὲ εἰρήνη, δῆλον, ἔφη, ὅτι σύ. Ἐὰν
μέντοι τις ἢ τῶν ἐμῶν ὅπλα ἀνταίρηται σοί, ἢ τῶν σῶν
ἐμοί, τούτους, ἔφη, ὡς ἂν δυνώμεθα, ἑκάτεροι ἀμυ-
26 νούμεθα. Ταῦτα ἐπιστείλας τῷ κήρυκι ἀπέπεμψεν αὐ-
τόν. Οἱ δὲ Ἀσσύριοι ὡς ἤκουσαν ταῦτα, πάντα ἐποί-
ουν πείθοντες τὸν βασιλέα συγχωρῆσαι ταῦτα, καὶ ὅτι
27 σμικρότατον τοῦ πολέμου λιπεῖν. Καὶ ὁ Ἀσσύριος μέν-
τοι, εἴτε καὶ ὑπὸ τῶν ὁμοφύλων πεισθείς, εἴτε καὶ αὐ-

§. 24. *ἀφίει, τούτους*] Fluctuant libri inter *ἀφίῃ*, *ἀφήει* et *ἠφίει*, unde alii *ἀφίοι*, alii *ἀφείη*. Praestat *ἀφίει*, quo Xen. utitur VIII. 3, 33. Hellen. VI. 2, 28. Proximum *καί* ante *τούτους* vulgo positum quum ob antecedens *ὅσους τε* stare nequeat, iure omiserunt tres codd.

§. 25. *εἰρήνη*] *γένηται* supplent deteriores.

§. 26. *ταῦτα, πάντα ἐποίουν πείθοντες*] *πάντα ταῦτα ἐπέπειθόν τε τὸν β.* Vat. corrupte.

qua Gadatae agros integros atque illaesos servare studuerit Cyrus.

§. 24. *οὕτως*] Respicit ad participium *ἐννοήσας* eodem usu, quo positum dixi ad I. 6, 5. II. 1, 1. quibus accedat Bremi ad Lys. p. 105.

τὴν γῆν ἐᾶν] sc. *ἐργάζεσθαι.*

§. 25. *Εἰς δὲ τὴν τοῦ καρποῦ κομιδήν*] Quod autem ad fructuum perceptionem attinet. Gabr. Oecon. II. 4. *εἰς δὲ τὸ σὸν σχῆμα – καὶ τὴν σὴν δόξαν – οὐδ᾽ ὡς ἂν ἱκανά μοι δοκεῖ εἶναί σοι.* Cyrop. I. 3, 1. VIII. 8, 6. Wyttenbach. Iulian. p. 170 sq. Lips.

τούτους, ἔφη] Alibi *εἴ τις* praegredi novimus, ut I. 6, 11. III. 1, 27.

§. 26. *πάντα ἐποίουν πείθοντες*] Loquendi formulam *πάντα ποιεῖν* subsequitur fere coniunctionum *ὥστε*, *ὡς*, *ὅπως*, aliqua, teste Heindorf. ad Platon. Phaedon. p. 249 sq. sed Platonis sunt etiam verba Euthyphr. p. 54. Stallb. *ἀδικοῦντες γὰρ πάμπολλα, πάντα ποιοῦσι καὶ λέγουσι φεύγοντες τὴν δίκην.*

§. 27. *Καὶ ὁ Ἀσσύριος μέντοι*] Particularum causa illustrandarum hoc loco usus sum ad II. 2, 8.

τὸς βουληθείς, συνήνεσε ταῦτα· καὶ ἐγένοντο συνθῆκαι τοῖς μὲν ἐργαζομένοις εἰρήνην εἶναι, τοῖς δὲ ὁπλοφόροις πόλεμον. Ταῦτα μὲν δὴ διεπέπρα- 28
κτο περὶ τῶν ἐργατῶν ὁ Κῦρος· τὰς μέντοι νομὰς τῶν κτηνῶν τοὺς μὲν ἑαυτοῦ φίλους ἐκέλευσε καταθέσθαι, εἰ βούλοιντο, ἐν τῇ ἑαυτῶν ἐπικρατείᾳ· τὴν μέντοι τῶν πολεμίων λείαν ἦγον, ὁπόθεν δύναιντο, ὅπως εἴη ἡ στρατεία ἡδίων τοῖς συμμάχοις. Οἱ μὲν γὰρ κίνδυνοι οἱ αὐτοὶ καὶ ἄνευ τοῦ λαμβάνειν τὰ ἐπιτήδεια, ἡ δὲ ἐκ τῶν πολεμίων τροφὴ κουφοτέραν τὴν στρατείαν ἐδόκει παρέχειν.

Gadatas, relicto domi praesidio, cum exercitu Cyri proficiscitur.

Ἐπεὶ δὲ παρεσκευάζετο ἤδη ὁ Κῦρος ὡς ἀπιών, 29
παρῆν ὁ Γαδάτας, ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγε πολλοὺς ἀφελόμενος τῶν ἑαυτοῦ ἱππέων, οἷς ἠπι-

§. 28. *τὰς μέντοι νομὰς τῶν κτηνῶν – ἡδίων τοῖς συμμάχοις*] Recte locum percepit Gabr. monuit socios (Hyrcanos, Sacas, Cadusios), ut pecudum pascua, si vellent, in suo ipsorum imperio constituerent: praedam autem ab hostili terra undecunque poterant deportabant, quo bellum sociis minus grave esset. Prius illud praeceptum, ut videlicet greges pecorum pascentes (sic enim malim intelligas) ex hostili terra socii in sua quisque regione collocent, non aliorsum spectare manifestum est, quam ut ne amicorum armenta hostium in manus venirent, neve horum praeda fierent. Nomen *λεία* quum de pecorum praeda potissimum dicatur, cur articulum *τήν* praepositum habeat, nemini potest obscurum esse. Unum illud additamentum *εἰ βούλοιντο*, si cui otiosum esse videatur, praeclare Cyri ostendit fiduciam statuentis, etiamsi in hostium terra socii greges suos pascere sinerent, tamen se tutos eos ab hostium rapina praestare posse.

ἦγον] *ἄγειν* maluerunt alii, ut ab *ἐκέλευσε* penderet. At imperfectum illud tantum abest ut loco suo moveam, ut hac structurae variandae ratione nihil Graecae linguae magis accommodatum sit. Cf. not. ad III. 3, 9.

κίνδυνοι] *εἰσίν* deesse non erat cur Schneiderus negaret. Commeatus curam prae ceteris Cambyses filio iniunxerat I. 6, 10 sq.

§. 29. *φέρων καὶ ἄγων*] Vid. not. ad III. 3, 2.

ὡς ἂν ἐξ οἴκου μεγάλου] Supple *τὶς ἄγοι καὶ φέροι*. Thucyd. VI. 57. *καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς, ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον καὶ ἀποκτείνουσιν αὐτόν.* Ibid. I. 33. *ἔπειτα περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι ὡς ἂν μάλιστα μετὰ ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθεῖσθε.* Mem. III. 6, 4. ὁ

30 στήκει διὰ τὴν ἐπιβουλήν. Ὡς δ' ἐπλησίασεν, ἔλεξε τοι-
άδε· Ὦ Κῦρε, νῦν μέν σοι ἐγὼ ταῦτα δίδωμι ἐν τῷ
παρόντι, καὶ χρῶ αὐτοῖς, ἐὰν δέῃ τι· νόμιζε δ', ἔφη,
καὶ τἄλλα πάντα τἀμὰ σὰ εἶναι. Οὔτε γάρ ἔστιν,
οὔτ' ἔσται ποτὲ ὅτῳ ἐγὼ ἀπ' ἐμοῦ φύντι καταλείψω
τὸν ἐμὸν οἶκον· ἀλλ' ἀνάγκη, ἔφη, σὺν ἐμοὶ τελευ-
31 τῶντι πᾶν ἀποσβῆναι τὸ ἡμέτερον γένος καὶ ὄνομα. Καὶ
ταῦτα, ἔφη, ὦ Κῦρε, ὄμνυμί σοι τοὺς θεούς, οἳ καὶ
ὁρῶσι πάντα καὶ ἀκούουσι πάντα, οὔτε ἄδικον οὔτε αἰ-
σχρὸν οὐδὲν οὔτ' εἰπὼν οὔτε ποιήσας ἔπαθον. Καὶ ἅμα
ταῦτα λέγων κατεδάκρυσε τὴν ἑαυτοῦ τύχην, καὶ οὐκέτι
ἠδυνήθη πλείω εἰπεῖν.
32 Καὶ ὁ Κῦρος ἀκούσας, τοῦ μὲν πάθους ᾤκτειρεν
αὐτόν, ἔλεξε δὲ ὧδε· Ἀλλὰ τοὺς μὲν ἵππους δέχομαι,
ἔφη· σέ τε γὰρ ὠφελήσω εὐνουστέροις δοὺς αὐτοὺς ἢ
οἳ νῦν σοι εἶχον, ὡς ἔοικεν· ἐγώ τε, οὗ δὴ πάλαι ἐπε-
θύμουν, τὸ τῶν Περσῶν ἱππικὸν θᾶττον ἐκπληρώσω
εἰς τοὺς μυρίους ἱππέας· τὰ δὲ ἄλλα χρήματα σὺ ἀπα-

§. 30. *μέν σοι ἐγὼ ταῦτα δίδωμι ἐν τῷ παρόντι, καὶ χρῶ*] Sic etiam Vat. *μέν σοι ἐγὼ ἄγω ταῦτα, ἵνα ἐν τῷ παρ. χρῇ* edd. vett. Paullo post *τἀμά* pro *τὰ ἐμά* itidem optimi.

Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν, ὁπόθεν ἄρχοιτο. Ex eodem sunt genere quae I. 3, 8. notanda erant.

§. 30. *νῦν μὲν — ἐν τῷ παρόντι*] Verbosam hanc dictionem tetigi ad II. 4, 12.

ἀποσβῆναι] exstingui docentibus Matth. §. 250. p. 487 sq. ed. sec. et Buttmann. gr. max. II. p. 6. 227.

§. 31. *τοὺς θεούς, οἳ καὶ ὁρῶσι πάντα καὶ ἀκούουσι πάντα*] Odyss. XI. 109. *Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει,* quae verba iterantur Iliad. III. 277. De divino numine Xenophon Memor. I. 4, 18. *ὥςθ' ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν.* Conviv. IV. 48. *Οὗτοι τοίνυν οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμενοι θεοί.* Cyrop. VIII. 7, 22. Iniuria igitur alterum *πάντα* Bothius delevit.

κατεδάκρυσε τὴν ἑαυτοῦ τύχην] Nam liberos habere superstites quum apud alios populos, tum apud orientales in magna felicitatis parte ponebatur. De Persis vid. Brisson. p. 194. 492.

§. 32. *εὐνουστέροις δοὺς αὐτοὺς ἢ οἳ νῦν σοι εἶχον, ὡς ἔοικεν*] postquam equos viris dedi, qui magis sunt benevoli quam ii, ut videtur, fuerunt, qui nunc tibi eos habebant. Etenim dux equitum Gadatam hostibus proditurus erat c. 4. §. 1. §. 29. Dativus *σοί* est familiaris, quem vocant, ut II. 2, 28. I. 3, 4.

γαγὼν φύλαττε, ἔφη, ἔςτ' ἂν ἐμὲ ἴδῃς ἔχοντα, ὥςτε σοῦ μὴ ἡττᾶσθαι ἀντιδωρούμενον· εἰ δὲ πλείω μοι διδοὺς ἀπίοις ἢ λαμβάνοις παρ' ἐμοῦ, μὰ τοὺς θεοὺς οὐκ οἶδα, πῶς ἂν δυναίμην μὴ αἰσχύνεσθαι. Πρὸς ταῦτα ὁ Γα- 33
δάτας εἶπεν, Ἀλλὰ ταῦτα μέν, ἔφη, πιστεύω σοι· ὁρῶ γάρ σου τὸν τρόπον· φυλάττειν μέντοι ὅρα εἰ ἐπιτήδειός
εἰμι. Ἕως μὲν γὰρ φίλοι ἦμεν τῷ Ἀσσυρίῳ, καλλίστη 34
δὴ ἐδόκει εἶναι ἡ τοῦ ἐμοῦ πατρὸς κτῆσις· τῆς γὰρ μεγίστης πόλεως, Βαβυλῶνος, ἐγγὺς οὖσα, ὅσα μὲν ὠφελεῖσθαι ἔστιν ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπελαύομεν· ὅσα δὲ ἐνοχλεῖσθαι, οἴκαδε δεῦρο ἀπιόντες τούτων ἐκποδὼν ἦμεν· νῦν δ' ἐπεὶ ἐχθροί ἐσμεν, δῆλον, ὅτι, ἐπειδὰν σὺ ἀπέλθῃς, καὶ αὐτοὶ ἐπιβουλευσόμεθα, καὶ ὁ οἶκος ὅλος· καί, οἶμαι, λυπηρῶς βιωσόμεθα ὅλως, τοὺς ἐχθροὺς καὶ πλησίον ἔχοντες, καὶ κρείττους ἡμῶν αὐτῶν
ὁρῶντες. Τάχ' οὖν εἴποι τις ἄν· Καὶ τί δῆτα οὐχ οὕ- 35
τως ἐνενοοῦ, πρὶν ἀποστῆναι; Ὅτι, ὦ Κῦρε, ἡ ψυχή μου διὰ τὸ ὑβρίσθαι καὶ ὀργίζεσθαι οὐ τὸ ἀσφαλέστατον σκοποῦσα διῆγεν, ἀλλ' ἀεὶ τοῦτο κυοῦσα, ἆρά

§. 32. οἶδα, πῶς] optimi libri pro οἶδ' ὅπως.
§. 34. ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπ.] M. V. ταύτης pro ταῦτα, male, quoniam scribendum fuisset ἀπὸ τῆς μεγάλης πόλεως ταύτης, ταῦτα ἀπ.
§. 35. τί δῆτα οὐχ οὕτως ἐνενοοῦ] τί δὴ ταῦτα οὐκ ἐνενόουν retinuit Schn. emendato ἐνενοοῦ.

ὥςτε σοῦ μὴ ἡττᾶσθαι ἀντιδωρούμενον] tantum, ut ne a te vincar muneribus vicissim dandis.

διδοὺς ἀπίοις] i. e. διδοίης καὶ ἀπίοις vel ἀπιὼν διδοίης. Cf. ad §. 20.

§. 33. πιστεύω σοι] credo tibi, minime fidei tuae committo. Extrema haec φυλάττειν – εἰμι construe ὅρα μέντοι, εἰ ἐπιτήδειός εἰμι φυλάττειν sc. τὰ χρήματα.

§. 34. ἐγγὺς οὖσα] sc. ἡ τοῦ ἐμοῦ πατρὸς κτῆσις. Nominativus est absolutus e structurae mutatione explicandus, de qua vid. ad III. 2, 28. IV. 5, 37.

ταῦτα ἀπελαύομεν] sc. αὐτῆς vel παρ' αὐτῆς. Matth. §. 361. p. 487. Rost. §. 108. not. 8.

οἴκαδε δεῦρο] I. 3, 15. εἰς Μήδους ἐνθάδε. III. 2, 29. οἴκοθεν ἐκ Περσῶν, ad quae vid. not.

ἐπιβουλευσόμεθα] passive pro ἐπιβουλευθησόμεθα. Sic infra VI. 1, 10. φρουρίων ὡς ἐπιβουλευσομένων, et in annot. ad II. 1, 23. IV. 2, 32.

§. 35. ἀεὶ τοῦτο κυοῦσα] Ex abundanti repete διῆγεν. Romani quoque metaphorice: semper hoc parturiebam, meditabar. Arcadius De Accent. p. 165. 14. κυῶ Ἀττικὸν ἐκ τοῦ

ποτ' ἔσται ἀποτίσασθαι τὸν καὶ θεοῖς ἐχθρὸν καὶ ἀνθρώποις, ὃς διατελεῖ μισῶν, οὐκ ἤν τίς τι αὐτὸν ἀδικῇ,
36 ἀλλ' ἐάν τινα ὑποπτεύσῃ βελτίονα ἑαυτοῦ εἶναι. Τοιγαροῦν, οἶμαι, αὐτὸς πονηρὸς ὢν πᾶσι πονηροτέροις ἑαυτοῦ ξυμμάχοις χρήσεται. Ἐὰν δέ τις ἄρα καὶ βελτίων αὐτοῦ φανῇ, θάῤῥει, ἔφη, ὦ Κῦρε, οὐδέν σε δεήσει τῷ ἀγαθῷ ἀνδρὶ μάχεσθαι, ἀλλ' ἐκεῖνος τούτῳ ἀρκέσει μηχανώμενος, ἕως ἂν ἕλῃ τὸν ἑαυτοῦ βελτίονα. Τοῦ μέντοι ἐμὲ ἀνιᾶν καὶ σὺν πονηροῖς ῥᾳδίως, οἶμαι, κρείττων ἔσται.

37 Ἀκούσαντι ταῦτα τῷ Κύρῳ ἔδοξεν ἄξια ἐπιμελείας λέγειν· καὶ εὐθὺς εἶπε, Τί οὖν, ἔφη, ὦ Γαδάτα, οὐχὶ τὰ μὲν τείχη φυλακῇ ἐχυρὰ ἐποιήσαμεν, ὅπως ἄν σοι σῶα ᾖ χρῆσθαι ἀσφαλῶς, ὁπόταν εἰς αὐτὰ ἴῃς; αὐτὸς δὲ σὺν ἡμῖν στρατεύῃ, ἵνα, ἢν οἱ θεοί, ὥςπερ νῦν, σὺν ἡμῖν ὦσιν, οὗτος σὲ φοβῆται, ἀλλὰ μὴ σὺ τοῦτον; Ὅ τι δὲ ἡδύ σοι ὁρᾶν τῶν σῶν, ἢ ὅτῳ συνὼν χαίρεις,

ἀδικῇ] boni libri ad unum omnes pro ἀδικήσῃ, quod est explicantis ea, quae in vulgus minus nota essent, a nobis observata ad II. 4, 8.

§. 36. τούτῳ ἀρκέσει μηχανώμενος] ἀρκέσει τοῦτο μηχ. vulgabatur olim.

κύω. Platonicis eundem accentum vindicant Heindorf. ad Theaet. p. 311. et Buttmann. gr. max. II. p. 177.

§. 36. πᾶσι πονηροτέροις] quibusvis peioribus, ubi nostrates dicunt lauter schlechtere.

θάῤῥει] Similiter interponitur apud Platon. Protag. §. 6. ὥςτε, θάῤῥει, καταληψόμεθα αὐτόν, ὡς τὸ εἰκός, ἔνδον, ubi Heindorf. etiam ad Cyr. VII. 3, 12. provocat.

ἐκεῖνος τούτῳ ἀρκέσει μηχανώμενος, ἕως ἂν ἕλῃ τὸν ἑαυτοῦ βελτίονα] Vulgarius dixisset ἐκεῖνος τούτῳ ἀρκέσει μηχανώμενος τὸν θάνατον, cuius locum substantivi explent verba ἕως ἂν ἕλῃ, donec circumveniat. Cf. ad I. 6, 40. Vertam: illum satis erit huic bono viro insidias struere. Quemadmodum ad ποιεῖν nonnunquam τὶ deesse videas, cf. 3, 2., ita μηχανᾶσθαι sine hoc pronomine et πάντα eo dici potuit cum minore molestia, quo tolerabiliorem hunc defectum faciunt sequentia.

Τοῦ μέντοι ἐμὲ ἀνιᾶν] De rep. Laced. VIII. 3. Ὅσῳ γὰρ μείζω δύναμιν ἔχει ἡ ἀρχή, τοσούτῳ μᾶλλον ἡγήσαντο αὐτὴν καὶ καταπλήξειν τοὺς πολίτας τοῦ ὑπακούειν. Matth. §. 539. n. 2.

§. 37. Τί οὖν – οὐχὶ – ἐποιήσαμεν] Frequentissimam loquendi rationem tractavi ad II. 1, 4.

αὐτὸς δὲ σὺν ἡμῖν στρατεύῃ] Ante haec cogitatione repetenda τί οὖν οὐχί.

ὥςπερ νῦν] Bis poni oportuit σὺν ἡμῖν εἶσιν.

ἔχων σὺν ἑαυτῷ πορεύου. Καὶ σύ τ' ἂν ἐμοί, ὥς γε
ἐγὼ δοκῶ, πάνυ χρήσιμος εἴης, ἐγώ τε σοί, ὅσα ἂν
δύνωμαι, πειράσομαι. Ἀκούσας ταῦτα ὁ Γαδάτας ἀνέ- 38
πνευσέ τε καὶ εἶπεν, Ἆρ' οὖν, ἔφη, δυναίμην ἂν συ-
σκευασάμενος φθάσαι, πρίν σε ἐξιέναι; Βούλομαι γάρ
τοι, ἔφη, καὶ τὴν μητέρα ἄγειν μετ' ἐμαυτοῦ. Ναὶ μὰ
Δί', ἔφη, φθάσεις μέντοι· ἐγὼ γὰρ ἐπισχήσω, ἕως ἂν
φῇς καλῶς ἔχειν. Οὕτω δὴ ὁ Γαδάτας ἀπελθὼν φύλαξι 39
μὲν τὰ τείχη σὺν Κύρῳ ὠχυρώσατο, συνεσκευάσατο δὲ
πάντα, ὁπόσοις ἂν οἶκος μέγας καλῶς οἰκοῖτο. Ἤγετο
δὲ καὶ τῶν ἑαυτοῦ τῶν τε πιστῶν, οἷς ἥδετο, καὶ ὧν
ἠπίστει πολλούς, ἀναγκάσας τοὺς μὲν καὶ γυναῖκας
ἄγειν, τοὺς δὲ καὶ ἀδελφούς, ὡς δεδεμένους τούτοις
κατέχοι αὐτούς. Καὶ τὸν μὲν Γαδάταν εὐθὺς ὁ Κῦρος 40
ἐν τοῖς περὶ αὐτὸν ᾔει ἔχων καὶ ὁδῶν φραστῆρα καὶ ὑδά-
των καὶ χιλοῦ καὶ σίτου, ὡς εἴη ἐν τοῖς ἀφθονωτάτοις
στρατοπεδεύεσθαι.

Cyrus exponit, cur in itinere non prope Babylona, sed aliquo spatio remotus, praeterire velit.

Ἐπεὶ δὲ πορευόμενος καθεώρα τὴν τῶν Βαβυλω- 41
νίων πόλιν, καὶ ἔδοξεν αὐτῷ ἡ ὁδός, ἣν ᾔει, παρ' αὐ-

§. 37. *ὥς γε ἐγὼ δοκῶ*] *ὥς γέ μοι δοκῶ* deteriores libri, sed *ὥς γ' ἐμοί* omisso *δοκῶ* ex Vat. probo. Vid. Matth. §. 389. p. 522.
§. 39. *φύλαξι μὲν τὰ τείχη σὺν Κύρῳ ὠχυρ.*] *ἐφύλαξε μὲν τὰ τείχη σὺν Κύρῳ, ἃ ὠχυρ.* edd. vett.
§. 40. *ὡς εἴη ἐν τοῖς ἀφθονωτάτοις στρατοπεδεύεσθαι*] *ὡς ἀεὶ ἐν τοῖς ἀφ. στρατεύοιτο* alii, *ὡς ἀεὶ – στρατοπεδεύεσθαι* Zeun.

σὺν ἑαυτῷ] Vid. nostra ad I. 6, 19. p. 92.
ἐγώ τε σοί] sc. *χρήσιμος εἶναι.*
§. 38. *Ἆρ' οὖν – δυναίμην – ἐξιέναι*] Num igitur fieri posset, ut prius, quam tu hinc proficiscaris, vasa colligerem?
§. 39. *Ἤγετο δὲ καὶ τῶν ἑαυτοῦ τῶν τε πιστῶν – πολλούς*] Secum vero etiam duxit multos suorum, tum eorum, quibus ob fidem sibi praestitam delectabatur, tum ex iis, quos incertae fidei esse suspicabatur.
τοὺς μὲν] *αὐτῶν* olim adiectum in editionibus ad eos solos refertur, quibus Gadatas diffidebat.
§. 40. *ὡς εἴη ἐν τοῖς ἀφθονωτάτοις στρατοπεδεύεσθαι*] *ὡς* cum optativo copulatum indicat consilium, quod Cyrus, dum Gadatam secum duxit, secutus fuerit,

τὸ τὸ τεῖχος φέρειν, καλέσας τὸν Γωβρύαν καὶ τὸν Γαδάταν ἠρώτα, εἰ ἄλλη ὁδὸς εἴη, ὥςτε μὴ πάνυ ἐγγὺς τοῦ
42 τείχους ἄγειν. Καὶ ὁ Γωβρύας εἶπεν· Εἰσὶ μέν, ὦ δέσποτα, καὶ πολλαὶ ὁδοί· ἀλλ' ἔγωγ', ἔφη, ᾤμην καὶ βούλεσθαι ἂν σε νῦν ὅτι ἐγγυτάτω τῆς πόλεως ἄγειν, ἵνα καὶ ἐπιδείξαις αὐτῷ, ὅτι τὸ στράτευμά σου ἤδη πολύ τέ ἐστι καὶ καλόν· ἐπειδὴ καί, ὅτε ἔλαττον εἶχες, προςῆλθές τε πρὸς αὐτὸ τὸ τεῖχος, καὶ ἐθεᾶτο ἡμᾶς οὐ πολλοὺς ὄντας· νῦν δέ, εἰ καὶ παρεσκευασμένος τί ἐστιν, ὥςπερ πρὸς σὲ εἶπεν, ὅτι παρασκευάζοιτο ὡς μαχούμενός σοι, οἶδα, ὡς ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν πάλιν ἀπαρασκευαστότατα τὰ ἑαυτοῦ φανεῖται.
43 Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε· Δοκεῖς μοι, ὦ Γωβρύα, θαυμάζειν, ὅτι, ἐν ᾧ μὲν χρόνῳ πολὺ μείονα ἔχων στρατιὰν ἦλθον, πρὸς αὐτὸ τὸ τεῖχος προςήγαγον· νῦν δέ, ἐπεὶ πλείονα δύναμιν ἔχω, οὐκ ἐθέλω ὑπ' αὐτὰ
44 τὰ τείχη ἄγειν. Ἀλλὰ μὴ θαύμαζε· οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν καὶ παράγειν. Προσάγουσι μὲν γὰρ πάντες οὕτω ταξάμενοι, ὡς ἂν ἄριστοι εἶεν μάχεσθαι· καὶ παράγουσι δὲ οἱ σώφρονες, ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν

§. 42. εἰ καὶ παρ.] codd. iubentibus καὶ εἰ παρ. correxi. Vid. Herm. ad Viger. p. 832.
πρὸς σὲ εἶπεν] G. πρὸς σὲ εἰπεῖν Vat. προεῖπεν edd.
§. 43. ἐπεὶ πλείονα δύναμιν ἔχω] πλείω δύναμιν ἔχων ab iis profectum, qui paullo ante itidem participium πολὺ μείονα ἔχων στρατιάν animadverterant.
§. 44. Ἀλλὰ μὴ θαύμαζε· οὐ γὰρ τὸ αὐτό] Verior videtur scriptura Ἀλλὰ γὰρ μὴ θαύμαζ', ἔφη· οὐ τὸ αὐτό, ad eam dicendi normam efficta, quam illustravit Herm. ad Viger. p. 811 sq.
προςάγειν] Non multum abest, quin καὶ ἀπάγειν inserendum et postea καὶ ἀπάγουσι δὲ οἱ σ. ex codd. restituendum putem. Interim non sprevi diutius καὶ παράγουσι δέ pro παράγουσι μέντοι.

nimirum ut ei liceret uberrimis in locis castra ponere.
§. 42. καὶ πολλαὶ ὁδοί] admodum multae viae, gar viele Wege.
ἐπιδείξαις αὐτῷ] Assyriorum regi, de quo agitur etiam in sequentibus, ut in ἐθεᾶτο. Cf. c. 3, 5.
§. 44. ὡς ἂν ἄριστοι εἶεν μάχεσθαι] Non male veteres quidam doctores interpretati sunt ὡς ἂν οἴονται (οἴωνται vulgo) ἄριστα μάχεσθαι.
καὶ παράγουσι δέ] et praetereunt vero, quocum tamen minus, quam cum ἀπάγουσι, congruunt verba τάχιστα ἀπέλθοιεν, ut nihil dicam de παριέναι, quo omisso Xen. scripturum fuisse arbitror ἀνάγκη δέ ἐστιν

τάχιστα ἀπέλθοιεν. Παριέναι δὲ ἀνάγκη ἐστὶν ἐκτεταμέ- 45
ναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ καὶ τοῖς ἄλλοις
σκευοφόροις ἐπὶ πολύ· ταῦτα δὲ πάντα δεῖ προκεκαλύ-
φθαι τοῖς ὁπλοφόροις, καὶ μηδαμῇ τοῖς πολεμίοις γυμνὰ
ὅπλων τὰ σκευοφόρα φαίνεσθαι. Ἀνάγκη οὖν οὕτω πο- 46
ρευομένων ἐπὶ λεπτὸν καὶ ἀσθενὲς τὸ μάχιμον τετάχθαι·
εἰ οὖν βούλοιντο ἐκ τοῦ τείχους ἀθρόοι προςπεσεῖν πῃ,
ὅπῃ προςμίξειαν, πολὺ ἐῤῥωμενέστερον συμμιγνύειν τῶν
παριόντων. Καὶ τοῖς μὲν ἐπὶ μακρὸν πορευομένοις μα- 47
κραὶ καὶ αἱ ἐπιβοήθειαι, τοῖς δ' ἐκ τοῦ τείχους βραχὺ
πρὸς τὸ ἐγγὺς καὶ προςδραμεῖν καὶ πάλιν ἀπελθεῖν. Ἢν 48
δὲ μὴ μεῖον ἀπέχοντες παρίωμεν ἢ ἐφ' ὅσον καὶ νῦν ἐκτε-

§. 46. *βούλοιντο ἐκ τοῦ τείχους ἀθρόοι προςπεσεῖν πῃ, ὅπῃ προςμίξειαν, πολὺ*] Vat. *βούλονται ἀθρόοι ἐκ τοῦ τείχους προςπεσεῖν, ὅπῃ προςμίξοιεν, πολύ*, si a *βούλονται* discesseris, non dubium quin pracstabilius sit recepto.

κ. τ. λ. At nihil difficultatis habent voculae *καὶ* – *δέ* post *μέν* illatae. Conviv. II. 9. *Ἐν πολλοῖς μέν, ὦ ἄνδρες, καὶ ἄλλοις δῆλον, καὶ ἐν οἷς δ' ἡ παῖς ποιεῖ.* Diodor. Sic. XIV. 22. *Ὁ δὲ βασιλεὺς Ἀρταξέρξης καὶ πάλαι μὲν ἦν παρὰ Φαρναβάζου πεπυσμένος, ὅτι στρατόπεδον ἐπ' αὐτὸν ἀθροίζει λάθρα Κῦρος, καὶ τότε δὲ πυθόμενος αὐτοῦ τὴν ἀνάβασιν μετεπέμπετο* etc.

§. 45. *Παριέναι δὲ ἀνάγκη ἐστὶν ἐκτεταμέναις – σκευοφόροις ἐπὶ πολύ*] Interpres: Atqui in transeundo extendendi sunt currus, ceteraque impedimenta in spatium longius producenda, ad posterius membrum quod attinet, dilucidius Fischer: praeterire ita, ut reliqua quoque impedimenta procedant ordinibus angustis et longis. Sed participii *ἀνειργμένοις* (*ἀνειργομένοις, ἀνοιγομένοις* al.) explicatio multis dubitationibus locum relinquit.

γυμνὰ ὅπλων] nudata armatis. Anab. II. 2, 4. *ἕπεσθε τῷ ἡγουμένῳ, τὰ μὲν ὑποζύγια ἔχοντες πρὸς τοῦ ποταμοῦ, τὰ δὲ ὅπλα ἔξω.* Cf. infra §. 48.

§. 46. *Ἀνάγκη οὖν οὕτω πορευομένων ἐπὶ λεπτὸν καὶ ἀσθενὲς τὸ μάχιμον τετάχθαι*] Gabr. Quare isto modo proficiscentibus necessario efficitur, ut pars exercitus ad pugnandum apta in tenuem ordinem atque infirmum collocata sit, quia multi milites ad tuenda impedimenta requiruntur.

εἰ οὖν βούλοιντο – πολὺ ἐῤῥωμενέστερον συμμιγνύειν τῶν παριόντων] Ad infinitivum repetas ex antegressis *ἀνάγκη ἐστὶν αὐτούς*; quod antem verbis *εἰ βούλοιντο* indicativus subiicitur omissa ante infinitivum *ἄν* vocula, ut taceam de aliis, Anab. VII. 2, 24. leguntur haec: *ὑπισχνούμενός μοι, εἰ ταῦτα πράξαιμι, εὖ ποιήσειν.* Mem. III. 6, 14. *ὥςπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερόν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ;* Anab. III. 3, 16. VII. 2, 25. Cyr. IV. 1, 16. VIII. 8, 27.

§. 48. *Ἢν δὲ μὴ μεῖον ἀπέχοντες παρίωμεν*] si autem non

ταμένοι πορευόμεθα, τὸ μὲν πλῆθος κατόψονται ἡμῶν, ὑπὸ δὲ τῶν παρυφασμένων ὅπλων πᾶς ὄχλος δεινὸς φανεῖται.
49 Ἂν δ' οὖν καὶ οὕτως ἰόντων ἐπεξίωσί πῃ, ἐκ πολλοῦ προορῶντες αὐτοὺς οὐκ ἂν ἀπαράσκευοι λαμβανοίμεθα. Μᾶλλον δ', ὦ ἄνδρες, ἔφη, οὐδ' ἐπιχειρήσουσιν, ὁπόταν πρόσω δέῃ ἀπὸ τοῦ τείχους ἀπιέναι, ἂν μὴ τῷ ὅλῳ ὑπολάβωσι τοῦ παντὸς κρείττους εἶναι· φοβερὸν γὰρ ἡ
50 ἀποχώρησις. Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς παροῦσι λέγειν, καὶ ἦγεν ὁ Γωβρύας, ὥςπερ ἐκέλευσεν. Παραμειβομένου δὲ τὴν πόλιν τοῦ στρατεύματος, ἀεὶ τὸ ὑπολειπόμενον ἰσχυρότερον ποιούμενος ἀπεχώρει.

§. 48. *πᾶς ὄχλος δεινὸς φανεῖται*] Facilius adducar, ut ὁ ante ὄχλος excidisse, quam generalem hanc sententiam esse credam. *φαίνεται* alii.

§. 49. *Ἂν δ' οὖν καὶ οὕτως ἰόντων ἐπ.*] Ἂν δ' οὖν τῷ ὄντι ἐπ. optimi, quibuscum minime temerarium fuerit τῷ ὄντι textis immittere.

φοβερὸν γάρ] Repugnantibus licet membranis restitui pro *φοβερὰ γάρ*.

minore inter nos spatio interiecto transeamus: *ἀπ' ἀλλήλων* enim post *μεῖον* additum oportuisset.

ὑπὸ δὲ τῶν παρυφασμένων ὅπλων πᾶς ὄχλος δεινὸς φανεῖται] et prae armis praetentis (ab utroque impedimentorum latere) turba omnis terribilis comparebit.

§. 49. *Ἂν δ' οὖν καὶ οὕτως ἰόντων ἐπεξίωσί πῃ*] Quod si (wenn indess) nobis vel hoc modo proficiscentibus alicubi urbe egressi supervenian t. Male quidam *καί* cum *ἐπεξίωσί* coniungendum esse annotavit. Cf. de *ἂν* — *πῃ* not. ad Anab. IV. 8, 11.

Μᾶλλον δέ] Imo, ut verius dicam, s. imo potius. Memor. III. 13, 6. *Κακῶς, νὴ Δί'*, ἔφη· *μᾶλλον δὲ οὐδ' ἂν ἠδυνήθην κομίσαι*. Plat. Crit. c. 5. p. 87. Buttm. *ἀλλὰ βουλεύου· μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι*. Buttmann. §. 137. p. 442.

φοβερὸν γὰρ ἡ ἀποχώρησις] Vid. Matth. §. 437. et Rost. §. 100. p. 371.

§. 50. *ἀεὶ τὸ ὑπολειπόμενον*] Nota traiectum *ἀεί* pariter atque I. 4, 3.

ἰσχυρότερον ποιούμενος] »ita ut partem militum praesidiariorum primi agminis, quod urbem praeteriisset, se recipere iuberet ad secundum agmen, quod urbem praeteriret, et sic deinceps.« Fischer.

Castellis tribus potitur.

Ἐπεὶ δὲ πορευόμενος οὕτως ἐν ταῖς γιγνομέναις ἡμέραις ἀφικνεῖται εἰς τὰ μεθόρια τῶν Σύρων καὶ Μήδων, ἔνθενπερ ὡρμᾶτο, ἐνταῦθα δὴ τρία ὄντα τῶν Σύρων φρούρια, ἓν μὲν αὐτῶν, τὸ ἀσθενέστατον, βίᾳ προςβαλὼν ἔλαβε, τὼ δὲ δύο φρουρίω φοβῶν μὲν Κῦρος, πείθων δὲ Γαδάτας ἔπεισε παραδοῦναι τοὺς φυλάττοντας. 51

CAPUT V.

Cum novi milites, de quibus nuntius cum mandatis (Libri IV. Cap. 5. Sect. 26.) missus erat, e Perside ad Cyaxarem venissent, hic invitatu Cyri eo lubentius in eius castra proficiscitur, quod cum suis exercitibus Medorum agris molestus esse non vult.

Ἐπεὶ δὲ ταῦτα διεπέπρακτο, πέμπει πρὸς Κυαξάρην, καὶ ἐπέστελλεν αὐτῷ ἥκειν ἐπὶ τὸ στρατόπεδον, 1

§. 51. *τρία ὄντα τῶν Σύρων*] *τρία ὄντα τὰ τῶν Σύρων* bene Zonaras.
ἔπεισε] *ἐποίησαν* coni. Weisk. *παρεσκεύασαν* Zonar.

§. 51. *πορευόμενος οὕτως*] iter faciens sic, nempe ut longioribus agminibus Babylonem praeteriret, vel potius circumiret. Venit enim ad Assyriorum et Medorum confinia, *ἔνθενπερ ὡρμᾶτο*, unde castra moverat III. 3, 21 sq. I. 4, 16 sq. Syrorum autem et Assyriorum nomen toties ab antiquis scriptoribus permutatur, nihil ut mirum sit, si Xenophon quoque hac popularium suorum libertate usus est. Vid. Blomfield ad Aesch. Pers. v. 86. Syrorum Graecam, Assyriorum barbaram vocem fuisse existimat Voss. ad Virgil. Georg. p. 432 sq. Cf. ad I. 5, 2.

τὼ δὲ δύο φρουρίω φοβῶν μὲν Κῦρος, — τοὺς φυλάττοντας] Pro eo, quod dicendum fuit *φοβοῦντος μὲν Κύρου, πείθοντος δὲ Γαδάτου παρέδωκαν οἱ φυλάττοντες*, quia nominativis *φοβῶν μὲν Κῦρος* usus erat, *ἔλαβε* in mente habens, non potuit non *ἔπεισε* repetere, atque ad solum Gadatam referre. Alterum, inquit, castellum vi oppugnando cepit, altera autem duo tum terrendo Cyrus, tum suadendo Gadatas custodibus persuasit, ut traderent. Vide not. ad V. 1, 1.

Cap. V. §. 1. *διεπέπρακτο*] ὁ Κῦρος. Sic intellexerunt etiam *διεπράξατο* scriptum habentes.

πρὸς Κυαξάρην] qui ad expugnata Assyriorum castra IV. 1, 12. 5, 8. remanserat.

ὅπως περί τε τῶν φρουρίων, ὧν εἰλήφεσαν, βουλεύσαιντο, ὅτι χρήσαιντο, καὶ ὅπως θεασάμενος τὸ στράτευμα καὶ περὶ τῶν ἄλλων σύμβουλος γίγνοιτο, ὅ τι ἂν δοκοίη ἐκ τούτου πράττειν· ἐὰν δὲ κελεύῃ, εἰπέ, ἔφη,
2 ὅτι ἐγὼ ἂν ὡς ἐκεῖνον ἴοιμι στρατοπεδευσόμενος. Ὁ μὲν δὴ ἄγγελος ᾤχετο ταῦτ' ἀπαγγέλλων.

Ὁ δὲ Κῦρος ἐν τούτῳ ἐκέλευσε τὴν τοῦ Ἀσσυρίου σκηνήν, Κυαξάρῃ ἣν οἱ Μῆδοι ἐξεῖλον, ταύτην κατασκευάσαι ὡς βέλτιστα τῇ τε ἄλλῃ κατασκευῇ, ἣν εἶχον, καὶ τῷ γυναῖκα εἰςαγαγεῖν εἰς τὸν γυναικῶνα τῆς σκηνῆς, καὶ σὺν ταύτῃ τὰς μουσουργούς, αἵπερ ἐξῃρημέναι ἦσαν
3 Κυαξάρῃ. Οἱ μὲν δὴ ταῦτ' ἔπραττον. Ὁ δὲ πεμφθεὶς πρὸς τὸν Κυαξάρην ἐπεὶ ἔλεξε τὰ ἐντεταλμένα, ἀκούσας αὐτοῦ ὁ Κυαξάρης ἔγνω βέλτιον εἶναι τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις. Καὶ γὰρ οἱ Πέρσαι, οὓς μετεπέμψατο ὁ Κῦρος, ἧκον· ἦσαν δὲ μυριάδες τέτταρες
4 τοξοτῶν καὶ πελταστῶν. Ὁρῶν οὖν καὶ τούτους σινομένους πολλὰ τὴν Μηδικήν, τούτων ἂν ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον ἢ ἄλλον ὄχλον εἰςδέξασθαι. Ὁ

Cap. V. §. 1. ἐὰν δὲ] codd. ἢν δὲ edd. Statim libris ducentibus videtur hunc in modum corrigendum esse: ὅτι ἔγνων (vel ἔγνωκα) ὡς ἐκεῖνον ἰὼν στρατοπεδευσόμενος.

ὅ τι ἂν δοκοίη ἐκ τούτου πράττειν] Conversione addita excitavit Buttm. §. 126. 8. n. 3. neque improbavit ἄν Dissen. Disquis. phil. spec. I. p. 23.

ἐὰν δὲ κελεύῃ] sc. ἐμὲ πρὸς αὐτὸν ἰέναι.

§. 2. Κυαξάρῃ ἣν οἱ Μῆδοι ἐξεῖλον] Hanc verborum collocationem prae vulgata ἣν Κυαξάρῃ non diffiteor multis modis mihi arridere, quippe nec vi sua destitutam et ab Graecitatis ingenio minime alienam. Demosth. Leptin. p. 471. v. 5. εἶτ' οὐκ αἰσχυνόμεθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τοῦ τοιούτου παῖδας εἰ μηδεμίαν ποιησάμενοι τούτων μηδενὸς μνείαν ἀφῃρημένοι φανούμεθα τὴν δωρεάν. Conviv. IV. 22. ἄγεις τε, αὐτὸν ὅπου ὄψει; Cyrop. I. 6, 2. ἀποροῖς, θείοις σημείοις ὅ τι χρῷό γε. De re consulas supra IV. 5, 52. c. 6, 11.

§. 4. τούτων ἂν ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον – εἰςδέξασθαι] putabat melius esse, si his (qui e Perside advenerant) potius liberatus esset, quam si alias copias in Mediam recepisset, videlicet Cyri. Notatu digna tamen scriptura Vat. ἢ ὅλον τὸν ὄχλον εἰςδέξασθαι, qua admissa sensus erit: maluit Cyaxares Cyri copiis liberari quam universum exercitum in fines suos admittere, et eum, quem Persae modo e patria adduxerant, et eum, cui Cyrus in Mediae confiniis

μὲν δὴ ἐκ Περσῶν ἄγων τὸν στρατὸν ἐρόμενος τὸν Κυαξάρην κατὰ τὴν τοῦ Κύρου ἐπιστολήν, εἴ τι δέοιτο τοῦ στρατοῦ, ἐπεὶ οὐκ ἔφη δεῖσθαι, αὐθημερόν, ἐπεὶ ἤκουσε παρόντα Κῦρον, ᾤχετο πρὸς αὐτὸν ἄγων τὸ στράτευμα.

Cyrus obviam Cyaxari procedit cum equitatu.

Ὁ δὲ Κυαξάρης ἐπορεύετο τῇ ὑστεραίᾳ σὺν τοῖς 5
παραμείνασι Μήδων ἱππεῦσιν· ὡς δ' ᾔσθετο ὁ Κῦρος
προσιόντα αὐτόν, λαβὼν τούς τε τῶν Περσῶν ἱππέας,
πολλοὺς ἤδη ὄντας, καὶ τοὺς Μήδους πάντας, καὶ τοὺς
Ἀρμενίους, καὶ τοὺς Ὑρκανίους, καὶ τῶν ἄλλων συμ-
μάχων τοὺς εὐιπποτάτους τε καὶ εὐοπλοτάτους ἀπήντα
ἐπιδεικνὺς τῷ Κυαξάρῃ τὴν δύναμιν. Ὁ δὲ Κυα- 6
ξάρης ἐπεὶ εἶδε σὺν μὲν τῷ Κύρῳ πολλούς τε καὶ
καλοὺς κἀγαθοὺς ἑπομένους, σὺν ἑαυτῷ δὲ ὀλί-
γην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τι αὐ-
τῷ ἔδοξεν εἶναι, καὶ ἄχος αὐτὸν ἔλαβεν. Ἐπεὶ δὲ κατα-
βὰς ὁ Κῦρος ἀπὸ τοῦ ἵππου προσῆλθεν ὡς φιλήσων αὐ-
τὸν κατὰ νόμον, ὁ Κυαξάρης κατέβη μὲν ἀπὸ τοῦ ἵπ-
που, ἀπεστράφη δέ· καὶ ἐφίλησε μὲν οὔ, δακρύων δὲ
φανερὸς ἦν. Ἐκ τούτου δὴ ὁ Κῦρος τοὺς μὲν ἄλλους 7
πάντας ἀποστάντας ἐκέλευσεν ἀναπαύεσθαι· αὐτὸς δὲ

§. 4. τὴν τοῦ Κύρου] τοῦ debetur Vat. et m. Vict.
§. 5. τοὺς Μήδους πάντας] τοὺς Μήδους παρόντας est in melioribus, i. e. τοὺς Μήδους τοὺς παρόντας; articulus enim omitti coeptus est, postquam in πάντας transierat participium. Verba τε καὶ εὐοπλοτάτους servaverant edd. vett.
§. 6. φανερὸς ἦν] φανερὸς ὤφθη Vat. Posterius solum proba.

praefuit. Quae si vera sunt, pronomen οὗτος magna licet in vicinia diverso tamen sensu positum est: quod certe idem locum habet inter alia apud Demosth. Philipp. IV. p. 147. v. 5 sqq. Apparat. Schaef. I. p. 650. Illud μᾶλλον comparativo etiam addi solitum patet ex II. 3, 12.
κατὰ τὴν τοῦ Κύρου ἐπιστολήν] commemoratam illam IV. 5, 31.

παρόντα] in finibus Mediae et Assyriae.

§. 5. πάντας] »Graviter enim peccasset, si quos in castris reliquisset Medos, ut qui ad Cyaxarem dudum redire debuerint. Hos ne obviam quidem honoris causa regi suo venire vel Cyro vel ipsis fuisset dedecori.« Weisk.

καὶ εὐοπλοτάτους] Non dubitavi

λαβόμενος τῆς δεξιᾶς τοῦ Κυαξάρου, καὶ ἀπαγαγὼν αὐτὸν τῆς ὁδοῦ ἔξω ὑπὸ φοίνικάς τινας, τῶν τε Μηδικῶν πίλων ὑποβαλεῖν ἐκέλευσεν αὐτῷ, καὶ καθίσας αὐτὸν καὶ παρακαθισάμενος εἶπεν ὧδε·

Altercatio inter Cyaxarem et Cyrum.

8 Εἰπέ μοι, ἔφη, πρὸς τῶν θεῶν, ὦ θεῖε, τί μοι
ὀργίζῃ, καὶ τί χαλεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις;
Ἐνταῦθα δὴ ὁ Κυαξάρης ἀπεκρίνατο, Ὅτι, ἔφη, ὦ
Κῦρε, δοκῶν γε δή, ἐφ' ὅσον ἀνθρώπων μνήμη ἐφι-
κνεῖται, καὶ τῶν πάλαι προγόνων καὶ πατρὸς βασιλέως
πεφυκέναι, καὶ αὐτὸς βασιλεὺς νομιζόμενος εἶναι,
ἐμαυτὸν μὲν ὁρῶ οὕτω ταπεινῶς καὶ ἀναξίως ἐλαύνοντα,
σὲ δὲ τῇ ἐμῇ θεραπείᾳ καὶ τῇ ἄλλῃ δυνάμει μέγαν τε καὶ
9 μεγαλοπρεπῆ παρόντα. Καὶ ταῦτα χαλεπὸν μὲν οἶμαι
καὶ ὑπὸ πολεμίων παθεῖν, πολὺ δέ, ὦ Ζεῦ, χαλεπώ-
τερον, ὑφ' ὧν ἥκιστα ἐχρῆν ταῦτα πεπονθέναι. Ἐγὼ
μὲν γὰρ δοκῶ δεκάκις ἂν κατὰ τῆς γῆς καταδῦναι ἥδιον
ἢ ὀφθῆναι οὕτω ταπεινός, καὶ ἰδεῖν τοὺς ἐμοὺς ἐμοῦ
ἀμελήσαντας καὶ ἐπεγγελῶντας ἐμοί. Οὐ γὰρ ἀγνοῶ
τοῦτ', ἔφη, ὅτι οὐ σύ μου μόνον μείζων εἶ, ἀλλὰ καὶ
οἱ ἐμοὶ δοῦλοι ἰσχυρότεροι ἐμοῦ ὑπαντιάζουσί μοι, καὶ
κατεσκευασμένοι εἰσίν, ὥςτε δύνασθαι ποιῆσαι μᾶλλον

restituere, quod in pompa, quam Cyrus paravit, nec sensu caret nec venustate. Cf. VI. 2, 4.

§. 7. λαβόμενος τῆς δεξιᾶς τοῦ Κυαξάρου] Genitivum τοῦ Κυαξάρου a proximo nomine, non a verbo λαβέσθαι pendere voluit, uti postulat regula, cuius ignaros certiores faciant Matth. §. 365 sq. Buttm. §. 119. 6. 3.

τῶν τε Μηδικῶν πίλων] Vid. ad I. 4, 20.

καὶ καθίσας αὐτὸν καὶ παρακαθισάμενος] Achill. Tat. L. I. p. 6. Iacobs. Καθίσας οὖν αὐτὸν ἐπί τινος θώκου χαμαιζήλου, καὶ αὐτὸς παρακαθισάμενος.

§. 8. τί χαλεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις;] qua tandem gravi re conspecta ita es tristis et conturbatus? Gabr. Usitatius fuisset dicere τί παθὼν οὕτω χ. φέρεις dicendi formula a grammaticis nostris studiose explanata. Altercationem ipsam respiciunt Iulian. et Plutarch. apud Wyttenbach. ad Plut. VI. P. I. p. 526.

τῶν πάλαι προγόνων] sc. βασιλέων ὄντων.

§. 9. οἱ ἐμοὶ δοῦλοι] Quicunque regi parebant, in oriente huius servi vocabantur, etiam principes, ut Cyrus minor Anab. I. 9, 29. Vasallen commode dixeris.

ἐμὲ κακῶς ἢ παθεῖν ὑπ᾽ ἐμοῦ. Καὶ ἅμα ταῦτα λέγων 10
πολὺ ἔτι μᾶλλον ἐκρατεῖτο ὑπὸ τῶν δακρύων· ὥστε καὶ
τὸν Κῦρον ἐπεσπάσατο ἐμπλησθῆναι δακρύων τὰ ὄμ-
ματα. Ἐπισχὼν δὲ μικρὸν ἔλεξε τοιάδε ὁ Κῦρος·
Ἀλλὰ ταῦτα μέν, ἔφη, ὦ Κυαξάρη, οὔτε λέγεις
ἀληθῆ, οὔτε ὀρθῶς γιγνώσκεις, εἰ οἴει τῇ ἐμῇ παρου-
σίᾳ Μήδους κατεσκευάσθαι, ὥστε ἱκανούς εἶναί σε κα-
κῶς ποιεῖν. Τὸ μέντοι σε θυμοῦσθαι καὶ φοβεῖσθαι οὐ 11
θαυμάζω· εἰ μέντοι γε δικαίως ἢ ἀδίκως αὐτοῖς χαλεπαί-
νεις, παρήσω τοῦτο· οἶδα γάρ, ὅτι βαρέως ἂν φέροις
ἀκούων ἐμοῦ ἀπολογουμένου ὑπὲρ αὐτῶν· τὸ μέντοι
ἄνδρα ἄρχοντα πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχομένοις,
τοῦτο ἔμοιγε δοκεῖ μέγα ἁμάρτημα εἶναι. Ἀνάγκη γὰρ
διὰ τὸ πολλοὺς μὲν φοβεῖν πολλοὺς ἐχθροὺς ποιεῖσθαι·
διὰ δὲ τὸ πᾶσιν ἅμα χαλεπαίνειν πᾶσιν αὐτοῖς ὁμόνοιαν
ἐμβάλλειν. Ὧν οὕνεκα, εὖ ἴσθι, ἐγὼ οὐκ ἀπέπεμπον 12
ἄνευ ἐμαυτοῦ τούτους, φοβούμενος, μή τι γένοιτο διὰ
τὴν σὴν ὀργήν, ὅ τι πάντας ἡμᾶς λυπήσοι. Ταῦτα μὲν
οὖν σὺν τοῖς θεοῖς ἐμοῦ παρόντος ἀσφαλῶς ἕξει σοι· τὸ

§. 10. ὦ Κυαξάρη] ὦ θεῖε al. Paullo post quum libri habeant κατεσκευάσθαι σοι ἱκανοὺς εἶναι κακῶς ποιεῖν, legendum videtur κατεσκευάσθαι σοι, ὥστε ἱκανοὺς εἶναί σε κακῶς ποιεῖν.

§. 11. καὶ φοβεῖσθαι] Exciderunt in libris praestantissimis.

§. 12. Ὧν οὕνεκα] Sic boni ad unum omnes, etiam Vat. et Leidens., cuius passim scripturae vestigia reperiuntur in hoc scriptore non minus quam apud Thucyd. et Lys. ed. Bremi p. 444.

ἢ παθεῖν ὑπ᾽ ἐμοῦ] sc. κακῶς. Tyrannum igitur ignavum quam iustum aequumque regem se praestare maluit Cyaxares.

§. 10. ὦ Κυαξάρη] Non mirum, si §. 8. Cyrus Cyaxarem, velut patrem filius, appellatione ὦ θεῖε excepit, nunc autem graviter ab eo exprobratus non ita familiariter avunculo utitur.

§. 11. θυμοῦσθαι καὶ φοβεῖσθαι] i. e. θυμοῦσθαι τοῖς Μήδοις καὶ φοβεῖσθαι αὐτούς, qui quidem timor Cyaxaris verba respicit §. 9. extrema.

εἰ μέντοι γε] De his particulis Hermann. ad Viger. laudandus erat III. 3, 18.

διὰ τὸ πολλοὺς μὲν φοβεῖν — διὰ δὲ τὸ πᾶσιν ἅμα χαλεπαίνειν] Adverte sedem vocularum μέν et δέ a sollemni ratione διὰ μὲν τὸ πολλοὺς φ. etc. declinantem. I. 1, 5. ἐδυνάσθη ἐφικέσθαι μὲν ἐπὶ τοσαύτην γῆν τῷ ἑαυτοῦ φόβῳ — ἐδυνάσθη δὲ ἐπιθυμίαν ἐμβαλεῖν.

§. 12. μή τι γένοιτο] ne quid accideret, ne contra te vitamque tuam Medi conspirarent.

μέντοι σε νομίζειν ὑπ' ἐμοῦ ἀδικεῖσθαι, τοῦτο δ' ἐγὼ
χαλεπῶς πάνυ φέρω, εἰ ἀσκῶν, ὅσον δύναμαι, τοὺς
φίλους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν, ἔπειτα τἀναντία τού-
13 του δοκῶ ἐξεργάζεσθαι. Ἀλλὰ γάρ, ἔφη, μὴ οὕτως
εἰκῆ ἡμᾶς αὐτοὺς αἰτιώμεθα· ἀλλ', εἰ δυνατόν, σαφέ-
στατα κατίδωμεν, ποῖόν ἐστι τὸ παρ' ἐμοῦ ἀδίκημα.
Καὶ τὴν ἐν φίλοις δικαιοτάτην ὑπόθεσιν ἔχω ὑποτιθέ-
ναι· ἐὰν γάρ τί σε φανῶ κακὸν πεποιηκώς, ὁμολογῶ
ἀδικεῖν· ἐὰν μέντοι μηδὲν φαίνωμαι κακὸν πεποιηκὼς
μηδὲ βουληθείς, οὐ καὶ σὺ αὖ ὁμολογήσεις μηδὲν
14 ὑπ' ἐμοῦ ἀδικεῖσθαι; Ἀλλ' ἀνάγκη, ἔφη. Ἐὰν δὲ δὴ
καὶ ἀγαθά σοι πεπραχὼς δῆλος ὦ, καὶ προθυμούμενος
πρᾶξαι, ὡς ἐγὼ πλεῖστα ἠδυνάμην, οὐκ ἂν καὶ ἐπαί-
νου σοι ἄξιος εἴην μᾶλλον ἢ μέμψεως; Δίκαιον γοῦν,
15 ἔφη. Ἄγε τοίνυν, ἔφη ὁ Κῦρος, σκοπῶμεν τὰ ἐμοὶ
πεπραγμένα πάντα καθ' ἓν ἕκαστον· οὕτω γὰρ δὴ μάλι-
στα δῆλον ἔσται, ὅ τι τε αὐτῶν ἀγαθόν ἐστι, καὶ ὅ τι
16 κακόν. Ἀρξώμεθα δέ, ἔφη, ἐκ τῆσδε τῆς ἀρχῆς, εἰ
καὶ σοὶ ἀρκούντως δοκεῖ ἔχειν. Σὺ γὰρ δήπου, ἐπεὶ

τοῦτο δ' ἐγὼ] G. pro *τοῦτ' ἐγώ*, recte, ut arbitror. Vid. not. exeget. ad I. 6, 41. II. 3, 19.

§. 13. *ἔχω ὑποτιθέναι· ἐὰν γάρ τί σε φανῶ*] *ἐγὼ ὑποτίθεμαι· ἢν γάρ τι ἐγὼ φανῶ* deterior librorum pars.

τὸ μέντοι σε νομίζειν ὑπ' ἐμοῦ ἀδικεῖσθαι, τοῦτο δ' ἐγὼ χαλεπῶς πάνυ φέρω, εἰ] quod autem ad id attinet, quod te putas iniuria a me affectum esse, admodum iniquo animo illud fero, quod. Pro *ὅτι* verbis affectum denotantibus *εἰ* apponi non fugit Viger. p. 504. Matth. §. 608. Rost. §. 121. not. 5.

ἔπειτα] Quo minus redundare hoc vocabulum existimes, consule quae laudavi ad I. 3, 10.

§. 13. *οὕτως εἰκῆ ἡμᾶς αὐτούς*] Vid. nostra ad II. 2, 22. et V. 4, 22.

§. 14. *ὡς ἐγὼ πλεῖστα ἠδυνάμην*] Lectionem *ὁπόσα πλεῖστα ἠδυνάμην* Fischerus meliorem iudicat recepta: »certe, inquiens, ordo verborum debebat tum esse, *ὡς ἐγὼ ἠδυνάμην πλεῖστα*.« Contrario tamen ordini favent Cyr. I. 4, 14. *ὅπως ἕκαστος κράτιστα δύναιτο.* Anab. VII. 2, 8. *ὡς ἂν πλείστους δύνηται.* Hier. I. 38. *ὡς ἢ μάλιστ' ἂν δύνωνται ἐξεικάζουσιν.* Mem. II. 2, 10. *ὡς μάλιστα δύναται.* Thucyd. IV. 128. *ὡς τάχιστα ἕκαστος δύναται.* cl. Matth. §. 461. p. 637.

§. 16. *ἐκ τῆσδε τῆς ἀρχῆς, εἰ καὶ σοὶ δοκεῖ ἀρκούντως ἔχειν*] ab hoc imperio, si et tibi hoc esse satis videtur. Caselius. Cf. I. 5, 4.

ἦσθου πολλοὺς πολεμίους ἠθροισμένους, καὶ τούτους
ἐπὶ σὲ καὶ τὴν σὴν χώραν ὁρμωμένους, εὐθὺς ἔπεμπες
πρός τε τὸ Περσῶν κοινόν, συμμάχους αἰτούμενος, καὶ
πρὸς ἐμὲ ἰδίᾳ, δεόμενος πειρᾶσθαι αὐτόν με ἐλθεῖν
ἡγούμενον, εἴ τινες Περσῶν ἴοιμεν. Οὔκουν ἐγὼ ἐπεί-
σθην τε ταῦτα ὑπὸ σοῦ, καὶ παρεγενόμην, ἄνδρας
ἄγων σοι ὡς ἦν δυνατὸν πλείστους τε καὶ ἀρίστους;
Ἦλθες γὰρ οὖν, ἔφη. Ἐν τούτῳ τοίνυν, ἔφη, πρῶ- 17
τόν μοι εἰπέ, πότερον ἀδικίαν τινά μου πρός σε κατέ-
γνως, ἢ μᾶλλον εὐεργεσίαν; Δῆλον, ἔφη ὁ Κυαξάρης,
ὅτι ἔκ γε τούτων εὐεργεσίαν. Τί γάρ; ἔφη, ἐπεὶ οἱ 18
πολέμιοι ἦλθον, καὶ διαγωνίζεσθαι ἔδει πρὸς αὐτούς,
ἐν τούτῳ κατενόησάς πού με ἢ πόνου ἀποστάντα, ἤ τι-
νος κινδύνου φεισάμενον; Οὐ μὰ τὸν Δί', ἔφη, οὐ
μὲν δή. Τί γάρ; ἐπεί, νίκης γενομένης σὺν τοῖς θεοῖς 19
ἡμετέρας, καὶ ἀναχωρησάντων τῶν πολεμίων, παρεκά-
λουν ἔγωγε σέ, ὅπως κοινῇ μὲν αὐτοὺς διώκοιμεν, κοινῇ
δὲ τιμωροίμεθα, κοινῇ δέ, εἴ τι καλὸν κἀγαθὸν συμβαί-
νοι, τοῦτο καρποίμεθα· ἐν τούτοις ἔχεις τινά μου πλεονε-
ξίαν κατηγορῆσαι; Ὁ μὲν δὴ Κυαξάρης ἐν τούτῳ ἐσίγα· 20

§. 16. *εἴ τινες Περσῶν ἴοιμεν*] Recepi ex codd. melioribus pro *εἴ τινες Περσῶν ἴοιεν.*

§. 19. *παρεκάλουν ἔγωγε σέ*] Vat. *παρεκάλουν ἐγώ σε* et *σε ἐγώ* edd.

§. 20. *ἐν τούτῳ ἐσίγα*] Vat. m. Vict. pro *πρὸς τοῦτο ἐσίγα.*

§. 17. *Δῆλον, ἔφη ὁ Κυαξάρης, ὅτι ἔκ γε τούτων εὐεργεσίαν*] Iunge *δηλονότι ἔκ γε τούτων εὐεργεσίαν* vel *δῆλον ἔκ γε τούτων ὅτι εὐεργ.*

§. 18. *Οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή*] Non rara haec negandi formula in Xenophontiis scriptis. Hieron. I. 21. *Οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν οὖν.* Conviv. IV. 3. *Μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή. Τί δὲ ἀντὶ τοῦ ἀργυρίου; χάριτας; Οὐ μὰ τὸν Δί', ἔφη, οὐδὲ τοῦτο.* Cyrop. I. 6, 9. VI. 1, 5. VI. 3, 10. VIII. 3, 7. Oecon. XII. 15. *οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδαμῶς γε.* §. 18. *Οὐ μὰ Δί' – οὐδέν γε μᾶλλον.* Aristoph. Ran. 28. *οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.* Neque vero ubique mihi videtur Schaeferus alteram negationem in Demosthenis orationibus iure reddidisse suspectam Apparat. I. p. 511. 847. T. II. p. 379.

§. 19. *ἐν τούτοις*] Ne tirones quidem ignorant exordiri apodosin ab hoc pronomine, postpositam illam verbis *ἐπεὶ – παρεκάλουν ἔγωγε σέ.* Argumentum interrogationis confirmabitur ex III. 3, 59 sqq. IV. 1, 13. c. 5, 26 sqq.

§. 20. *ἐσίγα· – σιωπᾶν*] Ammonius p. 124. Lips. *Σιωπὴ καὶ*

ὁ δὲ Κῦρος πάλιν ἔλεγεν ὧδε· Ἀλλ' εἰ πρὸς τοῦτο σιω-
πᾶν ἥδιόν σοι ἢ ἀποκρίνασθαι, τόδε γε, ἔφη, εἰπέ, εἴ
τι ἀδικεῖσθαι ἐνόμισας, ὅτι, ἐπεί σοι οὐκ ἀσφαλὲς ἐδό-
κει εἶναι διώκειν, σὲ μὲν αὐτὸν ἀφῆκα τοῦ κινδύνου
τούτου μὴ μετέχειν, ἱππέας δὲ τῶν σῶν συμπέμψαι μοι
ἐδεόμην σοῦ; εἰ γὰρ καὶ τοῦτο αἰτῶν ἠδίκουν, ἄλλως
τε καὶ προπαρεσχηκὼς ἐμαυτόν σοι σύμμαχον, τοῦτ' αὖ
21 παρὰ σοῦ, ἔφη, ἐπιδεικνύσθω. Ἐπεὶ δ' αὖ καὶ πρὸς
τοῦτο ἐσίγα ὁ Κυαξάρης, Ἀλλ' εἰ μηδὲ τοῦτ', ἔφη, βού-
λει ἀποκρίνασθαι, σὺ δὲ τοὐντεῦθεν λέγε, εἴ τι αὖ
ἠδίκουν, ὅτι, σοῦ ἀποκριναμένου ἐμοί, ὡς οὐκ ἂν
βούλοιο, εὐθυμουμένους ὁρῶν Μήδους, τούτου παύσας
αὐτοὺς ἀναγκάζειν κινδυνεύσοντας ἰέναι, εἴ τι αὖ σοι
δοκῶ τοῦτο χαλεπὸν ποιῆσαι, ὅτι ἀμελήσας τοῦ ὀργί-
ζεσθαί σοι ἐπὶ τούτοις πάλιν ᾔτουν σε, οὗ ᾔδειν οὔτε
σοὶ μεῖον ὂν δοῦναί μοι οὐδέν, οὔτε ῥᾷον Μήδοις ἐπι-

διώκειν, σὲ μὲν αὐτὸν ἀφῆκα τοῦ κινδύνου τούτου μὴ μετέχειν] Dedi iussu Vat., qui *αὐτόν* non agnoscit. *τὸ διώκειν, σὲ μὲν αὐτὸν ἀφῆκα τούτου τοῦ κινδύνου* Pop. *τὸ διώκειν, σὲ μὲν αὐτὸν οὐκ ἀφῆκα τοῦ κινδύνου μετέχειν* alii exhibuerant.

§. 21. *σὺ δὲ τοὐντεῦθεν λέγε*] Fort. *σὺ δὲ τοῦτο τοὐντεῦθεν λέγε.*

οὗ ᾔδειν οὔτε σοὶ μεῖον ὄν] Nondum poenitet ad Anab. II. 6, 24. librorum bonorum fidei obsecutum proposuisse *οὗ ᾔδη ὅτι οὔτε σοὶ μεῖον ὄν*, cuius locutionis vestigium etiam c. 2, 23. offendimus.

Σιγὴ διαφέρει. Σιωπὴ μὲν γάρ ἐστι κατάσχεσις λόγου· Σιγὴ δὲ στέρησις (στέρξις vulgo) *λόγου.* Etenim *σιγᾶν* proprie est s i l e r e, still sein, *σιωπᾶν* t a c e r e, schweigen.

σὲ μὲν αὐτὸν ἀφῆκα τοῦ κινδύνου τούτου μὴ μετέχειν] t e q u i d e m i p s u m p a s s u s s u m p e r i c u l i h u i u s e x p e r t e m e s s e. P l a t o n. Phileb. §. 114. *λαβόντα δὲ τοῦτο παρὰ σαυτῷ ἀφεῖναί με μηκέτι ἐπ' ἐκεῖνα ἰόντα δεῖν μηκύνειν τοὺς λόγους,* quibus verbis alia subscripsit S t a l l b a u m p. 158.

§. 21. *σὺ δὲ τοὐντεῦθεν λέγε*] Idem usus est pronominum, qui apud Latinos obtinet, ad H o r a t. Od. I. 9, 15. *nec dulces amores sperne puer neque tu choreas* a B e n t l e i o neutiquam ignoratus, nec silentio transmissus ab H e i n d o r f. ad eiusdem Sat. p. 149.

ἀναγκάζειν] Quanquam IV. 1, 18. eadem paene verba reperiuntur, non est tamen quod infinitivus futuri *ἀναγκάσειν*, quem melior codicum pars h. l. obtulit, diutius spernatur. T h o m a e enim M a g. s. v. *βούλομαι* praecepta idoneis exemplis refellit P o p p o De Eloc. Thucyd. p. 159. Cf. etiam nos ad II. 2, 1.

εἴ τι αὖ σοι δοκῶ τοῦτο χαλεπὸν ποιῆσαι] »Repetitur quod supra diversis verbis fuerat inchoatum, *εἴ τι αὖ ἠδίκουν.*« S c h n. Cf. c. 2, 8.

ἐπὶ τούτοις] i. e. *μετὰ ταῦτα,* ut II. 2, 6. Cum praegressis ta-

ταχθῆναι οὐδέν· τὸν γὰρ βουλόμενον δήπου ἕπεσθαι ᾔτησά σε δοῦναί μοι. Οὐκοῦν τούτου τυχὼν παρὰ σοῦ οὐδὲν ἤνυον, εἰ μὴ τούτους πείσαιμι. Ἐλθὼν οὖν ἔπειθον αὐτούς, καί, οὓς ἔπεισα, τούτους ἔχων ἐπορευόμην, σοῦ ἐπιτρέψαντος. Εἰ δὲ τοῦτο αἰτίας ἄξιον νομίζεις, οὐδ' ὅ τι ἂν διδῷς, ὡς ἔοικε, δέχεσθαι παρὰ σοῦ ἀναίτιόν ἐστιν. Οὐκοῦν ἐξωρμήσαμεν οὕτως· ἐπειδὴ δ' ἐξήλθομεν, τί ἡμῖν πεπραγμένον οὐ φανερόν ἐστιν; οὐ τὸ στρατόπεδον ἥλωκε τῶν πολεμίων; οὐ τεθνᾶσι πολλοὶ τῶν ἐπὶ σὲ ἐλθόντων; Ἀλλὰ μὴν τῶν γε ζώντων ἐχθρῶν πολλοὶ μὲν ὅπλων ἐστέρηνται, πολλοὶ δὲ ἵππων· χρήματά γε μήν, τὰ τῶν φερόντων καὶ ἀγόντων τὰ σὰ πρόσθεν, νῦν ὁρᾷς τοὺς σοὺς φίλους καὶ ἔχοντας καὶ ἄγοντας, τὰ μὲν σοί, τὰ δ' αὖ τοῖς ὑπὸ τὴν σὴν ἀρχήν. Τὸ δὲ πάντων μέγιστον καὶ κάλλιστον, τὴν μὲν σὴν χώραν αὐξανομένην ὁρᾷς, τὴν δὲ τῶν πολεμίων μειουμένην· καὶ τὰ μὲν τῶν πολεμίων φρούρια ἐχόμενα, τὰ δὲ σά, τὰ πρότερον εἰς τὴν Σύρων ἐπικράτειαν συγκατασπασθέντα, νῦν τἀναντία σοι προςκεχωρηκότα· τούτων δὲ εἴ τι κακόν σοι, ἢ εἴ τι μὴ ἀγαθόν σοι, μαθεῖν

(Margin section numbers: 22 at "ᾔτησά σε δοῦναί μοι"; 23 at "σοῦ ἀναίτιόν ἐστιν"; 24 at "Τὸ δὲ πάντων μέγιστον".)

§. 24. *συγκατασπασθέντα*] *συγκυροῦντα* plures codd.

men copulandum duxit Gabr. reddendo: quod nihil prorsus eo nomine tibi succensuerim; sed rursus id petierim, quo nihil te posse noveram nec mihi minus concedere, nec Medis facilius imperare?

§. 22. *οὐδὲν ἤνυον, εἰ μὴ τούτους πείσαιμι*] Nec additum ἄν imperfecto nec omissum est, si quidem eiusdem generis haud paucos locos a corruptionis suspicione liberarunt Elmsleius et Hermann. ad Eurip. Med. 1185., quorum cum annotationibus comparentur dicta ad II. 1, 9. IV. 1, 1. et Bremi Excurs. IV. post Lys. Orat. p. 438 sqq.

§. 23. *χρήματά γε μήν, τὰ τῶν φερ.*] Genitivis *χρημάτων γε μήν, τῶν* opus erat, cum subiiciantur *τὰ μὲν σοί, τὰ δ' αὖ τοῖς ὑπὸ τὴν σὴν ἀρχήν*, sed praeterquam quod satis illi insuaves ad aures fuissent, amari hanc casuum enallagen a Graecis demonstratum est ad I. 1, 1. V. 4, 16. Munera ista Cyaxari offerunt §. 39.

§. 24. *ἐχόμενα*] sc. *ὑπὸ σοῦ*.

τὰ πρότερον] Vid. c. 4. §. 51.

τούτων δὲ εἴ τι κακόν σοι — οὐδὲν κωλύει] Interpretatus est Italus: quarum sane rerum num aliqua tibi malo, aut non bono fuerit, discere me quidem velle haud scio quomodo dixerim: audire tamen licet. Nimirum inter se opponuntur *μαθεῖν* et *ἀκούειν*, nec solum convictum vult Cyrus Cyaxarem, sed etiam confessum.

μὲν ἔγωγε βούλεσθαι οὐκ οἶδ' ὅπως ἂν εἴποιμι· ἀκοῦσαι μέντοι γε οὐδὲν κωλύει. Ἀλλὰ λέγε ὅ τι γιγνώσκεις
25 περὶ αὐτῶν. Ὁ μὲν δὴ Κῦρος οὕτως εἰπὼν ἐπαύσατο· ὁ δὲ Κυαξάρης ἔλεξε πρὸς ταῦτα τάδε·

Ἀλλ', ὦ Κῦρε, ὡς μὲν ταῦτα, ἃ σὺ πεποίηκας, κακά ἐστιν, οὐκ οἶδα, ὅπως χρὴ λέγειν· εὖ γε μέντοι, ἔφη, ἴσθι, ὅτι ταῦτα τὰ ἀγαθὰ τοιαῦτά ἐστιν, οἷα, ὅσῳ μᾶλλον σοὶ πλείονα φαίνεται, τοσούτῳ μᾶλλον ἐμὲ
26 βαρύνει. Τήν τε γὰρ χώραν, ἔφη, ἐγὼ ἂν τὴν σὴν ἐβουλόμην τῇ ἐμῇ δυνάμει μείζω ποιεῖν μᾶλλον ἢ τὴν ἐμὴν ὑπὸ σοῦ ὁρᾶν οὕτως αὐξανομένην· σοὶ μὲν γὰρ ταῦτα ποιοῦντι καλά, ἐμοὶ δέ γέ ἐστί που ταῦτα ἀτι-
27 μίαν φέροντα. Καὶ χρήματά γε, ἔφη, οὕτως ἄν μοι δοκῶ ἥδιόν σοι δωρεῖσθαι ἢ παρὰ σοῦ οὕτω λαμβάνειν, ὡς σὺ νῦν ἐμοὶ δίδως· τούτοις γὰρ πλουτιζόμενος ὑπὸ σοῦ καὶ μᾶλλον αἰσθάνομαι οἷς πενέστερος γίγνομαι. Καὶ τούς γ' ἐμοὺς ὑπηκόους ἰδὼν μικρά γε ἀδικουμένους ὑπὸ σοῦ ἧττον ἂν λυπεῖσθαι δοκῶ ἢ νῦν ὁρῶν,
28 ὅτι μεγάλα ἀγαθὰ πεπόνθασιν ὑπὸ σοῦ. Εἰ δέ σοι, ἔφη, ταῦτα δοκῶ ἀγνωμόνως ἐνθυμεῖσθαι, μὴ ἐν ἐμοὶ αὐτά, ἀλλ' εἰς σὲ τρέψας πάντα καταθέασαι, οἷά σοι

§. 25. ὅσῳ μᾶλλον σοὶ πλείονα φαίνεται] Sic Vat. si a φαίνηται discesseris. Ceteri vel ὅσῳ πλείω φαίνεται vel ὅσῳ μᾶλλον πλείονα φαίνηται.

§. 27. χρήματά γε, ἔφη, οὕτως ἄν μοι δοκῶ ἥδιόν σοι δωρ. — σὺ νῦν ἐμοὶ δίδως] Antiquitus legebatur χρήματά γε, ἔφη, (haec duo desunt in bonis libris) ἐγὼ ἄν σοι δοκῶ ἥδιον οὕτω δωρεῖσθαι ἢ παρὰ σοῦ λαμβάνειν, ὧν σὺ νῦν (νῦν om. alii) ἐμοὶ δίδως.

§. 26. Τήν τε γὰρ χώραν] Vocula τέ respicit ad καὶ χρήματα ineunte §. 27.

ἐμοὶ δέ γέ ἐστί που ταῦτα ἀτιμίαν φέροντα] mir aber ist das wohl gar Schande bringend dixerint Germani. Cf. not. ad I. 6, 26.

§. 27. οὕτως ἄν μοι δοκῶ] οὕτως intellige sic, hac lege, ut opes tu nanciscaris, ego honorem.

οἷς πενέστερος γίγνομαι] Si cum dativo πενέστερος iungi licet, quo modo πλήθειν et ἀπορεῖν passim constat construi, recte Zeunius de imminuta Cyaxaris gloria fractaque auctoritate accepit, quae minor futura sit, quam Cyri gratia apud milites; sin suspicionem habet illa constructio, cum aliis scribendum erit ὡς πενέστερος γίγνομαι.

§. 28. μὴ ἐν ἐμοὶ αὐτά, ἀλλ' εἰς σὲ τρέψας πάντα] non in me ea omnia, sed in te transferens considera. Etenim ἐν ἐμοί ad καταθέασαι respicit,

φαίνεται. Τί γὰρ ἄν, εἴ τις κύνας, οὓς σὺ τρέφεις
φυλακῆς ἕνεκα σαυτοῦ τε καὶ τῶν σῶν, τούτους θερα-
πεύων γνωριμωτέρους ἑαυτῷ ἢ σοὶ ποιήσειεν, ἆρ' ἄν σε
εὐφράναι τούτῳ τῷ θεραπεύματι; Εἰ δὲ τοῦτό σοι δο- **29**
κεῖ μικρὸν εἶναι, ἐκεῖνο κατανόησον· εἴ τις τοὺς σὲ θε-
ραπεύοντας, οὓς σὺ καὶ φρουρᾶς καὶ στρατείας ἕνεκα
κέκτησαι, τούτους οὕτω διαθείη, ὥστ' ἐκείνου μᾶλλον
ἢ σοῦ βούλεσθαι εἶναι, ἆρ' ἂν ἀντὶ ταύτης τῆς εὐεργε-
σίας χάριν αὐτῷ εἰδείης; Τί δέ; ὃ μάλιστα ἄνθρωποι **30**
ἀσπάζονταί τε καὶ θεραπεύουσιν οἰκειότατα, εἴ τις τὴν
γυναῖκα τὴν σὴν οὕτω θεραπεύσειεν, ὥστε φιλεῖν αὐ-
τὴν μᾶλλον ποιήσειν ἑαυτὸν ἢ σέ, ἆρ' ἄν σε τῇ εὐεργε-
σίᾳ ταύτῃ εὐφράναι; Πολλοῦ γ' ἄν, οἶμαι, καὶ δέοι·
ἀλλ' εὖ οἶδ', ὅτι πάντων ἂν μάλιστα ἀδικοίη σε τοῦτο
ποιήσας. Ἵνα δὲ εἴπω καὶ τὸ μάλιστα τῷ ἐμῷ πάθει ἐμ- **31**
φερές, εἴ τις οὓς σὺ ἤγαγες Πέρσας οὕτω θεραπεύ-
σειεν, ὥστ' αὐτῷ ἥδιον ἕπεσθαι ἢ σοί, ἆρ' ἂν φίλον αὐ-
τὸν νομίζοις; Οἶμαι μὲν οὔ, ἀλλὰ πολεμιώτερον ἂν ἢ
εἰ πολλοὺς αὐτῶν κατακάνοι. Τί δέ; εἴ τις τῶν σῶν **32**

§. 29. *στρατείας*] *θεραπείας* nollem in deterioribus libr. legi.
§. 30. *μᾶλλον ποιήσειν*] Sic Guelf. pro vulg. *μᾶλλον ποιήσειεν*. Cf. not.

dum pro *ἐν σοί* ut *εἰς σέ* scriberet, verbi *τρέπειν* positus effecit. Contra paullo post *τί γὰρ ἂν* exspectare lectorem iubent sequentium verborum hanc faciem: *σὲ εὐφράναι τοῦτο τὸ θεράπευμα*, cui mutandae ansam dedit illud *εἴ τις*, ab *ὅστις* fere nihil discrepans. Nullo certe pacto prius *ἂν* adducar ut delendum censeam.

§. 30. *καὶ θεραπεύουσιν οἰκειότατα*] ut nimirum ab uxoribus unice amentur mariti.

ὥστε φιλεῖν αὐτὴν μᾶλλον ποιήσειν ἑαυτὸν ἢ σέ] ut sui eam quam tui amantiorem redditurus esset. Tam accuratam singulorum membrorum concinnitatem, quam ii videntur desiderasse, qui, ut in vicinis sententiis, ita in hac quoque infinit. praesentis (*ποιεῖν*) repositum maluerunt, frustra quis in veterum scripta intulerit, in quibus non adeo tritum est *ὥστε* cum futuri infinitivo iungi. Demosth. Phil. III. p. 128. v. 13. *τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος, ὥστε μηδ' ἂν ὁτιοῦν ἢ δεινὸν πείσεσθαι*. Sententiae causa cf. not. ad III. 1, 39.

Πολλοῦ γ' ἄν, οἶμαι, καὶ δέοι] multum certe, opinor, absit ut hoc putem, daran dürfte, glaube ich, gar noch viel fehlen, i. e. nullo modo tibi hoc gratum esset.

§. 31. *ἀλλὰ πολεμιώτερον ἂν*] sc. *νομίζοις αὐτὸν εἶναι*.

φίλων, φιλοφρόνως σου εἰπόντος λαμβάνειν ὁπόσα ἐθέλοι, εἶτ' αὐτὸς τοῦτο ἀκούσας λαβὼν οἴχοιτο ἅπαντα, ὁπόσα δύναιτο, καὶ αὐτὸς μέν γε τοῖς σοῖς πλουτοίη, σὺ δὲ μηδὲ μετρίως ἔχοις χρῆσθαι· ἆρ' ἂν δύναιο τὸν
33 τοιοῦτον ἄμεμπτον φίλον νομίζειν; Νῦν μέντοι ἐγώ, ὦ Κῦρε, εἰ μὴ ταῦτα, ἀλλὰ τοιαῦτα ὑπὸ σοῦ δοκῶ πεπονθέναι. Σὺ γὰρ ἀληθῆ λέγεις· εἰπόντος ἐμοῦ τοὺς ἐθέλοντας ἄγειν, λαβὼν ᾤχου πᾶσάν μου τὴν δύναμιν, ἐμὲ δὲ ἔρημον κατέλιπες· καὶ νῦν ἃ ἔλαβες τῇ ἐμῇ δυνάμει ἄγεις δή μοι, καὶ τὴν ἐμὴν χώραν αὔξεις σὺν τῇ ἐμῇ ῥώμῃ· ἐγὼ δὲ δοκῶ οὐδὲν συναίτιος ὢν τῶν ἀγαθῶν παρέχειν ἐμαυτόν, ὥςπερ γυνή, εὖ ποιεῖν [καὶ] τοῖς τε ἄλλοις ἀνθρώποις καὶ τοῖςδε τοῖς ἐμοῖς ὑπηκόοις·
34 σὺ μὲν ἀνὴρ φαίνῃ, ἐγὼ δὲ οὐκ ἄξιος ἀρχῆς. Ταῦτά σοι δοκεῖ εὐεργετήματα εἶναι, ὦ Κῦρε; Εὖ ἴσθι, ὅτι,

§. 32. *λαμβάνειν ὁπόσα ἐθέλοι, εἶτ' αὐτὸς τοῦτο*] Notanda lectio *λάμβανε τῶν ἐμῶν ὁπόσα ἐθέλεις, εἰ τοῦτο.*

§. 33. *σὺ μὲν*] *γάρ* additur in edd. ut *οὖν* post *ταῦτα* §. 34. init.

§. 32. *φιλοφρόνως σου εἰπόντος λαμβάνειν ὁπόσα ἐθέλοι*] quum benevolo animo eum iussisses ex rebus tuis sumere quantascunque vellet.

ἅπαντα, ὁπόσα δύναιτο] Cur *ἅπαντα* Fischerus neget cum *ὁπόσα* concinnari posse, eo minus assequor, quod II. 1, 22. legerat *προεῖπεν ἁπάντων, ὁπόσα ἐγίγνωσκεν.* Plat. Legg. p. 822. *περὶ ἁπάντων, ὁπόσα τοιαῦτα.*

§. 33. *Σὺ γὰρ ἀληθῆ λέγεις*] »Plena oratio est haec: Quae tu de permissu meo dixisti, equidem non nego: nam sunt vera. At vero ubi tibi veniam dedi abducendi eos, qui vellent: tu eo progressus es, ut omnes abduceres copias meas etc.« Zeun.

ὥςπερ γυνή] sc. *ἑαυτὴν παρέχει.*

παρέχειν ἐμαυτὸν — εὖ ποιεῖν καὶ τοῖς τε ἄλλοις ἀνθρώποις καὶ τοῖςδε τοῖς ἐμοῖς ὑπηκόοις] »*παρέχειν ἐμαυτὸν εὖ ποιεῖν* me tradere beneficiis ornandum, i. e. admittere s. accipere beneficia. Nam omnino Graeci post verba curandi, iubendi, permittendi non ponunt, ut Latini, passivum, ubi persona non est definita, sed ut nostri, Francogalli, et alii, activum s. deponens.« Verba sunt Weiskii, ignorantis gr. Gr. Matth. §. 535. a. Sed graviorem interpretibus difficultatem crearunt particulae *καί — τε*, quarum alii priorem idque, alii etiam designare dictitarunt. Neutrum probandum, verum aut delendum *καί* aut cum Seidlero scribendum erit *ποιεῖσθαι τοῖς τε ἄλλοις ἀνθρώποις.*

εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν οὕτω με ἀποστερεῖν ἐφυλάττου, ὡς ἀξιώματος καὶ τιμῆς. Τί γὰρ ἐμοὶ πλέον τὸ τὴν γῆν πλατύνεσθαι, αὐτὸν δὲ ἀτιμάζεσθαι; οὐ γάρ τοι ἐγὼ Μήδων ἦρχον διὰ τὸ κρείττων αὐτῶν πάντων εἶναι, ἀλλὰ μᾶλλον διὰ τὸ αὐτοὺς τούτους ἀξιοῦν ἡμᾶς ἑαυτῶν πάντα βελτίονας εἶναι.

Καὶ ὁ Κῦρος, ἔτι λέγοντος αὐτοῦ, ὑπολαβὼν εἶ- 35
πε· Πρὸς τῶν θεῶν, ἔφη, ὦ θεῖε, εἴ τι κἀγώ σοι
πρότερον ἐχαρισάμην, καὶ σὺ νῦν ἐμοὶ χάρισαι, ὧν ἂν
δεηθῶ σου· παῦσαι, ἔφη, τὸ νῦν εἶναι μεμφόμενός
μοι· ἐπειδὰν δὲ πεῖραν ἡμῶν λάβῃς, πῶς ἔχομεν πρὸς
σέ, ἐὰν μὲν δή σοι φαίνηται τὰ ὑπ' ἐμοῦ πεπραγμένα
ἐπὶ τῷ σῷ ἀγαθῷ πεποιημένα, ἀσπαζομένου τέ μού σε
ἀντασπάζου με, εὐεργέτην τε νόμιζε· ἐὰν δ' ἐπὶ θάτερα,
τότε μοι μέμφου. Ἀλλ' ἴσως μέντοι, ἔφη ὁ Κυαξάρης, 36
καλῶς λέγεις· κἀγὼ οὕτω ποιήσω. Τί οὖν; ἔφη ὁ

§. 35. *πῶς ἔχομεν*] A. B. G. V. *ὅπως ἔχομεν* edd.
ἀσπαζομένου τέ μού σε ἀντασπάζου με] Locus multis interpretamentis vitiatus ita fortasse corrigendus est: *ἀσπαζόμενόν τέ με ἀντασπάζου, εὐεργ.*

§. 34. *εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν οὕτω με ἀποστερεῖν ἐφυλάττου*] si ullam mei rationem haberes, nulla re magis caveres me privare. Falluntur enim qui imperfecta hic Latinorum plusquamperfectis respondere existimant.

Τί γὰρ ἐμοὶ πλέον] Quid enim mihi prodest? Pertinet vero *ἐμοί* non tam ad *πλέον* quam ad *πλατύνεσθαι*. Dicendi formularum *τί πλέον* et *οὐδὲν πλέον* quod satis est exemplorum continetur Blomfield. Gloss. ad Aeschyl. Agam. 995.

ἡμᾶς] me et maiores nostros vel omnino nos reges. Hoc sibi vult Cyaxares: non quod omnibus Medis sum praestantior, in eos tenebam imperium, sed quod iidem illi postulant, ut nos simus omnibus in rebus ipsis meliores.

§. 35. *κἀγώ – καὶ σύ*] Vid. not. ad I. 6, 12. III. 3, 38.

ὧν ἂν δεηθῶ σου] quaecunque te rogabo. Nam *δεῖσθαι* cum duplice genitivo strui non opus est alius testimonio demonstretur quam Matthiae §. 332. p. 457.

τὸ νῦν εἶναι] für jetzt reddendum fuit etiam c. 3, 42.

ἐὰν δ' ἐπὶ θάτερα] i. e. *ἐὰν δ' ἐπὶ τῷ σῷ κακῷ πεποιημένα φαίνηται.* Eodem euphemismo in voce *ἕτερος* usi etiam alii Graeci sunt, quos attulit Valckenar. Diatr. p. 111. (116. Lips.).

§. 36. *Ἀλλ' ἴσως μέντοι – καλῶς λέγεις*] Supple hunc in modum: non deest quidem quod contradicam, sed

Κῦρος, ἦ καὶ φιλήσω σε; Εἰ σὺ βούλει, ἔφη. Καὶ οὐκ ἀποστρέψῃ με, ὥςπερ ἄρτι; Οὐκ ἀποστρέφομαι, ἔφη. Καὶ ὃς ἐφίλησεν αὐτόν.

Cyaxares reconciliatus deducitur in tabernaculum et donatur a suis.

37 Ὡς δὲ εἶδον οἱ Μῆδοί τε καὶ οἱ Πέρσαι καὶ οἱ ἄλλοι, πᾶσι γὰρ ἔμελεν, ὅ τι ἐκ τούτων ἔσοιτο, εὐθὺς ἥσθησάν τε καὶ ἐφαιδρύνθησαν. Καὶ ὁ Κῦρος δὲ καὶ ὁ Κυαξάρης ἀναβάντες ἐπὶ τοὺς ἵππους ἡγοῦντο, καὶ ἐπὶ μὲν τῷ Κυαξάρῃ οἱ Μῆδοι εἵποντο, ὁ Κῦρος γὰρ αὐτοῖς οὕτως ἐπένευσεν, ἐπὶ δὲ τῷ Κύρῳ οἱ Πέρσαι,
38 οἱ δ' ἄλλοι ἐπὶ τούτοις. Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον, καὶ κατέστησαν τὸν Κυαξάρην εἰς τὴν κατεσκευασμένην σκηνήν, οἷς μὲν ἐπετέτακτο παρεσκεύαζον
39 τὰ ἐπιτήδεια τῷ Κυαξάρῃ· οἱ δὲ Μῆδοι, ὅσον χρόνον σχολὴν πρὸ δείπνου ἦγεν ὁ Κυαξάρης, ᾖεσαν πρὸς αὐτόν, οἱ μὲν καὶ αὐτοὶ καθ' ἑαυτούς, οἱ δὲ πλεῖστοι ὑπὸ Κύρου ἐγκέλευστοι, δῶρα ἄγοντες, ὁ μέν τις οἰνοχόον καλόν, ὁ δὲ ὀψοποιὸν ἀγαθόν, ὁ δὲ ἀρτοποιόν, ὁ δὲ μουσουργόν, οἱ δὲ ἐκπώματα, οἱ δὲ ἐσθῆτα καλήν· πᾶς δέ τις ὡς ἐπὶ τὸ πολὺ ἕν γέ τι ὧν εἰλήφει ἐδωρεῖτο αὐτῷ.

fortasse tamen recte dicis, (vielleicht hast du dennoch recht) in salutem meam effecta esse quae gessisti, atque ita faciam, ita a te gesta esse censebo.
ὥςπερ ἄρτι] §. 6.

§. 37. *ἡγοῦντο*] praeibant, fronti praeerant, ut in castra suos ducerent.
ἐπὶ τῷ Κυαξάρῃ] post Cyaxarem. Matth. §. 398. p. 538. Lobeck. ad Phryn. p. 353 sq.

§. 38. *οἷς μὲν ἐπετέτακτο παρεσκεύαζον τὰ ἐπιτήδεια τῷ Κυαξάρῃ*] hi, quibus id negotii fuerat datum, omnes ei res necessarias suppeditabant. Gabr. sed *πάντα*, si quid unquam, inutile additamentum esset.

§. 39. *αὐτοὶ καθ' ἑαυτούς*] soli, non cum aliis coniuncti. Viger. p. 166. 633. verum oppositio in verbis *οἱ δὲ πλεῖστοι ὑπὸ Κύρου ἐγκέλευστοι* ostendit desiderari sensum: ipsi sua sponte, i. e. Graece *αὐτοὶ ἀφ' ἑαυτῶν*, quod nec Schaefero in Mell. critt. p. 22. displicuit, et in vetustioribus excusum est exemplaribus.
ἐγκέλευστοι] Zonar. Lex. I. p. 598. Ἐγκέλευστοι· μετὰ προςτάξεως· οἱ δὲ ὑπὸ Κύρου ἐγκέλευστοι, ubi vid. Tittmann.
ἕν γέ τι ὧν εἰλήφει] unum certe eorum, quae acce-

Ὥςτε τὸν Κυαξάρην μεταγιγνώσκειν, ὡς οὔτε ὁ Κῦρος ἀφίστη αὐτοὺς ἀπ' αὐτοῦ, οὔτε οἱ Μῆδοι ἧττόν τι αὐτῷ προςεῖχον τὸν νοῦν ἢ καὶ πρόσθεν.

Dum Cyaxares cum suis coenat, Cyrus in concione amicorum refert de bello ducendo.

Ἐπεὶ δὲ δεῖπνου ὥρα ἦν, καλέσας ὁ Κυαξάρης 41
ἠξίου τὸν Κῦρον, διὰ χρόνου ἰδόντα αὐτόν, συνδειπνεῖν. Ὁ δὲ Κῦρος ἔφη· Μὴ δὴ σὺ κέλευε, ὦ Κυαξάρη· ἢ οὐχ ὁρᾷς, ὅτι οὗτοι οἱ παρόντες ὑφ' ἡμῶν πάντες ἐπηρμένοι πάρεισιν; οὔκουν καλῶς ἂν πράττοιμι, εἰ τούτων ἀμελῶν τὴν ἐμὴν ἡδονὴν θεραπεύειν δοκοίην. Ἀμελεῖσθαι δὲ δοκοῦντες στρατιῶται, οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίγνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι. Ἀλλὰ σὺ μέν, ἔφη, ἄλλως τε καὶ ὁδὸν μακρὰν 42
ἥκων, δείπνει ἤδη· καὶ εἴ τινές σε τιμῶσιν, ἀντασπάζου καὶ εὐώχει αὐτούς, ἵνα σε καὶ θαῤῥήσωσιν· ἐγὼ δὲ ἀπιὼν ἐφ' ἅπερ λέγω τρέψομαι. Αὔριον δ', ἔφη, πρωῒ 43
δεῦρο ἐπὶ τὰς σὰς θύρας παρέσονται πάντες οἱ ἐπικαίριοι, ὅπως βουλευσώμεθα σὺν σοί, τί χρὴ ποιεῖν τὸ ἐκ τοῦδε. Σὺ δὲ ἡμῖν ἔμβαλε παρὼν περὶ τούτου, πότερον ἔτι δοκεῖς στρατεύεσθαι, ἢ καιρὸς ἤδη διαλύειν τὴν

§. 41. ἢ οὐχ ὁρᾷς] ἢ in aliis excidit, nescio quam recte. Cf. ad Conviv. p. 185.
ὑβριστότεροι] ὑβριστικώτεροι Vat. quod utrumque centies inter se confunditur. Cf. Matth. §. 128. 3. p. 252. ed. sec.
§. 43. δοκεῖς] etiam Vat. pro δοκεῖ.

perat. τὸ κάλλιστον de suo adiecit Zonaras hist.

§. 41. διὰ χρόνου ἰδόντα αὐτόν] quod interiecto tempore ipsum videret. Hoc Cyaxaris superbiam magis depingit, quam ἰδὼν αὐτόν ad nominativum Κυαξάρης referendum.

ἐπηρμένοι] spe et exspectatione erecti rerum gerendarum, quam milites e mutua Cyaxaris et Cyri reconciliatione conceperant.

δοκοῦντες στρατιῶται] Cum militum contemni se putantium duo distinguantur genera, huc pertinent dicta ad §. 23.

§. 42. ἵνα σε καὶ θαῤῥήσωσιν] quo magis tibi confidant. Gabr. Vid. ad I. 5, 14.

§. 43. ἔμβαλε] Suppleri iubent λόγον ut ad συμβάλλειν in Lamb. Bos. Ellips. p. 68. ed. Schaef., qui ad Longi Past. p. 339. dictionem ἐμβάλλειν λόγον tractavit.

44 στρατιάν. Ἐκ τούτου ὁ μὲν Κυαξάρης ἀμφὶ δεῖπνον εἶχεν, ὁ δὲ Κῦρος, συλλέξας τῶν φίλων τοὺς ἱκανωτάτους καὶ φρονεῖν καὶ συμπράττειν εἴ τι δέοι, ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι, ἃ μὲν δὴ πρῶτα εὐξάμεθα, πάρεστιν ἡμῖν σὺν θεοῖς. Ὅπη γὰρ ἂν πορευώμεθα, κρατοῦμεν τῆς χώρας· καὶ μὲν δὴ τοὺς πολεμίους ὁρῶμεν μειουμένους, ἡμᾶς δὲ αὐτοὺς πλείονάς τε καὶ ἰσχυροτέ-
45 ρους γιγνομένους. Εἰ δὲ ἡμῖν ἔτι ἐθελήσειαν οἱ νῦν προσγεγενημένοι σύμμαχοι παραμεῖναι, πολλῷ ἂν μᾶλλον ἀνύσαι δυναίμεθα, καὶ εἴ τι βιάσασθαι καιρός, καὶ εἴ τι πεῖσαι δέοι. Ὅπως οὖν τὸ μένειν ὡς πλείστοις συνδοκῇ τῶν συμμάχων, οὐδὲν τοῦτο μᾶλλον ἔργον
46 ἐμὸν ἢ καὶ ὑμέτερον μηχανᾶσθαι. Ἀλλ' ὥσπερ καί, ὅταν μάχεσθαι δέῃ, ὁ πλείστους χειρωσάμενος ἀλκιμώτατος δοξάζεται εἶναι, οὕτω καί, ὅταν πεῖσαι δέῃ, ὁ πλείστους ὁμογνώμονας ἡμῖν ποιήσας, οὗτος δικαίως ἂν λεκτικώτατός τε καὶ πρακτικώτατος κρίνοιτο ἂν εἶναι.
47 Μὴ μέντοι ὡς λόγον ἡμῖν ἐπιδειξόμενοι, οἷον ἂν εἴπητε πρὸς ἕκαστον αὐτῶν, τοῦτο μελετᾶτε, ἀλλ' ὡς τούς γε πεπεισμένους ὑφ' ἑκάστου δήλους ἐσομένους οἷς ἂν

§. 44. πάρεστιν ἡμῖν σὺν θεοῖς] σὺν θεοῖς πάρεστιν ἡμῖν edd. vett. πάρεστι σὺν θεοῖς codd.

§. 46. ὅταν πεῖσαι δέῃ] ὅταν που δέῃ βουλῆς edd. vett. non sine magna probabilitatis specie: certe πού non est cur reiiciatur. Similiter librarii turbarunt I. 6, 25.

§. 44. Ὅπη γὰρ ἂν πορευώμεθα] i. e. ὅποι γὰρ ἂν πορευώμεθα καὶ ὅπη ἂν ὦμεν, dummodo ὅπῃ ex Hermanni sententia ad Viger. p. 789. 252. c. quietem quoque significet in isto loco, quo quis tendit. Cf. supra not. ad I, 3, 4. V. 4, 15.

§. 45. οὐδὲν τοῦτο μᾶλλον ἔργον ἐμὸν ἢ καὶ ὑμέτερον μηχανᾶσθαι] hoc ipsum efficere non mei magis quam vestri officii est. Casel.

§. 46. ὥσπερ καί – οὕτω καί] Redi ad II. 2, 6. et §. 35. huius cap.

δοξάζεται] existimatur, non laudatur teste Schneidero ad Anab. VI. 1, 32.

§. 47. ὡς τούς γε πεπεισμένους ὑφ' ἑκάστου δήλους ἐσομένους] Totius loci, quo constructionis causa illustrandae II. 1, 11. usus eram, hunc sensum affert Weiskius: sed ita vos parate,

πράττωσιν, οὕτω παρασκευάζεσθε. Καὶ ὑμεῖς μέν, 48
ἔφη, τούτων ἐπιμελεῖσθε· ἐγὼ δέ, ὅπως ἂν ἔχοντες τὰ ἐπιτήδεια, ὅσον ἂν ἔγωγε δύνωμαι, οἱ στρατιῶται περὶ τοῦ στρατεύεσθαι βουλεύωνται, τούτου πειράσομαι ἐπιμελεῖσθαι.

ut ii, quibus persuasistis de bello continuando, ipsis factis ostendant sibi esse persuasum.

§. 48. ἐγὼ δέ, ὅπως ἂν – ἐπιμελεῖσθαι] Vulgaris verborum ordo hic est: ἐγὼ δέ, ὅσον ἂν ἔγωγε δύνωμαι, πειράσομαι τούτου ἐπιμελεῖσθαι, ὅπως ἂν οἱ στρατιῶται, ἔχοντες τὰ ἐπιτήδεια, περὶ τοῦ στρατεύεσθαι βουλεύωνται.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ϛ'.

CAPUT I.

Ante Cyaxaris tabernaculum congregati socii rogant Cyrum, ne dimittat exercitum.

1 Ταύτην μὲν δὴ τὴν ἡμέραν οὕτω διαγαγόντες καὶ δειπνήσαντες ἀνεπαύοντο· τῇ δ' ὑστεραίᾳ πρῳῒ ἧκον ἐπὶ τὰς Κυαξάρου θύρας πάντες οἱ ξύμμαχοι. Ἕως οὖν ὁ Κυαξάρης ἐκοσμεῖτο, ἀκούων, ὅτι πολὺς ὄχλος ἐπὶ τὰς θύρας εἴη, ἐν τούτῳ οἱ φίλοι τῷ Κύρῳ προςῆγον οἱ μὲν Καδουσίους αὐτοῦ μένειν δεομένους, οἱ δὲ Ὑρκανίους, ὁ δέ τις Σάκας, ὁ δέ τις καὶ Γωβρύαν· Ὑστάσπης δὲ Γαδάταν τὸν εὐνοῦχον προςῆγε, δεόμενον τοῦ
2 Κύρου μένειν. Ἔνθα δὴ ὁ Κῦρος, γιγνώσκων, ὅτι ὁ Γαδάτας πάλαι ἀπολώλει τῷ φόβῳ, μὴ λυθείη ἡ στρα-

Cap. I. §. 1. *πάντες οἱ ξύμμαχοι*] *οἱ ἐπικαίριοι*, quos Cyrus V. 5, 43. comparere iusserat.

ἐπὶ τὰς θύρας εἴη] Eurip. Iphig. Aul. 795. Matth. *οἴκους ἐρήμους ἐκλιπόντες ἐνθάδε θάσσουσ' ἐπ' ἀκτάς.* Ad Longi Past. p. 140. *εἰςκομίζει τις ἐπὶ σκεῦος ἀργυροῦν θεράπων τὰ γνωρίσματα*, Schaef. inter alia provocavit etiam ad Hes. Ἔργ. v. 11. *ἀλλ' ἐπὶ γαῖαν Εἶσι δύω.* Anab. VII. 3, 34. haud pauci codices habent Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμάς pro ἐπὶ δυσμαῖς. Matth. §. 586. p. 1169.

ὁ δέ τις Σάκας, ὁ δέ τις καὶ Γωβρύαν] alius quis Sacas, alius quis etiam Gobryam. Sic Hermann. ad Viger. p. 701. 13.

§. 2. *ἀπολώλει*] *ἀπωλώλει* e Guelf. protractum non reiiciunt grammatici, Matth. §. 168. p. 307. ed. sec. Schaefer. Apparat. Demosth. T. III. p. 175. De re cf. V. 4, 33 sqq.

τιά, ἐπιγελάσας εἶπεν, Ὦ Γαδάτα, δῆλος εἶ, ἔφη,
ὑπὸ τοῦ Ὑστάσπου τούτου πεπεισμένος ταῦτα γιγνώ-
σκειν, ἃ λέγεις. Καὶ ὁ Γαδάτας ἀνατείνας τὰς χεῖρας 3
εἰς τὸν οὐρανὸν ἀπώμοσεν ἦ μὴν μὴ ὑπὸ τοῦ Ὑστά-
σπου πεισθεὶς ταῦτα γιγνώσκειν· ἀλλ' οἶδα, ἔφη, ὅτι, ἂν
ὑμεῖς ἀπέλθητε, ἔρρει τἀμὰ παντελῶς· διὰ ταῦτ', ἔφη,
καὶ τούτῳ ἐγὼ αὐτὸς διελεγόμην, ἐρωτῶν, εἰ εἰδείη, τί
ἐν νῷ ἔχεις ὑπὲρ τῆς διαλύσεως τοῦ στρατεύματος ποι-
εῖν. Καὶ ὁ Κῦρος εἶπεν· Ἀδίκως ἄρα ἐγώ, ὡς ἔοικεν, 4
Ὑστάσπου τοῦδε καταιτιῶμαι. Ἀδίκως μέντοι, νὴ Δία,
ἔφη ὁ Ὑστάσπης, ὦ Κῦρε· ἐγὼ γὰρ ἔλεγον τῷ Γαδάτᾳ
τῷδε τοσοῦτο μόνον, ὡς οὐχ οἷόν τέ σοι εἴη στρατεύε-
σθαι, λέγων, ὅτι ὁ πατήρ σε μεταπέμπεται. Καὶ ὁ 5
Κῦρος, Τί λέγεις; ἔφη· καὶ σὺ τοῦτο ἐτόλμησας ἐξε-
νεγκεῖν, εἴτ' ἐγὼ ἐβουλόμην, εἴτε μή; Ναὶ μὰ Δί', ἔφη·

Cap. I. §. 3. *πεισθεὶς ταῦτα γιγνώσκειν*] *ταῦτα πεπεῖσθαι ἃ γιγνώσκοι* edd. vett. Vid. ad c. 4, 6.

διελεγόμην] *διηγόμην* Vat. qualis corruptela correctioni *προσῆλθον* occasionem dedit.

τί ἐν νῷ ἔχεις - ποιεῖν] *τίνα γνώμην ἔχοις* omisso *ποιεῖν* Schn.

§. 4. *Ἀδίκως ἄρα ἐγώ*] Diasceuastae miris modis hunc locum interpolaverant: *Ἀδίκως γὰρ ἐγώ, ὡς ἔοικεν, Ὑστάσπην αἰτιῶμαι. Καὶ ὁ Ὑστάσπης εἶπε· Ναὶ μὰ Δία, ἔφη, ὦ Κῦρε, ἀδίκως μὲν δή· ἐπειδὴ ἔγωγε καὶ ἀντέλεγον Γαδάτᾳ, ὡς οὐχ οἷόν τέ σοι μένειν, λέγων, ὅτι ὁ πατήρ σε μεταπέμποιτο.* Adversantur tamen integerrimi quique, quorum ex parte *τοσοῦτο* praetuli vulgato *τοσοῦτον*.

§. 3. *ἀλλ' οἶδα*] Ad rectam orationem ex obliqua delabitur Gadatas: qui transitus quam late apud Graecos pateat, lector benevolus ex not. ad II. 4, 1. cognitum habet.

ἐγὼ αὐτός] ego mea sponte, non ab aliis excitatus. Hermann. ad Viger. p. 733. III.

τί ἐν νῷ ἔχεις - ποιεῖν] Etsi abesse infinitivus poterat, non tamen eliminandum putem, quem Herodoti, cuius sermonem scriptor hic imitatur, oratio nentiquam respuit. Herodt. I. 109. *Νῦν ὦν τί σοι ἐν νόῳ ἐστὶ ποιέειν;*

§. 4. *ὡς ἔοικεν*] His adiectis non dubium est quin Cyri ironiae maior concilietur probabilitas.

λέγων] Post *ἔλεγον* non magis, opinor, offendit quam vel Demosthenis verba pro Corona p. 242. v. 18. *εἰπέ που λέγων*, vel quae id genus alia ad Conviv. p. 150 sq. apposui. Cf. not. ad V. 1, 1.

§. 5. *καὶ σὺ τοῦτο ἐτόλμησας ἐξενεγκεῖν, εἴτ' ἐγὼ ἐβουλόμην, εἴτε μή;*] sc. *ἐξενεγκεῖν*. Ac tu, inquit Cyrus, hoc efferre ausus es, non curans, vellemne efferri necne?

ὁρῶ γάρ σε ὑπερεπιθυμοῦντα ἐν Πέρσαις περίβλεπτον περιελθεῖν, καὶ τῷ πατρὶ ἐπιδείξασθαι ἃ ἕκαστα διεπράξω. Ὁ δὲ Κῦρος ἔφη, Σὺ δὲ οὐκ ἐπιθυμεῖς οἴκαδε ἀπελθεῖν; Οὐ μὰ Δί', ἔφη ὁ Ὑστάσπης, οὐδὲ ἄπειμί γε, ἀλλὰ μένων στρατηγήσω, ἕως ἂν ποιήσω Γαδάταν τουτονὶ τοῦ Ἀσσυρίου δεσπότην.

Egresso iam Cyaxare, decernitur bellum esse prosequendum.

6 Οἱ μὲν δὴ τοιαῦτα ἔπαιζον σπουδῇ πρὸς ἀλλήλους· ἐν δὲ τούτῳ ὁ Κυαξάρης σεμνῶς κεκοσμημένος ἐξῆλθε, καὶ ἐπὶ θρόνου Μηδικοῦ ἐκαθέζετο. Ὡς δὲ πάντες συνῆλθον, οὓς ἔδει, καὶ σιωπὴ ἐγένετο, ὁ Κυαξάρης ἔλεξεν ὧδε· Ἄνδρες ξύμμαχοι, ἴσως, ἐπειδὴ παρὼν τυγχάνω καὶ πρεσβύτερός εἰμι Κύρου, εἰκὸς ἄρχειν με λόγου. Νῦν οὖν δοκεῖ μοι εἶναι καιρός, ἔφη, περὶ τούτου πρῶτον διαλέγεσθαι, πότερον στρατεύεσθαι ἔτι καιρὸς δοκεῖ εἶναι, ἢ διαλύειν ἤδη τὴν στρατιάν· λεγέτω
7 οὖν τις, ἔφη, περὶ αὐτοῦ τούτου ᾗ γιγνώσκει. Ἐκ τούτου πρῶτος μὲν εἶπεν ὁ Ὑρκάνιος· Ἄνδρες ξύμμαχοι, οὐκ οἶδα μὲν ἔγωγε, εἴ τι δεῖ λόγου, ὅπου αὐτὰ τὰ ἔργα δεικνύει τὸ κράτιστον. Πάντες γὰρ ἐπιστάμεθα, ὅτι ὁμοῦ μὲν ὄντες πλείω κακὰ τοὺς πολεμίους ποιοῦμεν ἢ πάσχομεν· ὅτε δὲ χωρὶς ἦμεν ἀλλήλων, ἐκεῖνοι ἡμῖν ἐχρῶντο, ὡς ἐκείνοις ἦν ἥδιστον, ἡμῖν γε μὴν
8 ὡς χαλεπώτατον. Ἐπὶ τούτῳ ὁ Καδούσιος εἶπεν· Ἡμεῖς

§. 6. ἴσως] non agnoscunt codd. nescio an recte.
§. 7. ὁμοῦ μὲν ὄντες] De coniectura dedi pro ὁμοῦ μένοντες.

ὁρῶ γάρ σε ὑπερεπιθυμοῦντα — διεπράξω] »Quibus verbis contra, quam per se significant, dicere vult Cyrum a vana ostentatione longissime remotum esse, neque unquam, ob eam quidem causam, in Persas rediturum. Denique iocus, uti par erat, ita terminatur, ut Gadatas, si forte in sollicitudinem adductus est, animum recipere possit.« Weisk.

§. 6. σεμνῶς κεκοσμημένος] Hoc quid sit, intelligi licet ex I. 3, 2. II. 4, 1 sqq.

ᾗ γιγνώσκει] Non praeteriit Zeunium paucorum verborum esse Cyaxarem, ut qui nihil referat, nisi quod Cyrus ei dixerat V. 5, 43.

§. 7. ἡμῖν γε μὴν ὡς χαλεπώτατον] sc. ἦν, at nobis vero quo modo quam molestissimum erat.

δὲ τί ἂν λέγοιμεν, ἔφη, περὶ τοῦ οἴκαδε ἀπελθόντες ἕκαστοι χωρὶς εἶναι, ὁπότε γε οὐδὲ στρατευομένοις, ὡς ἔοικε, χωρίζεσθαι συμφέρει; Ἡμεῖς γοῦν οὐ πολὺν χρόνον δίχα τοῦ ὑμετέρου πλήθους στρατευσάμενοι δίκην ἔδομεν, ὡς καὶ ὑμεῖς ἐπίστασθε. Ἐπὶ τούτῳ Ἀρ- 9
τάβαζος ὅ ποτε φήσας εἶναι Κύρῳ συγγενὴς ἔλεξε τοιάδε· Ἐγὼ δέ, ἔφη, ὦ Κυαξάρη, τοσοῦτον διαφέρομαι τοῖς πρόσθεν λέγουσιν· οὗτοι μὲν γάρ φασιν, ὅτι δεῖ μένοντας στρατεύεσθαι, ἐγὼ δὲ λέγω, ὅτι, ὅτε μὲν οἴ-
κοι ἤμην, ἐστρατευόμην· καὶ γὰρ ἐβοήθουν πολλάκις, 10
τῶν ἡμετέρων ἀγομένων, καὶ περὶ τῶν σφετέρων φρουρίων, ὡς ἐπιβουλευσομένων, πολλάκις πράγματα εἶχον, φοβούμενός τε καὶ φρουρῶν· καὶ ταῦτα ἔπραττον τὰ οἰκεῖα δαπανῶν. Νῦν δ' ἔχω μὲν τὰ ἐκείνων φρούρια, οὐ φοβοῦμαι δ' ἐκείνους, εὐωχοῦμαι δὲ τὰ ἐκείνων, καὶ πίνω τὰ τῶν πολεμίων. Ὡς οὖν τὰ μὲν οἴκοι στρατείαν οὖσαν, τάδε δὲ ἑορτήν, ἐμοὶ μὲν οὐ δοκεῖ, ἔφη, δια-

§. 9. ὅτι δεῖ μένοντας] Fort. ὅτι δεῖν μένοντας vel ὅτι ἔτι δεῖν.

§. 8. *στρατευομένοις*] sc. *ἡμῖν*. Clades haec Cadusiorum narrabatur V. 4, 15 sq.

§. 9. *ὅ ποτε φήσας εἶναι Κύρῳ συγγενής*] Vide not. ad V. 1, 24.

τοσοῦτον διαφέρομαι τοῖς πρόσθεν λέγουσιν] tantum modo dissentio ab iis, qui antea verba faciebant. *τοσοῦτον* pro *τοσοῦτον μόνον* dictum esse ne Vigerus quidem ignoravit p. 153.

ἤμην] Formam improbant Atticistae allati a Matth. §. 216. p. 411. ed. sec. et Bremio ad Lys. p. 53.

§. 10. *τῶν ἡμετέρων ἀγομένων*] cum nostrae res diriperentur.

περὶ τῶν σφετέρων φρουρίων] Variandae orationis causa noluit repetere *περὶ τῶν ἡμετέρων φρουρίων*. Vid. Matth. §. 149. p. 280. ed. sec. Gerhard. Lectt. Apollon. p. 94.

ὡς ἐπιβουλευσομένων] futur. med. significatione passiva, ut V. 4, 34. et infra §. 12. *αὐξήσεται*. Respicitur fortasse ad I. 4, 16.

τὰ οἰκεῖα δαπανῶν] Malim explicari patriae meae sumptu, quam aliam interpretationem e verbis I. 2, 15. peti: *οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας πέμπουσιν*.

Ὡς οὖν τὰ μὲν οἴκοι στρατείαν οὖσαν, τάδε δὲ ἑορτήν] Eurip. Troad. 99. Matth. *οὐκέτι Τροία τάδε*. Cyclop. 63. *Οὐ τάδε Βρόμιος*. Heindorf. ad Plat. Protag. p. 637. Blomf. Gloss. ad Aeschyl. Pers. v. 1. Quod *ὡς* cum accusativis constructum est, memineris oportet eorum, quae I. 4, 23. I. 6, 1. annotavi.

11 λύειν τήνδε τὴν πανήγυριν. Ἐπὶ τούτῳ ὁ Γωβρύας εἶπεν· Ἐγὼ δ', ὦ ἄνδρες ξύμμαχοι, μέχρι μὲν τοῦδε ἐπαινῶ τὴν Κύρου δεξιάν· οὐδὲν γὰρ ψεύδεται ὧν ὑπέσχετο· εἰ δ' ἄπεισιν ἐκ τῆς χώρας, δῆλον, ὅτι ὁ μὲν Ἀσσύριος ἀναπαύσεται, οὐ τίνων ποινὰς ὧν τε ὑμᾶς ἐπεχείρησεν ἀδικεῖν καὶ ὧν ἐμὲ ἐποίησεν· ἐγὼ δὲ ἐν τῷ μέρει ἐκείνῳ πάλιν δώσω δίκην, ὅτι ὑμῖν φίλος ἐγενόμην.

Cyrus suadet, ut castellis hostium sublatis a suis nova exstruantur.

12 Ἐπὶ τουτοισὶ πᾶσι Κῦρος εἶπεν· Ὦ ἄνδρες, οὐδ' ἐμὲ λανθάνει, ὅτι, ἐὰν μὲν διαλύσωμεν τὸ στράτευμα, τὰ μὲν ἡμέτερα ἀσθενέστερα γίγνοιτ' ἄν, τὰ δὲ τῶν πολεμίων πάλιν αὐξήσεται. Ὅσοι τε γὰρ αὐτῶν ὅπλα ἀφῄρηνται, ταχὺ ἄλλα ποιήσονται· ὅσοι τε ἵππους ἀπεστέρηνται, ταχὺ πάλιν ἄλλους ἵππους κτήσονται· ἀντὶ δὲ τῶν ἀποθανόντων ἕτεροι ἐφηβήσουσι καὶ ἐπιγενήσονται· ὥστε οὐδὲν θαυμαστόν, εἰ πάνυ ἐν τάχει πάλιν

§. 12. Ἐπὶ τουτοισὶ πᾶσι] τουτοισί ex A. B. G. V. sumptum pro τούτοις. Iidem paullo post ἐὰν μὲν διαλύωμεν, ubi μέν vulgo deerat.

πανήγυριν] »Bene exercitus nondum dimissus ita nominatur, quasi celebritas ludis aut festis agendis congregata.« Weisk.

§. 11. οὐδὲν γὰρ ψεύδεται ὧν ὑπέσχετο] nihil enim non praestitit eorum, quae promisit. Gabr. Nostrates praesente tempore dixerint: denn er hält in allem Wort, was er versprochen hat. Cf. IV. 6, 8.

ἐν τῷ μέρει] vicissim. II. 3, 18. Viger. p. 107.

§. 12. ὅτι — γίγνοιτ' ἄν, — αὐξήσεται] Contrarius modorum ordo locum habuit I. 1, 2. ἐννοοῦμεν, ὅτι ἄρχοντες μέν εἰσι καὶ οἱ βουκόλοι τῶν βοῶν, καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς — εἰκότως ἂν ἄρχοντες τούτων νομίζοιντο. Indicativum rem ponere ut certam, optativo modestam contineri affirmationem docet Bremi Excurs. ad Lys. Orat. p. 446 sq.

ἐφηβήσουσι καὶ ἐπιγενήσονται] »Supplebitur paullatim hostium exercitus, quum alii brevi ad pubertatem perventuri sint, alii posthac nascituri.« Heind. Cumulatis iisdem terminationibus ἀφῄρηνται, ποιήσονται, ἀπεστέρηνται, κτήσονται, ἐπιγενήσονται et δυνήσονται magnitudinem quandam rerum et multitudinem scriptor exprimi voluit: quam dicendi figuram σχῆμα Γοργίειον rhetores nominant. V. 3, 35. ἀριστήσομέν τε καὶ δειπνήσομεν καὶ καθευδήσομεν. Cf. VIII. 6, 16.

ἡμῖν πράγματα παρέχειν δυνήσονται. Τί δῆτα ἐγὼ 13
Κυαξάρην ἐκέλευσα λόγον ἐμβαλεῖν περὶ καταλύσεως τῆς
στρατιᾶς; Εὖ ἴστε, ὅτι φοβούμενος τὸ μέλλον. Ὁρῶ
γὰρ ἡμῖν ἀντιπάλους προσιόντας, οἷς ἡμεῖς, εἰ ὧδε
στρατευσόμεθα, οὐ δυνησόμεθα μάχεσθαι. Προσέρ- 14
χεται μὲν γὰρ χειμὼν δήπου, στέγαι δ' εἰ καὶ ἡμῖν αὐ-
τοῖς εἰσιν, ἀλλὰ μὰ Δί' οὐχ ἵπποις, οὐδὲ θεράπουσιν,
οὐδὲ τῷ δήμῳ τῶν στρατιωτῶν· ὧν ἄνευ ἡμεῖς οὐκ ἂν
δυναίμεθα στρατεύεσθαι· τὰ δ' ἐπιτήδεια, ὅπου μὲν
ἡμεῖς ἐληλύθαμεν, ὑφ' ἡμῶν ἀνήλωται· ὅποι δὲ μὴ
ἀφίγμεθα, διὰ τὸ ἡμᾶς φοβεῖσθαι ἀνακεκομισμένοι εἰ-
σὶν εἰς ἐρύματα, ὥςτε αὐτοὶ μὲν ἔχειν, ἡμᾶς δὲ ταῦτα
μὴ δύνασθαι λαμβάνειν. Τίς οὖν οὕτως ἀγαθός, ἢ τίς
οὕτως ἰσχυρός, ὃς λιμῷ καὶ ῥίγει δύναιτ' ἂν μαχόμενος
στρατεύεσθαι; Εἰ μὲν οὖν οὕτω στρατευσόμεθα, ἐγὼ 15
μέν φημι χρῆναι ἑκόντας ἡμᾶς καταλῦσαι τὴν στρατιὰν
μᾶλλον ἢ ἄκοντας ὑπ' ἀμηχανίας ἐξελαθῆναι. Εἰ δὲ
βουλόμεθα ἔτι στρατεύεσθαι, τόδ' ἐγώ φημι χρῆναι
ποιεῖν, ὡς τάχιστα πειρᾶσθαι τῶν μὲν ἐκείνων ὀχυρῶν
ὡς πλεῖστα παραιρεῖν, ἡμῖν δ' αὐτοῖς ὡς πλεῖστα ὀχυρὰ
ποιεῖσθαι· ἐὰν γὰρ ταῦτα γένηται, τὰ μὲν ἐπιτήδεια

§. 13. *ὧδε*] sic, ut nunc sumus, so aufs Gerathewohl. Tritissimum hoc significatu *οὕτως*, ut §. 15.

§. 14. *ἀνήλωται*] Vid. not. ad I. 4, 5. IV. 5, 7.

ὅποι δὲ μὴ ἀφίγμεθα] Vulgatum *ὅπου* mutari olim vetuit Heindorf. ad Plat. Phaed. p. 222. Cf. ad IV. 5, 36. Zonaras: *Τὰ μὲν γὰρ ἀνήλωται παρ' ἡμῶν, τὰ δὲ δι' ἡμᾶς ὑπὸ τῶν ἐναντίων ἀνακεκόμισται εἰς ἐρύματα.* Legit igitur *ἀνακεκομισμένα ἐστίν*, corrupte et praeter necessitatem, quandoquidem perfectum passivi constat mediae formae vi poni. Vid. Matth. §. 493.

ὥςτε αὐτοὶ μὲν ἔχειν, ἡμᾶς δέ] Poterat scribi etiam *αὐτούς* cum editionibus vetustioribus, verum in hac quoque locutione Graeci orationem variarunt docente Fritsch. in Quaest. Lucian. p. 101 sq.

οὕτως – ὅς] Hoc genus dicendi occurrebat etiam III. 3, 50.

§. 15. *ὡς τάχιστα πειρᾶσθαι*] Ad *τόδε* explicationis causa infinitivum scito illatum esse; ex quo genere erant quae exempla ad II. 2, 8. IV. 1, 15. commemorata sunt.

τῶν μὲν ἐκείνων ὀχυρῶν ὡς πλεῖστα παραιρεῖν] i. e. *παραιρεῖν ὡς πλεῖστα τῶν ὀχυρῶν ἐκείνων*, ita ut *ἐκείνων* ab *τῶν ὀχυρῶν* pendeat. Durum hoc neque tamen insolitum esse demonstravit Matth. §. 380. n. 2. p. 699. ed. sec., egoque ad V. 2, 27. Sic etiam Zonaras: *δοκῶ δὲ χρῆναι τὰ μὲν τῶν ἐναντίων παραιρεῖν ὀχυρώματα.*

πλείω ἕξουσιν ὁπότεροι ἂν πλείω δύνωνται λαβόντες ἀποτίθεσθαι, πολιορκήσονται δὲ ὁπότεροι ἂν ἥττους
16 ὦσι. Νῦν δ' οὐδὲν διαφέρομεν τῶν ἐν τῷ πελάγει πλεόντων· καὶ γὰρ ἐκεῖνοι πλέουσι μὲν ἀεί, τὸ δὲ πεπλευσμένον οὐδὲν οἰκειότερον τοῦ ἀπλεύστου καταλείπουσιν. Ἐὰν δὲ φρούρια ἡμῖν γένηται, ταῦτα δὴ τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώραν, ἡμῖν δὲ ὑπ' εὐδίαν μᾶλ-
17 λον ἔσται πάντα. Ὃ δὲ ἴσως ἄν τινες ὑμῶν φοβηθεῖεν, εἰ δεήσει πόῤῥω τῆς ἑαυτῶν φρουρεῖν, μηδὲ τοῦτο ὀκνήσητε. Ἡμεῖς μὲν γάρ, ἐπείπερ καὶ ὣς οἴκοθεν ἀποδημοῦμεν, φρουρήσειν ὑμῖν ἀναδεχόμεθα τὰ ἐγγύτατα χωρία τῶν πολεμίων· ὑμεῖς δὲ τὰ πρόσορα ὑμῖν αὐτοῖς τῆς
18 Ἀσσυρίας, ἐκεῖνα κτᾶσθε καὶ ἐργάζεσθε. Ἐὰν γὰρ ἡμεῖς τὰ πλησίον αὐτῶν δυνώμεθα φρουροῦντες σώζεσθαι, ἐν πολλῇ ὑμεῖς εἰρήνῃ ἔσεσθε οἱ τὰ πρόσω αὐτῶν ἔχοντες· οὐ γάρ, οἶμαι, δυνήσονται τῶν ἐγγὺς ἑαυτῶν κακῶν ὄντων ἀμελοῦντες τοῖς πρόσω ὑμῖν ἐπιβουλεύειν.

§. 15. ἥττους] κρείττους etiam Vat., cui aut negatio praemittenda est, aut activo sensu πολιορκήσονται sumendum.

§. 17. μηδὲ τοῦτο ὀκνήσητε] μηδ' ἐν τούτῳ ὀκνήσετε Ald. μηδὲν τοῦτο ὀκνήσητε conieci ad Conviv. p. 217.

§. 18. ἐν πολλῇ ὑμεῖς εἰρήνῃ ἔσεσθε οἱ τὰ πρόσω αὐτῶν ἔχοντες] Omisso ἔσεσθε post ἔχοντες vulgo legitur βιοτεύσετε. Nam scripsisse Xen. videtur ἐν πολλῇ ὑμεῖς εἰρήνῃ ἔσεσθε, οἳ τὰ πρόσω αὐτῶν ἔχοντες βιοτεύσετε.

πολιορκήσονται δὲ ὁπότεροι ἂν ἥττους ὦσι] utri vero fuerint inferiores, isti obsessi tenebuntur, Gabr. i. e. commeatus penuria et fame impugnabuntur. Passive ut accipiendum est etiam πολιορκήσοιντο Hellen. VI. 4, 6. et VII. 5, 18., ita de translato verbi sensu disseruit Ast. ad Plat. legg. p. 205.

§. 16. ὑπ' εὐδίαν] Anab. V. 8, 19. ἐν εὐδίᾳ γὰρ ὁρῶ ὑμᾶς. Sed temerarium fuerit ὑπ' εὐδίᾳ reponere, ubi nihil offensionis habet accusativus. Vid. ad III. 3, 6. V. 3, 47.

§. 17. εἰ δεήσει] i. e. ὅτι δεήσει αὐτούς. Matth. §. 520. p. 1001 sq. §. 617. p. 1251. ed. sec. Rost. §. 121. not. 5.

ἐπείπερ καὶ ὣς οἴκοθεν ἀποδημοῦμεν] quandoquidem vel sic, si quamcunque regionis hostilis partem tuemur, longius domo remoti sumus.

τὰ ἐγγύτατα χωρία τῶν πολεμίων] castella, quae hostibus proxima, a vobis ergo remotissima sunt.

§. 18. τῶν ἐγγὺς ἑαυτῶν κακῶν ὄντων] Ne in ὄντων adiecto haereas, gravis inest in ἑαυτῶν oppositio, ob quam participium commode abesse nequit. Notabilis tamen verborum ordo, cui similia sunt Demosth. pro Coron. p. 269. v. 12 τὰς ὑπὸ

Probato illo consilio Cyrus capit loca hibernis idonea.

Ὡς δὲ ταῦτα ἐῤῥήθη, οἵ τε ἄλλοι πάντες ἀνιστά- 19
μενοι συμπροθυμήσεσθαι ταῦτ' ἔφασαν, καὶ Κυαξάρης.
Γαδάτας δὲ καὶ Γωβρύας καὶ τεῖχος ἑκάτερος αὐτῶν,
ἢν ἐπιτρέψωσιν οἱ σύμμαχοι, τειχίσασθαι ἔφασαν, ὥςτε
καὶ ταῦτα φίλια τοῖς συμμάχοις ὑπάρχειν. Ὁ οὖν Κῦ- 20
ρος, ἐπεὶ πάντας ἑώρα προθύμους ὄντας πράσσειν ὅσα
ἔλεξε, τέλος εἶπεν· Εἰ τοίνυν περαίνειν βουλόμεθα ὅσα
φαμὲν χρῆναι ποιεῖν, ὡς τάχιστ' ἂν δέοι γενέσθαι μη-
χανὰς μὲν εἰς τὸ καθαιρεῖν τὰ τῶν πολεμίων τείχη, τέ-
κτονας δὲ εἰς τὸ ἡμῖν ὀχυρὰ πυργοῦσθαι. Ἐκ τούτου 21
ὑπέσχετο ὁ μὲν Κυαξάρης μηχανὴν αὐτὸς ποιησάμενος
παρέξειν, ἄλλην δὲ Γαδάτας τε καὶ Γωβρύας, ἄλλην δὲ
Τιγράνης· αὐτὸς δὲ Κῦρος ἔφη δύο πειράσεσθαι ποιή-
σασθαι. Ἐπεὶ δὲ ταῦτ' ἔδοξεν, ἐπορίζοντο μὲν μηχα- 22
νοποιούς, παρεσκευάζοντο δ' ἕκαστοι εἰς τὰς μηχανὰς
ὧν δεῖ· ἄνδρας δ' ἐπέστησαν, οἳ ἐδόκουν ἐπιτηδειότατοι
εἶναι ἀμφὶ ταῦτ' ἔχειν.

Κῦρος δ' ἐπεὶ ἔγνω, ὅτι διατριβὴ ἔσται ἀμφὶ ταῦ- 23
τα, ἐκάθισε μὲν τὸ στράτευμα ἔνθα ᾤετο ὑγιεινότατον
εἶναι καὶ εὐπροςοδώτατον ὅσα δεῖ προςκομίζεσθαι· ὅσα

§. 20. πράσσειν] πάντας πράττειν Vat. i. e. πάντα πράττειν.

§. 21. πειράσεσθαι ποιήσασθαι] Non minore codicum assensu suffultum est πειρᾶσθαι ποιήσειν. Quod ante Κῦρος insertum erat ὁ, ab iisdem reiicitur.

τούτου βλαςφημίας εἰρημένας. p. 295. v. 10. τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους. p. 323. v. 13. τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ.

§. 19. τειχίσασθαι ἔφασαν] τειχιεῖσθαι ἔφασαν a correctoribus profectum est, locutionis impatientibus, quam satis tuentur Matth. §. 501. p. 951. ed. sec. et Bremi Excurs. ad Lys. Orat. p. 445 sq.

καὶ ταῦτα] sc. τὰ τείχη, ἃ ἑκάτερος αὐτῶν τειχίσασθαι ἔφη.

§. 20. μηχανὰς] πολιορκητικὰς addidit Zonaras.

§. 23. εὐπροςοδώτατον ὅσα δεῖ προςκομίζεσθαι] aditu facillimum iis rebus, quae ad exercitum apportandae sunt, commeatui nempe.

τε ἐρυμνότητος προςεδεῖτο, ἐποιήσατο, ὡς ἐν ἀσφα-
λεῖ οἱ ἀεὶ μένοντες εἶεν, εἴ ποτε καὶ πρόσω τῇ ἰσχύϊ
24 ἀποστρατοπεδεύοιτο. Πρὸς δὲ τούτοις ἐρωτῶν οὓς
ᾤετο μάλιστα εἰδέναι τὴν χώραν, ὁπόθεν ἂν ὡς πλεῖ-
στα ὠφελοῖτο τὸ στράτευμα, ἐξῆγεν ἀεὶ εἰς προνο-
μάς, ἅμα μὲν ὅπως ὅτι πλεῖστα λαμβάνοι τῇ στρα-
τιᾷ τὰ ἐπιτήδεια, ἅμα δ' ὅπως μᾶλλον ὑγιαίνοιεν καὶ
ἰσχύοιεν διαπονούμενοι ταῖς πορείας, ἅμα δ' ὅπως
25 ἐν ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομιμνήσκοιντο. Ὁ μὲν δὴ
Κῦρος ἐν τούτοις ἦν.

Equitatus Persarum augetur, et instituuntur currus falcati.

Ἐκ δὲ Βαβυλῶνος οἱ αὐτόμολοι καὶ οἱ ἁλισκόμενοι
ταῦτ' ἔλεγον, ὅτι ὁ Ἀσσύριος οἴχοιτο ἐπὶ Λυδίας, πολ-
λὰ τάλαντα χρυσίου καὶ ἀργυρίου ἄγων καὶ ἄλλα κτή-
26 ματα καὶ κόσμον παντοδαπόν. Ὁ μὲν οὖν ὄχλος τῶν

§. 23. ὅσα τε ἐρυμνότητος προςεδεῖτο] ἐρυμνὸν δ', εἴ πη (τι?) ἐρυμνότητος προςεδεῖτο Schneid. ex Alt. et vers. Gabr.

ὅσα τε ἐρυμνότητος προςεδεῖτο] et quod attinet ad ea, quae munitione indigebant. Non de castellis agitur, sed de locis, in quibus constiterat Cyri exercitus. Ὅσα quo dixi sensu usurpatur etiam Platon. legg. XI. 12. Ὅσα τις ἄλλος ἄλλον πημαίνει φαρμάκοις, τὰ μὲν θανάσιμα αὐτῶν διείρηται, et paullo post Ὅσα τις ἂν ἕτερος ἄλλον πημήνῃ κλέπτων ἢ βιαζόμενος, — τὴν ἔκτισιν τῷ πημανθέντι τινέτω. Thucyd. I. 22. init. Quam apte autem h. l. μέν illud post ἐκάθισε et τέ inter se referantur, apparebit consulentibus Matth. §. 622. p. 1264. ed. sec. Thiersch. §. 312. 20.

ἐποιήσατο, ὡς ἐν ἀσφαλεῖ οἱ ἀεὶ μένοντες εἶεν] faciendum curavit, ut qui quovis tempore remanerent in tuto essent. Nolo tamen dissimulare hoc sensu ἐποίησεν tantum non legitimum videri.

§. 24. ἅμα δ' ὅπως ἐν ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομιμνήσκοιντο] simul ut inter eundum (auf den Streifzügen) ordinum, quos singuli milites occupassent, ne essent immemores. Militibus enim iter facientibus fieri non potest quin fluvii, silvae, montes impedimenta obiiciant, quae efficiunt, ut distracti milites brevi relictum acici locum recipere cogantur.

§. 25. Ἐκ δὲ Βαβυλῶνος] Haec verba non opus est cum seq. οἴχοιτο iungenda existimes: quippe Graecis non minus quam Germanis dicere licuit ἐκ Βαβυλῶνος λέγειν, ἐκ τοῦ διδασκαλείου εἰπεῖν, aus Babylon melden, aus der Schule reden.

ταῦτ' ἔλεγον, ὅτι] V. 4, 24. κήρυκα ἔπεμψε πρὸς αὐτόν, ταῦτα λέγοντα, ὅτι ἕτοιμος εἴη.

στρατιωτῶν ὑπελάμβανεν, ὡς ὑπεκτίθοιτο ἤδη τὰ χρήματα φοβούμενος· ὁ δὲ Κῦρος, γιγνώσκων, ὅτι οἴχοιτο συστήσων, εἴ τι δύναιτο, ἀντίπαλον ἑαυτῷ, ἀντιπαρεσκευάζετο ἐῤῥωμένως, ὡς μάχης ἔτι δεῆσον, καὶ ἐξεπίμπλη μὲν τὸ τῶν Περσῶν ἱππικόν, τοὺς μὲν ἐκ τῶν αἰχμαλώτων, τοὺς δέ τινας καὶ παρὰ τῶν φίλων λαμβάνων ἵππους· ταῦτα γὰρ παρὰ πάντων ἐδέχετο, καὶ ἀπεωθεῖτο οὐδέν, οὔτε εἴ τις ὅπλον διδοίη καλόν, οὔτ' εἴ τις ἵππον. Κατεσκευάζετο δὲ καὶ ἅρματα ἔκ τε τῶν αἰ- 27
χμαλώτων ἁρμάτων, καὶ ἄλλοθεν, ὁπόθεν ἐδύνατο. Καὶ τὴν μὲν Τρωϊκὴν διφρείαν πρόσθεν οὖσαν καὶ τὴν Κυρηναίων ἔτι καὶ νῦν οὖσαν ἁρματηλασίαν κατέλυσε· τὸν γὰρ πρόσθεν χρόνον καὶ οἱ ἐν τῇ Μηδίᾳ καὶ Συρίᾳ καὶ Ἀραβίᾳ καὶ πάντες οἱ ἐν τῇ Ἀσίᾳ τοῖς ἅρμασιν οὕτως ἐχρῶντο, ὥςπερ νῦν οἱ Κυρηναῖοι. Ἔδοξε δ' αὐτῷ, ὃ 28
κράτιστον εἰκὸς [ἦν] εἶναι τῆς δυνάμεως, ὄντων τῶν βελτίστων ἐπὶ τοῖς ἅρμασι, τοῦτο ἐν ἀκροβολιστῶν μέρει εἶναι καὶ εἰς τὸ κρατεῖν οὐδὲν μέγα [μέρος] συμβάλλε-

§. 26. *ὑπελάμβανεν*] Revocavi oppositum participio *γιγνώσκων*. Alt. *ὑπελάμβανον*, codd. *ἔλεγεν*.
καὶ ἐξεπίμπλη] *ὥςτ' ἐξεπίμπλη* Pop. quia codd. habuerant *ὡς δ' ἐξ.*
§. 27. *Τρωϊκὴν – νῦν οὖσαν*] *Τρωϊκήν* et *οὖσαν* absunt codd.
§. 28. *εἰκὸς ἦν*] Tam *ἦν* quam *μέρος*, cui alii *βάρος* substituunt, suspectum reddit lectionum diversitas.

§. 26. *ὡς μάχης ἔτι δεῆσον*] Attigi ad I. 6, 12.
ταῦτα γὰρ] Refertur pronomen ad seqq. *οὔτε εἴ τις – οὔτ' εἴ τις ἵππον.*
§. 27. *τὴν μὲν Τρωϊκὴν διφρείαν*] »Priscis Troianis fuit in usu et eiusmodi, ut pugnatores desilirent, cum pugnandum esset, ut ex Homeri locis Il. *λ'*. 91. *π'*. 426. docuit Schefferus R. V. 2, 15. p. 187 s.« Fischer. Philostr. Imag. I. 27. p. 42. ed. Iacobs. *Τὸ τοῖν δυοῖν ἅρμα ἵπποιν (τὸ γὰρ ἐπὶ τεττάρων οὔπω τοῖς ἥρωσι διὰ χειρὸς ἦν, εἰ μὴ ἄρα Ἕκτορι τῷ θρασεῖ) φέρει τὸν Ἀμφιάρεων.* Cf. not. ad III. 3, 60.
Κυρηναίων] »Currus bellici Cyrenaeorum erant quadriiuges; in singulis erant singuli aurigae et singuli pugnatores, qui ibi semper consisterent, nunquam inde desilirent.« Fisch. Hanc curruum rationem suis etiam temporibus apud Cyrenaeos in usu fuisse dicit Xenophon.

§. 28. *ἐν ἀκροβολιστῶν μέρει εἶναι*] Demosth. Ol. II. p. 23. v. 14. *ἐν οὐδενὸς εἶναι μέρει.* p. 22. v. 3. (p. 252. Apparat. Schaef. T. I.) *ἐν μὲν προςθήκης μέρει ἐστί τις.* Viger. p. 108. n. 47.
οὐδὲν μέγα [μέρος] συμβάλλεσθαι] Omisso nomine *μέρος* I.

σθαι. Ἅρματα γὰρ τριακόσια τοὺς μὲν μαχομένους παρέχεται τριακοσίους, ἵπποις δ' οὗτοι χρῶνται διακοσίοις καὶ χιλίοις· ἡνίοχοι δ' αὐτοῖς εἰσι μέν, ὡς εἰκός, οἷς μάλιστα πιστεύουσιν, οἱ βέλτιστοι· ἄλλοι δὲ εἰς τριακοσίους οὗτοί εἰσιν, οἳ οὐδ' ὁτιοῦν τοὺς πολεμίους βλά-
29 πτουσι. Ταύτην μὲν οὖν τὴν διφρείαν κατέλυσεν· ἀντὶ δὲ τούτου πολεμιστήρια κατεσκευάσατο ἅρματα τροχοῖς τε ἰσχυροῖς, ὡς μὴ ῥᾳδίως συντρίβηται, ἄξοσί τε μακροῖς· ἧττον γὰρ ἀνατρέπεται πάντα τὰ πλατέα· τὸν δὲ δίφρον τοῖς ἡνιόχοις ἐποίησεν ὥσπερ πύργον ἰσχυρῶν ξύλων· ὕψος δὲ τούτων ἐστὶ μέχρι τῶν ἀγκώνων, ὡς δύνωνται ἡνιοχεῖσθαι οἱ ἵπποι ὑπὲρ τῶν δίφρων· τοὺς δ' ἡνιόχους ἐθωράκισε πάντα πλὴν τῶν ὀφθαλμῶν.
30 Προσέθηκε δὲ καὶ δρέπανα σιδηρᾶ ὡς διπήχεα πρὸς τοὺς ἄξονας ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν, καὶ ἄλλα κά-

βέλτιστοι· ἄλλοι δὲ εἰς τριακοσίους οὗτοί εἰσιν] βέλτιστοι εἰς τριακοσίους· οὗτοι δέ εἰσιν edd. vett. βέλτιστοι· ἄλλοι δὲ τριακόσιοι οὗτοί εἰσιν Schneid.

2, 8. μέγα δὲ συμβάλλεται – μέγα δὲ καὶ εἰς τοῦτο σύμβάλλεται – μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται. Hellen. III. 5, 13. τὰ μέγιστα αὐτοῖς συμβαλόμενος εἰς τὸ ὑμῶν κρατῆσαι. ibid. VII. 1, 35. De Venat. V. 27. πολὺ συμβάλλεται. Cf. ad II. 3, 6.

τοὺς μὲν μαχομένους] propugnatores puta, παραιβάτας. De participio, cui articulus est praepositus, vid. Matth. §. 271. p. 556.

οἱ βέλτιστοι] Iungenda haec cum ἡνίοχοι. Certe ut inciso antea deleto ad πιστεύουσιν subiectum adiiciatur, non necesse est.

εἰς τριακοσίους] ita demum se tuebitur, si aurigas quoque nonnullos interdum pugnasse statueris.

§. 29. ἀντὶ δὲ τούτου] Breviter dictum pro ἀντὶ τοῦ κατέχειν ταύτην τὴν διφρείαν.

ὡς μὴ ῥᾳδίως συντρίβηται] Abstinendum esse a tentando coniunctivo post praeteritum praesertim in tali re, quae in posterum duratura esset, nisi observata ad III. 2, 27. IV. 5, 36. 6, 14. docerent, ex Matth. §. 518. 1. p. 993. liceret intelligi.

τούτων] sc. τῶν ξύλων. Praeter aurigas in his curribus nullum Cyrus collocavit pugnatorem, sed currus ipsos falcatos voluit esse hostibus perniciosos. Cf. c. 2. §. 17.

§. 30. ὡς διπήχεα] ὡς διπήχη hic quoque libri habent optimi, ut Anab. IV. 2, 28. id quod seriorum scriptorum ait proprium esse Matth. §. 119. b. p. 241.

πρὸς τοὺς ἄξονας] Anab. I. 8, 10. τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντυγχάνοιεν. Vid. Brisson. de regno Pers. III. 39. p. 684.

τω ὑπὸ τῷ ἄξονι εἰς τὴν γῆν βλέποντα, ὡς ἐμβαλούντων εἰς τοὺς ἐναντίους τοῖς ἅρμασιν. Ὡς δὲ τότε Κῦρος ταῦτα κατεσκεύαζεν, οὕτως ἔτι καὶ νῦν τοῖς ἅρμασι χρῶνται οἱ ἐν τῇ βασιλέως χώρᾳ. Ἦσαν δὲ αὐτῷ καὶ κάμηλοι πολλαὶ παρά τε τῶν φίλων συνειλεγμέναι καὶ αἰχμάλωτοι, πᾶσαι συνηθροισμέναι. Καὶ ταῦτα μὲν 31
οὕτω συνεπεραίνετο.

Araspae, qui Pantheam violare conatus erat, ignoscit Cyrus, eundemque ad hostes simulata fuga iubet transire.

Βουλόμενος δὲ κατάσκοπόν τινα πέμψαι ἐπὶ Λυδίας, καὶ μαθεῖν ὅ τι πράττοι ὁ Ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι Ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο, ὁ φυλάττων τὴν γυναῖκα τὴν καλήν. Συνεβεβήκει δὲ τῷ Ἀράσπᾳ τοιάδε· ληφθεὶς ἔρωτι τῆς γυναικὸς ἠναγκάσθη προσενεγκεῖν λόγους αὐτῇ περὶ συνηθείας. Ἡ δὲ ἀπέ- 32
φησε μὲν καὶ ἦν πιστὴ τῷ ἀνδρί, καίπερ ἀπόντι· ἐφίλει γὰρ αὐτὸν ἰσχυρῶς· οὐ μέντοι κατηγόρησε τοῦ Ἀράσπου πρὸς τὸν Κῦρον, ὀκνοῦσα συμβαλεῖν φίλους ἄνδρας. Ἐπεὶ δ᾽ οὖν ὁ Ἀράσπας, δοκῶν ὑπηρετήσειν τῷ 33

§. 31. συνηθείας] συνουσίας al.
§. 33. Ἐπεὶ δ᾽ οὖν] Ἐπεὶ οὖν G. Ἐπεὶ δέ vulgo. Ex his diu est ex quo tertium illud concinnaveram.

ὡς ἐμβαλούντων] sc. τῶν ἡνιόχων. Durior talis genitivi collocatio Anab. I. 1. Ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλώντων καὶ διακοψόντων, conferatur cum not. ad III. 1, 9. Matth. §. 569. p. 1124.

οὕτως ἔτι καὶ νῦν τοῖς ἅρμασι χρῶνται] i. e. aurigis solis impositis, non etiam propugnatoribus, quae fuit Schneideri opinio ad Anab. I. 8, 10. Post Cyrum tamen nihil magnopere his curribus effectum esse ostendi in Epilog. Cyrop. p. 37 sqq.

§. 31. Βουλόμενος δὲ – ἔδοξεν αὐτῷ] Nominativus hic absolutus, quem vocant, imprimis frequentatur formula ἔδοξεν αὐτῷ sequente, quae verbo ἐνόμισε respondet. VII. 5, 37. ἐπιθυμῶν ὁ Κῦρος – ἔδοξεν αὐτῷ. Cf. Rost. §. 130. not. 1.

περὶ συνηθείας] Plutarch. Pelop. c. 19. Ὅλως δὲ τῆς περὶ τοὺς ἐραστὰς συνηθείας – ἀρχὴν παρέσχεν, sed magis huc pertinent verba Thaidis apud Alciphr. L. I. ep. 34. p. 142. Bergl. σὲ γὰρ περιβάλλουσα κοιμᾶσθαι μᾶλλον ἐβουλόμην ἢ τὸ παρὰ πάντων σοφιστῶν χρυσίον· ἐπεὶ δὲ σὲ ἀποτρέπειν ἔοικε τῆς μεθ᾽ ἡμῶν συνηθείας, ὑποδέξομαι αὐτόν.

§. 33. δοκῶν ὑπηρετήσειν τῷ τυχεῖν ἃ ἠβούλετο] opinans subministraturum se mu-

τυχεῖν ἃ ἠβούλετο, ἠπείλησε τῇ γυναικί, ὅτι, εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα ποιήσοι ταῦτα· ἐκ τούτου ἡ γυνή, ὡς ἔδεισε τὴν βίαν, οὐκέτι κρύπτει, ἀλλὰ πέμπει τὸν εὐνοῦχον πρὸς τὸν Κῦρον, καὶ κελεύει λέξαι
34 πάντα. Ὁ δὲ ὡς ἤκουσεν, ἀναγελάσας ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι, πέμπει Ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, καὶ κελεύει αὐτῷ εἰπεῖν βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα, πείθειν δὲ εἰ δύναιτο, οὐκ ἔφη κω-
35 λύειν. Ἐλθὼν δὲ ὁ Ἀρτάβαζος πρὸς τὸν Ἀράσπαν ἐλοιδόρησεν αὐτόν, παρακαταθήκην ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων, ἀδικίαν τε καὶ ἀκράτειαν· ὥςτε τὸν Ἀράσπαν πολλὰ μὲν δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης, ἀπολωλέναι δὲ τῷ φόβῳ, μή τι καὶ πάθοι ὑπὸ Κύρου.

36 Ὁ οὖν Κῦρος καταμαθὼν ταῦτα ἐκάλεσεν αὐτόν, καὶ μόνος μόνῳ ἔλεξεν· Ὁρῶ σε, ἔφη, ὦ Ἀράσπα, φοβούμενόν τε ἐμὲ καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα. Παῦ-

δοκῶν ὑπηρετήσειν τῷ τυχεῖν ἃ ἠβούλετο] δοκῶν ὑπηρετεῖν, ἀπετύγχανεν ἃ ἐβ. edd. vett. ἠβούλετο etiam Vat.

§. 36. φοβούμενόν τε ἐμέ] Imo φοβούμενόν τέ με. [plenior forma ἐμέ praeferenda videtur propter praecedens σέ, cui ἐμέ est oppositum quodammodo. Similiter infra §. 37. μή τι καὶ πάθω ὑπὸ σοῦ, ὡς ἠδικηκότος ἐμοῦ (non ἠδικηκότος μου). V. C. F. R.]

lieri esse eo, ut optatum impetraret s. gratum se mulieri facturum, si, quod concupiscebat, ab ea impetraret. Viro docto memini aliquando in mentem venire δοκῶν ὑπηρετῶν ἀποτυγχάνειν, putans eo, quod morem gereret mulieri, nihil se consequi, sed nexui sententiarum illud magis convenit, cui libri optimi patrocinantur, aliter acceptum a Gabriel.: sperans fore, ut hac ratione optatum impetraret [quae quidem interpretatio nobis praeferenda videtur. V. C. F. R.]. Ad accusativum in his ἃ ἠβούλετο quod attinet, ex Euripidis Phoeniss. 999. ad Viger. p. 762. afferuntur verba ὥςθ' ἃ βούλομαι τυχεῖν, quibus adde Matth. §. 328. not. p. 637. (§. 363. ed. prim.)

§. 35. ἀσέβειάν τε αὐτοῦ λέγων] Advertendum asyndeton participiorum artissime inter se nectendorum; etenim τέ copulat nomen ἀσέβειαν cum sequentibus.

καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης] Vid. ad VI. 4, 6.

§. 36. μόνος μόνῳ] Demosth. pro Coron. p. 273. v. 1. ὅςτις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει. Plura, si cuius interest nosse, collegit Lobeck. ad Soph. Aiac. p. 292. Manco solus cum sola e Terent. Eun. III. 5, 31. Zeunius depromsit.

σαι οὖν τούτων· ἐγὼ γὰρ θεούς τε ἀκούω ἔρωτος ἡττ-
τῆσθαι, ἀνθρώπους τε οἶδα καὶ μάλα δοκοῦντας φρο-
νίμους εἶναι οἷα πεπόνθασιν ὑπ' ἔρωτος· καὶ αὐτὸς
δ' ἐμαυτοῦ κατέγνων μὴ ἂν καρτερῆσαι, ὥστε συνὼν κα-
λοῖς ἀμελεῖν αὐτῶν. Καὶ σοὶ δὲ τούτου τοῦ πράγματος
ἐγὼ αἴτιός εἰμι· ἐγὼ γάρ σε συγκαθεῖρξα τούτῳ τῷ ἀμά-
χῳ πράγματι. Καὶ ὁ Ἀράσπας ὑπολαβὼν εἶπεν, Ἀλλὰ 37
σὺ μέν, ὦ Κῦρε, καὶ ταῦτα ὅμοιος εἶ, ὥσπερ καὶ τἄλ-
λα, πρᾶός τε καὶ συγγνώμων τῶν ἀνθρωπίνων ἁμαρτη-
μάτων· ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι
τῷ ἄχει. Ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐμῆς συμφορᾶς,
οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι προσιόντες
συμβουλεύουσιν ἐκποδὼν ἔχειν ἐμαυτόν, μή τι καὶ πά-
θω ὑπὸ σοῦ, ὡς ἠδικηκότος ἐμοῦ μεγάλα. Καὶ ὁ Κῦ- 38
ρος εἶπεν, Εὖ τοίνυν ἴσθι, ὦ Ἀράσπα, ὅτι ταύτῃ τῇ
δόξῃ οἷός τ' εἶ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι, καὶ τοὺς
συμμάχους μεγάλα ὠφελῆσαι. Εἰ γὰρ γένοιτο, ἔφη ὁ

§. 37. *ὅμοιος εἶ, ὥσπερ καί*] Praetuli *ὥσπερ* vulgato *οἷόσπερ* ex A. B. M. m. Vill. Vid. Bremi ad Demosth. Apparat. T. I. p. 498. et nos ad Conviv. p. 134 sq.

θεούς τε ἀκούω ἔρωτος ἡττῆσθαι] apud Graecos videlicet; nam de Persicorum deorum amoribus, quod sciam, nihil memoriae traditum est.

ἀνθρώπους τε οἶδα – οἷα πεπόνθασιν] Hanc attractionis formam illustret Matth. §. 296. (§. 295. ed. prim.).

καὶ αὐτὸς δ' ἐμαυτοῦ κατέγνων μὴ ἂν καρτερῆσαι, ὥστε – αὐτῶν] et ipse vero memet ipsum animadverti non ita continentem fore, ut, si versarer cum pulchris, hos non curarem. *Καταγιγνώσκειν* fere in deteriorem partem sumi testatur Buttmann. Ind. ad Platon. Dial. IV. p. 221.

τῷ ἀμάχῳ πράγματι] *πρᾶγμα* de homine dictum non est quod cuiquam displiceat. Herodt. III. 132. *ἦν δὲ μέγιστον πρῆγμα Δημοκήδης παρὰ βασιλεῖ.* Demosth. p. 383. v. 5. *ὁ μὲν δῆμός ἐστιν ἀσταθμητότατον πρᾶγμα τῶν πάντων καὶ ἀσυνθετώτατον.* p. 928. 5. *οὑτοσὶ δὲ Λάκριτος Φασηλίτης, μέγα πρᾶγμα, Ἰσοκράτους μαθητής.* Dionys. Hal. De Thucyd. Iud. c. LII. *οἷς τάχα βάσκανόν τι καὶ κακόηθες πρᾶγμα δόξομεν.* Arriani Epict. Diss. I. 11, 2. mirum quod non meminit Schweigh. T. III. p. 425 sq. edit. Arrian.

§. 37. *τῷ ἄχει*] eo, quo sollicitor, dolore. Sic §. 33. *τὸν εὐνοῦχον* eunuchum, quem habebat.

ὡς ἠδικηκότος ἐμοῦ μεγάλα] dicentes multum me peccasse. Cf. ad IV. 5, 53. et de *μεγάλα* ad II. 1, 26. V. 3, 30.

§. 38. *Εἰ γὰρ γένοιτο*] *Εἰ γάρ* qui tentaverit, novi neminem.

Ἀράσπας, ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσι-
39 μος. Εἰ τοίνυν, ἔφη, προςποιησάμενος ἐμὲ φεύγειν
ἐθέλοις εἰς τοὺς πολεμίους ἐλθεῖν, οἴομαι ἄν σε πιστευ-
θῆναι ὑπὸ τῶν πολεμίων. Ἔγωγε, καὶ μὰ Δί', ἔφη ὁ
Ἀράσπας, καὶ ὑπὸ τῶν φίλων οἶδα ὅτι ὡς σὲ πεφευγὼς
40 λόγον ἂν παρέχοιμι. Ἔλθοις ἂν τοίνυν, ἔφη, ἡμῖν
πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ
βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο διὰ τὸ πιστεύ-
ειν· ὥςτε μηδὲ ἕν σε λεληθέναι ὧν βουλόμεθα εἰδέναι.
Ὡς πορευσομένου οὖν, ἔφη, ἤδη νυνί· καὶ γὰρ τοῦτο
ἴσως ἓν τῶν πιστῶν ἔσται, τὸ δοκεῖν με ὑπὸ σοῦ μελ-
41 λήσοντά τι παθεῖν ἐκπεφευγέναι. Ἦ καὶ δυνήσῃ ἀπο-
λιπεῖν, ἔφη, τὴν καλὴν Πάνθειαν; Δύο γάρ, ἔφη,
ὦ Κῦρε, σαφῶς ἔχω ψυχάς. Νῦν τοῦτο πεφιλοσόφη-

§. 38. *ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος*] Iacobsio in Additam. ad Athen. p. 87. videntur duae lectiones in unam confusae esse, *ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην* et *ὅ τι ἐγώ σοι γενοίμην ἂν χρήσιμος*. Plerique ut spuria uncis cinxerunt *αὖ χρήσιμος*, quae nescio an non sint otiosa. Vid. tamen V. 1, 16. Hellen. VII. 4, 8.

§. 40. *Ὡς πορευσομένου οὖν, ἔφη, ἤδη νυνί*] Vulg. *Ὡς πορεύσομαι οὖν, ἔφη, ἤδη νυνί*, sed receptae patrocinium suscipere conatus sum ad Conviv. p. 215 sq.

μελλήσοντα] *μελλήσαντα* alio sensu dicitur teste Buttm. gr. max. I. p. 324. nisi quis velit Thucyd. VIII. 23. *ἐμέλλησεν ἰέναι* contra afferre.

Sanissimum esse disces ex Viger. p. 503 sq. et Matth. §. 513.

§. 39. *ὑπὸ τῶν φίλων – λόγον ἂν παρέχοιμι*] *τοῖς φίλοις* scribi oportuit, nisi *λόγον παρέχειν* interpretari possemus dictum pro *λέγεσθαι*, nec dissimilia afferret Matth. §. 592. p. 1185.

§. 40. *πάντα εἰδώς*] i. e. *εἰ πάντα εἰδείης*.

οἶμαι δὲ καί] Extra constructionem habes etiam II. 3, 6. *οἶμαι δ' οὐδ' ἂν χιλιοστός*. IV. 5, 54. Anab. II. 1, 16. *Ἐγὼ δὲ ἄσμενος ἑώρακα, οἶμαι δὲ καὶ οἱ ἄλλοι πάντες*. Adhaeret etiam accusativus in iis, quae ab Heindorf. ad Plat. Protag. p. 479. comparata sunt.

Ὡς πορευσομένου οὖν – ἤδη νυνί] *ἐμοῦ ἴσθι* supplenda sunt, vid. Matth. §. 569. p. 1124. Eurip. Heraclid. 693. *Ὡς μὴ μενοῦντα, τἄλλα σοι λέγειν πάρα*. cumulata similium exemplorum nube Elmsleius *μενοῦντα* absolutum vocat accusativum. Platon. Apol. Socr. p. 30. B. *ἢ πείθεσθε Ἀνύτῳ, ἢ μή, καὶ ἢ ἀφίετέ με, ἢ μή, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι*. Nihil vero dubitationis relinquit locus Plat. Charmid. extrem. *Ὡς ἀκολουθήσοντος, ἔφη, καὶ μὴ ἀπολειψομένου – Ὡς βιασομένου, ἔφη, ἐπειδήπερ ὅδε γε ἐπιτάττει*, quem Schneidero debemus.

§. 41. *Δύο γὰρ – σαφῶς ἔχω ψυχάς*] Platon. legg. X. 8.

κα μετὰ τοῦ ἀδίκου σοφιστοῦ τοῦ Ἔρωτος. Οὐ γὰρ
δὴ μία γε οὖσα ἅμα ἀγαθή τέ ἐστι καὶ κακή, οὐδ' ἅμα
καλῶν τε καὶ αἰσχρῶν ἔργων ἐρᾷ, καὶ ταὐτὰ ἅμα βού-
λεταί τε καὶ οὐ βούλεται πράττειν· ἀλλὰ δῆλον, ὅτι δύο
ἐστὸν ψυχά, καὶ ὅταν μὲν ἡ ἀγαθὴ κρατῇ, τὰ καλὰ
πράττεται· ὅταν δὲ ἡ πονηρά, τὰ αἰσχρὰ ἐπιχειρεῖται.
Νῦν δέ, ὡς σὲ σύμμαχον ἔλαβε, κρατεῖ ἡ ἀγαθὴ καὶ
πάνυ πολύ. Εἰ τοίνυν καὶ σοὶ δοκεῖ πορεύεσθαι, ἔφη 42
ὁ Κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα κἀκείνοις πιστότερος ᾖς·
ἐξάγγελλε αὐτοῖς τὰ παρ' ἡμῶν, οὕτω τε ἐξάγγελλε, ὡς
ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα ἐμποδὼν μάλιστ' ἂν
εἴη ὧν βούλονται πράττειν. Εἴη δ' ἂν ἐμποδών, εἰ
ἡμᾶς φαίης παρασκευάζεσθαι ἐμβαλεῖν που τῆς ἐκείνων
χώρας· ταῦτα γὰρ ἀκούοντες ἧττον ἂν παντὶ σθένει
ἀθροίζοιντο, ἕκαστός τις φοβούμενος καὶ περὶ τῶν οἴκοι.
Καὶ μένε, ἔφη, παρ' ἐκείνοις ὅτι πλεῖστον χρόνον· ἃ 43
γὰρ ἂν ποιῶσιν, ὅταν ἐγγύτατα ἡμῶν ὦσι, ταῦτα μά-
λιστα καιρὸς ἡμῖν εἰδέναι ἔσται. Συμβούλευε δ' αὐτοῖς
καὶ ἐκτάττεσθαι, ὅπῃ ἂν δοκῇ κράτιστον εἶναι· ὅταν
γὰρ σὺ ἀπέλθῃς εἰδέναι δοκῶν τὴν τάξιν αὐτῶν, ἀναγ-
καῖον οὕτω τετάχθαι αὐτοῖς· μετατάττεσθαι γὰρ ὀκνή-

§. 41. *δῆλον ὅτι*] Plures non agnoscunt codices.
§. 42. *ἐξάγγελλε αὐτοῖς*] A me eiecta *τέ* particula ante *αὐτοῖς* aberat Vat.

p. 896. *Ψυχὴν δὴ διοικοῦσαν καὶ ἐνοικοῦσαν ἐν ἅπασι τοῖς πάντῃ κινουμένοις μῶν οὐ καὶ τὸν οὐρανὸν ἀνάγκη διοικεῖν φάναι; Τί μήν; Μίαν, ἢ πλείους; πλείους, ἐγὼ ὑπὲρ σφῶν ἀποκρινοῦμαι· δυεῖν μέν γέ που ἔλαττον μηδὲν τιθῶμεν, τῆς τε εὐεργέτιδος καὶ τῆς τἀναντία δυναμένης ἐξεργάζεσθαι*, ubi vid. Ast. p. 485 sq. itemque in eiusdem libr. Platons Schriften p. 350. De Ahrimano et Ormusdo, duobus Persarum summis numinibus, interpretandas animas existimat Hirt. Amaltheae f. II. p. 68.

§. 42. *ἐξάγγελλε αὐτοῖς τὰ παρ' ἡμῶν*] *παρ' ἡμῖν* m. Vict. sine causa. Intellige *ἐξάγγελλε τὰ παρ' ἡμῖν ὄντα* (c. 2, 15.) *παρ' ἡμῶν*.
ὧν βούλονται] *τούτων ἃ βούλονται*. Matth. §. 473. b.
ἐμβαλεῖν που τῆς ἐκείνων χώρας] Excitavit cum aliis exemplis Matth. §. 324. (§. 357. ed. prim.)
§. 43. *ἀναγκαῖον οὕτω τετάχθαι αὐτοῖς*] necesse eis erit hoc modo instructi maneant, tum quia acies, qua instructi sunt, omnium praestantissima erit, tum quia ho-

σουσι καὶ ἤν πῃ ἄλλῃ μετατάττωνται, ἐξ ὑπογύου τα-
44 ράξονται. Ἀράσπας μὲν δὴ οὕτως ἐξελθών, καὶ συλλαβὼν τοὺς πιστοτάτους θεράποντας, καὶ εἰπὼν πρός τινας ἃ ᾤετο ξυμφέρειν τῷ πράγματι, ᾤχετο.

Abradatas arcessitur a Panthea.

45 Ἡ δὲ Πάνθεια ὡς ᾔσθετο οἰχόμενον τὸν Ἀράσπαν, πέμψασα πρὸς τὸν Κῦρον εἶπε· Μὴ λυποῦ, ὦ Κῦρε, ὅτι Ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους· ἢν γάρ ἐμὲ ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι ἥξειν πολὺ Ἀράσπου πιστότερόν σοι φίλον· καὶ δύναμιν δ' οἶδ' ὅτι ὁπόσην ἂν δύνηται ἔχων παρέσται σοι. Καὶ γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ δὲ νῦν βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπάσαι ἀπ' ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν εὖ οἶδ' ὅτι ἄσμενος ἂν πρὸς ἄνδρα, οἷος σὺ
46 εἶ, ἀπαλλαγήσεται. Ἀκούσας ταῦτα ὁ Κῦρος ἐκέλευε πέμπειν πρὸς τὸν ἄνδρα· ἡ δ' ἔπεμψεν. Ὡς δ' ἔγνω ὁ

§. 43. καὶ ἤν πῃ ἄλλῃ] ἢν δέ πῃ καὶ ἄλλῃ ex M. et Mureti codd. praefert Schn. recte.
§. 45. ἀπαλλαγήσεται] ἀπαλλαγείη olim legebatur.
§. 46. ἐκέλευε πέμπειν] κελεύει πέμπειν Schn. ἐκέλευσε πέμπειν unus Zonaras.

stes in vicinia habebunt, confestim sese adorturos, si quando aciem commutaturi fuissent.

ταράξονται] i. q. ταραχθήσονται. Dubium esse θρεψόμεθα III. 3, 16. vidimus; idem valet de κατακόψεσθαι Anab. I. 5, 16. et συλλήψεται ibid. VII. 2, 14. quem locum perperam citaverat Buttmann. gr. max. T. II. p. 54. not. **. Cf. Matth. §. 494. II. p. 928. ed. sec.

§. 44. πρός τινας] amicos sine dubio, apud quos fugam simulaturus erat.

§. 45. ἢν γὰρ ἐμὲ ἐάσῃς πέμψαι] Cyrus contra de eadem re §. 46. praesente infinitivo utitur ἐκέλευε πέμπειν, sine offensione indice Matth. §. 501. p. 950. ed. sec.

πιστότερόν σοι φίλον] Iniuria, opinor, quod deest in libris aliquot manu exaratis σοί suspectum reddiderunt editores; repetitur alibi etiam sic ut ad diversum verbum non referatur. Vid. ad V. 1, 20. et VI. 4, 7.

καὶ ἐπεχείρησέ ποτε – διασπάσαι] adeo conatus est aliquando – divellere, eo videlicet, ut Pantheae vim inferre tentaret, id quod tecte duntaxat castitas mulieris significat.

ἀπαλλαγήσεται] Praecessit ἄν, nec dubitatione vacuum est futurum, tametsi innumera huius structurae vestigia non solum,

Ἀβραδάτας τὰ παρὰ τῆς γυναικὸς σύμβολα, καὶ τἆλλα δὲ ᾔσθετο ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς τὸν Κῦρον, ἵππους ἔχων ἀμφὶ τοὺς χιλίους. Ὡς δ' ἦν πρὸς τοῖς τῶν Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπὼν ὃς ἦν. Ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα. Ὡς δ' εἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ 47
ὁ Ἀβραδάτας, ἠσπάζοντο ἀλλήλους, ὡς εἰκός, ἐκ δυσελπίστων. Ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα καὶ τὴν σωφροσύνην καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. Ὁ δὲ Ἀβραδάτας ἀκούσας εἶπε· Τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀποδοίην; Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος ὅμοιος εἶναι περὶ ἐκεῖνον, οἷόσπερ καὶ ἐκεῖνος περὶ σέ;

Abradatas Cyri rem curulem adiuvat.

Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτας· καὶ ὡς εἶδεν αὐτόν, λαβόμενος τῆς δεξιᾶς εἶπεν· Ἀνθ' ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω τί 48

§. 47. ὅμοιος] Abest a bonis codd. ut c. 4, 3.

sed etiam exempla certa in Graecis scriptis reperiuntur. Non enim plane assentior Matthiaeo gr. §. 599. p. 1199. Cf. ad IV. 5, 49. et ad Apol. p. 55.

§. 46. τὰ παρὰ τῆς γυναικὸς σύμβολα] literas puta obsignatas annulo, quali Persarum certe reges utebantur impressa vel regis vel equi imagine. Vid. Schneider. ad Hellen. I. 4, 3. VII. 1, 39. Brisson. p. 299 sqq.

καὶ τἆλλα δὲ ᾔσθετο ὡς εἶχεν] nempe quam humanum se Cyrus erga eam et benignum praeberet, Araspam poenae metu ad hostes transiisse etc.

ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα] Hanc maluit Cyrus prius consalutari a marito, quam se, novum belli socium.

§. 47. ἐκ δυσελπίστων] Male Fischerus prae altera lectione ἐκ δυσελπίστου reiecit, tanquam Graeci pro adverbiis tantum formulas ex praepos. ἐκ et adiectivis neutris singularibus usurpassent. Praeter ea, quae ad Epilog. p. 70 sq. comparaveram, memoratu dignae sunt etiam locutiones ἐξ ἀμηχάνων Aeschyl. Prom. vinct. v. 59. ἐκ τῶν ὑπαρχόντων Anab. VI. 4, 9. ἐκ τῶν δυνατῶν IV. 2, 23. ἐξ ἀπόρων Aelian. H. A. III. 30. quasque grammaticae immiscuit Matth. §. 574. p. 1134.

Τί δὲ ἄλλο – ἢ] Supra I. 4, 13. Τί ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω. ibique not.

§. 48. Ἀνθ' ὧν] i. q. ἀντὶ τούτων ἅ. Viger. p. 30. et 710. Matth. §. 480. c. p. 898. ed. sec.

μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι καὶ θεράποντα καὶ ξύμμαχον· καὶ, ὅσα ἂν ὁρῶ σε σπουδάζοντα, συνεργὸς πειράσομαι γίγνεσθαι ὡς ἂν δύνωμαι κράτιστος.
49 Καὶ ὁ Κῦρος εἶπεν, Ἐγὼ δὲ δέχομαι· καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν· αὖθις δὲ καὶ παρ' ἐμοὶ δεήσει σε σκηνοῦν σὺν τοῖς σοῖς τε καὶ ἐμοῖς φίλοις.

50 Ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτας σπουδάζοντα τὸν Κῦρον περὶ τὰ δρεπανηφόρα ἅρματα καὶ περὶ τοὺς τεθωρακισμένους ἵππους τε καὶ ἱππέας, ἐπειρᾶτο συντελεῖν αὐτῷ εἰς τὰ ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ ὅμοια ἐκείνῳ· αὐτὸς δὲ ὡς ἡγησόμενος αὐτῶν ἐπὶ τοῦ ἅρματος παρεσκευάζετο.
51 Συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα τετράῤῥυμόν τε καὶ ἵππων ὀκτώ· (ἡ δὲ Παν-

§. 51. *τετράῤῥυμον*] M. pro *τετράρυμον* et sic *ὀκτάῤῥυμον* §. 52. pro *ὀκτάρυμον*. Vid. Iacobs ad Philostr. Imag. p. 453. et c. 4, 2.

§. 49. *Ἐγὼ δὲ δέχομαι*] Ita infertur *δέ*, ut si antea dictum esset *Σὺ μὲν δίδως σεαυτόν*.

§. 50. *ἐπειρᾶτο συντελεῖν αὐτῷ εἰς τὰ ἑκατὸν ἅρματα – ὅμοια ἐκείνῳ*] currus ei eiusdem modi fere centum nixus est ex suo ipsius equitatu conficere Gabr. reddidit ad sensum recte, quum *ὅμοια ἐκείνῳ* dicatur pro *ὅμοια τοῖς ἐκείνου ἅρμασιν*, ut V. 1, 4.

§. 51. *ἅρμα τετράῤῥυμον*] Salmasius Plin. exercit. p. 630. B. »Hodie, inquit, ad currum sic quatuor equi iunguntur, ut non omnes conquaternati aequata fronte procedant, sed bini funales coniuncti praecedant, subsequentibus binis iugalibus. Non ita apud veteres, ut passim in antiquis monimentis, nummis, annulis videre est. Et prius quidem quatuor equos sic iungebant, ut duplici temone equis interiecto perpetuum iugum omnibus coniiceretur. Tum nullus in curru funalis equus fuit, sed omnes iugales, quorum duo sinistros temo unus interiectus continebat, duo dextros alter temo. Primus Clisthenes Sicyonius rationem hanc immutavit, et uno temone currum fecit ac medios tantum duos iugo iunxit, eisque singulos adiunxit ex utraque parte loro vinctos.« Confirmat hanc sententiam Pindar. Nem. VII. 137. Beck. eiusque scholiasta *ὥςπερ τῶν τετρώρων ἁρμάτων ὁ ῥυμὸς μεταξύ*. Biiuges et triiuges currus habent Persae apud Aeschyl. Pers. 44. ed. Blomf. *βασιλεῖς δίοποι χαὶ πολύχρυσοι Σάρδεις, ἐπόχους πολλοῖς ἅρμασιν ἐξορμῶσιν δίῤῥυμά τε καὶ τρίῤῥυμα τέλη, φοβερὰν ὄψιν προςιδέσθαι.* Contra Scheffero De re vehic. I. 12. praeeunte alii existimant temones illos duo vel quatuor (§. 52.) alterum post alterum collocatos fuisse, ita ut prior iungeretur ad caput posterioris. Qui quidem oleum et operam mihi perdidisse videntur, si quidem a se impetrare

θεια, ἡ γυνὴ αὐτοῦ, ἐκ τῶν ἑαυτῆς χρημάτων χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο καὶ χρυσοῦν κράνος, ὡςαύτως δὲ καὶ περιβραχιόνια·) τοὺς δ' ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο.

Plaustra cum turribus aedificat Cyrus.

Ἀβραδάτας μὲν ταῦτα ἔπραττε. Κῦρος δὲ ἰδὼν 52 τὸ τετράῤῥυμον αὐτοῦ ἅρμα κατενόησεν, ὅτι οἷόν τε εἴη καὶ ὀκτάῤῥυμον ποιήσασθαι, ὥςτε ὀκτὼ ζεύγεσι βοῶν ἄγειν τῶν μηχανῶν τὸ κατώτατον οἴκημα· ἦν δὲ τοῦτο τριόργυιον μάλιστα ἀπὸ τῆς γῆς σὺν τοῖς τροχοῖς. Τοι- 53 οῦτοι δὲ πύργοι σὺν τάξει ἀκολουθοῦντες ἐδόκουν αὐτῷ μεγάλη μὲν ἐπικουρία γενέσθαι τῇ ἑαυτοῦ φάλαγγι, μεγάλη δὲ βλάβη τῇ τῶν πολεμίων τάξει. Ἐποίησε δὲ ἐπὶ τῶν οἰκημάτων καὶ περιδρόμους καὶ ἐπάλξεις· ἀνεβίβαζε δὲ ἐπὶ τὸν πύργον ἕκαστον ἄνδρας εἴκοσιν.

potuerunt, ut crederent sedecim equos currui cuicunque iunctos, sive singula iuga singulis praeposita essent, sive omnia iuxta se posita starent, alicui usui esse posse. Imo quia quadriiugem currum Abradatas instituit, Cyrus ceteris omnibus hac quoque in re cupiens excellere, nec ad historiae fidem a Xenophonte scriptus, octoiugem currum coepit exstruere. Adde quod alias nusquam istiusmodi monstri mentio iniecta est.

τοὺς δ' ἵππους – κατεσκευάσατο] sc. Abradatas. Omnino intempestive satis Panthea narratur aurea arma marito conficienda curasse, nec videntur verba germana esse, quae quam potuerunt facile ex c. 4, 2. confingi! Interim parenthesi includenda erant, quae manifestam annotationis speciem prae se ferunt.

§. 52. *ὥςτε – ἄγειν*] sc. *τινά*. Anab. III. 4, 21. *ὑπέμενον ὕστεροι, ὥςτε μὴ ἐνοχλεῖν τοῖς κέρασι.* Cyrop. VIII. 8, 11. *τὰς μέντοι πορείας οὕτω βραχείας ποιοῦνται, ὡς μηδ' ἂν ἔτι θαυμάσαι τὸ ἀπέχεσθαι τῶν ἀναγκαίων.*

τὸ κατώτατον οἴκημα] ea totius machinae pars, cui rotae temonesque adiuncti, atque circuitus lignei pinnaeque superstructae erant §. 53.

ἦν δὲ τοῦτο] sc. *τὸ οἴκημα*. Machina tota, ut videtur, una cum rotis a terra usque ad partem supremam complexa est altitudinem trium ulnarum (*ὀργυιῶν*), i. e. duodeviginti pedum graecorum, s. septendecim ped. Rhen. s. 15½ lin. Paris.

§. 53. *σὺν τάξει ἀκολουθοῦντες*] exercitum sequentes, exercitui additi. Lobeck. ad Phryn. p. 353 sq. Matth. §. 403. p. 738. ed. sec. De his turribus cf. Potter. Archaeol. Gr. ed. Ramb. T. II. p. 201 sqq.

54 Ἐπεὶ δὲ πάντα συνειστήκει αὐτῷ τὰ περὶ τοὺς πύργους, ἐλάμβανε τοῦ ἀγωγίου πεῖραν· καὶ πολὺ ῥᾷον ἦγε τὰ ὀκτὼ ζεύγη τὸν πύργον καὶ τοὺς ἐπ' αὐτῷ ἄνδρας ἢ τὸ σκευοφορικὸν βάρος ἕκαστον τὸ ζεῦγος. Σκευῶν μὲν γὰρ βάρος ἀμφὶ τὰ πέντε καὶ εἴκοσι τάλαντα ἦν ζεύγει· τοῦ δὲ πύργου, ὥςπερ τραγικῆς σκηνῆς τῶν ξύλων πάχος ἐχόντων, καὶ εἴκοσιν ἀνδρῶν καὶ ὅπλων, τούτων ἐγένετο ἔλαττον ἢ πεντεκαίδεκα τάλαντα
55 ἑκάστῳ ζεύγει τὸ ἀγώγιον. Ὡς δ' ἔγνω εὔπορον οὖσαν τὴν ἀγωγήν, παρεσκευάζετο ὡς ἄξων τοὺς πύργους σὺν τῷ στρατεύματι, νομίζων τὴν ἐν πολέμῳ πλεονεξίαν ἅμα σωτηρίαν τε καὶ δικαιοσύνην εἶναι καὶ εὐδαιμονίαν.

§. 54. τοῦ ἀγωγίου] τοῦ ἀγωγίμου i. e. vecturae edd. vett. πάχος ἐχόντων – τούτων] πάχους ὄντων – τούτοις codd. meliores.

§. 55. καὶ εὐδαιμονίαν] deleri voluit Bothius.

§. 54. τοῦ ἀγωγίου] Zonaras: Ἀγώγιον· τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. οὕτως Ξενοφῶν. Non secus Grammat. Bekkeri Anecd. p. 333.

τὸ σκευοφορικὸν βάρος] onus sarcinarum, quae singulis plaustris impositae a singulis iumentis vehi solebant.

ἀμφὶ πέντε καὶ εἴκοσι τάλαντα] i. e. circiter 1400 libr. Colon. s. 1333⅓ libr. Paris., quippe talentum Atticum aequat 80 libras Romanas testibus Boeckh. Oecon. Attic. I. p. 19. et Wurm. De pond. rat. p. 16. 47.

τοῦ δὲ πύργου, ὥςπερ τραγικῆς σκηνῆς τῶν ξύλων – τὸ ἀγώγιον] i. e. τὸ δὲ ἀγώγιον τοῦ πύργου, ἐπεὶ τὰ ξύλα αὐτοῦ πάχος εἶχεν ὥςπερ πάχος τραγικῆς σκηνῆς, καὶ τὸ ἀγώγιον τὸ εἴκοσιν ἀνδρῶν καὶ ὅπλων, τούτων ἁπάντων τὸ ἀγώγιον ἐγένετο ἔλαττον ἢ πεντεκαίδεκα τάλαντα ἑκάστῳ ζεύγει, ita ut totius turris pondus esset centum et viginti talentorum. Σκηνὴν τραγικὴν non est quod de pegmate accipiamus, quum scenam ipsam quindecim fere pedes altam et ex lignis compositam fuisse pateat ex libro Kanngiesseri Scen. Comic. Attic. vernacule scripto p. 201. 193. Ceterum articulus post ἑκάστῳ deerat etiam I. 2, 6.

§. 55. καὶ εὐδαιμονίαν] Nam qui milites hostem vincere student, non modo vitam suam servant, nec in hostes iniuste agunt, verum etiam felices se esse arbitrantur, vel, ut cum Xenophonte loquar V. 4, 28., ἡ στρατεία αὐτοῖς ἡδίων ἐστίν.

CAPUT II.

Indorum legati mittuntur a Cyro ad Assyrium speculandi causa.

Ἦλθον δὲ ἐν τούτῳ τῷ χρόνῳ καὶ παρὰ τοῦ Ἰνδοῦ χρήματα ἄγοντες, καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι ὁ Ἰνδὸς ἐπιστέλλει τοιάδε· Ἐγώ, ὦ Κῦρε, ἥδομαι, ὅτι μοι ἀπήγγειλας ὧν ἐδέου· καὶ βούλομαί σοι ξένος εἶναι, καὶ πέμπω σοι χρήματα· κἂν ἄλλων δέῃ, μεταπέμπου. Ἐπέσταλται δὲ τοῖς παρ' ἐμοῦ ποιεῖν ὅ τι ἂν σὺ κελεύῃς. 1
Ἀκούσας δὲ ὁ Κῦρος εἶπε· Κελεύω τοίνυν ὑμᾶς, τοὺς μὲν ἄλλους μένοντας ἔνθα κατεσκηνώκατε φυλάττειν τὰ χρήματα, καὶ ζῆν ὅπως ὑμῖν ἥδιστον· τρεῖς δέ μοι ἐλθόντες ὑμῶν εἰς τοὺς πολεμίους ὡς παρὰ τοῦ Ἰνδοῦ περὶ συμμαχίας, καὶ τὰ ἐκεῖ μαθόντες, ὅ τι ἂν λέγωσί τε καὶ ποιῶσιν, ὡς τάχιστα ἀπαγγείλατε ἐμοί τε καὶ τῷ Ἰνδῷ· κἂν ταῦτά μοι καλῶς ὑπηρετήσητε, ἔτι μᾶλλον ὑμῖν χάριν εἴσομαι τούτου ἢ ὅτι χρήματα πάρεστε ἄγοντες. Καὶ γὰρ οἱ μὲν δούλοις ἐοικότες κατάσκοποι οὐδὲν ἄλλο δύνανται εἰδότες ἀπαγγέλλειν ἢ ὅσα πάντες ἴσασιν· οἱ δὲ οἷοίπερ ὑμεῖς ἄνδρες πολλάκις καὶ τὰ βουλευόμενα καταμανθάνουσιν. 2
Οἱ μὲν δὴ Ἰνδοί, ἡδέως ἀκούσαντες, καὶ ξενισθέντες τότε παρὰ Κύρῳ, συ- 3

Cap. II. §. 1. *ἥδομαι, ὅτι μοι ἀπήγγειλας ὧν ἐδέου*] *ἥδομαι, ὧν ἐδέου, ὅτι ἀπήγγειλας* G. Nolim *μοί* abesse, cetera neutiquam improbans. Cf. not. ad Anab. V. 6, 34.

Cap. II. §. 1. *καὶ παρὰ τοῦ Ἰνδοῦ*] sc. *τινές*. Sed intelliguntur praeter Indorum legatos etiam ii, quos III. 2, 28 sqq. Cyrus ad Indorum regem miserat, ut videatur legendum esse *καὶ οἱ παρὰ τοῦ Ἰνδοῦ*.

τοῖς παρ' ἐμοῦ] iis, qui a me missi sunt legati.

§. 2. *ὑμᾶς, τοὺς μὲν ἄλλους*] Iam hic genitivus *ὑμῶν* collocari potuit, quem demum post *ἐλθόντες* illatum vides; ubi praeterea notandum mutata structura ad imperativum transiri, quasi *κελεύω τοὺς ἄλλους φυλάττειν* antea non dixerit.

εἰδότες ἀπαγγέλλειν] i. e. *εἰδέναι καὶ ἀπαγγέλλειν*. Sed Araspas tamen eo consilio ad Assyrios se contulerat, ut quae apud hos gererentur cognosceret. Nimirum hunc Cyrus noluit prius redire, quam acie hostium perspecta c. 1, 43. paullo ante proelium committendum; Indos cur ad hostes miserit, exponetur §. 9 sqq. cf. §. 11.

σκευασάμενοι τῇ ὑστεραίᾳ ἐπορεύοντο, ὑποσχόμενοι ἦ μὴν μαθόντες ὅσα ἂν δύνωνται πλεῖστα ἐκ τῶν πολεμίων ἥξειν ὡς δυνατὸν τάχιστα.

Cyri studium in apparando bello et exercendis militibus.

4 Ὁ δὲ Κῦρος τά τε ἄλλα εἰς τὸν πόλεμον παρε-
σκευάζετο μεγαλοπρεπῶς, ὡς δὴ ἀνὴρ οὐδὲν σμικρὸν
ἐπινοῶν πράττειν· ἐπεμελεῖτο δὲ οὐ μόνον ὧν ἔδοξε
τοῖς συμμάχοις, ἀλλὰ καὶ ἔριν ἐνέβαλλε πρὸς ἀλλήλους
τοῖς φίλοις, ὅπως αὐτοὶ ἕκαστοι φανοῦνται καὶ εὐο-
πλότατοι καὶ ἱππικώτατοι καὶ ἀκοντιστικώτατοι καὶ το-
5 ξικώτατοι καὶ φιλοπονώτατοι. Ταῦτα δὲ ἐξειργάζετο
ἐπί τε τὰς θήρας ἐξάγων, καὶ τιμῶν τοὺς κρατίστους
ἕκαστα· καὶ τοὺς ἄρχοντας δέ, οὓς ἑώρα ἐπιμελομένους
τούτου, ὅπως οἱ αὐτῶν κράτιστοι ἔσονται στρατιῶται,
καὶ τούτους ἐπαινῶν τε παρώξυνε, καὶ χαριζόμενος αὐ-
6 τοῖς ὅ τι δύναιτο. Εἰ δέ ποτε θυσίαν ποιοῖτο καὶ ἑορ-
τὴν ἄγοι, καὶ ἐν ταύτῃ, ὅσα πολέμου ἕνεκα μελετῶσιν
ἄνθρωποι, πάντων τούτων ἀγῶνας ἐποίει, καὶ ἆθλα
τοῖς νικῶσι μεγαλοπρεπῶς ἐδίδου, καὶ ἦν πολλὴ εὐθυ-
μία ἐν τῷ στρατεύματι.
7 Τῷ δὲ Κύρῳ σχεδόν τι ἤδη ἀποτετελεσμένα ἦν
ὅσα ἐβούλετο ἔχων στρατεύεσθαι πλὴν τῶν μηχανῶν.
Καὶ γὰρ οἱ Πέρσαι ἱππεῖς ἔκπλεῳ ἤδη ἦσαν εἰς τοὺς

§. 3. μαθόντες] καταμαθόντες ex Cyri verbis irrepsit, cui sane magis accommodatum est quam legatorum modestiae.
§. 5. ἕκαστα] ἑκασταχῇ Schn.

§. 3. ἐκ τῶν πολεμίων] Etiam cum ἥξειν copulari posse, quod proprie ad μαθόντες spectet, e §. 9. elucet.
ὡς δυνατὸν τάχιστα] ὡς ἂν δύνωνται τάχιστα scriptum in libris permultis, qui inspexerit Matth. §. 461. p. 857 sq. sec. ed., nec librariorum errores ignoraverit, nemo probabit.
§. 4. τά τε ἄλλα – ἐπεμελεῖτο δέ] Particularum τέ – δέ inter se relatarum exempla dedi ad II. 1, 22.
ὅπως αὐτοὶ ἕκαστοι φανοῦνται] De ὅπως sequente indicat. fut. cf. Rost. §. 122. 11. Pronomina αὐτοὶ ἕκαστοι iam Vigerus p. 166. verti iussit per se solos.
§. 6. τούτων ἀγῶνας ἐποίει] Cf. I, 6, 18. II. 1, 22.
§. 7. οἱ Πέρσαι ἱππεῖς ἔκπλεῳ] Cf. c. 1, 26. et de nomi-

μυρίους· καὶ τὰ ἅρματα τὰ δρεπανηφόρα, ἅ τε αὐτὸς κατεσκεύασεν, ἔκπλεα ἤδη ἦν εἰς τὰ ἑκατόν· ἅ τε Ἀβραδάτας ὁ Σούσιος ἐπεχείρησε κατασκευάζειν ὅμοια τοῖς Κύρου, καὶ ταῦτα ἔκπλεα ἦν εἰς ἄλλα ἑκατόν. Καὶ τὰ 8
Μηδικὰ δὲ ἅρματα ἐπεπείκει Κῦρος Κυαξάρην εἰς τὸν αὐτὸν τρόπον τοῦτον μετασκευάσαι ἐκ τῆς Τρωϊκῆς καὶ Λιβυκῆς διφρείας· καὶ ἔκπλεα καὶ ταῦτα ἦν εἰς ἄλλα ἑκατόν. Καὶ ἐπὶ τὰς καμήλους δὲ τεταγμένοι ἦσαν ἄνδρες δύο ἐφ' ἑκάστην τοξόται. Καὶ ὁ μὲν πλεῖστος στρατὸς οὕτως εἶχε τὴν γνώμην, ὡς ἤδη παντελῶς κεκρατηκώς, καὶ οὐδὲν ὄντα τὰ τῶν πολεμίων.

Indorum narratio de hostium copiis perturbat milites Cyri.

Ἐπεὶ δὲ οὕτω διακειμένων ἦλθον οἱ Ἰνδοὶ ἐκ τῶν 9
πολεμίων, οὓς ἐπεπόμφει Κῦρος ἐπὶ κατασκοπήν, καὶ ἔλεγον, ὅτι Κροῖσος μὲν ἡγεμὼν καὶ στρατηγὸς πάντων ᾑρημένος εἴη τῶν πολεμίων, δεδογμένον δ' εἴη πᾶσι τοῖς συμμάχοις βασιλεῦσι πάσῃ τῇ δυνάμει ἕκαστον παρεῖναι,

§. 9. ἐπὶ κατασκοπήν] ἐπὶ κατασκοπῇ alii.

nativo plural. ἔκπλεῳ Matth. §. 117. 10. p. 237. ed. sec.

§. 8. καὶ οὐδὲν ὄντα τὰ τῶν πολεμίων] V. 2, 24. dativus et accusativus participii sese invicem excipiebant: οὐδὲν ὄντα secundum Camerarii sententiam figura est proverbii in Graeco (Latino et Germano) sermone usitata. Eurip. Andromach. 632. σὺ δ' οὐδὲν εἶ. Matth. §. 437. not. 1. Blomfield. ad Aeschyl. Agam. 164.

§. 9. ἐπεὶ δὲ κ. τ. λ.] Apodosis exorditur demum a §. 12. Cf. V. 1, 6.

ἐπὶ κατασκοπήν] Hellen. I. 4, 11. non sine lectionis diversitate est ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ κατασκοπῇ τῶν τριήρων. Nec similia plane sunt illa ἐπὶ δίκην καταβαίνειν supra III. 1, 6. ὁδὸς ἐπ' εὐδοξίαν Memor. I. 7, 1., atque apud Pausan. VII. 7, 4. Ῥωμαῖοι δὲ ἐπεπόμφεσαν — ἐν κατασκοπῇ τῶν ἐν Μακεδονίᾳ πραγμάτων viris doctis placet ἐπὶ κατασκοπῇ. Vid. Lobeck. ad Phryn. p 475. Dativo certe nihil est in talibus frequentius. Matthiae §. 585. p. 1165 sq.

πᾶσι τοῖς συμμάχοις βασιλεῦσι] omnibus sociis regibus, quos sibi adiunxerant Lydorum et Assyriorum reges. Itidem in his πάσῃ τῇ δυνάμει ἕκαστον articulum reddas cum suis quemque copiis cl. Matth. §. 277. p. 564. ed. sec. Scribi autem potuit πάσῃ μὲν τῇ δυνάμει, quia huc refertur δέ in seqq. χρήματα δὲ εἰσφέρειν πάμπολλα; si modo nova haec esset et insolita omis-

χρήματα δὲ εἰςφέρειν πάμπολλα, ταῦτα δὲ τελεῖν καὶ μισθουμένους οὓς δύναιντο, καὶ δωρουμένους οἷς δέοι·
10 ἤδη δὲ καὶ μεμισθωμένους εἶναι πολλοὺς μὲν Θρᾳκῶν μαχαιροφόρους, Αἰγυπτίους δὲ προςπλεῖν· καὶ ἀριθμὸν ἔλεγον εἰς δώδεκα μυριάδας σὺν ἀσπίσι ποδήρεσι, καὶ δόρασι μεγάλοις, οἷάπερ καὶ νῦν ἔχουσι, καὶ κοπίσι· προςέτι δὲ καὶ Κυπρίων στράτευμα· παρεῖναι δὲ ἤδη Κίλικας πάντας καὶ Φρύγας ἀμφοτέρους, καὶ Λυκάονας καὶ Παφλαγόνας καὶ Καππαδόκας καὶ Ἀραβίους καὶ Φοίνικας, καὶ σὺν τῷ Βαβυλῶνος ἄρχοντι τοὺς Ἀσσυρίους· καὶ Ἴωνας δὲ καὶ Αἰολέας, καὶ σχεδὸν πάντας τοὺς Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ κατοικοῦντας, σὺν
11 Κροίσῳ ἠναγκάσθαι ἕπεσθαι· πεπομφέναι δὲ Κροῖσον καὶ εἰς Λακεδαίμονα περὶ συμμαχίας· συλλέγεσθαι δὲ τὸ στράτευμα ἀμφὶ τὸν Πακτωλὸν ποταμόν, προϊέναι δὲ μέλλειν αὐτοὺς εἰς Θύμβραρα, ἔνθα καὶ νῦν ὁ σύλλο-

§. 10. προςέτι δὲ καὶ Κυπρίων στράτευμα· παρεῖναι] προςπλεῖν δὲ καὶ Κ. στράτευμά ἔτι, παρεῖναι Schn. προςέτι δὲ καὶ Κ. στράτευμα προςπλεῖν· παρεῖναι suadet marg. Vict. vel etiam πρὸς δ' ἔτι καί etc.

κατοικοῦντας] Ita Guelf. probante Schaef. ad Apollon. Rhod. II. p. 339., ἐποικοῦντας Pop. οἰκοῦντας Vat. habetur II. 1, 5.

sio, de qua dictum ad I. 5, 11. et a Matth. §. 616. 3. p. 1245 sq.

ταῦτα δὲ τελεῖν — οἷς δέοι] eamque (pecuniam) in milites, quotquot possent, conducendos, et praemiis, quos conveniret, donandos impendere. Gabr.

§. 10. πολλοὺς μὲν Θρᾳκῶν μαχαιροφόρους] Dios ad Rhodopen montem habitantes etiam Thucydides μαχαιροφόρους appellavit, vid. Poppo Proleg. Thucyd. P. I. Vol. II. p. 340. sed h. l. intelligi videntur Thraces Asiatici, qui olim ad Strymonem habitaverant, et quibus Herodot. VII. 75. attribuit ἀκόντιά τε καὶ πέλτας καὶ ἐγχειρίδια σμικρά.

οἷάπερ καὶ νῦν ἔχουσι] Anab. I. 8, 9. ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν· Αἰγύπτιοι δ' ἐλέγοντο οὗτοι εἶναι. Adde Cyrop. VII. 1, 33. Ceterum Croesus Herodoto auctore I. 77. ἐποιήσατο καὶ πρὸς Ἄμασιν βασιλεύοντα Αἰγύπτου συμμαχίην πρότερον ἤπερ πρὸς Λακεδαιμονίους.

§. 11. ἀμφὶ τὸν Πακτωλόν] medias per Sardes fluentem, cuius in vicinia etiam Thymbrara sita fuerint necesse est VII. 1, 45: Phryges II. 1, 5. in Caystrio campo, Cyri minoris milites ad Castolum congregantur, atque alii alibi, quos vide apud Heeren. Ideen. I. P. I. p. 505. ed. 4.

μέλλειν αὐτούς] τοὺς στρατιώτας ex nomine τὸ στράτευμα suppleas. Cf. §. 12.

γος τῶν ὑπὸ βασιλέα βαρβάρων τῶν κάτω Συρίας, καὶ ἀγορὰν πᾶσι παρηγγέλθαι ἐνταῦθα κομίζειν· σχεδὸν δὲ τούτοις ταὐτὰ ἔλεγον καὶ οἱ αἰχμάλωτοι· ἐπεμελεῖτο γὰρ καὶ τούτου ὁ Κῦρος, ὅπως ἁλίσκοιντο παρ' ὧν ἔμελλε πεύσεσθαί τι· ἔπεμπε δὲ καὶ δούλοις ἐοικότας κατασκόπους, ὡς αὐτομόλους· ὡς οὖν ταῦτα ἤκουσεν 12
ὁ στρατὸς τοῦ Κύρου, ἐν φροντίδι ἐγίγνετο, ὥςπερ εἰκός, καὶ ἡσυχαίτεροί τε ἢ ὡς εἰώθεσαν διεφοίτων, φαιδροί τε οὐ πάνυ ἐφαίνοντο· ἐκυκλοῦντό τε, καὶ μεστὰ ἦν πάντα ἀλλήλους ἐρωτώντων καὶ διαλεγομένων περὶ τούτων.

Metum Persarum sedant conciones Cyri et Chrysantae.

Ὡς δὲ ᾔσθετο ὁ Κῦρος φόβον διαθέοντα ἐν τῇ 13
στρατιᾷ, συγκαλεῖ τούς τε ἄρχοντας τῶν στρατευμάτων, καὶ πάντας, ὁπόσων ἀθυμούντων ἐδόκει τις βλάβη γίγνεσθαι, καὶ προθυμουμένων ὠφέλεια. Προεῖπε δὲ τοῖς ὑπηρέταις, καὶ ἄλλος εἴ τις βούλοιτο τῶν ὁπλοφό-

§. 12. ἤκουσεν ὁ στρατὸς τοῦ Κύρου, ἐν φροντίδι ἐγίγνετο] Exstitit olim etiam haec scriptura: ἤκουσεν (ὁ Κῦρος), ὁ στρατὸς τῷ Κύρῳ ἐν φροντίδι ἐγίγνετο. Receptam editi libri vett. additis post φροντίδι et post φαιδροί τε verbis τε ἕκαστος et οἱ πολλοί interpolarant. Sed temerarium magis fuerit postea scribere ἐκυκλοῦντό τε λυπούμενοι, καὶ μεστὰ ἦν, quam περὶ πάντων τούτων.

τῶν ὑπὸ βασιλέα βαρβάρων] Attigi ad III. 3, 6.
τῶν κάτω Συρίας] qui infra Syriam habitant. Gabriel. in Asia minore videlicet.
ἔμελλε πεύσεσθαί τι] Vid. not. ad I. 4, 16. Post haec ὡς αὐτομόλους non adiici, sed intelligi oportet ὄντας ad exemplum eorum locorum, quos collegit Matth. §. 568. not.
§. 12. καὶ ἡσυχαίτεροί τε] sc. οἱ στρατιῶται. Praecessit enim ὁ στρατός. Cf. §. 11. III. 3, 1.
§. 13. τοῖς ὑπηρέταις] adiutoribus castrensibus, de quibus dixi ad II. 1, 21.

καὶ ἄλλος εἴ τις βούλοιτο] etiam si quis alius vellet. Eodem modo ἄλλος traiectum Hellen. IV. 8, 10. καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδούς, καὶ ἄλλο εἴ τι ἀναγκαῖον ἦν δαπανῶν. Thucyd. II. 72. p. 307. ed. Goell. ἀποδείξατε καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν. Molestiorem in his attractionem admisit Demosth. Leptin. p. 487. v. 23. ἔπειτ' ἐγγυώμεθ' ἡμεῖς, ἐγώ, Φορμίων, ἄλλον (nonne καὶ ἄλλον?) εἴ τινα βούλεται, θήσειν τὸν νόμον.

ρων προσίστασθαι ἀκουσόμενος τῶν λόγων, μὴ κωλύειν. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε·

14 Ἄνδρες ξύμμαχοι, ἐγὼ τοίνυν ὑμᾶς συνεκάλεσα, ἰδών τινας ὑμῶν, ἐπεὶ αἱ ἀγγελίαι ἦλθον ἐκ τῶν πολεμίων, πάνυ ἐοικότας πεφοβημένοις ἀνθρώποις. Δοκεῖ γάρ μοι θαυμαστὸν εἶναι, εἴ τις ὑμῶν, ὅτι μὲν οἱ πολέμιοι συλλέγονται, δέδοικεν· ὅτι δὲ ἡμεῖς πολὺ μὲν πλείους συνειλέγμεθα νῦν ἢ ὅτε ἐνικῶμεν ἐκείνους, πολὺ δὲ ἄμεινον σὺν θεοῖς παρεσκευάσμεθα νῦν ἢ πρόσθεν, ταῦτα δὲ ὁρῶντες οὐ θαῤῥεῖτε.

15 Ὦ πρὸς θεῶν, ἔφη, τί δῆτ' ἂν ἐποιήσατε οἱ νῦν δεδοικότες, εἰ ἤγγελλόν τινες τὰ παρ' ἡμῖν νῦν ὄντα, ταῦτα ἀντίπαλα ἡμῖν προσιόντα; καὶ πρῶτον μὲν ἠκούετε, ἔφη, ὅτι οἱ πρότερον νικήσαντες ἡμᾶς, οὗτοι πάλιν ἔρχονται, ἔχοντες ἐν ταῖς ψυχαῖς ἣν τότε νίκην ἐκτήσαντο· ἔπειτα δὲ οἱ τότε ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς

§. 13. προσίστασθαι] Probavit Do vill. ad Charit. p. 287. Lips. προΐστασθαι alii, non intelligentes parum probabiliter Cyrum permisisse, ut militum turba staret ante duces.

§. 14. συλλέγονται] λέγονται συλλέγεσθαι praestat, opinor.

§. 14. ἐγὼ τοίνυν] τοίνυν nihil nisi transitum facit ad orationem ipsam, vertasque iam, nunc. Non ignoro admodum frequentem esse τοί voculam pronominibus personalibus postpositam: quod dicendi genus si quis cognitum non habeat, discat ex Matth. §. 627. p. 1280 sq. verum tamen τοίνυν similiter collocatae ut paucis exemplis defungar, sufficiant haec Oecon. X. 2. λέγει ὁ Ἰσχόμαχος· Ἐγὼ τοίνυν, ἔφη, ἰδών ποτε αὐτήν. XI. 14. Ἐγὼ τοίνυν, ἔφη. Cyrop. VI. 3, 19. Conviv. IV. 30. Schneid. ad Memor. I. 4, 13. Viger. p. 553.

ταῦτα δὲ ὁρῶντες οὐ θαῤῥεῖτε] Sive cogitavit Cyrus de coniunctione εἰ, qua antea usus erat, sive structura excidit, alioquin enim pergere debuisset ταῦτα δὲ ὁρῶν οὐ θαῤῥεῖ, illud οὐ cum θαῤῥεῖτε in hanc unam coalescit notionem diffiditis. Matth. §. 608. n. b. p. 1220 sq. Quare autem ταῦτα δὲ cuiquam offensioni fuerit, causam iustam non exputo. Vid. nos ad I. 6, 43. II. 3, 19.

§. 15. τί δῆτ' ἂν ἐποιήσατε – εἰ ἤγγελλον] quid tandem fecissetis – si nuntiarent, ut sit imperfectum de nuntio non semel facto, sed repetito saepius. Cf. §. 19. et Matth. §. 508. b. p. 964 sq. ed. sec.

καὶ πρῶτον μὲν ἠκούετε] καὶ εἰ πρῶτον μὲν ἠκούετε, quod et ipsum de rumore adhuc sparso dicitur.

οἱ τότε ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκροβολίσεις] qui tunc (III. 3, 60 sqq.) sagittariorum et iaculatorum velitationes sustulerunt, irritas reddiderunt. Minus rhetorice dixisset οἱ τότε ἐκκόψαντες τοὺς τοξότας

ἀκροβολίσεις, νῦν οὗτοι ἔρχονται καὶ ἄλλοι ὅμοιοι τούτοις πολλαπλάσιοι· ἔπειτα δὲ ὥςπερ οὗτοι ὁπλισάμενοι 16
τοὺς πεζοὺς τότε ἐνίκων, νῦν οὕτω καὶ οἱ ἱππεῖς αὐτῶν παρεσκευασμένοι πρὸς τοὺς ἱππέας προςέρχονται· καὶ τὰ μὲν τόξα καὶ ἀκόντια ἀποδεδοκιμάκασι, παλτὸν δὲ ἓν ἰσχυρὸν ἕκαστος λαβὼν προςελαύνειν διανενόηται, ὡς
ἐκ χειρὸς τὴν μάχην ποιησόμενος· ἔτι δὲ ἅρματα ἔρχεται, 17
ἃ οὐχ οὕτως ἑστήξεται, ὥςπερ πρόσθεν, ἀπεστραμμένα ὥςπερ εἰς φυγήν, ἀλλ' οἵ τε ἵπποι εἰσὶ κατατεθωρακισμένοι οἱ ἐν τοῖς ἅρμασιν, οἵ τε ἡνίοχοι ἐν πύργοις ἑστᾶσι ξυλίνοις, τὰ ὑπερέχοντα ἅπαντα συνεστεγασμένοι θώραξι καὶ κράνεσι· δρέπανά τε σιδηρᾶ περὶ τοῖς ἄξοσι προςήρμοσται, ὡς ἐλῶντες καὶ οὗτοι εὐθὺς εἰς τὰς τά-
ξεις τῶν ἐναντίων· πρὸς δ' ἔτι κάμηλοί εἰσιν αὐτοῖς, 18
ἐφ' ὧν προςελῶσιν, ὧν μίαν ἑκάστην ἑκατὸν ἵπποι οὐκ

§. 15. τὰς ἀκροβολίσεις] τὰς ἀκροβόλεις m. Vict., unde, quod iniuria interpretes exercuit, τὰς ἀκροπόλεις ortum est.

§. 16. ἰσχυρόν] ἰσχυρότερον edd. vett. i. e. validius sagittis iaculisque.

§. 17. προςήρμοσται] προςήλωται praefert Fischer.

καὶ ἀκοντιστὰς ἀκροβολιζομένους eo sensu, quo scripsit Herodt. IV. 110. ἐξέκοψαν τοὺς ἄνδρας. Ad oeconomiam orationis quod attinet, postquam Cyrus in universum dixerat vicisse se hostium copias, deinceps qua ratione singuli singulos perdiderint, recenset, graviter armatorum fortitudine ante omnia id effectum esse commemorans: nunc equites etiam, currus camelosque accessisse, qui cominus ad hostem perrecturi essent.

§. 16. οὕτω — παρεσκευασμένοι] i. e. ὁπλισάμενοι, ut cominus cum hostibus pugnare possint. IV. 3, 9. Ἀλλὰ μὴν καὶ οἷς γε δεῖ ἄνδρα ἱππέα χρῆσθαι ἔχομεν, θώρακας μέν, ἐρύματα τῶν σωμάτων, παλτὰ δέ, οἷς καὶ μεθιέντες καὶ ἔχοντες χρῴμεθ' ἄν. Cf. VII. 1, 2.

§. 17. ἑστήξεται] Male hic legi et de Venat. X. 9. pro ἑστήξει censet Elmsl. ad Aristoph. Acharn. 597. Commentar. Vol. V. p. 162. eiusque auctoritate usi sunt etiam Buttmann. gr. max. T. II. p. 158. et Matth. §. 237. p. 465. ed. sec.

ἀπεστραμμένα ὥςπερ εἰς φυγήν] A tergo quia propugnatores relicturi proelium ascendere currum solebant, hinc currus dicuntur ipsi aversi quasi ad fugam spectare, minime autem propterea quod post aciem (umgelenkt) steterunt. Quid enim sibi velit ὥςπερ ante εἰς φυγήν, si retro flexi currus fuissent?

περὶ τοῖς ἄξοσι] πρὸς τοὺς ἄξονας est VI. 1, 30. sed vid. Matth. §. 589. b. Rost. §. 106. p. 399.

καὶ οὗτοι] οἱ ἡνίοχοι.

§. 18. κάμηλοι] Vid. VI. 1, 30. c. 2, 8. VII. 1, 27.

ἂν ἀνάσχοιντο ἰδόντες· ἔτι δὲ πύργους ἔχοντες προσίασιν, ἀφ' ὧν τοῖς μὲν αὑτῶν ἀρήξουσιν, ἡμᾶς δὲ βάλ-
19 λοντες κωλύσουσι τοῖς ἐν τῷ ἰσοπέδῳ μάχεσθαι· εἰ δή ταῦτα ἀπήγγελλέ τις ὑμῖν ἐν τοῖς πολεμίοις ὄντα, οἱ νῦν φοβούμενοι τί ἂν ἐποιήσατε; ὁπότε ἀπαγγελλομένων ὑμῖν, ὅτι Κροῖσος μὲν ᾕρηται τῶν πολεμίων στρατηγός, ὃς τοσούτῳ Σύρων κακίων ἐγένετο, ὅσῳ Σύροι μὲν μάχῃ ἡττηθέντες ἔφυγον, Κροῖσος δὲ ἰδὼν ἡττημένους ἀντὶ τοῦ ἀρήγειν τοῖς συμμάχοις φεύγων ᾤχετο.
20 Ἔπειτα δὲ [δὴ] διαγγέλλεται δήπου, ὅτι αὐτοὶ μὲν οἱ πολέμιοι οὐχ ἱκανοὶ ἡγοῦνται ὑμῖν εἶναι μάχεσθαι, ἄλλους δὲ μισθοῦνται, ὡς ἄμεινον μαχουμένους ὑπὲρ σφῶν ἢ αὐτοί. Εἰ μέντοι τισὶ ταῦτα μὲν τοιαῦτα ὄντα δεινὰ δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα φαῦλα, τούτους ἐγώ φημι χρῆναι, ὦ ἄνδρες, ἀφεῖναι εἰς τοὺς ἐναντίους· πολὺ γὰρ ἐκεῖ ὄντες πλείω ἂν ἡμᾶς ἢ παρόντες ὠφελοῖεν.
21 Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Κῦρος, ἀνέστη Χρυσάντας ὁ Πέρσης, καὶ ἔλεξεν ὧδε· Ὦ Κῦρε, μὴ θαύμαζε,

πύργους] in quibus viginti milites, sagittarii et iaculatores, ut arbitror, collocati erant c. 1, 53.

§. 19. *ὁπότε*] sc. *τοσοῦτον φοβεῖσθε.*

Σύρων] Assyriorum, quos deseruit Croesus IV. 1, 8. c. 2, 29. — *ὅσῳ Σύροι μὲν μάχῃ ἡττηθέντες ἔφυγον, Κροῖσος δὲ ἰδὼν-φεύγων ᾤχετο*] Plat. Euthyphr. p. 74. Stallb. *Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου τοῦ ἀνδρὸς δεινότερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν τὰ αὑτοῦ μόνα ἐποίει οὐ μένοντα, ἐγὼ δὲ πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τὰ ἀλλότρια.* Demosth. p. 212. v. 21. *καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν ἀποκτείνειε, τοὺς δὲ τυραννουμένους ἀκρίτους ἔστιν ὁρᾶν.* Adde Cyrop. VIII. 1, 4. et not. ad I. 1, 4.

§. 20. *ἔπειτα δὲ [δὴ] διαγγέλλεται δήπου*] Nec δὲ δή nec δή – δή coniungere Graecos reformidasse apparet ex observat. ad I. 2, 3. I. 3, 9. sed complexus vocum *δή – δήπου* non certioris hic est fidei quam IV. 4, 7.

ἢ αὐτοί] sc. *μαχοῦνται ὑπὲρ ἑαυτῶν.*

πολὺ – πλείω] Haec inter se nexa esse quis est qui nesciat? cf. ad 4, 8. Nimirum apud hostes commorantes eo Cyri copiis utilitatem afferent, quod metum, quo correpti sunt, nimium quantum augebunt.

§. 21. *μὴ θαύμαζε*] »Magis prudenter quam diserte loquitur Chrysantas. Cum plerique minus iam *φαιδροὶ* (§. 12.) et contra *σκυθρωποὶ* reperirentur, callide ambiguam vultus significationem in eorum laudem interpretatur, molestum quippe illis esse, quod sero adversus hostes educantur. Prudenter et hoc, quod in prima persona loquitur, neque se ipsum excludit: ita succurrit sociorum pudori. Reliqua, quibus immutatam frontis sere-

εἴ τινες ἐσκυθρώπασαν ἀκούσαντες τῶν ἀγγελλομένων· οὐ γὰρ φοβηθέντες οὕτω διετέθησαν, ἀλλ' ἀχθεσθέντες· ὥςπερ γε, ἔφη, εἴ τινων βουλομένων τε καὶ οἰομένων ἤδη ἀριστήσειν ἐξαγγελθείη τι ἔργον, ὃ ἀνάγκη εἴη πρὸ τοῦ ἀρίστου ἐξεργάσασθαι, οὐδεὶς ἄν, οἶμαι, ἥσθείη ἀκούσας· οὕτω τοίνυν καὶ ἡμεῖς, ἤδη οἰόμενοι πλουτήσειν, ἐπεὶ ἠκούσαμεν, ὅτι ἐστὶ περίλοιπον ἔργον, ὃ δεῖ ἐξεργάσασθαι, συνεσκυθρωπάσαμεν, οὐ φοβούμενοι, ἀλλὰ πεποιῆσθαι ἂν ἤδη καὶ τοῦτο βουλόμενοι. Ἀλλὰ 22
γὰρ ἐπειδὴ οὐ περὶ Συρίας μόνον ἀγωνιούμεθα, ὅπου σῖτος πολὺς καὶ πρόβατά ἐστι καὶ φοίνικες οἱ καρποφόροι, ἀλλὰ καὶ περὶ Λυδίας, ἔνθα πολὺς μὲν οἶνος, πολλὰ δὲ σῦκα, πολὺ δὲ ἔλαιον, θάλαττα δὲ προςκλύζει, καθ' ἣν πλείω ἔρχεται ἢ ὅσα τις ἑώρακεν ἀγαθά, ταῦτα, ἔφη, ἐννοούμενοι οὐκέτι ἀχθόμεθα, ἀλλὰ θαῤῥοῦμεν ὡς μάλιστα, ἵνα θᾶττον καὶ τούτων τῶν Λυδίων ἀγαθῶν ἀπολαύωμεν. Ὁ μὲν οὕτως εἶπεν· οἱ δὲ σύμμαχοι πάντες ἥσθησάν τε τῷ λόγῳ καὶ ἐπῄνεσαν.

Decreta expeditione statim suscipienda, Cyrus edicit de rebus, quibus praeter arma exercitus debeat esse instructus ad iter.

Καὶ μὲν δή, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, δοκεῖ μοι 23
καὶ ἰέναι ἐπ' αὐτοὺς ὡς τάχιστα, ἵνα πρῶτον μὲν αὐτοὺς

§. 21. **οὐδεὶς ἄν**] οὐδεὶς δ' ἄν quidam non male.
§. 22. **θαῤῥοῦμεν ὡς μάλιστα**] θαῤῥῶμεν ὡς τάχιστα non poterat dicere qui se timere modo negaverat.
§. 23. **καὶ ἰέναι**] Abest καί Vat. m. Vict.

nitatem excusat, eo spectant, ut proposita spe praedae omnis discutiatur tristitia.« Weisk.

§. 22. Ἀλλὰ γὰρ] Sed ne sis sollicitus de tristitia illa nostra; nam etc. Sic iam Zeunius explicavit, qualia nos tractavimus ad II. 1, 13.

καὶ φοίνικες οἱ καρποφόροι] Anab. II. 3, 14. de vicis Babyloniis disserens Xen. Ἐνῆν δὲ σῖτος, inquit, καὶ οἶνος φοινίκων πολύς, καὶ ὄξος ἑψητὸν ἀπὸ τῶν αὐτῶν. Αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι, θαυμάσιαι τὸ κάλλος καὶ τὸ μέγεθος· ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερεν κ. τ. λ. Cum his consentit Herodotus quique recentioribus temporibus Babyloniam visitarunt auctore Heerenio in libro 1. Ideen. P. II. p. 145 sq. ed. 4.

ἐπῄνεσαν] sc. αὐτόν, τὸν λόγον.

§. 23. Καὶ μὲν δή – δοκεῖ μοι καὶ ἰέναι ἐπ' αὐτοὺς ὡς τάχιστα]

φθάσωμεν ἀφικόμενοι, ἣν δυνώμεθα, ὅπου τὰ ἐπιτή-
δεια αὐτοῖς συλλέγεται· ἔπειτα δὲ ὅσῳ ἂν θᾶσσον ἴωμεν,
τοσούτῳ μείω μὲν τὰ παρόντα εὑρήσομεν αὐτοῖς, πλείω
24 δὲ τὰ ἀπόντα. Ἐγὼ μὲν δὴ οὕτω λέγω· εἰ δέ τις ἄλλη
πη γιγνώσκει ἢ ἀσφαλέστερον εἶναι ἢ ῥᾷον ἡμῖν, διδα-
σκέτω. Ἐπεὶ δὲ συνηγόρευον μὲν πολλοί, ὡς χρεὼν
εἴη ὅτι τάχιστα πορεύεσθαι ἐπὶ τοὺς πολεμίους, ἀντέ-
λεγε δὲ οὐδείς, ἐκ τούτου δὴ ὁ Κῦρος ἤρχετο λόγου
τοιοῦδε·
25 Ἄνδρες ξύμμαχοι, αἱ μὲν ψυχαὶ καὶ τὰ σώματα
καὶ τὰ ὅπλα, οἷς δεήσει χρῆσθαι, ἐκ πολλοῦ ἡμῖν σὺν
θεῷ παρεσκεύασται· νῦν δὲ τὰ ἐπιτήδεια δεῖ εἰς τὴν
ὁδὸν συσκευάζεσθαι αὐτοῖς τε ἡμῖν καὶ ὁπόσοις τετρά-
ποσι χρώμεθα μὴ μεῖον ἢ εἴκοσιν ἡμερῶν. Ἐγὼ γὰρ
λογιζόμενος εὑρίσκω πλειόνων ἢ πεντεκαίδεκα ἡμερῶν
ἐσομένην ὁδόν, ἐν ᾗ οὐδὲν εὑρήσομεν τῶν ἐπιτηδείων·
ἀνεσκεύασται γὰρ τὰ μὲν ὑφ' ἡμῶν, τὰ δὲ ὑπὸ τῶν πο-
26 λεμίων, ὅσα ἠδύναντο. Συσκευάζεσθαι οὖν χρὴ σῖτον
μὲν ἱκανόν· ἄνευ γὰρ τούτου οὔτε μάχεσθαι, οὔτε ζῆν
δυναίμεθ' ἄν· οἶνον δὲ τοσοῦτον ἕκαστον ἔχειν χρή, ὅσος

§. 24. *ἄλλη πη*] *ἄλλως πως* alii, sed Bekker. Anecdot. p. 377. *ἄλλη ἀντὶ τοῦ ἄλλως.*

Quum de particulis *Καὶ μὲν δὴ* ad I. 6, 3. V. 5, 44. satis a me dictum sit, non est quod plura hic explicationis causa afferam, quam videri mihi alterum illud *καί* non cum *ὡς τάχιστα* iungendum, sed *καὶ θαῤῥεῖν* cogitando post *δοκεῖ μοι* supplendum esse. Vid. ad IV. 6, 8.

εὑρήσομεν] Adverte orationem per indicativum continuari, quae ab *ἵνα φθάσωμεν* exorsa erat. Aliter structura §. 2. mutabatur.

§. 24. *ἢ ἀσφαλέστερον εἶναι*] Non raro ita Xenophon verbo *γιγνώσκειν* infinitivum pro participio adnexuit. Matth. §. 549. not. 2. p. 1079. Rost. §. 129. 4. c.

§. 25. *μὴ μεῖον ἢ εἴκοσιν ἡμερῶν*] i. q. *ἐπιτήδεια μὴ μειόνων ἢ εἴκοσιν ἡμερῶν.* Confirmant hoc verba *πλειόνων ἢ πεντ. ἡμερῶν ὁδόν.* Cf. supra ad p. 114.

ἀνεσκεύασται γάρ] Propria verbi vis quae sit, patet ex VIII. 5, 2 sq. sed h. l. intellige: de medio sublata sunt. Thucyd. IV. 16. *καὶ τὴν Λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν.*

ὅσα ἠδύναντο] sc. *ἀνασκευάζειν.*

§. 26. *οἶνον δὲ τοσοῦτον*] Sed I. 5, 12. ad Persas Cyrus *ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων φέρετε,* i. e. aquae potum facilius vos quam leones fertis, qui sanguinem expetunt. Male enim ibi Gabriel. Nempe non tam suos quam socios, quos alloquitur,

ἱκανὸς ἔσται ἐθίσαι ἡμᾶς αὐτοὺς ὑδροποτεῖν· πολλὴ γὰρ ἔσται τῆς ὁδοῦ ἄοινος, εἰς ἣν οὐδ᾽ ἂν πάνυ πολὺν οἶνον συσκευασώμεθα διαρκέσει. Ὡς οὖν μὴ ἐξαπίνης 27
ἄοινοι γενόμενοι νοσήμασι περιπίπτωμεν, ὧδε χρὴ ποιεῖν· ἐπὶ μὲν τῷ σίτῳ νῦν εὐθὺς ἀρχώμεθα πίνειν ὕδωρ· τοῦτο γὰρ ἤδη ποιοῦντες οὐ πολὺ μεταβαλοῦμεν. Καὶ 28
γὰρ ὅςτις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μάζαν ἐσθίει· καὶ ὅςτις ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον· καὶ τὰ ἑφθὰ δὲ πάντα μεθ᾽ ὕδατος τοῦ πλείστου ἐσκεύασται. Μετὰ δὲ τὸν σῖτον ἐὰν οἶνον ἐπιπίνωμεν, οὐδὲν μεῖον ἔχουσα ἡ ψυχὴ ἀναπαύσεται. Ἔπειτα δὲ καὶ τοῦ 29
μετὰ δεῖπνον ἀφαιρεῖν χρή, ἕως ἂν λάθωμεν ὑδροπόται γενόμενοι. Ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς· διδάσκει δὲ καὶ ὁ θεός, ἀπάγων ἡμᾶς κατὰ μικρὸν ἔκ τε τοῦ χειμῶνος εἰς τὸ ἀνέ-

§. 26. ὅσος ἱκανός] ἐν ὅσῳ ἱκανόν al. minus eleganter.

§. 28. τοῦ πλείστου] τὰ πλεῖστα cum Schneid. et Polluce probasse videtur Schaef. ad Dem. Apparat. T. IV. p. 657.

§. 29. μετὰ δεῖπνον] μετὰ τὸ δεῖπνον edd. vett. Vid. ad Conviv. p. 57. Pro λάθωμεν ibidem μάθωμεν et pro παράλλαξις μετάλλαξις.

taxare videtur. Quanquam ne Persas quidem in expeditione vinum sprevisse colligas ex §. 22.

ἡμᾶς αὐτοὺς ὑδροποτεῖν] Frustra pronomen αὐτούς in dubitationem vocatum est cum alibi tum V. 4, 22. De scriptura verbi ὑδροποτεῖν egit etiam Lobeck. ad Phryn. p. 456.

[εἰς ἣν — διαρκέσει] pro εἰς ἣν οὐδὲ πάνυ πολὺς οἶνος διαρκέσει, ἂν συσκευασώμεθα sc. αὐτόν translatione verborum satis vulgari. V. C. F. R.]

§. 27. ἐπὶ μὲν τῷ σίτῳ] Ne quis γάρ intersertum exspectet, conferre libet Anab. IV. 7, 10. Καλλίμαχος μηχανᾶταί τι· προτρέχει ἀπὸ τοῦ δένδρου. II. 2, 2. οὕτω χρὴ ποιεῖν· ἐὰν μὲν ἥκωμεν, ὥςπερ λέγετε. V. 6, 32. Οὕτω γὰρ γιγνώσκω· ὁμοῦ μὲν ὄντες πολλοί, ὥςπερ νυνί, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι εἶναι, καὶ ἔχειν τὰ ἐπιτήδεια. Cyr. I. 4, 11. Matth. §. 615. p. 1244. De his ἐπὶ τῷ σίτῳ pauca notavi ad I. 2, 11.

§. 28. Καὶ γὰρ ὅςτις ἀλφιτοσιτεῖ] Ratiocinatio Cyri haec est: inter edendum aquam bibere omnium vobis erit facillimum; sive enim polentam et panem sive elixa comeditis, omnia haec multa iam aqua commista sunt, ut ad sitim explendam alia re nulla praeter aquam opus habeatis.

§. 29. ἕως ἂν λάθωμεν ὑδροπόται γενόμενοι] Schneid. et Weisk. nescio quid de diuturno usu hic disputant: illud video, sensum planum esse ita vertendo: non minus aliquid detrahendum est de eo vino, quod post coenam bibimus, donec paullatim aquae potores evaserimus.

χεσθαι ἰσχυρὰ θάλπη, καὶ ἐκ τοῦ θάλπους εἰς τὸν ἰσχυ-
ρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους εἰς ὃ δεῖ ἐλθεῖν προει-
30 θισμένους ἡμᾶς ἀφικνεῖσθαι. Καὶ τὸ τῶν στρωμάτων
δὲ βάρος εἰς τὰ ἐπιτήδεια καταδαπανᾶτε· τὰ μὲν γὰρ
ἐπιτήδεια περιττεύοντα οὐκ ἄχρηστα ἔσται· στρωμάτων
δὲ ἐνδεηθέντες μὴ δείσητε, ὡς οὐχ ἡδέως καθευδήσετε·
εἰ δὲ μή, ἐμὲ αἰτιᾶσθε. Ἐσθὴς μέντοι ὅτῳ ἐστὶν ἀφθο-
νωτέρα παροῦσα, πολλὰ καὶ ὑγιαίνοντι καὶ κάμνοντι
31 ἐπικουρεῖ. Ὄψα δὲ χρὴ συνεσκευάσθαι, ὅσα ἐστὶν ὀξέα
καὶ δριμέα καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει καὶ
ἐπὶ πλεῖστον ἀρκεῖ. Ὅταν δ' ἐκβαίνωμεν εἰς ἀκέραια,
ὅπου ἤδη εἰκὸς ἡμᾶς σῖτον λαμβάνειν, χειρομύλας χρὴ
αὐτόθεν παρασκευάσασθαι, αἷς σιτοποιησόμεθα· τοῦτο
32 γὰρ κουφότατον τῶν σιτοποιϊκῶν ὀργάνων. Συνεσκευά-
σθαι δὲ χρὴ καὶ ὧν ἀσθενοῦντες δέονται ἄνθρωποι·
τούτων γὰρ ὁ μὲν ὄγκος μικρότατος, ἢν δὲ τύχη τοιαύ-
τη γένηται, καὶ μάλιστα δεήσει. Ἔχειν δὲ χρὴ καὶ
ἱμάντας· τὰ γὰρ πλεῖστα καὶ ἀνθρώποις καὶ ἵπποις ἱμᾶ-
σιν ἤρτηται· ὧν κατατριβομένων καὶ ῥηγνυμένων ἀνάγ-

§. 31. *ὀξέα*] Vulgo additum *ἐπιπλεῖστον* deest etiam in Vat. *παρασκευάσασθαι*] *παρασκευᾶσθαι* Vat. i. e. *παρεσκευάσθαι*.

§. 32. *καὶ μάλιστα*] *καί* servaverat Vat. Postea Schneid. *ἔχῃ παράζυγας*. Zeun. *περιττὰ ζυγά*. Fort. *περίζυγας* sc. *ἱμάντας*.

εἰς ὃ δεῖ ἐλθεῖν προειθισμένους ἡμᾶς ἀφικνεῖσθαι] i. e. *χρὴ ἡμᾶς προειθισμένους ἀφικνεῖσθαι εἰς τοῦτο, εἰς ὃ δεῖ ἐλθεῖν*. Simili metaphora utitur Cyrus I. 3, 4. *ἄνω καὶ κάτω πλανώμενοι μόλις ἀφικνεῖσθε, ὅπη ἡμεῖς πάλαι ἥκομεν*.

§. 30. *μὴ δείσητε, ὡς οὐχ ἡδέως καθευδήσετε*] Vid. ad V. 2, 12. et Matth. gr. §. 520. p. 1001 sq. ed. sec.

εἰ δὲ μή] Praegressa licet negatione supplebis tamen *ἡδέως καθευδήσετε*. Viris doctis, qui hoc genus dicendi illustrarunt, III. 1, 35. adscriptis accedat Matth. §. 617. b. p. 1249. Huc pertinet sententia V. 2, 15.

§. 31. *Ὄψα δὲ χρὴ συνεσκευάσθαι*] Ne quis minutam in his Cyri diligentiam miretur, apte monet Weiskius minimarum rerum non magis quam maximarum curam ab exercitus duce alienam esse.

αὐτόθεν] ex hoc loco, ubi nunc versamur, hinc. Wir müssen uns von Haus aus mit Mühlen versorgen Germani dicerent. Viger. p. 395.

§. 32. *καὶ μάλιστα δεήσει*] sc. *αὐτῶν, ὧν ἀσθενοῦντες δέονται*. Cetera a me explicata sunt ad II. 1, 13.

κη ἀργεῖν, ἣν μή τις ἔχῃ περίζυγα. Ὅστις δὲ πεπαίδευται καὶ παλτὸν ξύσασθαι, ἀγαθὸν καὶ ξυήλης μὴ
ἐπιλαθέσθαι· ἀγαθὸν δὲ καὶ ῥίνην φέρεσθαι· ὁ γὰρ λόγ- 33
χην ἀκονῶν ἐκεῖνος καὶ τὴν ψυχήν τι παρακονᾷ. Ἔπεστι γάρ τις αἰσχύνη λόγχην ἀκονῶντα κακὸν εἶναι. Ἔχειν δὲ χρὴ καὶ ξύλα περίπλεα καὶ ἅρμασι καὶ ἁμάξαις· ἐν γὰρ πολλαῖς πράξεσι πολλὰ ἀνάγκη καὶ τὰ ἀπαγο-
ρεύοντα εἶναι. Ἔχειν δὲ δεῖ καὶ τὰ ἀναγκαιότατα ὄργα- 34
να ἐπὶ ταῦτα πάντα· οὐ γὰρ πανταχοῦ χειροτέχναι παραγίγνονται· τὸ δ' ἐφ' ἡμέραν ἀρκέσον ὀλίγοι τινὲς οἳ οὐχ ἱκανοὶ ποιῆσαι. Ἔχειν δὲ χρὴ καὶ ἄμην καὶ σμινύην κατὰ ἅμαξαν ἑκάστην, καὶ κατὰ τὸν νωτοφόρον δὲ ἀξίνην καὶ δρέπανον· ταῦτα γὰρ καὶ ἰδίᾳ ἑκάστῳ χρήσιμα καὶ ὑπὲρ τοῦ κοινοῦ πολλάκις ὠφέλιμα γίγνεται.
Τὰ μὲν οὖν εἰς τροφὴν δέοντα οἱ ἡγεμόνες τῶν ὁπλοφό- 35
ρων ἐξετάζετε τοὺς ὑφ' ὑμῖν αὐτοῖς· οὐ γὰρ δεῖ παριέναι, ὅτου ἄν τις τούτων δέηται· ἡμεῖς γὰρ τούτων ἐν-

περίζυγα] Interpretantur a *περίζυγον* derivandum: lora supervacanea, quorum usus sit in resarciendis attritis vel ruptis. Nominativum si quis esse minus commode putet *περίζυξ*, transferre poterit binum, duplex, lorum.

§ 33. *τὰ ἀπαγορεύοντα*] quae usu teruntur, deficiunt.

§. 34. *ὄργανα ἐπὶ ταῦτα πάντα*] instrumenta ad haec omnia vel reparanda vel colliganda vel conficienda. Non intelligit alia quam quae statim nominatim afferentur, *ἄμην*, rutrum s. palam, *σμινύην*, ligonem, *ἀξίνην*, dolabram, et *δρέπανον*.

τὸ δ' ἐφ' ἡμέραν ἀρκέσον — ποιῆσαι] quod enim ad diem (unum Matth. §. 586. p. 1169.) duret, nemo fere est quin possit conficere. Gabr. Si quid in plaustris, armis et instrumentis bellicis fractum laesumve sit, quia opifices, quos habebant, pauci quovis tempore non omnibus in locis adesse poterant, Cyrus auctor est militibus, ut ipsi in brevissimum temporis spatium damna reparare velint, usque dum artificum ope melius restituantur.

§. 35. *Τὰ μὲν οὖν εἰς τροφὴν δέοντα — ἐξετάζετε τοὺς ὑφ' ὑμῖν*] De rebus ad victum necessariis — exquirite vestros milites. Nam de accusativo absoluto qui cogitarunt, non recordati sunt legitimae structurae, quam sequitur verbum *ἐρωτᾶν*, ad cuius analogiam *ἐξετάζειν* quoque cum duplice accusativo componi constat ex Matthiae §. 417. p. 764. ed. sec.

ἡμεῖς γὰρ τούτων ἐνδεεῖς ἐσόμεθα] nos enim his rebus indigebimus, i. e. in nosmet enim ipsos harum rerum indigentia redundabit. Uterque igitur genitivus *τούτων* ad *τὰ εἰς τροφὴν δέοντα* referendus, non ad armatos. Cf. §. 25.

δεεῖς ἐσόμεθα. Ἃ δὲ καὶ τὰ ὑποζύγια κελεύω ἔχειν, ὑμεῖς οἱ τῶν σκευοφόρων ἄρχοντες ἐξετάζετε, καὶ τὸν
36 μὴ ἔχοντα κατασκευάζεσθαι ἀναγκάζετε. Ὑμεῖς δ' αὖ οἱ τῶν ὁδοποιῶν ἄρχοντες ἔχετε μὲν ἀπογεγραμμένους παρ' ἐμοῦ τοὺς ἀποδεδοκιμασμένους, καὶ τοὺς ἐκ τῶν ἀκοντιστῶν καὶ τοὺς ἐκ τῶν τοξοτῶν καὶ τοὺς ἐκ τῶν σφενδονήτων· τούτων δὲ τοὺς μὲν ἀπὸ τῶν ἀκοντιστῶν χρὴ πέλεκυν ἔχοντας ξυλοκόπον ἀναγκάζειν στρατεύεσθαι, τοὺς δ' ἀπὸ τῶν τοξοτῶν σμινύην, τοὺς δ' ἀπὸ τῶν σφενδονητῶν ἄμην· τούτους δ' ἔχοντας ταῦτα πρὸ τῶν ἁμαξῶν κατ' ἴλας πορεύεσθαι, ὅπως, ἤν τι δέῃ ὁδοποιΐας, εὐθὺς ἐνεργοὶ ἦτε, καὶ ἐγὼ ἤν τι δέωμαι,
37 ὅπως εἰδῶ, ὁπόθεν δεῖ λαβόντα τούτοις χρῆσθαι. Ἄξω δὲ καὶ τοὺς ἐν τῇ στρατιωτικῇ ἡλικίᾳ σὺν τοῖς ὀργάνοις χαλκέας τε καὶ τέκτονας καὶ σκυτοτόμους, ὅπως, ἄν τι δέῃ καὶ τοιούτων τεχνῶν ἐν τῇ στρατιᾷ, μηδὲν ἐλλίπηται. Οὗτοι δὲ ὁπλοφόρου μὲν τάξεως ἀπολελύσονται,

§. 35. Ἃ δὲ καὶ τὰ ὑποζύγια] Ὅσα δὲ καὶ τὰ ὑπ. Schn. Ἃ δὲ κατὰ τὰ ὑποζ. nasci potuit ex §. 34.
§. 36. τούτων δὲ τοὺς μέν] τούτους οὖν χρὴ τοὺς μέν edd. vett. non male. Postea codd. ξυλοτόμον.

Ἃ δὲ καὶ τὰ ὑποζύγια κελεύω ἔχειν] Supple ἀξίνην καὶ δρέπανον, quibus verbis congruit κατασκευάζεσθαι, pro quo παρασκευάζεσθαι dicendum fuisset, si de pabulo in viginti dies iumentis parando Cyrus accepisset. Fieri tamen potest, ut utramque rem in animo habuerit; quam certe rationem admittunt verba Hellen. III. 1, 11. κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια.

§. 36. τοὺς ἀποδεδοκιμασμένους] reprobatos puta ut iaculatores, sagittarios et funditores. Potest enim validus aliquis esse, neque tamen levium armorum tractandorum peritus. Hos igitur Cyrus elegit, qui iaculandi artem minus intelligebant, ut viis muniendis inservirent.

πορεύεσθαι] Repetendum χρή.

§. 37. τοὺς ἐν τῇ στρατιωτικῇ ἡλικίᾳ] A vigesimo aetatis anno usque ad quinquagesimum. Athenienses tamen duobus annis maturius militare incipiebant, docente D o r v i l l. ad Charit. p. 554. Lips. Cf. not. ad I. 2, 8.

τοιούτων τεχνῶν] talibus artibus, i. e. artibus opificum, quales sunt fabri ferrarii, lignarii, coriarii. Genus hoc breviloquentiae apud veteres minime insolens, ne cui τοιούτων τεχνιτῶν legendum videatur, non indignum est ampliore explicatione, quam huic loco convenit.

μηδὲν ἐλλίπηται] ἐλλείπεσθαι est d e e s s e etiam apud D e m o s t h. ad Polycl. p. 1224. v. 24. ἵν' ἔχητε ἄφθονον ὠνεῖσθαι καὶ μηδὲν ὑμῖν κατ' ἐμὲ ἐλλείπηται.

ἃ δ' ἐπίστανται τῷ βουλομένῳ μισθοῦ ὑπηρετοῦντες ἐν
τῷ τεταγμένῳ ἔσονται. Ἢν δέ τις καὶ ἔμπορος βούληται 38
ἕπεσθαι πωλεῖν τι βουλόμενος, τῶν μὲν προειρημένων
ἡμερῶν τὰ ἐπιτήδεια ἔχειν ἤν τι πωλῶν ἁλίσκηται, πάν-
των στερήσεται· ἐπειδὰν δ' αὗται παρέλθωσιν αἱ ἡμέραι,
πωλήσει, ὅπως ἂν βούληται. Ὅςτις δ' ἂν τῶν ἐμπόρων
πλείστην ἀγορὰν παρέχων φαίνηται, οὗτος καὶ παρὰ
τῶν ξυμμάχων καὶ παρ' ἐμοῦ δώρων καὶ τιμῆς τεύξεται.
Εἰ δέ τις χρημάτων προςδεῖσθαι νομίζει εἰς ἐμπολήν, 39
γνωστῆρας ἐμοὶ προςαγαγὼν καὶ ἐγγυητὰς ἦ μὴν πο-
ρεύεσθαι σὺν τῇ στρατιᾷ, λαμβανέτω ὧν ἡμεῖς ἔχομεν.
Ἐγὼ μὲν δὴ ταῦτα προαγορεύω· εἰ δέ τίς τι καὶ ἄλλο
δέον ἐνορᾷ, πρὸς ἐμὲ σημαινέτω. Καὶ ὑμεῖς μὲν ἀπιόν- 40
τες συσκευάζεσθε, ἐγὼ δὲ θύσομαι ἐπὶ τῇ ὁρμῇ· ὅταν
δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ, σημανοῦμεν. Παρεῖναι δὲ
χρὴ ἅπαντας, τὰ προειρημένα ἔχοντας, εἰς τὴν τεταγμέ-
νην χώραν πρὸς τοὺς ἡγεμόνας ἑαυτῶν. Ὑμεῖς δέ, οἱ 41
ἡγεμόνες, τὴν ἑαυτοῦ ἕκαστος τάξιν εὐτρεπισάμενος,

§. 38. *τὰ ἐπιτήδεια ἔχειν ἤν τι πωλῶν*] *τὰ ἐπιτήδεια ἔχειν ἢν δέ τι πωλῶν* vertit Gabr. is tot, quot ante diximus, dierum cibaria utique habeat: ac si quid interim vendere deprehendatur, etc. Verba illa *τὰ ἐπιτήδεια ἔχειν* grammatici videntur annotamentum esse.

§. 38. *πωλεῖν τι βουλόμενος*] Haec verba cur Cyrus adiecerit? Nempe quia mercatores exercitum sequi poterant, nihil nisi captivos et praedam emturientes.

τῶν μὲν προειρημένων ἡμερῶν τὰ ἐπιτήδεια ἔχειν ἤν τι πωλῶν ἁλίσκηται] i. e. *ἐν μὲν ταῖς ἡμέραις, αἷς προείρηται τὰ ἐπιτήδεια ἔχειν, ἤν τι πωλῶν ἁλ.* Camerario interprete: si intra eos dies (Matth. §. 377. p. 692. ed. sec.), qui praefiniti sunt commeatui ferendo, deprehendatur in vendendo. Contra disputans Stephanus »Camerarii, inquit, expositio aliquem accusativum personae cum *ἔχειν* requirere videtur, sicut accusativum rei habere hunc infinitivum videmus, ut videlicet hoc vel simili modo scribatur: *τῶν μὲν προειρημένων ἡμερῶν τὰ ἐπιτήδεια ἕκαστον ἔχειν.* Subaudietur autem *ἐντός* cum hoc genitivo. Verum et *προειρημένων ἡμερῶν ἔχειν* pro *ἐν αἷς δεῖ ἔχειν* aut *πρὸς τὸ ἔχειν* dure dicetur: sicut etiam durum est ipsum *ἔχειν* interpretari afferre.«

§. 39. *ἦ μὴν πορεύεσθαι σὺν τῇ στρατιᾷ*] Praesens infinitivi habes etiam Anab. II. 3, 27. *δεήσει ὀμόσαι ἦν μὴν πορεύεσθαι ὡς διὰ φιλίας ἀσινῶς*, et alibi.

πρὸς ἐμὲ πάντες συμβάλλετε, ἵνα τὰς ἑαυτῶν ἕκαστοι χώρας καταμάθητε.

CAPUT III.

Describitur ordo agminis, et imprimis plaustrorum et impedimentorum.

1 Ἀκούσαντες δὲ ταῦτα οἱ μὲν συνεσκευάζοντο, ὁ δὲ Κῦρος ἐθύετο. Ἐπεὶ δὲ καλὰ τὰ ἱερὰ ἦν, ὡρμᾶτο σὺν τῷ στρατεύματι· καὶ τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐξεστρατοπεδεύσατο ὡς δυνατὸν ἐγγύτατα, ὅπως, εἴ τίς τι ἐπιλελησμένος εἴη, μετέλθοι, καὶ εἴ τίς τι ἐνδεόμενος γνοίη,
2 τοῦτο ἐπιπαρασκευάσαιτο. Κυαξάρης μὲν οὖν τῶν Μήδων ἔχων τὸ τρίτον μέρος κατέμενεν, ὡς μηδὲ τὰ οἴκοι ἔρημα εἴη. Ὁ δὲ Κῦρος ἐπορεύετο ὡς ἠδύνατο τάχιστα, τοὺς ἱππέας μὲν πρώτους ἔχων, καὶ πρὸ τούτων διερευνητὰς καὶ σκοποὺς ἀεὶ ἀναβιβάζων ἐπὶ τὰ πρόσθεν εὐσκοπώτατα· μετὰ δὲ τούτους ἦγε τὰ σκευοφόρα, ὅπου μὲν πεδινὸν εἴη πολλοὺς ὁρμαθοὺς ποιούμενος τῶν ἁμαξῶν καὶ τῶν σκευοφόρων· ὄπισθεν δὲ ἡ φάλαγξ ἐφεπομένη, τῶν σκευοφόρων εἴ τι ὑπολείποιτο, οἱ προστυγ-

§. 41. καταμάθητε] καταλάβητε defendit Fisch. ut antea συμβαλεῖτε vulgatum.

Cap. III §. 1. εἴ τίς τι ἐνδεόμενος] εἴ τίς τινος ἐνδεόμενος coni. Stephanus.

§. 2. ἠδύνατο] G. V. Zon. pro ἐδύνατο.

ἁμαξῶν – ὑπολείποιτο] Vat. ἁμαξῶν καὶ τῶν σκευοφόρων εἴ τῳ ὑπολείποιτο.

§. 41. τὰς ἑαυτῶν] i. e. τὰς ὑμῶν αὐτῶν. vid. ad I. 6, 19. Matth. gr. p. 920. ed. sec.

Cap. III. §. 1. ἐγγύτατα] sc. τοῦ πρότερον στρατοπέδου, quod in Mediae fuerat confiniis.

εἴ τίς τι ἐνδεόμενος γνοίη] h. e. εἴ τις γνοίη, ὅτι ἐνδέοιτό τι. Matth. §. 549. p. 1076. Δεῖσθαί τι, ad cuius verbi exemplum ἐνδεῖσθαι constructum est, quam crebro offendas in Graecis scriptis omnibus!

§. 2. ὄπισθεν δὲ ἡ φάλαγξ ἐφεπομένη] Plana hic essent omnia, si genitivos absolutos praeferre scriptori placuisset. Sed vid. IV. 5, 37. V. 4, 34. Matth. §. 562. p. 1108 sq.

χάνοντες τῶν ἀρχόντων ἐπεμέλοντο, ὡς μὴ κωλύοιντο πορεύεσθαι. Ὅπου δὲ στενωτέρα εἴη ἡ ὁδός, διὰ μέ- 3
σου ποιούμενοι τὰ σκευοφόρα, ἔνθεν καὶ ἔνθεν ἐπορεύοντο οἱ ὁπλοφόροι· καὶ εἴ τι ἐμποδίζοι, οἱ κατὰ ταῦτα γιγνόμενοι αὖ τῶν στρατιωτῶν ἐπεμέλοντο. Ἐπορεύοντο δὲ ὡς τὰ πολλὰ αἱ τάξεις παρ' ἑαυταῖς ἔχουσαι τὰ σκευοφόρα· ἐπετέτακτο γὰρ πᾶσι τοῖς σκευοφόροις κατὰ τὴν ἑαυτῶν τάξιν ἕκαστον ἰέναι, εἰ μή τι ἀναγκαῖον
ἀποκωλύοι. Καὶ σημεῖον δὲ ἔχων ὁ τοῦ ταξιάρχου 4
σκευοφόρος ἡγεῖτο γνωστὸν τοῖς τῆς ἑαυτῶν τάξεως· ὥστε ἀθρόοι ἐπορεύοντο, ἐπεμελοῦντό τε ἰσχυρῶς ἕκαστος τῶν ἑαυτοῦ, ὡς μὴ ὑπολείποιντο. Καὶ οὕτω ποιούντων, οὔτε ζητεῖν ἔδει ἀλλήλους, ἅμα τε παρόντα ἅπαντα καὶ σαώτερα ἦν, καὶ θᾶσσον τὰ δέοντα εἶχον οἱ στρατιῶται.

Cyrus e pabulatoribus, quos intercipi iubet, de statu hostium quaerit.

Ὡς δὲ οἱ προϊόντες σκοποὶ ἔδοξαν ἐν τῷ πεδίῳ 5
ὁρᾶν ἀνθρώπους λαμβάνοντας καὶ χιλὸν καὶ ξύλα· καὶ

§. 3. *αὖ τῶν στρατιωτῶν*] Sic etiam Iunt. sed *αὖ* non agnoscunt codd.
§. 4. *τῆς ἑαυτῶν τάξεως*] *τῆς ἑαυτοῦ τάξεως* cod. deterior.
§. 5. *Ὡς δὲ οἱ προϊόντες – ἄγοντα καὶ νεμόμενα*] *Οἱ δ' οὖν προϊόντες – ἄγοντα, τὰ δὲ καὶ νεμόμενα* ex Alt. Schneid. Placet *Ὡς δ' οὖν οἱ – τὰ δὲ καὶ ν.*

τῶν ἀρχόντων] sc. *τῆς ἑφεπομένης φάλαγγος*. Quo melius procedere impedimenta possent, curabant vel muniendis viis vel levandis plaustris, sicubi lutosa regio esset. Ex istiusmodi difficultatibus Cyro minore praesente currum extraxerunt Persae Anab. I. 5, 7 sq.

ὡς μὴ κωλύοιντο] *αἱ ἅμαξαι καὶ τὰ σκευοφόρα.*

§. 3. *αὖ τῶν στρατιωτῶν*] ut §. 2. *οἱ προστυγχάνοντες τῶν ἀρχόντων.*

§. 4. *Καὶ σημεῖον δὲ ἔχων*] Aliud haud dubie signum, quam quod regium vocatur VII. 1, 4. *ἦν δ' αὐτῷ τὸ σημεῖον ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος.* Nam etiam VIII. 5, 13. ad praetorum tentoria varii generis signa commemorantur, quae Cyri ministri dicuntur dignovisse.

οὔτε – ἅμα τε] Vid. not. ad II. 3, 6.

σαώτερα ἦν] quam si dispersi alter alterum quaerere coactus fuisset. Matth. §. 457. p. 854. ed. sec.

ὑποζύγια δὲ ἑώρων ἕτερα τοιαῦτα ἄγοντα καὶ νεμόμενα· καὶ τὰ πρόσω αὖ ἐφορῶντες ἐδόκουν καταμανθάνειν μετεωριζόμενον ἢ καπνὸν ἢ κονιορτόν· ἐκ τούτων πάντων σχεδὸν ἐγίγνωσκον, ὅτι εἴη που πλησίον τὸ στράτευμα
6 τῶν πολεμίων. Εὐθὺς οὖν πέμπει τινὰ ὁ σκόπαρχος ἀγγελοῦντα ταῦτα τῷ Κύρῳ. Ὁ δὲ ἀκούσας ταῦτα ἐκείνους μὲν ἐκέλευσε μένοντας ἐπὶ ταύταις ταῖς σκοπαῖς ὅ τι ἂν ἀεὶ καινὸν ὁρῶσιν ἐξαγγέλλειν· τάξιν δ᾽ ἔπεμψεν ἱππέων εἰς τὸ πρόσθεν, καὶ ἐκέλευσε πειραθῆναι συλλαβεῖν τινας τῶν ἀνὰ τὸ πεδίον ἀνθρώπων, ὅπως σαφέστερον μάθοιεν τὸ ὄν. Οἱ μὲν δὴ ταχθέντες τοῦτο
7 ἔπραττον. Αὐτὸς δὲ τὸ ἄλλο στράτευμα αὐτοῦ κατεχώριζεν, ὅπως παρασκευάσαιντο ὅσα ᾤετο χρῆναι, πρὶν πάνυ ὁμοῦ εἶναι. Καὶ πρῶτον μὲν ἀριστᾶν παρηγγύησεν, ἔπειτα δὲ μένοντας ἐν ταῖς τάξεσι τὸ παραγγελλόμε-
8 νον προνοεῖν· ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσε καὶ ἱππέων καὶ πεζῶν καὶ ἁρμάτων τοὺς ἡγεμόνας, καὶ τῶν μηχανῶν δὲ καὶ τῶν σκευοφόρων τοὺς ἄρχοντας καὶ τῶν
9 ἁρμαμαξῶν· καὶ οὗτοι μὲν συνῄεσαν. Οἱ δὲ καταδραμόντες εἰς τὸ πεδίον συλλαβόντες ἀνθρώπους ἦγαγον·

§. 6. ὁ σκόπαρχος] Exhibuit Vat. pro ὁ σκοπάρχης. Vid. ad Conviv. p. 47. Ibidem abest mox ἀνθρώπων.

§. 5. καὶ νεμόμενα] Pascebantur iumenta, dum pabuli lignique, quod veherent, satis collectum esset. Quodsi τὰ δὲ καὶ νεμόμενα in textum admittuntur, non inutiliter comparaveris observationem Heindorf. ad Plat. Protag. p. 549.

ἐκ τούτων πάντων] Ab ἐκ τούτου etiam non interposito δή incipit apodosis V, 3, 15. VI. 1, 33. Anab. V. 2, 1. et alibi.

τὸ στράτευμα τῶν πολεμίων] Graecitatis leges postulabant τὸ στρ. τὸ τῶν πολεμίων. Tenendum tamen non ubique eas servatas reperiri, neglectarumque exempla aliquot contulisse Matthiae §. 278. p. 566. ed. sec. Cf. nos ad III. 2, 11.

§. 6. Ὁ δὲ ἀκούσας ταῦτα] Displicuit Schneidero ταῦτα, quo iure, dictum in iis, quae consuli iubebam ad IV. 2, 26.

ὅπως σαφέστερον μάθοιεν τὸ ὄν] ut verum cognoscerent accuratius, quam speculatores in locis excelsis, eaque de re Cyrum certiorem facerent. Errare igitur arbitror, qui μάθοι praeferre volunt.

§. 8. καὶ ἁρμάτων τοὺς ἡγεμόνας] Articuli gratia laudavit locum Matth. §. 278. p. 566. ed. sec. Adde not. ad V. 1, 13.

§. 9. Οἱ δὲ καταδραμόντες — οἱ δὲ συλληφθέντες] Obscurior fuisset oratio, sed Homerica tamen, si participia articulis οἱ δέ — οἱ δέ non adiecta essent. Cf. Matth. §. 288. n. 5. p. 579.

οἱ δὲ συλληφθέντες ἀνερωτώμενοι ὑπὸ τοῦ Κύρου ἔλε-
γον, ὅτι ἀπὸ τοῦ στρατοπέδου εἶεν προεληλυθότες ἐπὶ
χιλόν, οἱ δ' ἐπὶ ξύλα, παρελθόντες τὰς προφυλακάς·
διὰ γὰρ τὸ πλῆθος τοῦ στρατοῦ σπάνια πάντα εἶναι.
Καὶ ὁ Κῦρος ταῦτα ἀκούσας, Πόσον δ', ἔφη, ἄπεστιν 10
ἐνθένδε τὸ στράτευμα; Οἱ δ' ἔλεγον, ὅτι ὡς δύο πα-
ρασάγγας. Ἐπὶ τούτοις ἤρετο ὁ Κῦρος, Ἡμῶν δ', ἔφη,
λόγος τις ἦν παρ' αὐτοῖς; Ναὶ μὰ Δί', ἔφησαν, καὶ
πολύς γε, ὡς ἐγγὺς ἤδη εἴητε προσιόντες. Τί οὖν;
ἔφη ὁ Κῦρος, ἦ καὶ ἔχαιρον ἀκούοντες ἰόντας; τοῦτο
δ' ἐπήρετο τῶν παρόντων ἕνεκα. Οὐ μὰ Δία, εἶπον
ἐκεῖνοι, οὐ μὲν δή γ' ἔχαιρον, ἀλλὰ καὶ μάλα ἠνιῶντο.
Νῦν δ', ἔφη ὁ Κῦρος, τί ποιοῦσιν; Ἐκτάσσονται, 11
ἔφασαν· καὶ ἐχθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο
ἔπραττον. Ὁ δὲ τάσσων, ἔφη ὁ Κῦρος, τίς ἐστιν;
Οἱ δ' ἔφασαν, Αὐτός τε Κροῖσος, καὶ σὺν αὐτῷ Ἕλλην
τις ἀνήρ, καὶ ἄλλος δέ τις Μῆδος· οὗτος μέντοι ἐλέγετο
φυγὰς εἶναι παρ' ὑμῶν. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλ', ὦ

§. 9. προεληλυθότες ἐπί] προεληλύθοιεν δὲ ἐπί edd. vett.
§. 10. ἔφησαν] ἔφασαν Vat. de quo vid. ad IV. 3, 21. Praeterea ibidem mox ὡς ἐγγύς τε ἦτε ἤδη προσιόντες, quod reddere possis: n a m i a m a p p r o p i n q u a t u r i e r a t i s. Fort. latet etiam aliud in isto ἦτε v. c. ἥκετε, ut προσιόντες aliquando in locum participii ἰόντες substitutum fuerit. εἴητε debetur Heindorf. ingenio.

οἱ δ' ἐπὶ ξύλα] οἱ μέν qui antea intersertum voluit, nondum cognita habere potuit, quae notantur ad §. 5. M a t t h. §. 288. n. 4. T h i e r s c h. §. 312. 22.

§. 10. Ἡμῶν δ', ἔφη, λόγος] Simile est illud Memor. II. 7, 13. ὁ τοῦ κυνὸς λόγος, quod M a t t h. §. 342. 1. p. 650. cum aliis adduxit. Sic etiam VIII. 5, 28.

ἦ καὶ ἔχαιρον ἀκούοντες ἰόντας] Z o n a r. καὶ ἔχαιρον ἀκούοντες ἡμᾶς προσιόντας;

τῶν παρόντων ἕνεκα] qui hostium adventu nimio timore perculsi erant c. 2, 12 sqq.

Οὐ μὰ Δία, – οὐ μὲν δή γ' ἔχαιρον, ἀλλά] Eodem modo dixit etiam V. 5, 18. ubi vid. not. cf. II. 2, 22.

§. 11. καὶ ἐχθὲς δὲ καὶ τρίτην ἡμέραν] a t q u e h e r i e t n u d i u s t e r t i u s Gabr. M a t t h. §. 425. 2. d. (§. 424. ed. 1.) et S c h n e i d. ad Hellen. II. 4, 13. Diversa erant quae supra ad III. 1, 42. contuli. Ἐχθές an χθές veteres praetulerint, incertum. vid. L o b e c k. ad Phryn. p. 323.

καὶ ἄλλος δέ τις Μῆδος] e t v e r o a l i u s q u i s p i a m, q u i M e d u s e s t. Vid. ad I. 6, 38. III. 2, 18. Araspas est, qui non nolente Cyro ad hostes transierat c. 1. §. 36.

Ζεῦ μέγιστε, λαβεῖν μοι γένοιτο αὐτόν, ὡς ἐγὼ βούλομαι.

Araspas redit et exponit de acie hostium.

12 Ἐκ τούτου τοὺς μὲν αἰχμαλώτους ἀπάγειν ἐκέλευσεν, εἰς δὲ τοὺς παρόντας ὡς λέξων τι ἀνήγετο. Ἐν τούτῳ δὲ παρῆν ἄλλος αὖ ἀπὸ τοῦ σκοπάρχου, λέγων, ὅτι ἱππέων τάξις μεγάλη ἐν τῷ πεδίῳ προφαίνοιτο· καὶ ἡμεῖς μέν, ἔφη, εἰκάζομεν ἐλαύνειν αὐτοὺς βουλομένους ἰδεῖν τόδε τὸ στράτευμα. Καὶ γὰρ πρὸ τῆς τάξεως ταύτης ἄλλοι ὡς τριάκοντα ἱππεῖς συχνὸν προςελαύνουσι, καὶ μέντοι, ἔφη, κατ' αὐτοὺς ἡμᾶς, ἴσως βουλόμενοι λαβεῖν, ἢν δύνωνται, τὴν σκοπήν· ἡμεῖς δέ ἐσμεν
13 μία δεκὰς οἱ ἐπὶ ταύτης τῆς σκοπῆς. Καὶ ὁ Κῦρος ἐκέλευσε τῶν περὶ αὐτὸν ἀεὶ ὄντων ἱππέων ἐλάσαντας ὑπὸ τὴν σκοπὴν ἀδήλους τοῖς πολεμίοις ἀτρεμίαν ἔχειν. Ὅταν δ', ἔφη, ἡ δεκὰς ἡ ἡμετέρα λείπῃ τὴν σκοπήν, ἐξαναστάντες ἐπίθεσθε τοῖς ἀναβαίνουσιν ἐπὶ τὴν σκοπήν. Ὡς δ' ὑμᾶς μὴ λυπῶσιν οἱ ἀπὸ τῆς μεγάλης τάξεως, ἀντέξελθε σύ, ἔφη, ὦ Ὑστάσπα, τὴν χιλιοστὺν τῶν ἱππέων λαβών, καὶ ἐπιφάνηθι ἐναντίος τῇ τῶν πολεμίων τάξει. Διώξεις δὲ οὐδαμῇ ἐς ἀφανές, ἀλλ', ὅπως

§. 12. *ἀπὸ τοῦ σκοπάρχου*] *ἀπό* pro *παρά* G. A. B. M. V. *συχνὸν προςελαύνουσι*] *συχνοὶ προελ.* et statim *καὶ αὐτοὺς ἡμᾶς* al.

§. 13. *ἐναντίος*] libri optimi, *ἀντίος* edd. Postea *εἰς ἀφανές* intulerat nescio qua auctoritate Schneider.

λαβεῖν μοι γένοιτο] salvum, ut ei gratiam referam. Sed a captis intelligi volebat: ultimo supplicio necandum. Optativus est legitimus, de quo ad IV. 5, 51.

§. 12. *ἀπὸ τοῦ σκοπάρχου*] Anab. I. 10, 16. *ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο, οὐδ' ἄλλος ἀπ' αὐτοῦ οὐδεὶς παρείη.*

οἱ ἐπὶ τῆς σκοπῆς] Non deteriorem dixerit alteram lectionem *οἱ ἐπὶ τῇ σκοπῇ* Matth. §. 584. exeunt. et §. 586. ξ. p. 1168.

§. 13. *τῶν περὶ αὐτὸν ἀεὶ ὄντων ἱππέων*] Genitivorum non alia ratio est atque I. 3, 7. et IV. 3, 21. Equites ad egrediendum semper paratos secum habuit Cyrus V. 3, 58.

Διώξεις] *διώξῃ* exstat I. 3, 14. sed *διώξω* Anabas. I. 4, 8. *διώξεις* Aristoph. Equit. 975. ed. Dindorf. *διώξοντα* Palaeph. c. 13. Matth. §. 184.

οὐδαμῇ] »Soloecum mihi videtur *λέξεις δὲ μηδέν*, sive nihil autem dices reddantur

αἱ σκοπαί σοι διαμένωσιν, ἐπιμεληθεὶς πάριθι. Ἢν δ' ἄρα ἀνατείναντές τινες τὰς δεξιὰς προςελαύνωσιν ὑμῖν, δέχεσθε φιλίως τοὺς ἄνδρας.

14 *Ὁ μὲν δὴ Ὑστάσπης ἀπιὼν ὡπλίζετο· οἱ δὲ ὑπηρέται ἤλαυνον εὐθύς, ὡς ἐκέλευσεν. Ἀπαντᾷ δ' αὐτοῖς καὶ δὴ ἐντὸς τῶν σκοπῶν [Ἀράσπας] σὺν τοῖς θεράπουσιν, ὁ πεμφθεὶς πάλαι κατάσκοπος, ὁ φύλαξ τῆς Σουσίδος γυναικός.* 15 *Ὁ μὲν οὖν Κῦρος ὡς εἶδεν, ἀναπηδήσας ἐκ τῆς ἕδρας ὑπήντα τε αὐτῷ καὶ ἐδεξιοῦτο· οἱ δ' ἄλλοι, ὥςπερ εἰκός, μηδὲν εἰδότες, ἐκπεπληγμένοι ἦσαν τῷ πράγματι, ἕως ὁ Κῦρος εἶπεν, Ἄνδρες φίλοι, ἥκει ἡμῖν ἀνὴρ ἄριστος. Νῦν γὰρ ἤδη πάντας ἀνθρώπους δεῖ εἰδέναι τὰ τούτου ἔργα. Οὗτος οὔτε αἰσχροῦ ἡττηθεὶς οὐδενὸς ᾤχετο, οὔτε ἐμὲ φοβηθείς, ἀλλ' ὑπ' ἐμοῦ πεμφθείς, ὅπως ἡμῖν, μαθὼν τὰ τῶν πολεμίων, σαφῶς τὰ ὄντα ἐξαγγείλειεν.* 16 *Ἃ μὲν οὖν ἐγώ σοι ὑπεσχόμην, ὦ Ἀράσπα, μέμνημαί τε καὶ ἀποδώσω σὺν τούτοις πᾶσι. Δίκαιον δὲ καὶ ὑμᾶς ἅπαντας, ὦ*

§. 14. *Ἀράσπας*] **Profectum ab interprete testatur etiam Vat. omittens.**

§. 15. *ὡς εἶδεν*] *ὡς ἤκουσεν* **minus aptum verbis** *ἀναπηδήσας ἐκ τῆς ἕδρας.*

§. 16. *Δίκαιον δὲ καί*] *Δίκαιον γὰρ καί* **Iunt. praeter necessitatem. Vid. Herm. ad Viger. p. 845. n. 343. b.**

haec verba, sive n i h i l a u t e m d i c a s. Illo sensu *λέξεις δ' οὐδέν* dicendum, hoc *λέξῃς δὲ μηδέν.«* E l m s l. ad Eurip. Med. 804. qui si recte statuit, ex deterioribus libris melius scribendum h. l. erit *διώξῃς δὲ μηδαμῇ*, sed pro vera non habet regulam M a t t h. §. 511. 3. p. 972.

ἀλλ', ὅπως αἱ σκοπαί σοι διαμένωσιν, ἐπ. πάριθι] sed p r o g r e d e r e i l l u d c u r a n s, u t s p e c u l a s i n t u a p o t e s t a t e r e t i n e a s. De coniunctivo vid. ad Conviv. p. 203.

§. 14. *οἱ δὲ ὑπηρέται*] sunt *οἱ περὶ αὐτὸν ἀεὶ ὄντες ἱππεῖς, οὓς ἐκέλευσεν ἐλάσαντας ὑπὸ τὴν σκοπὴν ἀτρεμίαν ἔχειν* §. 13.

§. 15. *ὑπήντα*] §. 14. *Ἀπαντᾷ.* Significatione enim differt utrumque verbum, si modo fidem merentur quae notavi ad I. 4, 22.

ἥκει ἡμῖν] Noli interpretari *ἐλήλυθε πρὸς ἡμᾶς*; nam dativus est, quem vocant, commodi. Vid. M a t t h. §. 504. 2. p. 956. §. 389. p. 713. ed. sec.

§. 16. *σὺν τούτοις πᾶσι*] a d i u t o r i b u s h i s o m n i b u s, sociis et amicis. Patet inde Cyrum Araspae, praeterquam quod peccanti veniam dederat c. 1, 36., etiam promisisse, quae alibi nusquam commemorantur. Myriarchi tamen munere fungitur §. 21.

ἄνδρες, τοῦτον τιμᾶν ὡς ἀγαθὸν ἄνδρα· ἐπὶ γὰρ τῷ ἡμετέρῳ ἀγαθῷ καὶ ἐκινδύνευσε καὶ αἰτίαν ὑπέσχεν, ᾗ
17 ἐβαρύνετο. Ἐκ τούτου δὴ πάντες ἠσπάζοντο τὸν Ἀράσπαν καὶ ἐδεξιοῦντο. Εἰπόντος δὲ Κύρου, ὅτι τούτων μὲν τοίνυν ἅλις εἴη, Ἃ δὲ καιρὸς ἡμῖν εἰδέναι, ταῦτα, ἔφη, διηγοῦ, ὦ Ἀράσπα· καὶ μηδὲν ἔλασσον τοῦ ἀληθοῦς, μηδὲ μεῖον τὰ τῶν πολεμίων. Κρεῖσσον γὰρ μείζω οἰηθέντας μείονα ἰδεῖν, ἢ μείω ἀκούσαντας ἰσχυ-
18 ρότερα εὑρίσκειν. Καὶ μήν, ἔφη ὁ Ἀράσπας, ὡς ἂν ἀσφαλέστατά γε εἰδείην, ὁπόσον τὸ στράτευμά ἐστιν, ἐποίουν· συνεξέταττον γὰρ παρὼν αὐτοῖς. Σὺ μὲν ἄρα, ἔφη ὁ Κῦρος, οὐ τὸ πλῆθος μόνον οἶσθα, ἀλλὰ καὶ τὴν τάξιν αὐτῶν; Ἐγὼ μέν, ναὶ μὰ Δί', ἔφη ὁ

§. 17. *τούτων μὲν τοίνυν*] *τανῦν* Iacobs. ad Athen. Additam. p. 164. pro *τοίνυν*. Sed *τανῦν* nusquam, quod sciam, Xenophon adhibuit, nisi locis ambiguis VII. 2, 27. Memor. III. 10, 15.

§. 18. *ὡς ἂν ἀσφαλέστατά γε εἰδείην*] *ὡς σαφέστατά γ' ἂν εἰδείην* omissis verbis *ὁπόσον τὸ στράτευμά ἐστιν* edd. vett. Paullo post signum interrogandi aptius esse videbatur plena interpunctione: du weifst also?

§. 17. *τούτων μὲν τοίνυν — Ἃ δὲ*] Anab. VII. 5, 3. *Ἐμοὶ μὲν τοίνυν ἀρκεῖ καὶ αὖθις λαβεῖν, τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ.* VII. 2, 13. *Ἀναξίβιος μὲν τοίνυν οὐκέτι ναύαρχος, ἐγὼ δὲ τῇδε ἁρμοστής.* Cyrop. II. 4, 8. *Ἐμοῦ μὲν τοίνυν — ἐκείνου δέ.* Isocrat. Nicocl. p. 33. §. 17. Bekk. *οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται — οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες — τῶν ἄλλων παρέχουσιν.*

Εἰπόντος δὲ Κύρου — ἔφη] Exspectasses *Εἰπὼν δὲ Κῦρος — ἔφη*, nequidquam tamen. I. 4, 20. *Ταῦτα εἰπόντος αὐτοῦ, ἔδοξέ τι λέγειν.* Demosthen. Or. de male gesta leg. p. 336. v. 7. *ἀπελθόντων οὖν τῶν δέκα πρέσβεων, ὧν ἦν καὶ Δημοσθένης, ἤγαγον ἀπὸ τοῦ Φιλίππου τρεῖς πρέσβεις.* p. 338. v. 2. *ἀπελθόντων τούτων τῶν πρέσβεων, ὡς κατέλαβον Εὔβοιαν, ἤκουσαν.*

§. 18. *ἐποίουν*] *οὕτω* vel potius *πάντα ἐποίουν*, dici vix potest, quoties hoc sensu deprehendatur, vid. Heindorf. ad Platon. Phaedon. p. 249 sq., atque posterioris scripturae vestigia in cod. Alt. *ἃ ἐποίουν* relicta haud improbabiliter coniicias. Sed praetermissum illud *πάντα* passim videas. III. 2, 29. *πειράσεσθαι ποιῆσαι, ὥστε σε νομίζειν καλῶς βεβουλεῦσθαι χαρισάμενον αὐτῷ.* VI. 1, 23. *ἐποιήσατο, ὡς ἐν ἀσφαλεῖ οἱ ἀεὶ μένοντες εἶεν.* Ages. I. 37. *ἐποίησεν, ὥστ' ἄνευ φυγῆς καὶ θανάτων — ὁμονόως πολιτευομένας καὶ εὐδαίμονας τὰς πόλεις διατελέσαι;* Anab. I. 6, 2. *ποιήσειεν, ὥστε μήποτε δύνασθαι αὐτούς, ἰδόντας τὸ Κύρου στράτευμα, βασιλεῖ διαγγεῖλαι.*

Ἐγὼ μέν] sc. *οἶδα καὶ τὸ πλῆθος.*

Ἀράσπας, καὶ ὡς διανοοῦνται τὴν μάχην ποιεῖσθαι.
Ἀλλ' ὅμως, ἔφη ὁ Κῦρος, τὸ πλῆθος ἡμῖν πρῶτον εἰπὲ
ἐν κεφαλαίῳ. Ἐκεῖνοι τοίνυν, ἔφη, πάντες τεταγμένοι 19
εἰσὶν ἐπὶ τριάκοντα τὸ βάθος καὶ πεζοὶ καὶ ἱππεῖς πλὴν
τῶν Αἰγυπτίων· οὗτοι δ' ἔχουσιν ἀμφὶ τὰ τετταράκοντα
στάδια· πάνυ γάρ μοι, ἔφη, ἐμέλησεν, ὥςτε εἰδέναι,
ὁπόσον κατεῖχον χωρίον. Οἱ δ' Αἰγύπτιοι, ἔφη ὁ Κῦ- 20
ρος, εἰπέ, πῶς εἰσι τεταγμένοι· ὅτι εἶπας πλὴν τῶν
Αἰγυπτίων. Τούτους δ', ἔφη, οἱ μυρίαρχοι ἔταττον
εἰς ἑκατὸν πανταχῇ τὴν μυριοστὺν ἑκάστην· τοῦτον γάρ

§. 19. *οὗτοι δ' ἔχουσιν*] *οὗτοι δ' ἀμφέχουσιν* codd. vel *ἀπέχουσιν*. Deleto antea *εἰσίν* coniungi omnia voluit Schneid. *τεταγμένοι ἐπὶ τριάκοντα – Αἰγυπτίων ἐπέχουσιν ἀμφί.*

§. 20. *εἰπέ*] Deest in codd. Sequens *μυρίαρχοι* sumptum ex Vat. praestat vulgato *μυριάρχαι*. vid. ad §. 6.

§. 19. *οὗτοι δ' ἔχουσιν*] hi occupant in longitudine quadraginta stadiorum spatium: *οὗτοι* sunt omnes omnino hostes ne exclusis quidem Aegyptiis, quorum acies quum centum militum altitudine constaret, verba *πλὴν τῶν Αἰγυπτίων* statim post *ἐπὶ τριάκοντα τὸ βάθος* collocari poterant. At, inquies, *οὗτοι* et *ἐκεῖνοι* aperte distinguuntur, nec poterit utrumque ad idem referri subiectum. Imo commodissime. Conviv. II. 25. *Καὶ γὰρ ἐκεῖνα* (*τὰ τῶν ἐν τῇ γῇ φυομένων*, quae proxime praecedunt), *ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν ἀθρόως ποτίζῃ*. Demosth. Leptin. p. 477. v. 14. (p. 431. 68. Bekk.) *τὰ πεπραγμένα αὐτῷ ἄκυρόν τι ποιῆσαι τῶν ἐκείνῳ δοθέντων*, defendit Schaeferus pronomina diversa de eodem dicta homine. Sed *οὗτοι* apte hic dici nemo est qui dubitet, *ἐκεῖνος* autem ad proximum pertinet etiam V. 2, 28., exemplis adstructum ab Erfurdt. ad Soph. Oed. R. 264. et Matth. §. 471. 10.

ἀμφὶ τὰ τετταράκοντα στάδια] Ex iis, quae Araspas retulit, Cyrus non difficulter, quantus fere esset hostium numerus, potuit coniicere. Exempli loco calculos ita subducamus. Sit stadium Graecum = 625 ped. Roman. (vid. Wurm. de pond. rat. p. 95.). Si igitur altitudinem hostium ad 30 viros, longitudinem ad 40 stadia extendamus, si deinde uni militi, in fronte stanti, secundum Aeliani Tacticen tribuamus 3 pedum Rom. spatium, habebimus longitudinem aciei in uno stadio 208 virorum, in 40 stadiis 8320 virorum; unde eruitur numerus hostium (8320 × 30) = 249,660. qui apte satis consentit cum Cyr. II. 1, 6. Quum vero Aegyptii, in eadem haud dubie acie collocati (§. 35. VII. 1, 15. 29 sq.) ad centum viros instructi essent, nec nisi 1200 (erant enim 120,000 milites) in longitudine starent, necesse est 1200 viri circiter stadia sex, 204,000 viri stadia 34 occupaverint, ita ut universus exercitus circiter 324,000 militibus constaret. Cf. Wurm. Observatt. ad aliquot Cyr. locos p. 11.

σφίσι καὶ οἴκοι νόμον ἔφασαν εἶναι τῶν τάξεων. Καὶ ὁ Κροῖσος μέντοι μάλα ἄκων συνεχώρησεν αὐτοῖς οὕτω τάττεσθαι· ἐβούλετο γὰρ ὅτι πλεῖστον ὑπερφαλαγγῆσαι τοῦ σοῦ στρατεύματος. Πρὸς τί δή, ἔφη ὁ Κῦρος, τοῦτο ἐπιθυμῶν; Ὡς καὶ μὰ Δί', ἔφη, τῷ περιττῷ κυκλωσόμενος. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλ' οὔτοι ἂν εἰδεῖεν, εἰ οἱ κυκλούμενοι κυκλωθεῖεν.

Accuratius describitur acies Cyri.

21 Ἀλλ' ἃ μὲν παρὰ σοῦ καιρὸς μαθεῖν, ἀκηκόαμεν· ὑμᾶς δὲ χρή, ὦ ἄνδρες, οὕτω ποιεῖν· νῦν μέν, ἐπειδὰν ἐνθένδε ἀπέλθητε, ἐπισκέψασθε καὶ τὰ τῶν ἵππων καὶ τὰ ὑμῶν αὐτῶν ὅπλα· πολλάκις γὰρ μικροῦ ἐνδείᾳ καὶ ἀνὴρ καὶ ἵππος καὶ ἅρμα ἀχρεῖον γίγνεται· αὔριον δὲ πρωΐ, ἕως ἂν ἐγὼ θύωμαι, πρῶτον μὲν χρὴ ἀριστῆσαι καὶ ἄνδρας καὶ ἵππους, ὅπως, ὅ τι ἂν πράττειν ἀεὶ καιρὸς ᾖ, μὴ τούτου ἡμῖν ἐνδέῃ· ἔπειτα δὲ σύ, ἔφη, ὦ Ἀράσπα, τὸ δεξιὸν κέρας ἔχε, ὥσπερ καὶ ἔχεις, καὶ οἱ ἄλλοι μυρίαρχοι, ᾗπερ νῦν ἔχετε· ὁμοῦ δὲ τοῦ ἀγῶνος ὄντος, οὐδενὶ ἅρματι καιρὸς τοὺς ἵππους μεταζευγνύναι. Παραγγείλατε δὲ τοῖς ταξιάρχοις καὶ λοχαγοῖς ἐπὶ φάλαγγος καθίστασθαι, εἰς δύο ἔχοντας ἕκαστον τὸν λόχον. Ὁ δὲ λόχος ἦν ἕκαστος εἰκοσιτέτταρες.

§. 21. ὥσπερ καὶ ἔχεις] ὥσπερ καὶ εἶχες dedit Pop. quasi myriarchum aliquando Araspam fuisse certum esset. Vid. ad §. 16.

§. 20. καὶ οἴκοι νόμον] τὸν νόμον habet codex, ut articulo supersederi posse apparet ex not. ad I. 5, 3. Ceterum quod VIII. 3, 16 sq. Cyrus quattuor myriadas equitum pari modo collocat εἰς ἑκατὸν πανταχῇ, nihil obstat, quominus in pugna vituperetur haec acies, quae in pompa ferri possit.

τοῦτο ἐπιθυμῶν] Laxius participium adhaeret verbis ἐβούλετο ὑπερφαλαγγῆσαι ὅτι πλεῖστον. Cf. Matth. §. 556. n. 1. p. 1093 sq.

Ἀλλ' οὔτοι ἂν εἰδεῖεν, εἰ οἱ κυκλούμενοι κυκλωθεῖεν] At hi (si nos circumvenire conarentur) cognoscere possent, an qui cingere vellent cingi possent, i. e. fieri potest, ut qui cingere volunt alios, ipsi a nobis cingantur. Cf. VII. 1, 36. et de εἰ ad V. 2, 4.

§. 21. οὐδενὶ ἅρματι καιρὸς τοὺς ἵππους μεταζευγνύναι] »Liceat suspicando perhibere hoc loco, ut opinor, metaphorice ista commemorari a Cyro, monente, ut ordines serventur sicut instructi sint, neve in iis aliqua mutatio fiat.« Camerar.

εἰς δύο ἔχοντας ἕκαστον τὸν λόχον] Ita in fronte fuerunt 12, in latere bini hoplitae: verum

Καί τις εἶπε τῶν μυριάρχων, Καὶ δοκοῦμέν σοι, ἔφη, ὦ Κῦρε, ἱκανῶς ἕξειν, εἰς τοσούτους τεταγμένοι, πρὸς οὕτω βαθεῖαν φάλαγγα; Καὶ ὁ Κῦρος εἶπεν· Αἱ δὲ βαθύτεραι φάλαγγες ἢ ὡς ἐξικνεῖσθαι τοῖς ὅπλοις τῶν ἐναντίων, τί σοι, ἔφη, δοκοῦσιν ἢ τοὺς πολεμίους βλάπτειν, ἢ τοὺς συμμάχους ὠφελεῖν; Ἐγὼ μὲν γάρ, ἔφη, τοὺς εἰς ἑκατὸν τούτους ὁπλίτας εἰς μυρίους ἂν μᾶλλον βουλοίμην τετάχθαι· οὕτως γὰρ ἂν ἐλαχίστοις μαχοίμεθα. Ἐξ ὅσων μέντοι ἐγὼ τὴν φάλαγγα βαθυνῶ, οἴομαι ὅλην ἐνεργὸν καὶ σύμμαχον ποιήσειν αὐτὴν ἑαυτῇ. Ἀκοντιστὰς μὲν ἐπὶ τοῖς θωρακοφόροις τάξω, ἐπὶ δὲ τοῖς ἀκοντισταῖς τοξότας. Τούτους γὰρ πρωτοστάτας μὲν τίς ἂν τάττοι, οἳ καὶ αὐτοὶ ὁμολογοῦσι μηδεμίαν μάχην ἂν ὑπομεῖναι ἐκ χειρός; Προβεβλημένοι δὲ τοὺς θωρακοφόρους μενοῦσί τε, καὶ οἱ μὲν ἀκοντίζοντες, οἱ δὲ τοξεύοντες, ὑπὲρ τῶν πρόσθεν πάντων λυμανοῦνται τοὺς πολεμίους. Ὅ τι δ' ἂν τις κακουργῇ τοὺς ἐναντίους, δῆλον, ὅτι παντὶ τούτῳ τοὺς συμμάχους κουφί-

22 23 24

§. 24. μὲν τίς ἂν τάττοι] μέντοι ἄν τις τ. codd. Sed cum M. scribendum μὲν πῶς τις ἂν τάττοι.

quum post hoplitas (§. 23 sqq.) iaculatores, post iaculatores sagittarii, denique quarta acies οἱ ἐπὶ πᾶσι καλούμενοι collocati essent, fieri non potuit, quin quaterni hi lochi se invicem excipientes longitudine duodenorum militum, et altitudine octonorum continerentur.

§. 22. ἢ ὡς ἐξικνεῖσθαι τοῖς ὅπλοις τῶν ἐναντίων] quam ut armis suis ad hostes perveniant. Anab. III. 3, 7. οἵ τε ἀκοντισταὶ βραχύτερα ἠκόντιζον ἢ ὡς ἐξικνεῖσθαι τῶν σφενδονητῶν. Matth. §. 448. b. p. 841 sq.

§. 23. Ἐξ ὅσων μέντοι ἐγὼ] Platonis verba Phaedon. §. 13. p. 22. σχεδὸν οὖν, ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ' ὁπωστιοῦν ἄν σοι ἑκὼν εἶναι πείσεται Heindorf. ait respondere formulae ὥς γε τεκμαίρεσθαι ἐκ τούτων, ἃ ἐγὼ ᾔσθημαι, quibus perlectis verbis quis nostrum locum explicare nequeat?

§. 24. Προβεβλημένοι δὲ] i. e. προβεβλημένους δὲ ἔχοντες. c. 2. §. 17. τὰ ὑπερέχοντα ἅπαντα συνεστεγασμένοι θώραξι καὶ κράνεσι. V. 4, 10. ἐπιδεδεμένος ἤδη τὸ τραῦμα. Memor. IV. 2, 1. γράμματα πολλὰ συνειλεγμένον. Matth. §. 493.

λυμανοῦνται τοὺς πολεμίους] De re eq. IV. 3. dativum hoc verbum regit τὰ μὲν τοίνυν ὑγρά τε καὶ λεῖα τῶν σταθμῶν λυμαίνεται καὶ ταῖς εὐφυέσιν ὁπλαῖς, non minus usitate quam accusativum. Matth. §. 391. §. 415. p. 760.

25 ζει. Τελευταίους μέντοι στήσω τοὺς ἐπὶ πᾶσι καλουμένους. Ὥςπερ γὰρ οἰκίας οὔτε ἄνευ λιθολογήματος ὀχυροῦ, οὔτε ἄνευ τῶν στέγην ποιούντων οὐδὲν ὄφελος, οὕτως οὐδὲ φάλαγγος οὔτε ἄνευ τῶν πρώτων οὔτε ἄνευ τῶν τελευταίων, εἰ μὴ ἀγαθοὶ ἔσονται, ὄφελος
26 οὐδέν. Ἀλλ' ὑμεῖς τε, ἔφη, ὡς παραγγέλλω, τάττεσθε, καὶ ὑμεῖς οἱ τῶν πελταστῶν ἄρχοντες ἐπὶ τούτοις ὡσαύτως τοὺς λόχους καθίστατε· καὶ ὑμεῖς οἱ τῶν το-
27 ξοτῶν ἐπὶ τοῖς πελτασταῖς ὡσαύτως. Σὺ δέ, ὃς τῶν ἐπὶ πᾶσιν ἄρχεις τελευταίους ἔχων τοὺς ἄνδρας, παράγγελλε τοῖς ἑαυτοῦ ἐφορᾶν τε ἑκάστῳ τοὺς καθ' ἑαυτόν, καὶ τοῖς μὲν τὸ δέον ποιοῦσιν ἐπικελεύειν, τοῖς δὲ κακυνομένοις ἀπειλεῖν ἰσχυρῶς· ἢν δέ τις στρέφηται προδιδόναι θέλων, θανάτῳ ζημιοῦν· ἔργον γάρ ἐστι τοῖς μὲν πρωτοστάταις θαρσύνειν τοὺς ἑπομένους καὶ λόγῳ καὶ ἔργῳ, καὶ ὑμᾶς δὲ δεῖ, τοὺς ἐπὶ πᾶσι τεταγμένους, πλείω φόβον παρέχειν τοῖς κακοῖς τοῦ ἀπὸ τῶν πολε-
28 μίων. Καὶ ὑμεῖς μὲν ταῦτα ποιεῖτε· σὺ δέ, ὦ Εὐφράτα, ὃς ἄρχεις τῶν ἐπὶ ταῖς μηχαναῖς, οὕτω ποίει, ὅπως τὰ ζεύγη τὰ τοὺς πύργους ἄγοντα ἕψεται ὡς ἐγγύτατα

§. 27. *κακυνομένοις*] *μαλακυνομένοις* alii codd. eoque utitur Xen. in simili loco III. 2, 5.

§. 28. *Εὐφράτα*] Nomen incertum, nisi forte certius est *Εὐφραδάτα*, quod libri commendant, a quibus postea improbatur scriptura *τοὺς ὑπηρέτας καὶ τοὺς πύργους*.

§. 25. *τοὺς ἐπὶ πᾶσι καλουμένους*] eos, qui novissimi vocantur. Gabr. cohortem subsidiariam, quae aciem extremam formabat.

§. 26. *ὑμεῖς τε, ἔφη, ὡς παραγγέλλω*] Duces loricatorum vult *εἰς δύο τάττεσθαι τὸν λόχον* §. 21.

τῶν πελταστῶν] Supra §. 24. *οἱ ἀκοντισταί* audiebant.

§. 27. *παράγγελλε τοῖς ἑαυτοῦ – ἑαυτόν*] i. q. *παράγγελλε τῶν ἑαυτοῦ* (cf. ad c. 2. extrem.) *ἑκάστῳ ἐφορᾶν τε τοὺς καθ' ἑαυτόν*, qui ante quemque incedunt. Hom. Iliad. IV. 298. *πεζοὺς δ' ἐξόπιθε στῆσεν πολέας τε καὶ ἐσθλούς, ἕρκος ἔμεν πολέμοιο, κακοὺς δ' ἐς μέσσον ἔλασσεν, ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.*

ἔργον γάρ ἐστι] Decet enim. Viger. p. 88. cf. VII. 1, 34. Postremae aciei Cyrus iniungit, quod verberibus seriores Persae vulgo efficiebant, qua de re ad Anab. III. 4, 25. et Praefat. p. XX sq. exposui.

τοῦ ἀπὸ τῶν πολεμίων] *φόβον* additur III. 3, 53. Cf. Matthiae §. 573. p. 1130. et nos ad I. 1, 5.

τῆς φάλαγγος. Σὺ δ', ὦ Δαδοῦχε, ὃς ἄρχεις τῶν σκευο- 29
φόρων, ἐπὶ τοῖς πύργοις καὶ ἐπὶ ταῖς μηχαναῖς ἄγε πάντα τὸν τοιοῦτον στρατόν· οἱ δ' ὑπηρέται σου [τῶν ὄχλων] ἰσχυρῶς κολαζόντων τοὺς προϊόντας τοῦ καιροῦ ἢ λειπομένους. Σὺ δ', ὦ Καρδοῦχε, ὃς ἄρχεις τῶν 30
ἁρμαμαξῶν, αἳ ἄγουσι τὰς γυναῖκας, κατάστησον αὐτὰς τελευταίας ἐπὶ τοῖς σκευοφόροις. Ἑπόμενα γὰρ ταῦτα πάντα καὶ πλήθους δόξαν παρέξει, καὶ ἐνεδρεύειν ἡμῖν ἐξουσία ἔσται, καὶ τοὺς πολεμίους, ἢν κυκλοῦσθαι πειρῶνται, μείζω τὴν περιβολὴν ἀναγκάσει ποιεῖσθαι· ὅσῳ δ' ἂν μεῖζον χωρίον περιβάλλωνται, τοσούτῳ ἀνάγκη αὐτοὺς ἀσθενεστέρους γίγνεσθαι. Καὶ ὑμεῖς 31
μὲν οὖν οὕτω ποιεῖτε· σὺ δέ, ὦ Ἀρτάβαζε καὶ Ἀρταγέρσα, τὴν χιλιοστὺν ἑκάτερος τῶν σὺν ὑμῖν πεζῶν ἐπὶ τούτοις ἔχετε. Καὶ σύ, ὦ Φαρνοῦχε καὶ Ἀσιαδάτα, 32
τὴν τῶν ἱππέων χιλιοστύν, ἧς ἑκάτερος ἄρχει ὑμῶν, μὴ συγκατατάττετε εἰς τὴν φάλαγγα, ἀλλ' ὄπισθεν τῶν ἁρμαμαξῶν ἐξοπλίσθητε καθ' ὑμᾶς αὐτούς· ἔπειτα πρὸς ἐμὲ ἥκετε σὺν τοῖς ἄλλοις ἡγεμόσιν. Οὕτω δὲ δεῖ ὑμᾶς παρεσκευάσθαι, ὡς πρώτους δεῆσον ἀγωνίζεσθαι. Καὶ 33

§. 29. *σκευοφόρων, ἐπὶ τοῖς πύργοις καὶ ἐπὶ ταῖς μηχαναῖς*] Malim brevius *σκευοφόρων, ἐπὶ ταῖς μηχαναῖς*.

§. 30. *καὶ τοὺς πολεμίους*] Ita Schn. *καὶ τοῖς πολεμίοις* libri editi et scripti.

§. 29. *τῶν ὄχλων*] Etsi Plutarch. Mario p. 411. C. *ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ πλείους συμπεριάγεσθαι* non alio atque hic sensu *ὄχλοι* dicuntur, tamen non diffiteor praegressa haec *τὸν τοιοῦτον στρατόν* facile verbo *τὸν ὄχλον* vel solum *τοιοῦτον* plurali *τῶν ὄχλων* explicari potuisse.

§. 30. *τῶν ἁρμαμαξῶν, αἳ ἄγουσι τὰς γυναῖκας*] Quibus suspecta fuerunt verba *αἳ ἄγουσι τὰς γυναῖκας*, hos non satis perpendisse arbitror, quoties quum apud alios scriptores, tum apud Xen. singula et verba et sententiae nominibus, propriis praesertim, adnexa reperiantur, quae, si abessent, nemo desideraret. Vid. not. ad V. 3, 18. II. 1, 5. et de harmamaxis ad III. 1, 8.

ἐνεδρεύειν ἡμῖν ἐξουσία ἔσται] videlicet si armati post carpenta collocati in hostes praedaturos inde eruperint. Paullum est autem mutata in his constructio, quam continuari oportuit *καὶ ἐξουσίαν ἡμῖν ἐνεδρεύειν*, sc. *παρέξει*.

§. 32. *καθ' ὑμᾶς αὐτούς*] seorsim. Viger. p. 633. Matth. p. 1155.

ὡς – δεῆσον] Post haec *ὑμᾶς* libri habent deteriores, apertum interpretamentum. Vid. ad I. 6, 12. Pharnuchum et Asiadatam cur ad pugnandum paratos esse

σὺ δέ, ὁ ἄρχων τῶν ἐπὶ ταῖς καμήλοις ἀνδρῶν, ὄπισθεν τῶν ἁρμαμαξῶν ἐκτάττου· ποίει δ' ὅ τι ἄν σοι
34 παραγγέλλῃ Ἀρταγέρσης. Ὑμεῖς δ', οἱ τῶν ἁρμάτων ἡγεμόνες, διακληρωσάμενοι, ὁ μὲν λαχὼν ὑμῶν πρὸ τῆς φάλαγγος τὰ μεθ' ἑαυτοῦ ἑκατὸν ἔχων ἅρματα καταστησάτω· αἱ δ' ἕτεραι ἑκατοστύες τῶν ἁρμάτων, ἡ μὲν κατὰ τὸ δεξιὸν πλευρὸν τῆς στρατιᾶς στοιχοῦσα ἑπέσθω τῇ φάλαγγι ἐπὶ κέρως, ἡ δὲ κατὰ τὸ εὐώνυ-
35 μον. Κῦρος μὲν οὕτω διέταττεν.

Ἀβραδάτας δέ, ὁ Σούσων βασιλεύς, εἶπεν· Ἐγώ σοι, ὦ Κῦρε, ἐθελούσιος ὑφίσταμαι τὴν κατὰ πρόσωπον τῆς ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τί σοι
36 ἄλλο δοκεῖ. Καὶ ὁ Κῦρος, ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐπήρετο τοὺς ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, Ἦ καὶ ὑμεῖς, ἔφη, ταῦτα συγχωρεῖτε; Ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο, ὅτι οὐ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτούς, καὶ ἔλαχεν ὁ Ἀβραδάτας, ἧπερ ὑφί-
37 στατο, καὶ ἐγένετο κατὰ τοὺς Αἰγυπτίους. Τότε μὲν δὴ ἀπιόντες, καὶ ἐπιμεληθέντες ὧν προεῖπον, ἐδειπνοποιοῦντο, καὶ φυλακὰς καταστησάμενοι ἐκοιμήθησαν.

---

§. 37. φυλακὰς] Sic nulla non habet editio praeter Schneid. qui φύλακας edere coepit. Vid. ad V. 1, 30.

---

inserit, declarabit VII. 1, 22. nimirum ut a latere aggredientes hostes adorirentur.

§. 33. ὁ ἄρχων] In permultis libris est ὦ ἄρχων refragantibus locis finitimis §. 26. §. 34. aliisque innumeris, neque probante Matth. §. 312. 1. De sententia iuvabit VII. 1, 22. §. 27. inspicere.

§. 34. Ὑμεῖς δ', οἱ τῶν ἁρμάτων ἡγεμόνες, διακληρωσάμενοι, ὁ μὲν λαχὼν ὑμῶν – καταστησάτω] Vulgaribus grammatices regulis congruerent potius haec: ὑμῶν δ', ὦ τῶν ἁρμάτων ἡγεμόνες, διακληρωσαμένων ὁ μὲν λαχὼν – καταστησάτω, sed frequentatam in distributionibus hanc attractionis rationem esse inter alia V. 5, 23. observatum est. Eadem locum habet in his αἱ δ' ἕτεραι ἑκατοστύες – ἡ μὲν – ἡ δέ. Matth. §. 319. ed. sec. Collocandi omnino erant trecenti currus, e quibus qui in fronte, ut in loco difficillimo, starent, sorte eligi voluit, ceteri in dextro et sinistro cornu dispositi sunt, et quidem ita, ut in eadem serie iuxta se collocati (στοιχοῦσα) alter alterum (ἐπὶ κέρως) exciperent.

§. 37. ὧν προεῖπον] τούτων, ὧν προεῖπον ἐπιμεληθῆναι, eorum, quae se curaturos es-

CAPUT IV.

Armis ornatur exercitus, imprimisque Abradatas munere Pantheae, quae simul virum gravissimis verbis ad fortitudinem hortatur.

1 Τῇ δ' ὑστεραίᾳ πρωῒ Κῦρος μὲν ἐθύετο· ὁ δ' ἄλλος στρατὸς ἀριστήσας καὶ σπονδὰς ποιησάμενος ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππους προμετωπιδίοις καὶ προστερνιδίοις· καὶ τοὺς μὲν μονίππους παραμηριδίοις, τοὺς δ' ὑπὸ τοῖς ἅρμασι παραπλευριδίοις· ὥςτε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά.

2 Καὶ τῷ Ἀβραδάτᾳ δὲ τὸ τετράῤῥυμον ἅρμα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. Ἐπεὶ δ' ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προςφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν, καὶ κράνος, καὶ

§. 1. ἅρμασι] ἅρμασιν ὄντας optimi quique quod scriptum habent, mihi quidem non videtur reiiciendum esse.

§. 2. χρυσοῦν, καὶ κράνος] χρυσοῦν θώρακα καὶ κράνος Schn. χρυσοῦν κράνος codd. dissuadente loco VI. 1, 51. Commendarunt tamen etiam χρυσοῦν, καὶ χρυσοῦν κράνος praeter necessitatem, ut opinor. Vid. Iacobs ad Philostr. p. 453.

se praedixerant. Ita haec verba ad Abradatam potissimum et curruum praefectos referenda essent, neque ad primam personam confugiendum, qua uteretur Xenophon: id quod raro factum esse diximus ad I. 2, 15. Sed omnibus difficultatibus medetur προεῖπεν a Schneidero propositum.

Cap IV. §. 1. καλοῖς χιτῶσι] φοινικίσι. Persas omnes dicit Herodot. VII. 61. habuisse περὶ τὸ σῶμα κιθῶνας χειριδωτοὺς ποικίλους, λεπίδος σιδηρέης ὄψιν ἰχθυοειδέος, ubi comparant interpretes IX. 22. ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτόν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον. Vid. VII. 1, 2. VIII. 3, 3.

μονίππους παραμηριδίοις] »Equitum iumenta femora tantum habuerunt munita, latus autem utrumque nudum, quia equites tantum divaricari non poterant, ut lateribus etiam munitis commode insiderent.« Weisk. Cf. Anab. I. 8, 6. sq.

ἤστραπτε μὲν χαλκῷ] Eurip. Phoeniss. 110. Valck. κατάχαλκον ἅπαν πεδίον ἀστράπτει.

§. 2. ἵππων ὀκτώ] Compara Herodoteum ἅρμα ἵππων Νισαίων in Matth. Gr. §. 316. p. 623.

τὸν λινοῦν θώρακα] Troiani iam belli temporibus loricae ex linis coactis confectae in usu fuerunt. Iliad. II. 830. Chalybibus easdem tribuit Xen. Anab. IV. 7, 10. et Minervae templo, quod Lindi erat, Amasis Aegyptiorum

περιβραχιόνια, καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς
τῶν χειρῶν, καὶ χιτῶνα πορφυροῦν, ποδήρη, στολι-
δωτὸν τὰ κάτω, καὶ λόφον ὑακινθινοβαφῆ. Ταῦτα
δὲ ἐποιήσατο, λάθρα τοῦ ἀνδρὸς ἐκμετρησαμένη τὰ
3 ἐκείνου ὅπλα. Ὁ δὲ ἰδὼν ἐθαύμασέ τε, καὶ ἐπήρετο
τὴν Πάνθειαν, Σὺ δήπου, ὦ γύναι, συγκόψασα τὸν
σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποιήσω; Μὰ Δί', ἔφη ἡ
Πάνθεια, οὔκουν τόν γε πλείστου ἄξιον· σὺ γάρ
ἔμοιγ', ἢν καὶ τοῖς ἄλλοις φανῇς, οἷόσπερ ἐμοὶ δοκεῖς
εἶναι, μέγιστος κόσμος ἔσῃ. Ταῦτα δὲ λέγουσα ἅμα
ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο
δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.
4 Ἐπεὶ δὲ καὶ πρόσθεν ὢν ἀξιοθέατος ὁ Ἀβραδάτας
ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος
καὶ ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης·
λαβὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας παρεσκευά-
5 ζετο ὡς ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. Ἐν δὲ τούτῳ
ἡ Πάνθεια, ἀποχωρῆσαι κελεύσασα τοὺς παρόντας
πάντας, ἔλεξεν· Ἀλλ' ὅτι μέν, ὦ Ἀβραδάτα, εἴ τις

ψέλλια] ψέλια vereor ut recte scribatur invitis codd. Cf. I. 3, 2. Anab. I. 2, 27.

§. 5. ἀποχωρῆσαι] ὑποχωρῆσαι ob V. 5, 7. maxime repudiant.

rex dicavit θώρηκα λίνεον ἀξιοθέητον Herodot. II. 182. ἐόντα μὲν λίνεον, καὶ ζώων ἐνυφασμένων συχνῶν, κεκοσμημένον δὲ χρυσῷ καὶ εἰρίοισι ἀπὸ ξύλου κ. τ. λ. ibid. III. 47.

λόφον ὑακινθινοβαφῆ] Hic color fueritne purpureus an caeruleus (violett), viri docti litigant. Posterius probare studuit Bochart. Hieroz. T. III. p. 667 sq. 674. ed. Rosenm. Cf. Dorville ad Charit. p. 533. Lips. et Voss. ad Virgil. Eclog. II. 18. Omnino complura purpurarum genera novit antiquitas. Vid. Heeren. Ideen. Vol. I. P. II. p. 88 sq. ed. 4.

§. 3. ἐνέδυε] §. 2. ἐνδύεσθαι. Attulit Matth. §. 492. b., ut de utriusque formae discrimine exponeret.

λανθάνειν μὲν ἐπειρᾶτο] Zonaras: καὶ λανθάνειν κλαίουσα ἐπειρᾶτο, ἐλείβετο δὲ δάκρυα κατὰ τῶν αὐτῆς παρειῶν. Ulysses apud Homerum Od. VIII. 532. ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων. Cf. supra V. 1, 5.

§. 4. ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης] quippe cum natura etiam ei minime deesset, non male interpretatus est Gabr. ἡ φύσις enim nativa dicitur corporis forma et dignitas, atque ad ὑπάρχειν subaudiri licet αὐτῷ significatione eadem, quam tetigi ad Anab. I. 1, 4.

καὶ ἄλλη πώποτε γυνὴ τὸν ἑαυτῆς ἄνδρα μεῖζον τῆς ἑαυτῆς ψυχῆς ἐτίμησεν, οἶμαί σε γιγνώσκειν, ὅτι καὶ ἐγὼ μία τούτων εἰμί. Τί οὖν με δεῖ καθ' ἓν ἕκαστον λέγειν; τὰ γὰρ ἔργα οἶμαί σοι πιθανώτερα παρεσχῆσθαι τῶν νῦν λεχθέντων λόγων. Ὅμως δ' οὕτως ἔχου- 6
σα πρός σε, ὥσπερ σὺ οἶσθα, ἐπομνύω σοι τὴν ἐμὴν καὶ σὴν φιλίαν ἦ μὴν ἐγὼ βούλεσθαι ἂν μετὰ σοῦ, ἀνδρὸς ἀγαθοῦ γενομένου, κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον ἢ ζῆν μετ' αἰσχυνομένου αἰσχυνομένη· οὕτως ἐγὼ καὶ σὲ τῶν καλλίστων καὶ ἐμαυτὴν ἠξίωκα. Καὶ Κύ- 7

§. 6. *κοινῇ γῆν*] *κοινὴν γῆν* elegantem correctionem nominat Iacobs ad Philostr. p. 452. [Non ad hanc correctionem, quae levissima est, elegantiae laus spectat, sed ad aliam in Philostrati verbis factam, ubi T. H. pro *κοινὴν γῆν σπάσασθαι* corrigit *ἐπιέσασθαι*. F. I.].

§. 5. *οἶμαί σε γιγνώσκειν, ὅτι καὶ ἐγὼ μία τούτων εἰμί*] Abundat *ὅτι*, cum vulgaris verborum ordo fuisset: *Ἀλλ' οἶμαι μέν* (huc refertur *δέ* in *Ὅμως δέ* §. 6.) *σε γιγνώσκειν, ὅτι καὶ ἐγὼ μία ἐκείνων γυναικῶν εἰμι, αἳ τοὺς ἑαυτῶν ἄνδρας μεῖζον τῆς ἑαυτῶν ψυχῆς ἐτίμησαν.* Eadem coniunctio iteratur etiam alibi, ut Anab. V. 6, 19, ad quem locum provocat Thiersch §. 338. 7. not. Frequens autem usus loquendi formulae *εἴ τις ἄλλος* vel *καὶ ἄλλος* apparebit ex observat. ad V. 1, 6. et Matth. §. 617. p. 1250.

τῶν νῦν λεχθέντων λόγων] Herodt. IV. 12. *οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων λεγόμενος λόγος εἴρηται*, ubi consulendus Wesseling. Quanquam ad contemtum verborum, quem Panthea exprimere voluisse videtur, propius accedit locus Demosth. pro Coron. p. 329. v. 18. *ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων τοῦ παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα.*

§. 6. *Ὅμως δ' οὕτως ἔχουσα*] Verbum finitum *ὅμως* respicere non opus est pluribus doceam, quam V. 1, 26.

ἐπομνύω σοι – ἦ μὴν ἐγὼ βούλεσθαι ἂν μετὰ σοῦ, ἀνδρὸς ἀγαθοῦ γενομένου, κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον] Ex attractionis lege repetendum est, quod duabus scribendi rationibus *ἐγὼ βούλομαι* et *ἐμὲ βούλεσθαι* in unam commixtis *ἐγὼ* cum *ἐπομνύω* arctissime cohaeret. En tibi parem constructionis enallagen, quae excidit Demostheni *πρὸς Καλλιπ.* p. 1239. (p. 454. 12. Bekk.) *ὧν ἐγὼ ἤθελον τούτῳ ταύτην, ἥτις εἴη μεγίστη πίστις, δοῦναι, η μὴν ἐγὼ τοῦ πατρὸς ἀκούειν.* Eurip. Cycl. 266. Matth. *ἀπώμοσ', ὦ κάλλιστον, ὦ Κυκλώπιον, ὦ δεσποτίσκε, μὴ τὰ σ' ἐξοδᾶν ἐγὼ ξένοισι χρήματ'.* Supra c. 1, 3. *ἦ μὴν μὴ – πεισθεὶς ταῦτα γιγνώσκειν.* Hinc nolim diutius in annotationibus lateat *ἐπείγεσθαι* Achill. Tat. p. 123. 15. *Ὄμνυμί σοι, φιλτάτη, τοὺς πατρῴους θεούς, ἦ μὴν σφόδρα καὶ αὐτὸς ἐπείγομαί σου τὴν σπουδὴν ἀμείψασθαι.* Reliqua verba sic resolvas: *ὅτι ἐγὼ μᾶλλον ἂν βουλοίμην, εἰ ἀνὴρ ἀγαθὸς γένοιο, μετὰ σοῦ κοινῇ γῆν ἐπιέσασθαι* vel *ἐπιέσεσθαι* cum Vat. cod. vid. not. ad V. 5, 21.

ρῳ δὲ μεγάλην τινὰ δοκῶ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με
αἰχμάλωτον γενομένην καὶ ἐξαιρεθεῖσαν ἑαυτῷ, οὔτε με
ὡς δούλην ἠξίωσε κεκτῆσθαι, οὔτε ὡς ἐλευθέραν ἐν
ἀτίμῳ ὀνόματι· διεφύλαξε δὲ σοὶ ὥςπερ ἀδελφοῦ γυ-
8 ναῖκα λαβών. Πρὸς δὲ καὶ ὅτε Ἀράσπας ἀπέστη αὐ-
τοῦ, ὁ ἐμὲ φυλάττων, ὑπεσχόμην αὐτῷ, εἴ με ἐάσειε
πρὸς σὲ πέμψαι, ἥξειν αὐτῷ σὲ πολὺ Ἀράσπα ἄνδρα
καὶ πιστότερον καὶ ἀμείνονα.
9 Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτας, ἀγασθεὶς
τοῖς λόγοις, καὶ θιγὼν αὐτῆς τῆς κεφαλῆς, ἀναβλέ-
ψας εἰς τὸν οὐρανὸν ἐπεύξατο· Ἀλλ', ὦ Ζεῦ μέγιστε,
δός μοι φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρί, ἀξίῳ δὲ καὶ
Κύρου φίλῳ τοῦ ἡμᾶς τιμήσαντος. Ταῦτα εἰπὼν
κατὰ τὰς θύρας τοῦ ἁρματείου δίφρου ἀνέβαινεν ἐπὶ
10 τὸ ἅρμα. Ἐπεὶ δὲ ἀναβάντος αὐτοῦ κατέκλεισε τὸν
δίφρον ὁ ὑφηνίοχος, οὐκ ἔχουσα ἡ Πάνθεια, πῶς ἂν
ἔτι ἄλλως ἀσπάσαιτο αὐτόν, κατεφίλησε τὸν δίφρον·
καὶ τῷ μὲν προήει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθοῦσα αὐτὸν
συνεφείπετο, ἕως ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβρα-

§. 8. *πέμψαι, ἥξειν αὐτῷ*] *πέμψαι ἥξειν ἔσεσθαι αὐτῷ* Vat. atque facilius sane *ἥξειν* ex c. 1, 45. quam *ἔσεσθαι* irrepere potuit.

§. 9. *τιμήσαντος*] *τετιμηκότος* Vat.

§. 7. *ἑαυτῷ*] Qui cum membrana aliqua legi malit *αὐτῷ*, ex Matth. §. 148. n. 3. sciat pronomen illud non semper subiectum sed interdum etiam nomen remotius nec sine gravitate quadam spectare.

ὅτι με – οὔτε με] Vid. praeter Matth. §. 465. 4. p. 863. ed. 2. nostra ad c. 1, 45.

ἐν ἀτίμῳ ὀνόματι] *παλλακῆς* vocabulo noluit uti.

§. 8. *πολὺ – πιστότερον*] Anab. III. 1, 22. *πολὺ σὺν φρονήματι μείζονι.* Demosth. pro Coron. p. 327. v. 12. (p. 377. Apparat. Schaef.) *ἵνα δ' εἰδῆτε, ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων.* Alia dedit Matth. §. 455. n. 5. p. 851 sq. et nos ad I. 6, 39. VI. 2, 20.

§. 9. *θιγὼν αὐτῆς τῆς κεφαλῆς*] Per caput amici veteres iurare solebant et precibus votisque suis fidem facere. V. 5, 7. cum annot. constructio erat eadem verborum *λαβόμενος τῆς δεξιᾶς τοῦ Κυαξάρου.*

δός μοι φανῆναι ἀξίῳ] Hoc illud est attractionis genus, quod tetigi ad IV. 5, 21. Cf. Rost. §. 127.

§. 10. *κατεφίλησε τὸν δίφρον*] Imitationem Charitonis V. 3. quamvis ineptam indicarunt etiam alii: *ἡ μὲν ἁρμάμαξα προήει συγκεκαλυμμένη, οἱ δὲ ἄνθρωποι, μηκέτι ἔχοντες Καλλιῤῥόην ὁρᾶν, κατεφίλουν τὸν δίφρον.*

θάτας εἶπε, Θάρσει, Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι
ἤδη. Ἐκ τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι 11
λαβοῦσαι ἀπῆγον αὐτὴν εἰς τὴν ἁρμάμαξαν, καὶ κατακλίναντες κατεκάλυψαν τῇ σκηνῇ. Οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος τοῦ θεάματος τοῦ Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτόν, πρὶν ἡ Πάνθεια ἀπῆλθεν.

Cyrus duces convocatos denuo ad spem victoriae excitat.

Ὡς δ' ἐκεκαλλιερήκει μὲν ὁ Κῦρος, ἡ δὲ στρατιὰ 12
παρετέτακτο αὐτῷ, ὥσπερ παρήγγειλε, κατέχων σκοπὰς ἄλλας πρὸ ἄλλων συνεκάλεσε τοὺς ἡγεμόνας, καὶ ἔλεξε
τάδε· Ἄνδρες φίλοι καὶ ξύμμαχοι, τὰ μὲν ἱερὰ οἱ θεοὶ 13

§. 11. *κατακλίναντες κατεκάλυψαν τῇ σκηνῇ*] *κατέκλιναν καὶ κατεκάλυψαν τὴν σκηνήν*, quod nomen ad posterius tantum verbum pertineret, et edd. vett. et Pollux X. 52. exhibent.

§. 13. *ξύμμαχοι*] *σύμμαχοι* e Guelf. correxi.

§. 11. *τῇ σκηνῇ*] veste stragula, aulaeo nescio an reddiderit (?) Locella ad Xenoph. Ephes. p. 155. Sed ἡ σκηνή potius dicitur superior currus pars, undique coriis ac pellibus tecta, *παραπετάσμασι*, quae complicari poterat et redigi. Posterius hoc nunc faciebant eunuchi. Mulieres Persarum Plutarch. Themist. 26. ait *ἐν ταῖς ὁδοιπορίαις ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι.* Multum Persis Statira placuit, quod ab hac consuetudine recessit, *γυμνὴ τῶν παραπετασμάτων ἀεὶ προσφερομένη, καὶ διδοῦσα ταῖς δημότισιν ἀσπάσασθαι αὐτὴν καὶ προσελθεῖν* Artax. c. 5.

θεάσασθαι αὐτὸν] Miratur Weiskius, quod de formae, qua excelluerit, pulchritudine nec potius de venusta, quam habuerit, oratione aliquid traditum sit. Sed loquentes audire neque Pantheam neque Abradatam §. 5. poterant, cernere utrumque haud dubie. Ut Pantheae pulchritudo omnium hic oculos in se convertit, ut Abradatam serius quam Pantheam admirarentur, ita III. 1, 41. ceteris omissis omnibus unum maritum intuita est Armenia.

§. 12. *κατέχων σκοπὰς ἄλλας πρὸ ἄλλων*] »obtinens speculas alias ante alias, occupatas tenens speculas multas, quarum aliae exciperent alias, inde ab eo loco, ubi Cyri castra erant, usque ad ea loca, unde agmen hostile appariturum erat.« Huic Fischeri explicationi equidem assentior. Nam quod Schneiderus contra observavit, sibi non apparere, cur participium *κατέχων* tam arcte cum concionis mentione coniunctum sit, haec difficultas facile enucleari poterit, quandoquidem non obsessis speculis vix tutis concionem habere licebat, sed semper verendum erat, ne vicini hostes incursione facta concionantes turbarent.

ἡμῖν φαίνουσιν, οἷάπερ ὅτε τὴν πρόσθεν νίκην ἔδοσαν·
ὑμᾶς δ' ἐγὼ βούλομαι ἀναμνῆσαι, ὧν μοι δοκεῖτε μεμνημένοι πολὺ ἂν εὐθυμότεροι εἰς τὸν ἀγῶνα ἰέναι.
14 Ἠσκήκατε μὲν γὰρ τὰ εἰς τὸν πόλεμον πολὺ μᾶλλον
τῶν πολεμίων, συντέτραφθε δὲ καὶ συντέταχθε ἐν τῷ
αὐτῷ πολὺ πλείω ἤδη χρόνον ἢ οἱ πολέμιοι, καὶ συνενενικήκατε μετ' ἀλλήλων· τῶν δὲ πολεμίων οἱ πολλοὶ
μὲν συνήττηνται μεθ' ἑαυτῶν, οἱ δὲ ἀμάχητοι ἑκατέρων
οἱ μὲν τῶν πολεμίων ἴσασιν, ὅτι προδότας τοὺς παραστάτας ἔχουσιν· ὑμεῖς δὲ οἱ μεθ' ἡμῶν ἴστε, ὅτι μετὰ
15 θελόντων τοῖς συμμάχοις ἀρήγειν μάχεσθε. Εἰκὸς δὲ
τοὺς μὲν πιστεύοντας ἀλλήλοις ὁμονόως μάχεσθαι μένοντας, τοὺς δὲ ἀπιστοῦντας ἀναγκαῖον βουλεύεσθαι,
16 πῶς ἂν ἕκαστοι τάχιστα ἐκποδὼν γένοιντο. Ἴωμεν δή,
ὦ ἄνδρες, ἐπὶ τοὺς πολεμίους, ἅρματα μὲν ἔχοντες ὡπλισμένα πρὸς ἄοπλα τὰ τῶν πολεμίων, ὡς δ' αὕτως καὶ ἱππέας καὶ ἵππους ὡπλισμένους πρὸς ἀόπλους,
17 ὡς ἐκ χειρὸς μάχεσθαι. Πεζοῖς δὲ τοῖς μὲν ἄλλοις οἷς
καὶ πρόσθεν μαχεῖσθε, Αἰγύπτιοι δὲ ὁμοίως μὲν ὡπλισμένοι εἰσίν, ὁμοίως δὲ τεταγμένοι· τάς τε γὰρ ἀσπίδας

§. 14. τῶν πολεμίων] ἢ τῶν πολ. e codd. Pop. dederat.

§. 13. οἷάπερ] sc. ἔφαινον. §. 17. οἷς καὶ πρόσθεν sc. ἐμάχεσθε. De re vid. III. 3, 34. IV. 2, 15.

§. 14. τῶν πολεμίων] Causam, quare ἢ deleverim, qui velit cognoscere, adeat not. ad Anab. V. 2, 4. et Matth. §. 450. n. 2, p. 845. Etenim Hellen. III. 2, 19. (14. male Zeun.) ἔνθα ἦν Ἀρτέμιδος ἱερὸν μάλα ἅγιον, καὶ λίμνη πλέον ἢ σταδίου sufficit ad σταδίου cogitatione addi λίμνη.

μεθ' ἑαυτῶν] i. q. μετ' ἀλλήλων. Matth. §. 489. III. p. 920. Sic antea inter τῶν πολεμίων et ἢ οἱ πολέμιοι variabatur.

προδότας τοὺς παραστάτας] Croesum imprimis et Phrygem taxat secundum IV. 2, 29 sq. VI. 2, 19.

§. 15. τοὺς δὲ ἀπιστοῦντας ἀναγκαῖον] τοὺς δὲ ἀπιστοῦντας ἀλλήλοις ἀναγκαῖόν ἐστι.

§. 16. ὡπλισμένους πρὸς ἀόπλους, ὡς ἐκ χειρὸς μάχεσθαι] Oppositio haec admodum familiaris est cum omnibus scriptoribus, qui de armis loquuntur, tum Herodiano IV. 9, 13. ἀναιροῦσιν ὡπλισμένοι τε ἀόπλους καὶ πανταχόθεν περιειληφότες, ubi vid. interprett, Cf. supra I. 6, 35. Extrema illa ὡς ἐκ χ. μ. cohaerent cum ὡπλισμένους participio, cui praeponi potuit οὕτως. vid. not. ad. II. 1, 23, et Matth. §. 545.

§. 17. ὁμοίως] pari modo, i. e. male. Arma Aegyptiorum describuntur c. 2, 10., acies vituperatur c. 3, 22.

μείζους ἔχουσιν ἢ ὡς ποιεῖν τι καὶ ὁρᾶν· τεταγμένοι τε εἰς ἑκατὸν δῆλον ὅτι κωλύσουσιν ἀλλήλους μάχεσθαι πλὴν πάνυ ὀλίγων. Εἰ δὲ τῷ ὠθοῦντες ἐξώσειν 18
πιστεύουσιν, ἵπποις αὐτοὺς πρῶτον δεήσει ἀντέχειν, καὶ σιδήρῳ ὑφ' ἵππων ἰσχυριζομένῳ· ἢν δέ τις αὐτῶν καὶ ὑπομείνῃ, πῶς ἅμα δυνήσεται ἱππομαχεῖν τε καὶ φαλαγγομαχεῖν καὶ πυργομαχεῖν; Καὶ γὰρ οἱ ἀπὸ τῶν πύργων ἡμῖν μὲν ἐπαρήξουσι, τοὺς δὲ πολεμίους παίοντες ἀμηχανεῖν ἀντὶ τοῦ μάχεσθαι ποιήσουσιν. Εἰ 19
δέ τινος ἔτι ἐνδεῖσθαι δοκεῖτε, πρὸς ἐμὲ λέγετε· σὺν γὰρ θεοῖς οὐδενὸς ἀπορήσομεν. Καὶ εἰ μέν τις εἰπεῖν τι βούλεται, λεξάτω· εἰ δὲ μή, ἐλθόντες πρὸς τὰ ἱερὰ καὶ προσευξάμενοι οἷς ἐθύσαμεν θεοῖς ἴτε ἐπὶ τὰς τάξεις· καὶ ἕκαστος ὑμῶν ὑπομιμνησκέτω τοὺς μεθ' αὐτοῦ 20
ἅπερ ἐγὼ ὑμᾶς, καὶ ἐπιδεικνύτω τις τοῖς ἀρχομένοις ἑαυτὸν ἄξιον ἀρχῆς, ἄφοβον δεικνὺς καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους.

§. 18. *καὶ πυργομαχεῖν*] Exciderunt etiam in V. M.

§. 18. *Εἰ δὲ τῷ ὠθοῦντες ἐξώσειν πιστεύουσιν*] Quodsi confidunt fore, ut trudendo clipeis nos exturbent locis nostris.

ἵπποις αὐτοὺς πρῶτον δεήσει ἀντέχειν] oportebit eos equis primum resistere. Gabr. bene etiam *ἀντέχειν*, quod eodem modo struitur Hellen. VII. 4, 23. *οὐκέτι ἐδύναντο οἱ Λακεδαιμόνιοι ἀντέχειν τῷ τῶν Ἀρκάδων πλήθει.* Herodot. I. 175. *μοῦνοι ἀντέσχον Ἁρπάγῳ.* Herodian. IV. 3, 7. Wolf. Post *πρῶτον* inferuntur *ἢν δέ τις αὐτῶν καὶ ὑπομείνῃ* etc. more Graecis non inusitato, nec a me ad I. 2, 13. praetermisso.

§. 19. *ἐλθόντες πρὸς τὰ ἱερά*] venientes ad sacra, ad locum, ubi victima immolatur. Hoc sensu III. 3, 34. dicebatur *πρὸς τὰ ἱερὰ παρεῖναι.* Faciunt hoc duces VII. 1, 1., tametsi prius, quam Cyrus, sacra relinquunt, quippe suos quisque milites ordinaturi. Aliter Fischerus, neque tamen, ut arbitror, rectius. Nam si Cyrus duces iussisset pro sui quemque agminis salute sacrificare, neque initio septimi libri hoc reticuisset, et h. l. dilucidius mentem suam aperuisset.

ἐθύσαμεν] immolare solemus. Matth. §. 502. 3. p. 954. Rost. §. 116. II. 8. n. 4. p. 444. et annot. ad I. 4, 3.

§. 20. *ἅπερ ἐγὼ ὑμᾶς*] Redi ad §. 13. Sequens illud *τὶς* explicant Buttm. §. 114. 4. Rost. §. 99. 5. et Matth. ad III. 3, 64. laudatus.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Ζ'.

CAPUT I.

Prandio sumpto et sacris rite factis Cyri exercitus omine fausto procedit.

1 Οἱ μὲν δὴ εὐξάμενοι τοῖς θεοῖς ἀπῄεσαν πρὸς τὰς τάξεις· τῷ δὲ Κύρῳ καὶ τοῖς ἀμφ' αὐτὸν προςήνεγκαν οἱ θεράποντες ἐμπιεῖν καὶ φαγεῖν ἔτι οὖσιν ἀμφὶ τὰ ἱερά. Ὁ δὲ Κῦρος, ὥςπερ εἶχεν ἑστηκώς, ἀπαρξάμενος ἠρίστα, καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ· καὶ σπείσας καὶ εὐξάμενος ἔπιε, καὶ οἱ ἄλλοι δὲ οἱ περὶ αὐτὸν οὕτως ἐποίουν. Μετὰ δὲ ταῦτα αἰτησάμενος Δία πατρῷον ἡγεμόνα εἶναι καὶ σύμμαχον, ἀνέβαινεν ἐπὶ τὸν ἵππον, καὶ τοὺς ἀμφ' αὐτὸν ἐκέλευσεν.
2 Ὡπλισμένοι δὲ πάντες ἦσαν οἱ περὶ τὸν Κῦρον τοῖς

§. 1. *ἐμπιεῖν καὶ φαγεῖν*] libri optimi probante Schaefero Demosth. Apparat. T. I. p. 246. meque antea ad Conviv. p. 135. *ἐμφαγεῖν καὶ ἐμπιεῖν* edd.

Cap. I. §. 1. *ὥςπερ εἶχεν ἑστηκώς*] confestim stans, sogleich stehend. Cf. not. ad. III. 1, 7.

ἀπαρξάμενος] primitiis deo oblatis. Vid. Buttm. Lexil. I. p. 100 sqq.

καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ] et ut quisque maxime indigebat, ita ei cuiusque rei partem tribuebat. Gabr. Vidit igitur *ἀεί* post articulum participio iunctum collocandum fuisse; quae ratio tantum abest ut insolentiae aliquid habeat, ut Xenophontem ipsum saepius ita locutum esse ad V. 4, 50. annotaverim. Ceterum his verbis mirificam Cyri humanitatem ostendi Xen. voluit, qua duces etiam ibi cibum capere coegit, ubi modestiae causa haud dubie eo abstinuissent. Cf. etiam Anab. I. 9, 25 sq.

αὐτοῖς Κύρῳ ὅπλοις, χιτῶσι φοινικοῖς, θώραξι
χαλκοῖς, κράνεσι χαλκοῖς, λόφοις λευκοῖς, μαχαί-
ραις, παλτῷ κρανείνῳ ἑνὶ ἕκαστος· οἱ δὲ ἵπποι
προμετωπιδίοις καὶ προστερνιδίοις καὶ παραμηρι-
δίοις χαλκοῖς· τὰ δ' αὐτὰ ταῦτα παραμηρίδια ἦν καὶ
τῷ ἀνδρί. Τοσοῦτο δὲ μόνον διέφερον τὰ Κύρου ὅπλα,
ὅτι τὰ μὲν ἄλλα ἐκέχριστο τῷ χρυσοειδεῖ χρώματι, τὰ
δὲ Κύρου ὅπλα ὥςπερ κάτοπτρον ἐξέλαμπεν. Ἐπεὶ δὲ 3
ἀνέβη, καὶ ἔστη βλέπων, ᾗπερ ἔμελλε πορεύεσθαι, βροντὴ
δεξιὰ ἐφθέγξατο· ὁ δ' εἶπεν, Ἑψόμεθά σοι, ὦ Ζεῦ μέ-
γιστε. Καὶ ὡρμᾶτο μὲν ἐν δεξιᾷ ἔχων Χρυσάνταν τὸν
ἵππαρχον καὶ τοὺς ἱππέας, ἐν ἀριστερᾷ δὲ Ἀρσάμαν καὶ
τοὺς πεζούς. Παρηγγύησε δὲ παρορᾶν πρὸς τὸ ση- 4
μεῖον, καὶ ἐν ἴσῳ ἕπεσθαι· ἦν δ' αὐτῷ τὸ σημεῖον ἀετὸς
χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. Καὶ νῦν
δὲ ἔτι τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει.
Πρὶν δὲ ὁρᾶν τοὺς πολεμίους, εἰς τρὶς ἀνέπαυσε τὸ
στράτευμα.

§. 2. *παραμηριδίοις χαλκοῖς· τὰ δ' αὐτὰ ταῦτα παραμηρίδια ἦν καὶ τῷ ἀνδρί*] Ita scripsit Weiskius primus, legebatur enim *καὶ παραπλευριδίοις* (haec om. codd.) *χαλκοῖς· τὰ δ' αὐτὰ ταῦτα καὶ παραμηρίδια ἦν τῷ ἀνδρί*, in quibus vide ne *καί* traiectum sit, ut III. 3, 39.

§. 2. *τὰ δ' αὐτὰ ταῦτα παραμηρίδια ἦν καὶ τῷ ἀνδρί*] eadem haec equiti quoque femoralia erant. De re equest. XII. 8. *ὁπλίζειν δεῖ καὶ τὸν ἵππον προμετωπιδίῳ καὶ προστερνιδίῳ καὶ παραμηριδίοις· ταῦτα γὰρ ἅμα καὶ τῷ ἀμβάτῃ παραμηρίδια γίγνεται.* §. 10. *Κνῆμαι δὲ καὶ πόδες ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν παραμηριδίων, ὁπλισθείη δὲ καὶ ταῦτα, εἰ ἐμβάται γένοιντο σκύτους, ἐξ οἷουπερ αἱ κρηπῖδες ποιοῦνται.* Adde supra VI. 4, 1.

διέφερον] *διέφερε* maluit Fischer. Sed ulla mutatione in talibus locis opus esse negavi ad II. 2, 2. Cyri arma erant quidem et ipsa aenea, verum fulgore tamen ceteris praestiterunt.

§. 3. *βροντὴ δεξιά*] *βρονταὶ αἴσιοι* dicebantur I. 6, 1.

§. 4. *ἐν ἴσῳ ἕπεσθαι*] versibus paribus sequi, ita ut nemo anteiret, nemo extra ordinem sequeretur, imo omnes directam tenerent aciem.

διαμένει] Philostr. Icon. p. 100. 32 Iacobs. *καὶ τὸ σημεῖον τὸ βασίλειον ὁ χρυσοῦς ἐπὶ τῆς πέλτης ἀετός.* Anab. I. 10, 12. Dorvill. ad Charit. p. 623.

εἰς τρίς] Vid. Viger. p. 595. a. Matth. §. 578. c. f. p. 1146.

Cum iam uterque exercitus est in conspectu, obequitat Cyrus et suos excitat totiusque proelii incundi rationem docet.

5 Ἐπεὶ δὲ ἤδη προεληλύθεσαν ὡς εἴκοσι σταδίους,
ἤρχοντο ἤδη τὸ τῶν πολεμίων στράτευμα ἀντιπροσιὸν
παρορᾶν. Ὡς δ' ἐν τῷ καταφανεῖ πάντες ἀλλήλοις ἐγέ-
νοντο, καὶ ἔγνωσαν οἱ πολέμιοι πολὺ ἑκατέρωθεν ὑπερ-
φαλαγγοῦντες, στήσαντες τὴν αὐτῶν φάλαγγα, οὐ γάρ
ἔστιν ἄλλως κυκλοῦσθαι, ἐπέκαμπτον εἰς κύκλωσιν,
ὥςπερ γάμμα ἑκατέρωθεν τὴν ἑαυτῶν τάξιν ποιήσοντες,
6 ὡς πάντοθεν ἅμα μάχοιντο. Ὁ δὲ Κῦρος ὁρῶν ταῦτα
οὐδέν τι μᾶλλον ἀφίστατο, ἀλλ' ὡσαύτως ἡγεῖτο. Κα-
τανοῶν δὲ, ὡς πρόσω τὸν καμπτῆρα ἑκατέρωθεν ἐποιή-
σαντο, περὶ ὃν κάμπτοντες ἀνέτεινον τὰ κέρατα, Ἐννοεῖς,
ἔφη, ὦ Χρυσάντα, ἔνθα τὴν ἐπικαμπὴν ποιοῦνται;
Πάνυ γε, ἔφη ὁ Χρυσάντας, καὶ θαυμάζω γε· πολὺ
γάρ μοι δοκοῦσιν ἀποσπᾶν τὰ κέρατα ἀπὸ τῆς ἑαυτῶν
φάλαγγος. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, καὶ ἀπό γε

§. 5. *ἔγνωσαν – ὑπερφαλαγγοῦντες*] VII. 2, 17. *ἐπειδὰν γνῶσιν ἀπιστούμενοι.* VI. 3, 1. ubi vid. not.

ὥςπερ γάμμα ἑκατέρωθεν τὴν ἑαυτῶν τάξιν ποιήσοντες] »Lineam rectam, quam formabat *τὸ μέτωπον* sive longitudo aciei, inclinabat in angulum Croesus ex utraque aciei parte (auf beiden Flügeln), ita ut literam graecam Gamma ⌈ ⌉ haec utrimque inclinata acies adumbraret, quanquam sunt qui de antiquiore ac rotunda magis figura huius literae cogitent, de qua vid. Zennius.« Wurm. p. 12. Ea habet formam Λ in inscriptione Sig. §. 41. gram. Thiersch. h. e. talem, qualem non admittit verbi *ἑκατέρωθεν* h. l. adiectio. Cf. etiam §. 24.

§. 6. *οὐδέν τι μᾶλλον*] nihilo magis. Plat. Phaedon. §. 83. p. 137. Heind. *καὶ οὐδέν τι μᾶλλον τούτου ἕνεκα ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον.*

ὡς πρόσω τὸν καμπτῆρα – τὰ κέρατα] quam procul a media acie sua utrimque flexum facerent, circa quem flectentes extendebant cornua. Hoc modo Croesus sperabat fore, ut in cornua Persae non prius impetum facere possent, quam media acies ad eos propius accessisset. Ita tribus simul ex partibus hostem adoriri potuit, dum Persis, si missa media acie cornua tam longe remota aggredi voluissent, verendum erat, ne distractam cornibusque destitutam aciem hostium phalangi obiicerent. Quodsi minore circuitu Assyrii cornua flexissent, haec ipsa cornua Cyro adorienda et repellenda erant, antequam media Croesi acies pugnantibus appropinquasset.

Πάνυ γε – καὶ θαυμάζω γε] De his particulis vid. Matth. §. 602. p. 1207. et not. ad II. 2, 14.

τῆς ἡμετέρας. Τί δὴ τοῦτο; Δῆλον, ὅτι, ἔφη, φοβού- 7
μενοι, μή, ἢν ἐγγὺς ἡμῶν γένηται τὰ κέρατα, τῆς φά-
λαγγος ἔτι πρόσω οὔσης, ἐπιθώμεθα αὐτοῖς. Ἔπειτα,
ἔφη ὁ Χρυσάντας, πῶς δυνήσονται ὠφελεῖν οἱ ἕτεροι
τοὺς ἑτέρους, οὕτω πολὺ ἀπέχοντες ἀλλήλων; Ἀλλὰ
δῆλον, ἔφη ὁ Κῦρος, ὅτι, ἡνίκα ἂν γένωνται τὰ κέρατα
ἀναβαίνοντα κατ᾽ ἀντιπέρας τῶν πλαγίων τοῦ ἡμετέρου
στρατεύματος, στραφέντες ὡς εἰς φάλαγγα ἅμα πάντο-
θεν ἡμῖν προσίασιν, ὡς ἅμα πάντοθεν μαχούμενοι.
Οὔκουν, ἔφη ὁ Χρυσάντας, εὖ σοι δοκοῦσι βουλεύε- 8
σθαι; Πρός γε ἃ ὁρῶσι· πρὸς δέ γε ἃ οὐχ ὁρῶσιν ἔτι
κάκιον ἢ εἰ κατὰ κέρας προσῄεσαν. Ἀλλὰ σὺ μέν, ἔφη,
ὦ Ἀρσάμα, ἡγοῦ τῷ πεζῷ ἠρέμα, ὥσπερ ἐμὲ ὁρᾷς· καὶ
σύ, ὦ Χρυσάντα, ἐν ἴσῳ τούτῳ τὸ ἱππικὸν ἔχων συμ-
παρέπου. Ἐγὼ δὲ ἄπειμι ἐκεῖσε, ὅθεν μοι δοκεῖ και-
ρὸς εἶναι ἄρχεσθαι τῆς μάχης· ἅμα δὲ παριὼν ἐπισκέ-
ψομαι ἕκαστα, πῶς ἡμῖν ἔχει. Ἐπειδὰν δὲ ἐκεῖ γένω- 9
μαι, ὅταν ἤδη ὁμοῦ προσιόντες ἀλλήλοις γιγνώμεθα,

§. 7. *ἡνίκα ἂν γένωνται τὰ κέρατα*] *γένωνται* vulgato *γένηται* substituunt A. B. G. vid. ad II. 2, 2. III. 3, 26. Statim *κατ᾽ ἀντιπέραν* Vat. de quibus nonnulla notavi ad Anab. IV. 8, 3.

στραφέντες ὡς εἰς φάλαγγα – μαχούμενοι] *στραφεῖεν ὡς εἰς φάλαγγα ἅμα πάντοθεν ἡμῖν μαχούμενοι* codd. Priora illa *ἅμα πάντοθεν* magis quam posteriore loco posita displicent.

§. 8. *πρὸς δέ γε*] *γε* revocavi ex V. a Schn. omissum. Vid. ad I. 6, 26.

§. 7. *Δῆλον, ὅτι, ἔφη, φοβούμενοι*] sc. *οὕτω πρόσω τὴν ἐπικαμπὴν ποιοῦνται.*

ἡνίκα ἂν γένωνται τὰ κέρατα ἀναβαίνοντα κατ᾽ ἀντιπέρας] quando cornua ascendendo e regione fuerint. Cave enim *γένωνται ἀναβαίνοντα* coniungenda putes, quo in errore fuisse eos arbitror, qui *ἀναβάντα* scriptum habent: *ἀναβαίνοντα* dicuntur cornua, quia adhuc ad latera utriusque aciei progrediuntur, necdum locum attigerunt, unde Persarum cornibus e regione essent. Cf. ad IV. 3, 6. V. 4, 20.

στραφέντες] Per synesin intellige *οἱ πολέμιοι*, licet *τὰ τῶν πολεμίων κέρατα* antea non scriptum sit. Ad eandem dicendi rationem offenderant librarii etiam I. 5, 3. *λέγων, ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρά, καὶ συνεστηκότα εἰς τὸ αὐτό, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν*, ubi vid. not.

§. 8. *κατὰ κέρας*] longo agmine, vid. Schneid. ad Hellen. VII. 4, 23.

τούτῳ – συμπαρέπου] simul iuxta hunc sequere.

παιᾶνα ἐξάρξω, ὑμεῖς δὲ ἐπείγεσθε. Ἡνίκα δ' ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε μέν, οὐ γάρ, οἶμαι, ὀλίγος θόρυβος ἔσται, ὁρμήσεται δὲ τηνικαῦτα Ἀβραδάτας ἤδη σὺν τοῖς ἅρμασιν εἰς τοὺς ἐναντίους· οὕτω γὰρ αὐτῷ εἰρήσεται· ὑμᾶς δὲ χρὴ ἕπεσθαι ἐχομένους ὅ τι μάλιστα τῶν ἁρμάτων· οὕτω γὰρ μάλιστα τοῖς πολεμίοις τεταραγμένοις ἐπιπεσούμεθα. Παρέσομαι δὲ κἀγὼ ᾗ ἂν δύνωμαι τάχιστα διώκων τοὺς ἄνδρας, ἢν οἱ θεοὶ θέλωσι.

10 Ταῦτα εἰπὼν καὶ ξύνθημα παρεγγυήσας, ΖΕΥΣ ΣΩΤΗΡ ΚΑΙ ἩΓΕΜΩΝ, ἐπορεύετο. Μεταξὺ δὲ τῶν ἁρμάτων καὶ τῶν θωρακοφόρων διαπορευόμενος, ὁπότε προςβλέψειέ τινας τῶν ἐν ταῖς τάξεσι, τοτὲ μὲν εἶπεν ἄν, Ὦ ἄνδρες, ὡς ἡδὺ ὑμῶν τὰ πρόςωπα θεάσασθαι· τοτὲ δ' αὖ ἐν ἄλλοις ἂν ἔλεξεν, Ἆρα ἐννοεῖτε, ὦ ἄνδρες, ὅτι ὁ νῦν ἀγών ἐστιν οὐ μόνον περὶ τῆς τήμερον νίκης, ἀλλὰ καὶ περὶ τῆς πρόσθεν, ἣν νενικήκατε, καὶ περὶ πάσης εὐδαιμονίας;
11 Ἐν ἄλλοις δ' ἂν προϊὼν εἶπεν· Ὦ ἄνδρες, τὸ ἀπὸ τοῦδε οὐδέν ποτε ἔτι θεοὺς αἰτιατέον

§. 9. ἐπείγεσθε] properabitis Gabr. quoque, ἐφέπεσθε edd. vett. ἐπηχεῖτε antiquius esse suspiceris cll. §. 25. III. 3, 58. τοῖς πολεμίοις τεταραγμένοις] Adverte scripturam Vat. τῶν πολεμίων τεταραγμένων.

§. 10. τοτὲ δ' αὖ ἐν ἄλλοις ἂν ἔλεξεν] τοτὲ δ' αὖ ἐν ἄλλοισιν ἔλεξεν Vat. ut aliis arrideat, mihi non item. Vid. ad Anab. I. 4, 18. Libentius καί post ἀλλά in aliquot codd. omissum amplectar, quod I. 6, 16. exeunt. factum.

§. 9. αἰσθήσεσθε μέν] sc. ἡμᾶς τοῖς πολεμίοις ἐπιχειροῦντας. Sensus enim totius loci hic est: **impetum nos facere in hostes cum ex ingenti tumultu, quem consternati et fugientes hostes concitabunt, tum ex Abradatae impetu cognoscetis.** Scriptor sine dubio dilucidior futurus erat, si dedisset αἰσθήσεσθε μὲν ἄλλου θορύβου, οὐ γάρ, οἶμαι, ὀλίγος ἔσται, ὁρμήσεται δέ etc.

§. 10. ξύνθημα] Alia tessera III. 3, 58. militibus tradebatur. τοτὲ μὲν εἶπεν ἄν] Usum hunc ἄν particulae vide illustratum a **Matth.** §. 599. p. 1198. **Buttm.** §. 139. not. 5. edit. 12. **Bremio** ad Lys. Purgat. p. 46. In alloquiis, quae subiiciuntur, Homericum locum Iliad. IV. 233 sqq. Xenophonti ob oculos versatum esse statuit etiam **Heynius** l. l.

ἔσται· παραδεδώκασι γὰρ ἡμῖν πολλά τε καὶ ἀγαθὰ κτή-
σασθαι. Ἀλλ᾽, ὦ ἄνδρες, ἀγαθοὶ γενώμεθα. Κατ᾽ ἄλ- 12
λους δ᾽ αὖ τοιάδε, Ὦ ἄνδρες, εἰς τίνα ποτ᾽ ἂν καλ-
λίονα ἔρανον ἀλλήλους παρακαλέσαιμεν ἢ εἰς τόνδε;
Νῦν γὰρ ἔξεστιν ἀγαθοῖς ἀνδράσι γενομένοις πολλὰ κἀ-
γαθὰ ἀλλήλοις εἰςενεγκεῖν. Κατ᾽ ἄλλους δ᾽ αὖ, Ἐπί- 13
στασθε μέν, οἶμαι, ὦ ἄνδρες, ὅτι νῦν ἆθλα πρόκειται
τοῖς νικῶσι μὲν διώκειν, παίειν, κατακαίνειν, ἀγαθὰ
ἔχειν, καλὰ ἀκούειν, ἐλευθέροις εἶναι, ἄρχειν· τοῖς δὲ
κακοῖς δῆλον ὅτι τἀναντία τούτων. Ὅςτις οὖν αὑτὸν
φιλεῖ, μετ᾽ ἐμοῦ μαχέσθω· ἐγὼ γὰρ κακὸν οὐδὲν οὐδ᾽ αἰ-
σχρὸν ἑκὼν εἶναι προςήσομαι. Ὁπότε δ᾽ αὖ γένοιτο 14
κατά τινας τῶν πρόσθεν συμμαχεσαμένων, εἶπεν ἄν,
Πρὸς δὲ ὑμᾶς, ὦ ἄνδρες, τί δεῖ λέγειν; ἐπίστασθε γάρ,
οἵαν τε οἱ ἀγαθοὶ ἐν ταῖς μάχαις ἡμέραν ἄγουσι, καὶ
οἵαν οἱ κακοί.

Ὡς δὲ παριὼν κατὰ Ἀβραδάταν ἐγένετο, ἔστη· καὶ 15
ὁ Ἀβραδάτας παραδοὺς τῷ ὑφηνιόχῳ τὰς ἡνίας προςῆλ-
θεν αὐτῷ· προςέδραμον δὲ καὶ ἄλλοι τῶν πλησίον τε-
ταγμένων καὶ πεζῶν καὶ ἁμαρτηλατῶν. Ὁ δ᾽ αὖ Κῦρος
ἐν τοῖς παραγεγενημένοις ἔλεξε· Ὁ μὲν θεός, ὦ Ἀβρα-
δάτα, ὥςπερ σὺ ἠξίους, συνηξίωσε σὲ καὶ τοὺς σὺν
σοὶ πρωτοστάτας εἶναι τῶν συμμάχων· σὺ δὲ τοῦτο μέ-
μνησο, ὅταν δέῃ σε ἤδη ἀγωνίζεσθαι, ὅτι Πέρσαι οἵ τε
θεασόμενοι ὑμᾶς ἔσονται, καὶ οἱ ἑψόμενοι ὑμῖν, καὶ
οὐκ ἐάσοντες ἐρήμους ὑμᾶς ἀγωνίζεσθαι. Καὶ ὁ Ἀβρα- 16

§. 15. *συνηξίωσε σὲ καὶ*] Iubente cod. M. recipiendum *συνηξίωσε σέ τε καί.*

§. 11. *πολλά τε καὶ ἀγαθά*] IV. 2, 28. *πολλά τε καὶ παντοδαπὰ καὶ ἄλλα.* Contra paulo post §. 12. *πολλὰ κἀγαθά* scriptum est, cum neutrum fuerit inusitatum. Matth. §. 444. 4.

§. 14. *συμμαχεσαμένων*] *συμμεμαχεσμένων* a Zeunio admissum improbant grammatici, Buttmann. gr. max. T. II. p. 185. Matth. §. 243.

οἵαν τε — ἡμέραν ἄγουσι] qualem diem celebrent, qualem sibi felicitatem pariant. Frequentior est dicendi formula *ἑορτὴν ἄγειν.*

§. 15. *τῷ ὑφηνιόχῳ*] Cf. VI. 4, 4. §. 10. Paulo post in his *Ὁ μὲν θεός* etc. memineris oportet VI. 3, 36. Abradatam sorte quem occupaverat locum nactum esse.

δάτας εἶπεν, Ἀλλὰ τὰ μὲν καθ' ἡμᾶς ἔμοιγε δοκεῖ, ὦ Κῦρε, καλῶς ἔχειν· ἀλλὰ τὰ πλάγια λυπεῖ με, ὅτι τὰ μὲν πλάγια τῶν πολεμίων κέρατα ἰσχυρὰ ὁρῶ ἀνατεινόμενα καὶ ἅρμασι καὶ παντοδαπῇ στρατιᾷ· ἡμέτερον δ' οὐδὲν ἄλλο αὐτοῖς ἀντιτέτακται ἢ ἅρματα· ὥστ' ἔγωγ', ἔφη, εἰ μὴ ἔλαχον τήνδε τὴν τάξιν, ᾐσχυνόμην ἂν ἐνθάδε ὤν· οὕτω πολύ μοι δοκῶ ἐν ἀσφαλεστάτῳ εἶναι.

17 Καὶ ὁ Κῦρος εἶπεν, Ἀλλ' εἰ τὰ παρὰ σοὶ καλῶς ἔχει, θάῤῥει ὑπὲρ ἐκείνων· ἐγὼ γάρ σοι σὺν θεοῖς ἔρημα τῶν πολεμίων τὰ πλάγια ταῦτα ἀποδείξω. Καὶ σὺ μὴ πρότερον ἔμβαλλε τοῖς πολεμίοις, διαμαρτύρομαι, πρὶν ἂν φεύγοντας τούτους, οὓς νῦν φοβῇ, θεάσῃ· τοιαῦτα δ' ἐμεγαληγόρει, μελλούσης τῆς μάχης γίγνεσθαι· ἄλλως δ' οὐ μάλα μεγαληγόρος ἦν· ὅταν μέντοι ἴδῃς, ἔφη, τούτους φεύγοντας, ἐμέ τε ἤδη παρεῖναι νόμιζε, καὶ ὅρμα εἰς τοὺς ἄνδρας· καὶ σὺ γὰρ τότε τοῖς μὲν ἐναντίοις κακίστοις ἂν χρήσαιο, τοῖς δὲ μετὰ σαυτοῦ ἀρί-

§. 16. τὰ μὲν πλάγια τῶν πολεμίων κέρατα] Maxime suspectum illud πλάγια, cum τὰ κέρατα per se intelligatur cornua hostium esse contra Persicae aciei latera instructorum. Neutrum tamen in optimis libris deest.

§. 17. ἔμβαλλε] Mirum quod in ἔμβαλε boni libri consentiunt; certe soloecum esse non putem, quo poetae passim usi sunt. Matth. §. 511. 3. p. 972. Bremi Excurs. ad Lys. p. 452 sqq.

§. 16. τὰ πλάγια] De Persicae aciei lateribus, ut τὰ καθ' ἡμᾶς antea de eiusdem fronte intellige.

ᾐσχυνόμην ἂν ἐνθάδε ὤν] erubescerem hic in fronte esse, praeferremque locum in cornibus, qui mihi periculosior videtur.

πολὺ – ἐν ἀσφαλεστάτῳ] Comparativo ἀσφαλεστέρῳ, quem scriptum maluit Heindorf., Abradatas non utitur, quia locum in fronte a se occupatum non modo tutiorem, quam alterum illum in cornu, sed etiam reliquorum omnium opinatur longe tutissimum esse. Cf. Hermann. ad Viger. p. 718. Cui superlativo quoties vel πολὺ vel aliud vocabulum ad notionis vim augendam Graeci addiderint, ostendunt exempla a Matth. §. 461. collecta.

§. 17. οὐ μάλα μεγαληγόρος ἦν] minime gloriosus erat. Gabr. recte; ita enim, quod non fugit Weiskium, vult sermo Atticus. Laudat Cyri factum Aristides Rhetor T. II. p. 389. Iebb. addita causa hac: ἐὰν γὰρ ἐξέλῃς τὸ κέντρον ἐκ τῆς ψυχῆς, ἀνῄρηκας τὸ τῆς ἀνδρείας ἐφόδιον.

κακίστοις] quippe fuga suorum in cornibus stantium perterrefactis. – ἀρίστοις, eadem fuga hostium ad spem victoriae erectis.

σταις. Ἀλλ' ἕως ἔτι σοι σχολή, ὦ Ἀβραδάτα, πάντως 18
παρελάσας παρὰ τὰ σαυτοῦ ἅρματα παρακάλει τοὺς σὺν
σοὶ εἰς τὴν ἐμβολήν, τῷ μὲν προσώπῳ παραθαρσύνων,
ταῖς δ' ἐλπίσιν ἐπικουφίζων. Ὅπως δὲ κράτιστοι φα-
νεῖσθε τῶν ἐπὶ τοῖς ἅρμασι, φιλονεικίαν αὐτοῖς ἔμβαλλε·
καὶ γάρ, εὖ ἴσθι, ἢν τάδε εὖ γένηται, πάντες ἐροῦσι
τὸ λοιπὸν μηδὲν εἶναι κερδαλεώτερον ἀρετῆς. Ὁ μὲν
δὴ Ἀβραδάτας ἀναβὰς παρήλαυνε καὶ ταῦτα ἐποίει.

Ὁ δ' αὖ Κῦρος παριὼν ὡς ἐγένετο πρὸς τῷ εὐω- 19
νύμῳ, ἔνθα ὁ Ὑστάσπης τοὺς ἡμίσεις ἔχων ἦν τῶν Περ-
σῶν ἱππέων, ὀνομάσας αὐτὸν εἶπεν, Ὦ Ὑστάσπα, νῦν
ὁρᾷς ἔργον τῆς σῆς ταχυεργίας· νῦν γάρ, εἰ φθάσομεν
τοὺς πολεμίους κατακαίνοντες, οὐδεὶς ἡμῶν ἀποθανεῖ-
ται. Καὶ ὁ Ὑστάσπης ἐπιγελάσας εἶπεν, Ἀλλὰ περὶ 20
μὲν τῶν ἐξ ἐναντίας ἡμῖν μελήσει· τοὺς δ' ἐκ πλαγίου σὺ
ἄλλοις πρόσταξον, ὅπως μηδ' οὗτοι σχολάζωσι. Καὶ

§. 18. ἕως ἔτι] M. V. alii pro ἕως ἐστί dederunt, dabuntque eo plures, opinor, quo diligentius conferantur.

φανεῖσθε] Hoc propius accedit ad vulgatum φανῆσθε quam φανῆτε. Mox post τάδε interpositum εὖ in edd. vett. deerat.

§. 19. εἰ φθάσομεν – κατακαίνοντες] κατακανόντες maluit Fischer. invitis codd. Cf. ad Anab. I. 6, 2. ἢν φθάσωμεν edd. vett.

§. 18. παρελάσας παρὰ τὰ σαυτοῦ ἅρματα παρακάλει] Concursus hic praepositionum tantum abest ut a Graecis evitetur, ut interdum studiose quaesitus esse videatur. VI. 4, 11. καὶ κατακλίναντες κατεκάλυψαν. Memor. III. 7, 3. ἐν ποίῳ ἔργῳ καταμαθὼν ταῦτά μου καταγιγνώσκεις; Cyr. I. 2, 12. διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Adde not. ad III. 3, 31.

ἢν τάδε εὖ γένηται, πάντες – ἀρετῆς] i. e. si hoc contigerit, nempe ut aemulationis studium tuis iniicias, omnes fortiter pugnabunt, atque in posterum fatebuntur nihil virtute fructuosius esse. Schneidero contra placent reddentes: post hanc victoriam vestro imprimis exemplo reliqui abhinc omnes edocti nihil virtute utilius esse credent. Sed dubitatio aliqua Cyri de victoria, quae in verbis illis ἢν τάδε εὖ γένηται inesset, vereor ne Cyri magniloquentiae parum conveniat. Praeterea si de victoria haec ἢν τάδε εὖ γένηται accipiamus, Cyrum abrupte satis loqui non diffitendum est.

§. 19. εἰ φθάσομεν – ἀποθανεῖται] »si prius, inquit, nos istos trucidaverimus, ex nobis cadet nemo. locus est simplicis affirmationis de re certa. Cui non dissimilis alter paulo post ad curruum agitatores §. 21., tutiore eos fore in loco, si perruperint invehendo.« Camerar.

§. 20. τοὺς δ' ἐκ πλαγίου σὺ ἄλλοις πρόσταξον, – σχολάζωσι]

ὁ Κῦρος εἶπεν, Ἀλλ' ἐπί γε τούτους ἐγὼ αὐτὸς παρέρχομαι· ἀλλ', ὦ Ὑστάσπα, τόδε μέμνησο, ὅτῳ ἂν ἡμῶν ὁ θεὸς νίκην διδῷ, ἤν τί που μένῃ πολέμιον, πρὸς τὸ
21 μαχούμενον ἀεὶ συμβάλλωμεν. Ταῦτα εἰπὼν προῄει. Ἐπεὶ δὲ κατὰ τὸ πλευρὸν παριὼν ἐγένετο καὶ κατὰ τὸν ἄρχοντα τῶν ταύτῃ ἁρμάτων, πρὸς τοῦτον ἔλεξεν, Ἐγὼ δ' ἐπέρχομαι ὑμῖν ἐπικουρήσων· ἀλλ' ὁπόταν αἴσθησθε ἡμᾶς ἐπιτιθεμένους κατ' ἄκρον, τότε καὶ ὑμεῖς πειρᾶσθε ἅμα διὰ τῶν πολεμίων ἐλαύνειν· πολὺ γὰρ ἐν ἀσφαλεστέρῳ ἔσεσθε ἔξω γενόμενοι ἢ ἔνδον ἀπολαμβανόμενοι.
22 Ἐπεὶ δ' αὖ παριὼν ἐγένετο ὄπισθεν τῶν ἁρμαμαξῶν, Ἀρταγέρσαν μὲν καὶ Φαρνοῦχον ἐκέλευσεν, ἔχοντας τήν τε τῶν πεζῶν χιλιοστὺν καὶ τὴν τῶν ἱππέων, μένειν αὐτοῦ. Ἐπειδὰν δέ, ἔφη, αἰσθάνησθε ἐμοῦ ἐπιτιθεμένου τοῖς κατὰ τὸ δεξιὸν κέρας, τότε καὶ ὑμεῖς τοῖς καθ' ὑμᾶς ἐπιχειρεῖτε· μαχεῖσθε δ', ἔφη, πρὸς κέρας, ᾗπερ ἀσθενέστερον στράτευμα γίγνεται, φάλαγγα ἔχοντες, ᾗπερ ἰσχυρότεροι ἂν εἴητε. Καὶ εἰσὶ μέν, ὡς ὁρᾶτε, τῶν

§. 20. *μαχούμενον*] Debetur Vat. *μαχόμενον* ceteris.

§. 22. *ᾗπερ – ᾗπερ*] Dedit Schneid. *ὥςπερ – ὥςπερ* et *ᾧπερ – ᾧπερ* alii. Voculam *δ'* post *φάλαγγα* cum G. delevi.

qui sunt a lateribus, hos tu aliis committe, ut neque isti vacent. Gabr. Non minus iocatur Hystaspas quam antea Cyrus et *προςτάττειν* adhibendo, quasi hostes Cyri arbitrio subiecti essent, et *σχολάζειν*, quamvis ingens hostium multitudo esset, qui habere non videbantur quibuscum pugnarent.

πρὸς τὸ μαχούμενον ἀεί] Adverbium iunge cum participio ea qua dixi significatione ad §. 1. Demosth. Or. de Rhod. lib. p. 196. v. 29. *δεῖ γὰρ τοὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι τὰ βέλτιστα βουλευομένους.* Contra Mid. p. 572. v. 7. *ὑμεῖς οἱ δικάζοντες ἀεί.* Aeschyl. Prometh. 973. ed. Blomf. *θῶπτε τὸν κρατοῦντ' ἀεί.* Thucyd. I. 21. *τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων.* Cf. observat. ad V. 3, 45.

§. 21. *κατ' ἄκρον*] Explicatur in extrema parte cornu hostilis, *τοῖς κατὰ τὸ δεξιὸν κέρας* §. 22. Certe Hellen. VI. 2, 21. *τὸ ἄκρον τῆς φάλαγγος* appellantur iidem, qui §. 20. *οἱ ἔσχατοι.* Cf. infra cap. 5, 3.

πολὺ γὰρ ἐν ἀσφαλεστέρῳ] Similiter alibi adverbia traiici solere me observare memini ad I. 6, 39. VI. 4, 8. 2, 20. VII. 1, 16.

§. 22. *ὄπισθεν τῶν ἁρμαμαξῶν*] αἳ ἄγουσι τὰς γυναῖκας secundum VI. 3, 30. Cf. ad III. 1, 8.

μαχεῖσθε δ', ἔφη, πρὸς κέρας, ᾗπερ – ἂν εἴητε] *μάχεσθαι πρὸς κέρας φάλαγγα ἔχοντα* videtur

πολεμίων ἱππεῖς οἱ ἔσχατοι· πάντως δὲ πρόετε πρὸς αὐτοὺς τὴν τῶν καμήλων τάξιν, καὶ εὖ ἴστε, ὅτι καὶ πρὶν μάχεσθαι γελοίους τοὺς πολεμίους θεάσεσθε.

Croesus tribus phalangibus invadit Cyri aciem, sed eius utrumque cornu primo impetu fugatur.

Ὁ μὲν δὴ Κῦρος ταῦτα διαπραξάμενος ἐπὶ τὸ δεξιὸν παρήει· ὁ δὲ Κροῖσος, νομίσας ἤδη ἐγγύτερον εἶναι τῶν πολεμίων τὴν φάλαγγα, σὺν ᾗ αὐτὸς ἐπορεύετο, ᾖ τὰ ἐπανατεινόμενα κέρατα, ἦρε τοῖς κέρασι σημεῖον μηκέτι ἄνω πορεύεσθαι, ἀλλ' αὐτοῦ ἐν χώρᾳ στραφῆναι. Ὡς δ' ἔστησαν ἀντία πρὸς τὸ τοῦ Κύρου στράτευμα ὁρῶντες, ἐσήμηνεν αὐτοῖς πορεύεσθαι πρὸς τοὺς πολεμίους. 23
Καὶ οὕτω δὴ προςήεσαν τρεῖς φάλαγγες ἐπὶ τὸ Κύρου στράτευμα· ἡ μὲν μία κατὰ πρόσωπον· τὼ δὲ δύο, ἡ μὲν κατὰ τὸ δεξιόν, ἡ δὲ κατὰ τὸ εὐώνυμον· ὥςτε πολὺν φόβον παρεῖναι πάσῃ τῇ Κύρου στρατιᾷ. Ὥς- 24

§. 23. ἄνω πορεύεσθαι] ἄνωθεν πορεύεσθαι recipere non dubitassem, nisi et Lobeckium ad Phryn. p. 128. et Erfurdtium ad Soph. Antig. 517. ab Hermanno et Schaef. ad Demosth. Apparat. T. I. p. 249. refutatum vidissem. Corruptelae etiam suspecta sunt verba de Vectig. II. 7. τῆς Ἀθήνηθεν μετοικίας ὀρέγοιντο. Fortasse in Cyr. ἀνωτέρω aliquando scriptum fuit.
ἔστησαν ἀντία] ἔστησαν πάντες alii. Non male haberet scriptura ἔστησαν πάντες ἀντία.

cognatum esse cum §. 26. φάλαγγι κατὰ κέρας προςβάλλειν, i. e. phalangem s. aciem instructam in cornu s. a latere invadere et contra hanc aciei partem pugnare. Itidem intelligendus locus Arrian. Exp. Alex. I. 6, 22. οἱ δὲ ἀπροςδόκητοί τε ἐπιπεσόντες καὶ φάλαγγι κατὰ κέρας, ᾗπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτῃ ἐμβολῇ προςμίξειν ἔμελλον et c. 13. §. 7. Pugnabitis autem, inquit Cyrus, a latere hostes adorti, qua ratione exercitus quivis imbecillior est, cum phalange, qua ratione validiores eritis, vel propterea, quod phalanx cornibus suis defenditur, quibus cornu obliquum idque extremum non potest non destitutum esse.

§. 23. αὐτοῦ ἐν χώρᾳ] Sic ἐνθάδ' αὐτοῦ dixit Sophocl. Oed. Col. 78. ed. Reis. sed nolo augere quae simillimi coloris indicavi ad V. 4, 34. VII. 3, 5.

§. 24. τὼ δὲ δύο] Quotidianae dictioni assueti et τῶν δὲ δύο et τὰ δὲ δύο reposuerunt librarii, contra quam veterum consuetudo Atticorum voluit, cuius mentio iniecta est ad p. 1. sq. p. 18. Matth. §. 281. p. 570.

πέρ γὰρ μικρὸν πλινθίον ἐν μεγάλῳ τεθέν, οὕτω καὶ
τὸ Κύρου στράτευμα πάντοθεν περιείχετο ὑπὸ τῶν πο-
λεμίων, καὶ ἱππεῦσι, καὶ ὁπλίταις, καὶ πελτοφόροις,
25 καὶ τοξόταις, καὶ ἅρμασι, πλὴν ἐξόπισθεν. Ὅμως δὲ
ὁ Κῦρος ἐπεὶ παρήγγειλεν, ἐστράφησαν πάντες ἀντι-
πρόςωποι τοῖς πολεμίοις· καὶ ἦν μὲν πολλὴ πανταχόθεν
σιγὴ ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν· ἡνίκα δὲ ἔδοξε τῷ Κύ-
ρῳ καιρὸς εἶναι, ἐξῆρχε παιᾶνα, συνεπήχησε δὲ πᾶς ὁ
26 στρατός. Μετὰ δὲ τοῦτο Ἐνυαλίῳ τε ἅμα ἐπηλάλαξαν,
καὶ ἐξανίσταται ὁ Κῦρος, καὶ εὐθὺς μετὰ τῶν ἱππέων,
λαβὼν πλαγίους τοὺς πολεμίους, ὁμόσε αὐτοῖς τὴν τα-
χίστην συνεμίγνυεν· οἱ δὲ πεζοὶ αὐτῷ συντεταγμένοι τα-
χὺ ἐφείποντο, καὶ περιεπτύσσοντο ἔνθεν καὶ ἔνθεν,
ὥςτε πολὺ ἐπλεονέκτει. Φάλαγγι γὰρ κατὰ κέρας προς-
έβαλλεν· ὥςτε ταχὺ ἰσχυρὰ φυγὴ ἐγένετο τοῖς πολεμίοις.
27 Ὡς δ' ᾔσθετο ὁ Ἀρταγέρσης ἐν ἔργῳ ὄντα τὸν Κῦ-
ρον, ἐπιτίθεται καὶ αὐτὸς κατὰ τὰ εὐώνυμα, προεὶς
τὰς καμήλους, ὥςπερ Κῦρος ἐκέλευσεν. Οἱ δὲ ἵπποι

§. 26. Ἐνυαλίῳ τε] τε cum Alt. omiserat Schneid. primus.

μικρὸν πλινθίον] Addito adiectivo *μικρόν* melius sibi constat oppositio, quam facit seq. *μεγάλῳ*. Reperiuntur tamen talia etiam sine oppositione, imprimis apud Latinos frequentata. VIII. 3, 38. *μάλα μικρὸν γήδιον*. Sueton. auctore Augustus c. 76. pisciculos minutos amavit, Cato minutas interrogatiunculas apud Cic. Parad. p. 169. ed. Gernh.

§. 25. *Ὅμως δέ*] i. e. Quanquam Cyri exercitus non sine metu atque undique ab Assyriis cinctus erat, tamen etc. Frigeret contra *Ὁμοίως δέ*.

§. 26. *Ἐνυαλίῳ*] Paeane finito Enyalium fere cantabant, illum, ut suspicantur, in Apollinis et Dianae honorem, ut in proelium ituris dii auxilio essent, hunc ad Martem celebrandum, qui pavorem hostibus iniiceret. Dissentiunt tamen ea de re et veteres et recentiores, idque eo magis, quod Enyalii cognomen praeter Martem aliis etiam diis, ut Pani, adscribebatur. Vid. interprett. ad Aristoph. Pac. 459. Creuzer Symbol. et Mythol. T. III. p. 331 sq. ed. 2. cll. T. II. p. 610. et O. Mueller. Dor. I. p. 298.

τῷ Ἐνυαλίῳ τε ἅμα ἐπηλάλαξαν, καί] Anab. V. 2, 14. *ἐπεὶ δ' ἐπαιάνισαν, καὶ ἡ σάλπιγξ ἐφθέγξατο, ἅμα τε τῷ Ἐνυαλίῳ ἠλάλαξαν καὶ ἔθεον δρόμῳ οἱ ὁπλῖται* docui Xenophontem etiam *τὲ ἅμα – καί* iunxisse, ut ibid. VII. 1, 7. *ὡς ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων*. Memor. IV. 2, 33. *καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη*.

Φάλαγγι γὰρ κατὰ κέρας προςέβαλλεν] i. e. Cyri milites *ἐπετίθεντο ἀθρόοι τοῖς ἐσχάτοις*.

αὐτὰς ἐκ πάνυ πολλοῦ οὐκ ἐδέχοντο, ἀλλ' οἱ μὲν ἔκ-
φρονες γιγνόμενοι ἔφευγον, οἱ δὲ ἐξήλλοντο, οἱ δ' ἐνέ-
πιπτον ἀλλήλοις. Τοιαῦτα γὰρ πάσχουσιν ἵπποι ὑπὸ
καμήλων. Ὁ δὲ Ἀρταγέρσης, συντεταγμένους ἔχων 28
τοὺς μεθ' ἑαυτοῦ, ταραττομένοις ἐπέκειτο· καὶ τὰ ἅρ-
ματα δὲ τά τε κατὰ τὸ δεξιὸν καὶ τὸ εὐώνυμον ἅμα ἐνέ-
βαλλε. Καὶ πολλοὶ μὲν τὰ ἅρματα φεύγοντες ὑπὸ τῶν
κατὰ κέρας ἑπομένων ἀπέθνησκον, πολλοὶ δὲ τούτους
φεύγοντες ὑπὸ τῶν ἁρμάτων ἡλίσκοντο.

Abradatas hostes incurrit, et cum nonnullis suorum cadit. Aegyptiorum globus cum fortiter resistit, pedem referunt Persae.

Καὶ ὁ Ἀβραδάτας δὲ οὐκέτι ἔμελλεν, ἀλλ' ἀναβοή- 29
σας, Ἄνδρες φίλοι, ἕπεσθε, ἐνίει οὐδὲν φειδόμενος τῶν
ἵππων, ἀλλὰ ἰσχυρῶς ἐξαιμάττων τῷ κέντρῳ. Συνεξώρ-

§. 28. ἐπέκειτο] τεταγμένος additum habet Zeun. male.
τά τε κατὰ] τά τε qui omitti, quam qui adiici potuerit, facilius perspicitur.
§. 29. ἀλλ' ἀναβοήσας, Ἄνδρες – ἀλλὰ ἰσχυρῶς ἐξαιμάττων τῷ κέντρῳ] ἀλλὰ ἰσχυρῶς ἀναβοήσας, Ἄνδρες – ἀλλὰ ἐξαιμάττων κατὰ πολὺ τῷ κέντρῳ Schneid. Formula tamen illa κατὰ πολὺ saepe comparet in scholiis vetustis, ut post Aristoph. Plut. ed. Hemst. et Schaef. p. 515. ὡς πολὺ] Gl. λίαν, (comma enim necessarium) καταπολύ. Schol. ad Aeschyl. Prom. vinct. v. 167. ed. Schuetz. etc.

quibus ἐπ' ὀκτὼ τεταγμένοις visum est ἀσθενὲς τὸ ἄκρον τῆς φάλαγγος ἔχειν Hellen. VI. 2, 20 sq. Vid. ad §. 22.
§. 27. Τοιοῦτα γὰρ πάσχουσιν] Herodt. VII. 87. Ἀράβιοι δὲ ἔσχατοι ἐπετετάχατο· ἅτε γὰρ τῶν ἵππων οὔτι ἀνεχομένων τὰς καμήλους ὕστεροι ἐτετάχατο, ἵνα μὴ φοβέοιτο τὸ ἱππικόν, quem ad locum provocare debebat Wesseling. ad eiusdem verba I. 80. Ἀχρεῖον τὸ ἱππικὸν ἀπέφηνε Κῦρος, προτάξας τῶν ἱππικῶν ὁπλιτῶν καμήλους πολλάς· ἵππος δὲ κάμηλον φεύγει καὶ τὴν ὄψιν καὶ τὴν ὀδμήν. Eandem rem confirmarunt aliorum scriptorum loci haud pauci, sed negantibus recentioribus, in iisque Mureto ad VI. 2, 18. Nimirum, quod sciam, non verentur equi camelos, ubi eorum adspectui adsueverunt, sin minus, terrentur utique. Certe hisce vidi oculis generosum aliquem equum camelo primum conspecto ab equisone non potuisse permoveri, ut iumentum sarcinarium, quod adstabat, praeterequitaret. Omnino quis equum nesciat omnium animalium maxime pavescere?
§. 28. καὶ τὸ εὐώνυμον] Plenior dicendi ratio fuerat καὶ τὰ κατὰ τὸ εὐώνυμον. Matth. §. 626. p. 1277 sq.
τῶν κατὰ κέρας ἑπομένων] ab iis, qui a latere eos adorti in fuga sequebantur. §. 22. §. 26.
§. 29. ἐνίει] »Legendum puto τὸν ἵππον, ut sit sensus ἐνίει τὸν ἵππον, οὐδὲν φειδόμενος

μησαν δὲ καὶ οἱ ἄλλοι ἁρματηλάται· καὶ τὰ μὲν ἅρματα ἔφευγεν αὐτοὺς εὐθύς, τὰ μὲν καὶ ἀναλαβόντα τοὺς πα-
30 ραιβάτας, τὰ δὲ καὶ ἀπολιπόντα. Ὁ δὲ Ἀβραδάτας ἀντικρὺ δι᾽ αὐτῶν εἰς τὴν τῶν Αἰγυπτίων φάλαγγα ἐμβάλλει· συνεισέβαλον δὲ αὐτῷ καὶ οἱ ἐγγύτατα τεταγμένοι. Πολλαχοῦ μὲν οὖν καὶ ἄλλοθι δῆλον, ὡς οὐκ ἔστιν ἰσχυροτέρα φάλαγξ, ἢ ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ, καὶ ἐν τούτῳ δὲ ἐδήλωσεν. Οἱ μὲν γὰρ ἑταῖ-

§. 30. εἰς τὴν τῶν Αἰγυπτίων φάλαγγα ἐμβάλλει] Non temere commemorandam censeo scripturam Vat. εἰς τὴν τῶν πολεμίων φάλαγγα ἐμβάλλει τὴν τῶν Αἰγυπτίων.

αὐτοῦ.« Stephani huic sententiae non obsequutus est Zeunius Gabrielii exemplo vertentis sese in hostes intulit pronomine ἑαυτόν intellecto. Similiter certe Hellen. II. 4, 32. ex codicibus nuper receptum est παρήγγειλε τοὺς ἱππέας ἐλαύνειν ἐς αὐτοὺς ἐνέντας, atque ἀνιέναι neutrali significatione quam frequens sit, scire volentem docebit Bast. epist. p. 170.

τοὺς παραιβάτας] Quam libri veteres scripturam exhibent παραβάτας, prosariorum, sed poetarum esse illam iudicat Wesseling. ad Diodor. XII. 70. p. 527. Bip., alteram vetustiorem, commendabiliorem alteram a multitudine testium nuncupante Lobeckio ad Phryn. p. 698 sq. De re cf. not. ad VI. 1, 27.

§. 30. ἀντικρὺ δι᾽ αὐτῶν] Explicant recta s. penitus per currus hostiles, at hoc est ἄντικρυς δι᾽ αὐτῶν, si quidem veram alterius utrius vocabuli differentiam posuit Lobeck. ad Phryn. p. 444.

ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ] Conviv. VIII. 32. Καίτοι Παυσανίας γε – εἴρηκεν, ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο ἐκ παιδικῶν τε καὶ ἐραστῶν. Subiiciuntur ibidem complura in eundem finem disputata, aliisque locis similibus ab interpretibus illustrata edit. meae p. 208 sqq.

καὶ ἐν τούτῳ δὲ ἐδήλωσεν] Bene habere καὶ – δέ particulas post μέν collocatas apparet ex not. ad V. 4, 44. Praeterea ad ἐδήλωσεν fuit qui φάλαγξ suppleret hunc in modum: καὶ ἐν τούτῳ δὲ φάλαγξ ἐδήλωσεν, ὡς οὐκ ἔστιν ἰσχυροτέρα, ἢ ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ vel οὐκ ἰσχυροτέρα οὖσα ἢ ὅταν. Simplicius est haud dubie neutrali significatione et indefinite accipi: aber auch bei dieser Gelegenheit zeigte es sich. Sic usurpatur δείξει Plat. Phileb. p. 139. Stallb. Τάχα οὐχ ἧττον δείξει. Demosth. de male gest. legat. p. 390. v. 20. οἵτινες δ᾽ οἱ τούτων μετεσχηκότες αὐτὸ δηλώσει, ubi singularem αὐτό defendens Schaeferus αὐτὰ δηλώσει, nisi ubi τὰ πράγματα additum sit, usquam dici negat, qui nescio an corrupta vel deterrimae graecitatis esse statuerit Epp. Socratt. 3. Τὰ γὰρ ἐκεῖ κεκίνηται μὲν ἤδη, οὔπω δ᾽ ἐστὶ φανερά. Οἶμαι μέντοι οὐ πολλοῦ αὐτὰ δηλώσειν χρόνου. Cf. Buttm. §.

ροί τε αὐτοῦ καὶ ὁμοτράπεζοι συνεισέβαλον· οἱ δὲ ἄλλοι
ἡνίοχοι ὡς εἶδον ὑπομένοντας πολλῷ στίφει τοὺς Αἰγυ-
πτίους, ἐξέκλιναν κατὰ τὰ φεύγοντα ἅρματα, καὶ τού-
τοις ἐφείποντο. Οἱ δὲ ἀμφὶ Ἀβραδάταν, ᾗ μὲν ἐνέβα- 31
λον, ἅτε οὐ δυναμένων διαχάσασθαι τῶν Αἰγυπτίων
διὰ τὸ μένειν τοὺς ἔνθεν καὶ ἔνθεν αὐτῶν, τοὺς μὲν ὀρ-
θοὺς τῇ ῥύμῃ τῇ τῶν ἵππων παίοντες ἀνέτρεπον, τοὺς
δὲ πίπτοντας κατηλόων, καὶ αὐτοὺς καὶ ὅπλα, καὶ ἵπ-
ποις καὶ τροχοῖς. Ὅτου δ' ἐπιλάβοιτο τὰ δρέπανα,
πάντα βίᾳ διεκόπτετο, καὶ ὅπλα καὶ σώματα. Ἐν δὲ 32
τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ, ὑπὸ τῶν παντοδαπῶν σω-
ρευμάτων ἐξαλλομένων τῶν τροχῶν, ἐκπίπτει ὁ Ἀβρα-
δάτας, καὶ ἄλλοι δὲ τῶν συνεισβαλόντων· καὶ οὗτοι μὲν
ἐνταῦθα, ἄνδρες ἀγαθοὶ γενόμενοι, κατεκόπησαν καὶ
ἀπέθανον· οἱ δὲ Πέρσαι συνεπισπόμενοι, ᾗ μὲν ὁ Ἀβρα-
δάτας ἐνέβαλε καὶ οἱ σὺν αὐτῷ, ταύτῃ συνεισπεσόντες
τεταραγμένους ἐφόνευον· ᾗ δὲ ἀπαθεῖς ἐγένοντο οἱ Αἰ-
γύπτιοι, πολλοὶ δὲ οὗτοι ἦσαν, ἐχώρουν ἐναντίοι τοῖς
Πέρσαις.

Ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν 33
καὶ μαχαιρῶν· ἐπλεονέκτουν μέντοι οἱ Αἰγύπτιοι καὶ
πλήθει καὶ τοῖς ὅπλοις. Τά τε γὰρ δόρατα ἰσχυρά τε
καὶ μακρά, ἃ ἔτι καὶ νῦν ἔχουσιν, αἵ τε ἀσπίδες πολὺ

§. 31. *διαχάσασθαι*] *διαχωρῆσαι* libri habent notae optimae; *διαχωρίσαι* Vat. nescio an suadeat *διαχωρίσασθαι*.

§. 32. *ἐναντίοι*] *ἐναντίον* ex codd. receperat Poppo.

129. (116.) 10. ed. 12. Matth. §. 295. p. 592. ed. sec.

§. 31. *ἅτε οὐ δυναμένων διαχάσασθαι — ἔνθεν αὐτῶν*] Qui genitivos *τῶν Αἰγυπτίων* a verbo *διαχάσασθαι* pendere dixerunt, hi vereor ne non satis perpenderint hac ratione *δυνάμενοι* tantum non necessario scribendum fuisse. Meliorem explicationem iam Gabriel sequutus est: cum Aegyptii, propterea quod manebant ii, qui ab ipsorum lateribus stabant, loco cedere non possent.

§. 32. *οἱ δὲ Πέρσαι*] Hi enim Abradatam eiusque currus e vestigio sequebantur §. 15.

§. 33. *καὶ πλήθει καὶ τοῖς ὅπλοις*] Alteri nomini additur articulus, qui alteri negatur, fortasse quia *πλῆθος* in iis est substantivis, quae salvo sensu non raro videas articulo destituta esse. Vid. ad II. 1, 15. Anab. IV. 2, 2. VII. 8, 9.

ἃ ἔτι καὶ νῦν ἔχουσιν] Supra VI. 2, 10. *Αἰγυπτίους δὲ προσ-*

μᾶλλον τῶν θωράκων καὶ τῶν γέῤῥων καὶ στεγάζουσι τὰ
σώματα, καὶ πρὸς τὸ ὠθεῖσθαι συνεργάζονται, πρὸς
τοῖς ὤμοις οὖσαι. Συγκλείσαντες οὖν τὰς ἀσπίδας ἐχώ-
34 ρουν καὶ ἐώθουν. Οἱ δὲ Πέρσαι οὐκ ἐδύναντο ἀντέ-
χειν, ἅτε ἐν ἄκραις ταῖς χερσὶ τὰ γέῤῥα ἔχοντες, ἀλλ' ἐπὶ
πόδα ἀνεχάζοντο παίοντες καὶ παιόμενοι, ἕως ὑπὸ
ταῖς μηχαναῖς ἐγένοντο. Ἐπεὶ μέντοι ἐνταῦθα ἦλθον,
ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἀπὸ τῶν πύργων· καὶ οἱ
ἐπὶ πᾶσι δὲ οὐκ εἴων φεύγειν οὔτε τοὺς τοξότας, οὔτε
τοὺς ἀκοντιστάς, ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας ἠνάγ-
35 καζον καὶ τοξεύειν καὶ ἀκοντίζειν. Ἦν δὲ πολὺς μὲν
ἀνδρῶν φόνος, πολὺς δὲ κτύπος ὅπλων καὶ βελῶν παν-
τοδαπῶν, πολλὴ δὲ βοὴ τῶν μὲν ἀνακαλούντων ἀλλή-
λους, τῶν δὲ παρακελευομένων, τῶν δὲ θεοὺς ἐπικα-
λουμένων.

Aegyptii tandem, cum a tergo adortus esset Cyrus, caeduntur undique.

36 Ἐν δὲ τούτῳ Κῦρος διώκων τοὺς καθ' αὐτὸν πα-
ραγίγνεται. Ὡς δὲ εἶδε τοὺς Πέρσας ἐκ τῆς χώρας ἐω-
σμένους, ἤλγησέ τε, καὶ γνούς, ὅτι οὐδαμῶς ἂν θᾶττον
σχοίη τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου, ἢ εἰ

πλεῖν — σὺν ἀσπίσι ποδήρεσι, καὶ δόρασι μεγάλοις, οἵαπερ καὶ νῦν ἔχουσι, καὶ κοπίσι, unde verba illa ἃ ἔτι καὶ νῦν ἔχουσιν hunc videntur ab attento lectore translata fuisse, nisi forte ipsius scriptoris negligentiae additamenti hanc iterationem attribuere malis, ut qui illorum verborum oblitus fuerit.

§. 34. *ἐν ἄκραις ταῖς χερσί*] extrema in parte manus sinistrae, i. e. digitis sine ansa, ut videtur. Cleomenes enim apud Lacedaemonios, quorum fere mores Persis in hoc opere adscribuntur, instituerat, ut ansam intrinsecus facerent et per hanc insererent sinistrum brachium, *τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης, μὴ διὰ πόρπακος*, ut ait Plutarch. in Vita Cleom. cap. XI. Memento autem γέῤῥα illa multo quam Aegyptiorum clipeos minora et quadrilatera fuisse.

ἀνεχάζοντο] Laudavit Buttmann gr. max. II. p. 253. licet operae non satis paruerint. De iis, qui statim *οἱ ἐπὶ πᾶσι* audiunt, vid. VI. 3, 27.

§. 36. *θᾶττον σχοίη τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου*] Hellen. IV. 8, 5. *τούτους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ μὴ ἐκπεπλῆχθαι.* Anab. III. 1, 11. *πᾶς γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι.* Soph. Electr. 367. Herm. *ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.* Quum hi loci discrepant a nostro, tum in iis, quos collectos video a Schweigh. Indic. Herodt. I. p. 301. et Elmsleio ad Eurip.

εἰς τὸ ὄπισθέν περιελάσειεν αὐτῶν, παραγγείλας ἕπεσθαι τοῖς μεθ' ἑαυτοῦ περιήλαυνεν εἰς τὸ ὄπισθεν· καὶ εἰςπεσόντες παίουσιν ἀφορῶντας, καὶ πολλοὺς κατακαίνουσιν. Οἱ δὲ Αἰγύπτιοι ὡς ᾔσθοντο, ἐβόων 37
τε, ὅτι ὄπισθεν οἱ πολέμιοι, καὶ ἐστρέφοντο ἐν ταῖς πληγαῖς. Καὶ ἐνταῦθα δὴ φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς, πεπτωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πατούμενος παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ· ὁ δὲ ἵππος πληγεὶς σφαδάζων ἀποσείεται τὸν Κῦρον. Ἔνθα δὴ ἔγνω ἄν τις, ὅσον ἄξιον εἴη τὸ 38
φιλεῖσθαι ἄρχοντα ὑπὸ τῶν περὶ αὐτόν. Εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες καὶ προςπεσόντες ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο. Καταπηδήσας δέ τις

§. 38. ὑπὸ τῶν περὶ αὐτόν] ὑπὸ τῶν ἀρχομένων, quod inest in edd. vett., haustum est ex I. 6, 8. locisque similibus.

Heracl. 924. nusquam cohibendi notione ἔχειν, sed ubique σχεῖν occurrit, ut nesciam an ἔχοι iniuria in textum admiserit Poppo.

ἀφορῶντας] sc. εἰς τὸ πρόσθεν, neque est quod quisquam in significatione verbi haereat, si praepositio cum nomine aliquo apposita esset, ne hilum quidem ab usu tritissimo recedente.

§. 37. πατούμενος παίει] Longin. XXV. Ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰςάγῃς ὡς γινόμενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον, ἀλλ' ἐναγώνιον πρᾶγμα ποιήσεις. Allatis deinceps Xenoph. verbis usque ad ἀποσείεται τὸν Κῦρον, ὁ δὲ πίπτει, addit: Τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδίδης. Vid. Poppo Eloc. Thucyd. p. 274. Noli tamen credere ceteros scriptores vel tragicos vel historicos vel philosophos ab hac constructionis mutandae consuetudine abhorruisse. Quem errorem facile refellat Matth. §. 504. 1, Rost. §. 117. n. 2. not. ad Anab. III. 4, 12.

§. 38. ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο] Ab Longino XIX. excitatur locus Hellen. IV. 3, 19. καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον, quem una cum Ages. II. 12. quum ad exemplum nostri loci corrigere tentasset Schaeferus ad Porson. Eurip. Hec. p. 130. ed. tert., »non nego, inquit inter alia Hermann. in Dissert. de Emend. per transpos. verborum p. 13., potuisse Xenophontem ita scribere, ut placet Schaefero, sed scripsisse tamen ita vehementer dubito. Et primo quidem propter ipsam locorum illorum diversitatem. Nam in Cyrop. narratur, quid in medio proelio circa vulneratum Cyrum factum sit: qua in re duo semper opposita scriptor coniunxit, quo magis quanto animorum ardore pugnatum esset ostenderet: in Ages. autem et Hist. Gr. initium pugnae describitur, quum Agesilaus interceptos Thebanos, ne ad suos perrumperent, impedire conaretur. — neutri exercitui tam pugnare, quam alteri ut perrumperet, alteri ut per-

ἀπὸ τοῦ ἵππου τῶν τοῦ Κύρου ὑπηρετῶν, ἀναβάλλει
39 αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον. Ὡς δὲ ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπης ἤδη παρῆν σὺν τοῖς Περσῶν ἱππεῦσι, καὶ Χρυσάντας. Ἀλλὰ τούτους ἐμβαλεῖν μὲν οὐκέτι εἴα εἰς τὴν φάλαγγα τῶν Αἰγυπτίων, ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. Ὡς δὲ ἐγένετο περιελαύνων παρὰ τὰς μηχανάς, ἔδοξεν αὐτῷ ἀναβῆναι ἐπὶ τῶν πύργων τινά, καὶ κατασκέψασθαι, εἴ πῃ καὶ ἄλλο τι μένοι τῶν
40 πολεμίων καὶ μάχοιτο. Ἐπεὶ δὲ ἀνέβη, κατεῖδε μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόντων, διωκόντων, κρατούντων, κρατουμένων· μένον δ' οὐδαμοῦ οὐδὲν ἔτι ἠδύνατο κατιδεῖν πλὴν τὸ τῶν Αἰγυπτίων. Οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, κύκλῳ πάντοθεν ποιησάμενοι, ὥστε ὁρᾶσθαι τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο· καὶ ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά.

Aegyptiis in fidem acceptis assignantur sedes.

41 Ἀγασθεὶς δὲ ὁ Κῦρος αὐτοὺς καὶ οἰκτείρων, ὅτι ἀγαθοὶ ἄνδρες ὄντες ἀπώλλυντο, ἀνεχώρισε πάντας τοὺς

§. 39. *εἴ πῃ καὶ ἄλλο τι*] Propius a libris abest *εἴ τί πῃ καὶ ἄλλο.*

§. 40. *κύκλῳ πάντοθεν ποιησάμενοι*] Codd. *πάντοθεν κυκλοποιησάμενοι*, Schn. *κύκλον ποιησάμενοι*, voce *πάντοθεν* post *ὁρᾶσθαι* reiecta. Vid. ad Conviv. p. 187. Minus displicuisset *κύκλον πάντοθεν ποιησάμενοι*, ut verba *ὥστε ὁρᾶσθαι τὰ ὅπλα* ideo adiecta existimentur, ne quis tergum Aegyptios hostibus obiecisse opinetur.

rumpentibus resisteret curae erat. « *Ἔλεγχ', ἐλέγχου* ac *δάκνειν, δάκνεσθαι* Aristoph. Ran. 855. 861. comparavit Reisig. ad Soph. Oed. Col. p. 340.

§. 39. *ἐγένετο – παρὰ τὰς μηχανάς*] Ad I. 4, 18. *εἶπεν αὐτῷ μένειν παρ' ἑαυτόν* consuli iubebam Matth., quem vide etiam in gr. gr. §. 588. p. 1173.

εἴ πῃ καὶ ἄλλο τι μένοι τῶν πολεμίων] Matth. §. 442. 4. not.

§. 40. *κύκλῳ πάντοθεν ποιησάμενοι, ὥστε ὁρᾶσθαι τὰ ὅπλα*] Non arbitror necesse esse, novo vocabulo *κυκλοποιεῖσθαι* novam tribuamus potestatem: in circulum constitui. Potest enim recepta retineri hoc sensu: circum undique facientes, ita se collocantes, ut arma conspicerentur, cl. not. ad VI. 1, 23. Contra Poppo comparavit talia, qualia ad II. 3, 17. notavimus.

§. 41. *ὅτι ἀγαθοὶ ἄνδρες ὄντες ἀπώλλυντο*] quod, quum

περιμαχομένους, καὶ μάχεσθαι οὐδένα ἔτι εἴα. Πέμπει δὲ πρὸς αὐτοὺς κήρυκα ἐρωτῶν, πότερα βούλονται ἀπολέσθαι πάντες ὑπὸ τῶν προδεδωκότων αὐτούς, ἢ σωθῆναι ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι. Οἱ δὲ ἀπεκρίναντο, Πῶς δ' ἂν ἡμεῖς σωθείημεν, ἄνδρες ἀγαθοὶ δοκοῦντες
εἶναι; Ὁ δὲ Κῦρος πάλιν ἔλεγεν, Ὅτι ἡμεῖς ὑμᾶς ὁρῶ- 42
μεν μόνους καὶ μένοντας καὶ μάχεσθαι θέλοντας. Ἀλλὰ τοὐντεῦθεν, ἔφασαν οἱ Αἰγύπτιοι, τί καὶ καλὸν ἂν ποιοῦντες σωθείημεν; Καὶ ὁ Κῦρος αὖ πρὸς τοῦτο εἶπεν, Εἰ τῶν τε συμμαχομένων μηδένα προδόντες σωθείητε, τά τε ὅπλα ἡμῖν παραδόντες, φίλοι τε γενόμενοι
τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι. Ἀκού- 43
σαντες ταῦτα ἐπήροντο, Ἢν δὲ γενώμεθά σοι φίλοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; Ἀπεκρίνατο ὁ Κῦρος, Εὖ ποιεῖν καὶ εὖ πάσχειν. Ἐπηρώτων πάλιν οἱ Αἰγύπτιοι, Τίνα εὐεργεσίαν; Πρὸς τοῦτο εἶπεν ὁ Κῦρος, Μισθὸν

fortes viri essent, peribant. Interficiebantur enim tam ab iis, qui statim nominantur οἱ περιμαχόμενοι, quam a sagittariis et iaculatoribus §. 39. Ἀπόλοιντο esset perirent, quod ut dici potuerit, tamen non est necessarium. Vid. Matth. §. 529. p. 1031.

ὑπὸ τῶν προδεδωκότων αὐτούς] per eos, culpa eorum, qui ipsos deseruissent. Matth. §. 496. 3. 592. 7.

§. 42. Ὅτι ἡμεῖς ὑμᾶς] Supple ἄνδρες ἀγαθοὶ δοκεῖτε εἶναι, ὅτι ἡμεῖς etc. Quomodo nos servari possimus, cum fortes esse videamur? quaesiverant Aegyptii, rati fortibus militibus usque ad necem pugnandum esse. Imo, inquit Cyrus interrogatione illa probe intellecta, fortes vos appello, non quo velim mori vos, sed quia vos solos video constanter pugnare.

Εἰ τῶν τε συμμαχομένων μηδένα προδόντες σωθείητε] Ante haec suppressa est sententia: καλόν τι ἂν ποιοῖτε, cum sensus sit: honeste egeritis, si nemine sociorum prodito salutem consequamini tum armis nobis traditis, tum amicitia cum iis inita, qui servare vos volunt, quum perdere liceret. Inepte haec concinnavit Zonaras: Οἱ δέ, ὅ τι καλὸν ἂν ποιοῦντες σωθείημεν; ἔφασαν. Καὶ ὁ Κῦρος, Εἰ τὰ ὅπλα ἡμῖν παραδοίητε τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι.

§. 43. ἀξιώσεις χρῆσθαι;] Minime dictum est pro χρήσῃ per periphrasin: illud ἀξιώσεις ostendit potius Aegyptiorum ad tradenda arma procliviorum animum, dummodo Cyrus eos dignos habeat, quibuscum societatem quandam ineat.

Εὖ ποιεῖν καὶ εὖ πάσχειν] i. e. ἀξιώσω ὑμᾶς εὖ ποιεῖν καὶ εὖ πάσχειν ὑφ' ὑμῶν.

Τίνα εὐεργεσίαν] sc. ἀξιώσεις ἡμᾶς ποιεῖν;

μὲν ὑμῖν, δοίην ἂν πλείονα ἢ νῦν ἐλαμβάνετε, ὅσον ἂν χρόνον πόλεμος ᾖ· εἰρήνης δὲ γενομένης, τῷ βουλομένῳ ὑμῶν μένειν παρ' ἐμοὶ χώραν τε δώσω καὶ πόλεις καὶ
44 γυναῖκας καὶ οἰκέτας. Ἀκούσαντες ταῦτα οἱ Αἰγύπτιοι, τὸ μὲν ἐπὶ Κροῖσον συστρατεύειν ἀφελεῖν σφίσιν ἐδεήθησαν· τούτῳ γὰρ μόνῳ γιγνώσκεσθαι ἔφασαν· τὰ
45 δ' ἄλλα συνομολογήσαντες ἔδοσαν πίστιν καὶ ἔλαβον. Καὶ οἱ Αἰγύπτιοί τε οἱ καταμείναντες τότε ἔτι καὶ νῦν βασιλεῖ πιστοὶ διαμένουσι· Κῦρός τε πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις Αἰγυπτίων καλοῦνται, Λάρισσαν δὲ καὶ Κυλλήνην παρὰ Κύμην πλησίον θαλάσσης, ἃς ἔτι καὶ νῦν οἱ ἀπ' ἐκείνων ἔχουσι. Ταῦτα δὲ διαπραξάμενος ὁ Κῦρος, ἤδη σκοταῖος ἀναγαγὼν ἐστρατοπεδεύσατο ἐν Θυμβράροις.

Quid in hoc proelio plurimum valuerit, breviter commemoratur.

46 Ἐν δὲ τῇ μάχῃ τῶν μὲν πολεμίων Αἰγύπτιοι μόνοι εὐδοκίμησαν· τῶν δὲ σὺν Κύρῳ τὸ Περσῶν ἱππικὸν κρά-

§. 43. χώραν] χώρας Vat. minime improbandum.

§. 44. τούτῳ γὰρ μόνῳ γιγνώσκεσθαι ἔφασαν] γιγνώσκεσθαι etiam Vat. συγγιγνώσκεσθαι edd. priores. Gabr. Aegyptii hanc modo veniam sibi dari postularunt, ut ne cogerentur etc. Hutch. in hac una re veniam dari sibi dixerunt.

§. 45. Κυλλήνην] Καρήνην coni. Zeun. quod Cyllene in Aeolia nusquam commemoretur.

§. 44. τὸ μὲν ἐπὶ Κροῖσον συστρατεύειν ἀφελεῖν σφίσιν] Dativi σφίσιν usum haud multum differre ab eiusdem casus potestate in verbis Cic. de nat. Deor. I. 43, 121. *Epicurus - diis immortalibus et opem et gratiam sustulit*, auctor est Heindorf. p. 117. Adde quae dixi ad cap. 2, 26. Matth. §. 418. not.

τούτῳ γὰρ μόνῳ γιγνώσκεσθαι ἔφασαν] *huic enim, Croeso, soli se notos esse*, ut τούτῳ μόνῳ pro ὑπὸ τούτου μόνου dictum sit. Significant igitur Aegyptii cum reliquis populis in societatem belli vocatis sibi nihil commercii esse, atque se paratos esse adversus illos, qui sibi nulla prorsus necessitudine iuncti sint, pugnare. Vid. Weiske.

§. 45. πιστοὶ διαμένουσι] Posteri enim eorum Artaxerxi auxilia sua tradiderant Anab. I. 8, 9.

τὰς μὲν ἄνω] in superiore Asia sitas, quas tamen aliunde non habemus cognitas.

Λάρισσαν] in Aeolide, τὴν Αἰγυπτίαν καλουμένην Hellen. III. 1, 7. Vid. Mannert. T. VI. P. III. p. 393. etiam de Cuma p. 387 sq.

ἀναγαγών] Zonar. Lex. p. 196. Ἀναγαγών· ἀντὶ τοῦ ἀπαγαγών· οὕτως Ξενοφῶν. Confirmabit Iacobs. in Wolf. Analect.

τιστον ἔδοξεν εἶναι· ὥστ᾽ ἔτι καὶ νῦν διαμένει ἡ ὅπλισις, ἥντότε Κῦρος τοῖς ἱππεῦσι κατεσκεύασεν. Εὐδοκίμησε δὲ 47 ἰσχυρῶς καὶ τὰ δρεπανηφόρα ἅρματα· ὥστε καὶ τοῦτο ἔτι καὶ νῦν διαμένει τὸ πολεμιστήριον τῷ ἀεὶ βασιλεύοντι. Αἱ 48 μέντοι κάμηλοι ἐφόβουν μόνον τοὺς ἵππους, οὐ μέντοι κατέκαινόν γε οἱ ἐπ᾽ αὐτῶν ἱππεῖς, οὐδ᾽ αὐτοί γε ἀπέθνησκον ὑπὸ ἱππέων· οὐδεὶς γὰρ ἵππος ἐπέλαζε. Καὶ 49 χρήσιμον μὲν ἐδόκει εἶναι· ἀλλὰ γὰρ οὔτε τρέφειν οὐδεὶς ἐθέλει καλὸς κἀγαθὸς κάμηλον, ὥστ᾽ ἐποχεῖσθαι, οὔτε μελετᾶν, ὡς πολεμήσων ἀπὸ τούτων. Οὕτω δὴ ἀπολαβοῦσαι πάλιν τὸ ἑαυτῶν σχῆμα, ἐν τοῖς σκευοφόροις διάγουσι.

CAPUT II.

Sardibus captis Cyrus Croesum custodiri iubet, et ob praedandi libidinem egregie castigat Chaldaeos.

Καὶ οἱ μὲν ἀμφὶ τὸν Κῦρον, δειπνοποιησάμενοι 1 καὶ φυλακὰς καταστησάμενοι, ὥσπερ ἔδει, ἐκοιμήθη-

§. 1. φυλακὰς] φύλακας dederat Schn invitis libris. Vid. ad V. 1, 30.

I. p. 101. De Thymbraris vid. ad VI. 2, 11.

§. 46. ἡ ὅπλισις] Vide IV. 5, 58. VI. 2, 16. et VII. 1, 4. Anab. I. 8, 6. *Κατασκευάζειν τινὶ δίαιταν* est etiam De rep. Laced. V. 1.

§. 47. τοῦτο — τὸ πολεμιστήριον] hoc genus apparatus bellici. Sine nomine, quod adiectum desiderat Schneiderus, dicitur etiam VIII. 8, 26. Aristoph. Nub. v. 28.

τῷ ἀεὶ βασιλεύοντι] Sic, non τοῖς Πέρσαις, dixit, quia Cyro, de quo agitur, seriores opponuntur Persarum reges.

§. 48. οἱ ἐπ᾽ αὐτῶν ἱππεῖς] VI. 2, 8. Καὶ ἐπὶ τὰς καμήλους δὲ τεταγμένοι ἦσαν ἄνδρες δύο ἐφ᾽ ἑκάστην τοξόται. Cf. ad VII. 1, 27.

§. 49. ἀλλὰ γὰρ] Harum vocularum causa quae ad II. 1, 13. VI. 2, 22. notavi, his accedat Matth. §. 615. p. 1242 sq.

ἐν τοῖς σκευοφόροις διάγουσι] Aelian. de Nat. Anim. XI. 36. Πέρσαι δὲ μετὰ τὴν Κύρου μάχην τὴν ἐν Λυδίᾳ καμήλους τοῖς ἵπποις συντρέφουσι, τὸ δέος τῶν ἵππων τὸ ἐκ τῶν καμήλων εἰς αὐτοὺς ἐξαπτόμενον ἐκβάλλειν πειρώμενοι τῇ συντροφίᾳ. Cetera confirmat etiam Herodt. in Brisson. p. 700. Cf. Hellen. III. 4, 24.

σαν. Κροῖσος μέντοι εὐθὺς ἐπὶ Σάρδεων ἔφευγε σὺν τῷ στρατεύματι· τὰ δ' ἄλλα φῦλα ὅπῃ ἐδύνατο προσωτάτω ἐν τῇ νυκτὶ τῆς ἐπ' οἶκον ὁδοῦ ἕκαστος ἀπεχώρει.
2 Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, εὐθὺς ἐπὶ Σάρδεις ἦγε Κῦρος.
Ὡς δ' ἐγένετο πρὸς τῷ τείχει τῷ ἐν Σάρδεσι, τάς τε μηχανὰς ἀνίστη, ὡς προσβαλῶν πρὸς τὸ τεῖχος, καὶ κλίμα-
3 κας παρεσκευάζετο. Ταῦτα δὲ ποιῶν, κατὰ τὰ ἀποτομώ-
τατα δοκοῦντα εἶναι τοῦ Σαρδιανῶν ἐρύματος τῆς ἐπιούσης νυκτὸς ἀναβιβάζει Χαλδαίους τε καὶ Πέρσας. Ἡγήσατο δ' αὐτοῖς ἀνὴρ Πέρσης, δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν, καὶ καταμεμαθηκὼς κατάβα-
4 σιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν. Ὡς δὲ
ἐγένετο τοῦτο δῆλον, ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ

Cap. II. §. 1. *ἐπὶ Σάρδεων ἔφευγε*] VI. 1, 25. *ὅτι ὁ Ἀσσύριος οἴχοιτο ἐπὶ Λυδίας.* Eurip. Alcest. 845. *ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισσαν φέρει*, quod Hermanno interprete est ad Larissam ducit: *ἐπὶ Λαρίσσης* esset versus eam regionem, ubi Larissa est. Sed hoc discrimen nec hic locus cum §. 2. *ἐπὶ Σάρδεις* comparatus admittere videtur, nec pars eorum, quos attulit Matth. §. 584. β.

τῆς ἐπ' οἶκον ὁδοῦ] Ne quis cum Fischero *ἐπί* vel *διά* supplendum existimet, consulatur Matth. §. 324. §. 340. p. 649. §. 354. ε.

§. 2. *πρὸς τῷ τείχει τῷ ἐν Σάρδεσι*] Arcem Sardium veteres, Sardi imprimis, inexpugnabilem habuerunt, vid. Mannert. VI. P. III. p. 357 sqq. Rosenmueller. Bibl. Erd- und Länderkunde Vol. I. P. II. p. 180 sq. 222 sq. et Heeren. Ideen. Vol. I. P. I. p. 153. ed. 4. Quam ut rite obsideret et vi expugnaret, omnis generis opera comparanda arcique admovenda curavit. Dum haec instituit, noctu in arcem, qua tutissima videbatur, adscendere iubet Chaldaeos et Persas, e quibus aliquis Cyro viam illam indicaverat. Ita Lydis supervenerunt Persae necopinatis, qui muris praesidiisque relictis in fugam se dederunt. In hac tam simplici perspicuaque narratione non necesse esse puto, ut *τὸ τεῖχος, τὸ ἔρυμα* et *τὰ τείχη* cum editoribus nonnullis anxie distinguamus; imo non dubium est, quin orationem variari voluerit Xen., atque *ἀπὸ τῶν τειχῶν φεύγειν* dicantur ii, qui et arcis et reliquae urbis moenibus desertis salutem perterriti fuga quaesiverunt.

ὡς προσβαλῶν] Vid. Matth. §. 568. 1. Rost. §. 130. not. 8.

§. 3. *τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν*] Herodt. I. 85. *τῶν τις Περσέων.* Thucyd. I. 45. *ἐς τῶν ἐκείνων τι χωρίων.* Matth. §. 279. n. 4. p. 567 sq. ed. sec. et nos ad V. 4, 1.

κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν] descensum ad fluvium et eundem adscensum, i. e. viam, qua et descenditur ad fluvium et inde ad arcem adscenditur.

ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅπῃ ἠδύνατο ἕκαστος
τῆς πόλεως. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰςῄει εἰς τὴν
πόλιν, καὶ παρήγγειλεν ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι.
Ὁ δὲ Κροῖσος, κατακλεισάμενος ἐν τοῖς βασιλείοις, 5
Κῦρον ἐβόα· ὁ δὲ Κῦρος τοῦ μὲν Κροίσου φύλακας
κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν,
ὡς εἶδε τοὺς μὲν Πέρσας φυλάσσοντας τὴν ἄκραν, ὥς-
περ ἔδει, τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα, καταδεδρα-
μήκεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν, εὐθὺς
συνεκάλεσεν αὐτῶν τοὺς ἄρχοντας καὶ εἶπεν αὐ-
τοῖς ἀπιέναι ἐκ τοῦ στρατεύματος τάχιστα. Οὐ γὰρ 6
ἄν, ἔφη, ἀνασχοίμην πλεονεκτοῦντας ὁρῶν τοὺς ἀτα-
κτοῦντας. Καὶ εὖ μέν, ἔφη, ἐπίστασθε, ὅτι παρεσκευα-
ζόμην ἐγὼ ὑμᾶς τοὺς ἐμοὶ συστρατευομένους πᾶσι Χαλ-
δαίοις μακαριστοὺς ποιῆσαι· νῦν δ', ἔφη, μὴ θαυ-
μάζετε, ἤν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ. Ἀκού- 7
σαντες ταῦτα οἱ Χαλδαῖοι ἔδεισάν τε καὶ ἱκέτευον παύ-
σασθαι ὀργιζόμενον, καὶ τὰ χρήματα πάντα ἀποδώσειν
ἔφασαν. Ὁ δὲ εἶπεν, ὅτι οὐδὲν αὐτῶν δέοιτο. Ἀλλ' εἴ
με, ἔφη, βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε
πάντα ὅσα ἐλάβετε τοῖς διαφυλάξασι τὴν ἄκραν. Ἢν
γὰρ αἴσθωνται οἱ ἄλλοι στρατιῶται, ὅτι πλεονεκτοῦσιν
οἱ εὔτακτοι γενόμενοι, πάντα μοι καλῶς ἕξει. Οἱ μὲν 8

§. 4. ὅπῃ ἠδύνατο ἕκαστος τῆς πόλεως] Vid. ad §. 1.

§. 5. Κῦρον ἐβόα] cum clamore Cyrum arcessivit, *er rief ängstlich nach dem Cyrus.* Cf. ad Anab. IV. 3, 22.

τοῦ μὲν Κροίσου] Quidni τῷ μὲν Κροίσῳ? Nempe genitivus tantum non legitime formulis φύλακα καταλείπειν, καθιστάναι similibusque adiicitur.

ὅπλα ἔρημα] Recte Schol. Thucyd. in Sturzii L. X. III. p. 301. ὅπλα – τόπον ἐφ' ᾧ οἱ στρατιῶται φυλακὰς ἔχουσιν ὡπλισμένοι. De seq. futuro ἁρπασόμενοι adeas Buttmann. gr. max. II. p. 83.

§. 6. ὑμᾶς – πᾶσι Χαλδαίοις μακαριστοὺς ποιῆσαι] Anab. I. 9, 6. καὶ τὸν πρῶτον μέντοι βοηθήσοντα πολλοῖς μακαριστὸν ἐποίησεν. Itidem usurpatur ibid. I. 7, 4. ζηλωτός. Larga stipendia Chaldaeis Cyrus promiserat III. 2, 26.

κρείττων ἐντύχῃ] Duo minatur Cyrus, et domum se eos remissurum esse, et abeuntibus praedam ademturum.

§. 7. ὅτι πλεονεκτοῦσιν οἱ εὔτακτοι γενόμενοι] Hipparch. I. 24. μέγα δὲ καὶ τὸ ἔργῳ κατὰ τὸν νόμον πλεονεκτεῖν μὲν ποιεῖν τοὺς εὐτάκτους, μειονεκτεῖν δ' ἐν πᾶσι τοὺς ἀτακτοῦντας. Cyr. VIII. 4, 8. ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι πάν-

δὴ Χαλδαῖοι οὕτως ἐποίησαν, ὡς ἐκέλευσεν ὁ Κῦρος· καὶ ἔλαβον οἱ πειθόμενοι πολλὰ καὶ παντοῖα χρήματα. Ὁ δὲ Κῦρος καταστρατοπεδεύσας τοὺς ἑαυτοῦ, ὅπου ἐδόκει τὸ ἐπιτηδειότατον εἶναι τῆς πόλεως, μένειν ἐπὶ τοῖς ὅπλοις παρήγγειλε καὶ ἀριστοποιεῖσθαι.

Croesum arcessitum Cyrus humaniter salutat, et eius consilio de non diripienda urbe paret.

9 Ταῦτα δὲ διαπραξάμενος ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν Κροῖσον. Ὁ δὲ Κροῖσος ὡς εἶδε τὸν Κῦρον, Χαῖρε, ὦ δέσποτα, ἔφη· τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ
10 ἀπὸ τοῦδε δίδωσι σοὶ καὶ ἐμοὶ προσαγορεύειν. Καὶ σύ γε, ἔφη, ὦ Κροῖσε· ἐπείπερ ἄνθρωποί γέ ἐσμεν ἀμφότεροι. Ἀτάρ, ἔφη, ὦ Κροῖσε, ἆρ' ἄν τί μοι ἐθελήσαις συμβουλεῦσαι; Καὶ βουλοίμην γ' ἄν, ἔφη, ὦ Κῦρε, ἀγαθόν τί σοι εὑρεῖν· τοῦτο γὰρ ἂν οἶμαι ἀγα-
11 θὸν κἀμοὶ γενέσθαι. Ἄκουσον τοίνυν, ἔφη, ὦ Κροῖσε· ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας πολλὰ πεπονηκότας, καὶ πολλὰ κεκινδυνευκότας, καὶ νῦν νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην ἐν τῇ Ἀσίᾳ μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας. Γιγνώσκω γάρ, ἔφη, ὅτι, εἰ μή τινα καρπὸν λήψονται τῶν πόνων, οὐ δυνήσομαί αὐτοὺς πολὺν χρόνον πειθομένους ἔχειν. Διαρπάσαι μὲν οὖν αὐτοῖς ἐφεῖναι τὴν πόλιν οὐ βου-

§. 8. τὸ ἐπιτηδειότατον εἶναι] Male τὸ et εἶναι omittitur.
§. 9. Ταῦτα δὲ διαπρ.] δέ ex Vat. et M. accessit.
καὶ ἔχειν] κατέχειν scribi posset, nisi vulgatum melius esset quam ἔχειν simplex.

τες. Cambyses idem ut faceret, Cyro suaserat I. 6, 17. extrem.

§. 9. τοῦτο γάρ] δεσποσύνη fuit qui ex δέσποτα adsumendum opinaretur, sed perperam. Achill. Tat. V. 18. Λευκίππη Κλειτοφῶντι τῷ δεσπότῃ μου. Τοῦτο γάρ σε δεῖ καλεῖν, ἐπεὶ καὶ τῆς δεσποίνης ἀνὴρ εἶ τῆς ἐμῆς haud paucis geminae notae exemplis adstruxit Iacobs. p. 802. nec praeterenndae observationes Matth. §. 420 p. 769. ed. alt.

§. 10. Καὶ σύ γε] sc. χαῖρε. Multo humaniorem victorem effinxit hic Xenophon quam Herodotus I. 88 vel Ctesias in Pers. §. 4. p. 99 sqq. ed. Baehr.

§. 11. τὴν πλουσιωτάτην] Herodt. I. 29. ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ. Alia excitavi ad §. 2.

λομαι· τήν τε γὰρ πόλιν νομίζω ἂν διαφθαρῆναι, ἔν
τε τῇ ἁρπαγῇ εὖ οἶδ' ὅτι οἱ πονηρότατοι πλεονεκτή-
σειαν ἄν. Ἀκούσας ταῦτα ὁ Κροῖσος ἔλεξεν, Ἀλλ' ἐμέ, 12
ἔφη, ἔασον λέξαι πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω, ὅτι
διαπέπραγμαι παρὰ σοῦ μὴ ποιῆσαι ἁρπαγήν, μηδὲ
ἐᾶσαι ἀφανισθῆναι παῖδας καὶ γυναῖκας· ὑπεσχόμην δέ
σοι ἀντὶ τούτων ἦ μὴν παρ' ἑκόντων Λυδῶν ἔσεσθαι
πᾶν, ὅ τι καλὸν κἀγαθόν ἐστιν ἐν Σάρδεσιν. Ἢν γὰρ 13
ταῦτα ἀκούσωσιν, οἶδ' ὅτι ἄξουσί σοι πᾶν, ὅ τι ἐστὶν
ἐνθάδε καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί· καὶ ὁμοίως
εἰς νέωτα πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πό-
λις ἔσται. Ἢν δὲ διαρπάσῃς, καὶ αἱ τέχναι σοι, ἃς
πηγάς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται.
Ἐξέσται δέ σοι ἰδόντι τὰ ἐλθόντα ἔτι καὶ περὶ τῆς ἁρ- 14
παγῆς βουλεύσασθαι. Πρῶτον δέ, ἔφη, ἐπὶ τοὺς
ἐμοὺς θησαυροὺς πέμπε, καὶ παραλαμβανέτωσαν οἱ σοὶ
φύλακες παρὰ τῶν ἐμῶν φυλάκων. Ταῦτα μὲν δὴ
ἅπαντα οὕτω συνῄνεσε ποιεῖν ὁ Κῦρος, ὥσπερ ἔλεξεν
ὁ Κροῖσος.

§. 12. **ἐστιν ἐν**] **Deest ἐστιν in Vat. Zonar. potestque abesse.**

§. 13. **ἄξουσί**] **ἥξουσί vulgo, ἥξει σοι Schn. ex Alt. ἄξουσι coni. Muretus. Gabr. proferant.**

§. 14. **τὰ ἐλθόντα**] **ταῦτα ἐλθόντα alii, ταῦτα τὰ ἐλθόντα pridem conieceram.**

ὅτι οἱ πονηρότατοι πλεονεκτήσειαν ἄν] Eadem sententia apud Demosth. Or. I. contra Aristogit. p. 777. (73. Bekk.) ἰταμὸν γὰρ ἡ πονηρία καὶ τολμηρὸν καὶ πλεονεκτικόν, καὶ τοὐναντίον ἡ καλοκἀγαθία ἡσύχιον καὶ ὀκνηρὸν καὶ βραδὺ καὶ δεινὸν ἐλαττωθῆναι, atque apud Liv. V. 20. *quum ita ferme eveniat, ut segnior sit praedator, ut quisque laboris periculique praecipuam petere partem soleat.* Adde not. ad §. 7. II. 2, 17.

§. 12. μὴ ποιῆσαι ἁρπαγήν] sc. σε, quod latet in παρὰ σοῦ. Zonaras cum verbis permutavit ὅτι μὴ γενέσθαι ἁρπαγὴν παρὰ σοῦ διαπέπραγμαι.

§. 13. αἱ τέχναι] »cuius generis sint, intelligitur e VI. 2, 22. praesertim cum adiiciatur h. l. εἰς νέωτα; artes maxime, quas postulat fructuosa vitium, olearum, ficuum cultura, non exclusis tamen aliis, ut in urbe, in quam navibus importentur merces varii generis.« Weiske.

§. 14. παραλαμβανέτωσαν] sc. αὐτούς, τοὺς θησαυρούς.

Exponit Croesus de oraculis Apollinis sibi datis, et suam incusat imprudentiam.

15 Τάδε δέ μοι πάντως, ἔφη, ὦ Κροῖσε, λέξον, πῶς
σοι ἀποβέβηκε τὰ ἐκ τοῦ ἐν Δελφοῖς χρηστηρίου· σοὶ
γὰρ δὴ λέγεται πάνυ γε τεθεραπεῦσθαι ὁ Ἀπόλλων,
16 καί σε πάντα ἐκείνῳ πειθόμενον πράττειν. Ἐβουλό-
μην δ' ἄν, ἔφη, ὦ Κῦρε, οὕτως ἔχειν· νῦν δὲ πάντα
τἀναντία εὐθὺς ἐξ ἀρχῆς πράττων προςηνέχθην τῷ
Ἀπόλλωνι. Πῶς δέ; ἔφη ὁ Κῦρος, δίδασκε· πάνυ
17 γὰρ παράδοξα λέγεις. Ὅτι πρῶτον μέν, ἔφη, ἀμελή-
σας ἐρωτᾶν τὸν θεόν, εἴ τι ἐδεόμην, ἀπεπειρώμην αὐ-
τοῦ, εἰ δύναιτο ἀληθεύειν. Τοῦτο δέ, ἔφη, μὴ ὅτι
θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοί, ἐπειδὰν
γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας.
18 Ἐπεὶ μέντοι ἔγνω καὶ μάλα ἄτοπα ἐμοῦ ποιοῦντος, καὶ
πρόσω Δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω περὶ παί-
19 δων. Ὁ δέ μοι τὸ μὲν πρῶτον οὐδ' ἀπεκρίνατο· ἐπεὶ
δ' ἐγὼ πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ, πολλὰ
δ' ἀργυρᾶ, πάμπολλα δὲ θύων ἐξιλασάμην ποτὲ αὐτόν,
ὡς ἐδόκουν, τότε δή μοι ἀποκρίνεται ἐρωτῶντι, τί ἂν

§. 16. Ἐβουλόμην δ' ἄν, ἔφη, ὦ] Ἐβουλόμην γ' ἄν, ὦ edd. recentiores, Ἐβουλόμην ἄν, ἔφη, ὦ codd.

§. 18. ἔγνω] Frustra ἔγνων defendit Bothius supplendo ὅτι δύναιτο ἀληθεύειν, non perspiciens dici quidem posse ἔγνω ἐμοῦ ποιοῦντος, minime vero ἔγνων ἐμοῦ ποιοῦντος.

§. 15. λέγεται – τεθεραπεῦσθαι ὁ Ἀπόλλων, καί σε – πράττειν] Adverte diversam verbi λέγεται struendi rationem, quam usus admittit, a me tractatus ad I. 4, 26.

§. 16. Ἐβουλόμην δ' ἄν] **Vellem vero, at vellem**, leider wünschte ich. Recte defenderat **Zeun.** Vid. **Matth.** §. 509. a.

§. 17. ἀμελήσας ἐρωτᾶν] Etiam **Plato** verbo ἀμελεῖν nudum infinitivum coniunxit Phaedon. §. 109. ἀμελήσας τὰς ὡς ἀληθῶς αἰτίας λέγειν. p. 184. Heind.

τοῦτο δέ, ἔφη, μὴ ὅτι θεός, ἀλλὰ – ἐπειδὰν γνῶσιν ἀπιστούμενοι] i. e. Ἐπειδὰν δέ, ἔφη, μὴ ὅτι (vid. ad III. 2, 21.) θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοὶ γνῶσιν, ὅτι τοῦτο, τὸ ἀληθεύειν, ἀπιστοῦνται. Pronomen autem τοῦτο, quo maior in eo vis inest, eo minus est dubitandum, quin ab initio periodi collocandum fuerit.

§. 18. ἔγνω καὶ μάλα ἄτοπα ἐμοῦ ποιοῦντος] Constructionis ratio neminem latere potest post **Matth.** gr. §. 349. not. 2. §. 548. I.; res autem ipsa notissima est ex **Herodt.** I. 47 sqq.

μοι ποιήσαντι παῖδες γένοιντο· ὁ δὲ εἶπεν, ὅτι ἔσοιντο.
20 Καὶ ἐγένοντο μέν, οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο, γενόμενοι δὲ οὐδὲν ὤνησαν. Ὁ μὲν γὰρ κωφὸς ὢν διετέλει· ὁ δὲ ἄριστος γενόμενος ἐν ἀκμῇ τοῦ βίου ἀπώλετο. Πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφοραῖς πάλιν πέμπω καὶ ἐπερωτῶ τὸν θεόν, τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι ἀπεκρίνατο,

Σαυτὸν γιγνώσκων εὐδαίμων, Κροῖσε, περάσεις.

21 Ἐγὼ δὲ ἀκούσας τὴν μαντείαν ἥσθην· ἐνόμιζον γὰρ τὸ ῥᾷστόν μοι αὐτὸν προστάξαντα τὴν εὐδαιμονίαν διδόναι. Ἄλλους μὲν γὰρ γιγνώσκειν τοὺς μὲν οἷόν τ᾽ εἶναι, τοὺς δ᾽ οὔ· ἑαυτὸν δὲ ὅστις ἐστὶ πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι.
22 Καὶ τὸν μετὰ ταῦτα δὴ χρόνον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις· ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ Ἀσσυρίου ἐφ᾽ ὑμᾶς στρατεύεσθαι, εἰς πάντα μὲν κίνδυνον ἦλθον· ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών. Οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν.

§. 21. Ἐγὼ δὲ ἀκούσας] Dedi cum Steph. 2. et Gabr. Nam Ἔπειτα δὲ ἀκ. ut admodum languet, ita vide ne ἀκούσας δὲ ἔπειτα ἥσθην nunquam Graeci dixerint, nedum Ἔπειτα δὲ ἀκούσας ἥσθην. Probabilius retineas Ἐπεὶ δὲ ἀκούσας, ut interpellato orationis cursu pergatur §. 22. Καὶ τὸν μετὰ ταῦτα, quasi ab initio scriptum esset Ἐγὼ δὲ ἀκούσας. Cf. not. V. 2, 17.

§. 22. εἰς πάντα μὲν κίνδυνον] μέν servaverat M. Paulo post ἱκανὸν εἶναι ex Alt. receperat Schneid.

§. 19. τί ἂν μοι ποιήσαντι. παῖδες γένοιντο] qua tandem re consequi possem, ut filios susciperem. Gabr. Supra cap. 1. §. 42. τί καὶ καλὸν ἂν ποιοῦντες σωθείημεν; Viger. p. 334. cf. §. 20. cap. 3, 10.

§. 20. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο] Demosth. περὶ Συμμορ. p. 179. Reisk. οὐδὲ γὰρ οὐδ᾽ ἀπ᾽ ἴσης ὁρῶ τοῖς τ᾽ ἄλλοις Ἕλλησι καὶ ὑμῖν – τὴν βουλὴν οὖσαν. Praeter Xenophontis locum e prosae orationis scriptoribus alia dare debebat Matth. p. 1228. Vid. ad Anab. I. 8, 20.

§. 22. μετὰ τὸν τοῦ παιδὸς θάνατον] Adrastus aprum feriturus iaculo imprudens filium occiderat teste Herodt. I. 43. Vid. Wesseling. ad Diodor. Sic. IX. p. 47. 307 sq. Bipont.

Οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν] τῶνδε a Platone in hac dictione adhiberi annotavit Matth. §. 421. p. 773. omissa tamen Valckenarii mentione ad Eurip. Phoeniss. v. 632.

Ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ θεῷ ἀπῆλθον, καὶ αὐτὸς καὶ οἱ σὺν
23 ἐμοί. Νῦν δ' αὖ πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος, καὶ ὑπὸ τῶν δεομένων μου προστάτην γενέσθαι, καὶ ὑπὸ τῶν δώρων ὧν ἐδίδοσάν μοι, καὶ ὑπ' ἀνθρώπων, οἵ με κολακεύοντες ἔλεγον, ὡς, εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο, καὶ μέγιστος ἂν εἴην ἀνθρώπων, ὑπὸ τοιούτων δὲ λόγων ἀναφυσώμενος, ὡς προείλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν
24 στρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιστος γενέσθαι· ἀγνοῶν ἄρα ἐμαυτόν, ὅτι σοὶ ἀντιπολεμεῖν ἱκανὸς ᾤμην εἶναι, πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι· τῶν δ' ἐμῶν προγόνων ἀκούω τὸν πρῶτον βασιλεύσαντα ἅμα τε βασιλέα καὶ ἐλεύθερον γενέσθαι. Ταῦτ' οὖν

§. 23. *πάντες ἂν ἐμοὶ*] *πάντ' ἂν ἐμοί* Vat. Minus statim dubitavi cum eodem libro *προείλοντο* vulgatae *εἵλοντο* praeferre.

§. 24. *δὲ διὰ βασιλέων πεφυκότι*] *δὲ βασιλέων πεφ.* Vat. ut V. 5, 8.

ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν] »Non foret soloecismus *ἐμὲ οὐκ ἔφην εἰδέναι*. V. Bosii Ellips. p. 224. coll. not. ad Sophocl. Oed. T. 958.« Schaeferi verba sunt in Demosth. Apparat. T. II. p. 437. Neque secus iudicant alii grammatici, quos laudavi ad V. 1, 21. assentiente Stallbaum. ad Platon. Vol. I. P. III. p. 28. 156. 162. et Matth. §. 536. not. Commemoravi haec, non quo velim quemquam h. l. vel legere vel cogitatione addere *εἶναι*, sed ne quis *εἶναι* neget Graecum esse. Nam *ὄντα* hic omissum esse elucet ex annot. ad III. 3, 67.

§. 23. *Νῦν δ' αὖ*] Vid. Matth. §. 607. Referuntur autem, quae affert Croesus, ad VI. 1, 25. c. 2, 9.

ὑπὸ τοιούτων δὲ λόγων] Non sine quadam vi *δέ* iterari vix est quod dubites. Cf. Stallbaum l. l. p. 154.

§. 24. *ἐκ θεῶν γεγονότι*] Perseus enim Iovis ex Danaë filius esse a Graecis existimabatur. Vid. ad I. 2, 1.

πρῶτον μέν — ἔπειτα δέ — ἔπειτα δέ] Usitatius esse dicit *πρῶτον μέν — ἔπειτα δέ — ἔτι δὲ καί* Heindorf. ad Platon. Phaedon. p. 144. a quo comparatorum exemplorum numerum auxit Stallbaum l. l. P. II. p. 127.

ἅμα τε βασιλέα καὶ ἐλεύθερον] *Erat autem regius pastor*, inquit de Gyge Cic. de offic. III. 9, 38. ubi consulendi sunt interpretes.

ἀγνοήσας δικαίως, ἔφη, ἔχω τὴν δίκην. Ἀλλὰ νῦν 25
γὰρ δή, ἔφη, ὦ Κῦρε, γιγνώσκω μὲν ἐμαυτόν· σὺ
δ', ἔφη, δοκεῖς ἔτι ἀληθεύσειν τὸν Ἀπόλλω, ὡς εὐ-
δαίμων ἔσομαι γιγνώσκων ἐμαυτόν; Σὲ δ' ἐρωτῶ διὰ
τοῦτο, ὅτι ἄριστ' ἄν μοι δοκεῖς εἰκάσαι τοῦτο ἐν τῷ
παρόντι· καὶ γὰρ δύνασαι ποιῆσαι.

Cyri clementia erga Croesum.

Καὶ ὁ Κῦρος εἶπε, Βουλήν μοι δὸς περὶ τού- 26
του, ὦ Κροῖσε· ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν
εὐδαιμονίαν οἰκτείρω τέ σε, καὶ ἀποδίδωμι ἤδη γυ-
ναῖκά τε ἔχειν, ἣν εἶχες, καὶ τὰς θυγατέρας, ἀκούω
γάρ σοι εἶναι, καὶ τοὺς φίλους, καὶ τοὺς θεράποντας,
καὶ τράπεζαν, σὺν οἵαπερ ἐζῆτε· μάχας δέ σοι καὶ
πολέμους ἀφαιρῶ. Μὰ Δία μηδὲν τοίνυν, ἔφη ὁ 27
Κροῖσος, σύ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ
τῆς ἐμῆς εὐδαιμονίας· ἐγὼ γάρ ἤδη σοι λέγω, ἢν
ταῦτά μοι ποιήσῃς, ἃ λέγεις, ὅτι, ἣν ἄλλοι τε μακα-

§. 25. *Ἀλλὰ νῦν γὰρ δή*] Hoc suasit Alt. *Ἀλλὰ νῦν γ'* non minus dubium quam *Ἀλλὰ νῦν δή.*
δοκεῖς] *εἰ δοκεῖς* Gabr. Alt. i. e. *ἦ δοκεῖς.*

§. 27. *σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι*] *σὺν ἐμοὶ ὅτι βουλεύου ἀποκρ.* Vat. ac fieri potest, ut Xen. nihil nisi hoc dederit: *σὺν ἐμοὶ ἔτι βουλεύου περὶ τῆς* etc.

ἔχω τὴν δίκην] poenas do. Wyttenbach. Animadv. in Plutarch. p. 952: reddit poenas dedi, praeter necessitatem, quia qui dicunt *ἔχομεν τὴν δίκην*, quo tempore loquuntur, adhuc poenam persolvunt. Vidit tamen idem eandem formulam diversa quoque significatione poni solere, quam tetigi ad Anab. VII. 4, 24. Cf. Schaefer. ad Eurip. Porson. Orest. 606. ed. tert.

§. 26. *Βουλήν μοι δὸς περὶ τούτου*] Consilium mihi dato hac de re, nempe quomodo efficiam, ut felix evadas, nam etc.
μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ] Lenting. in Novis Act. Societ. Rheno-traiect. P. I. p. 48. »Hunc Atticismum, inquit, Xenophonti redde e Ms. Leidensi K. Π. VII. p. 183. D. *μάχας δέ σε καὶ πολέμους ἀφαιρῶ.*« Utinam huius Atticismi vel unum exemplum idque certum et indubitatum viro minime inerudito afferre placuisset! Interim vid. ad VII. 1, 44.

§. 27. *μηδὲν — σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ τῆς ἐμῆς εὐδαιμονίας*] Bene Fischerus: noli tu amplius tecum deliberare, quid mihi respondeas de mea felicitate. *Gehe du nicht weiter mit dir zu Rathe* etc.

ϱιωτάτην ἐνόμιζον εἶναι βιοτὴν καὶ ἐγὼ συνεγίγνωσκον
28 αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω. Καὶ ὁ Κῦ-
ϱος εἶπε, Τίς δὴ ὁ ἔχων ταύτην τὴν μακαρίαν βιο-
τήν; Ἡ ἐμὴ γυνή, εἶπεν, ὦ Κῦϱε· ἐκείνη γὰϱ τῶν
μὲν ἀγαθῶν καὶ τῶν μαλακῶν καὶ εὐφϱοσυνῶν πασῶν
ἐμοὶ τὸ ἴσον μετεῖχε, φϱοντίδων δὲ, ὅπως ταῦτα ἔσται,
καὶ πολέμου καὶ μάχης οὐ μετῆν αὐτῇ. Οὕτω δὴ
καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν, ὥςπεϱ ἐγὼ ἣν ἐφί-
λουν μάλιστ' ἀνθϱώπων· ὥςτε τῷ Ἀπόλλωνι ἄλλα μοι
29 δοκῶ χαϱιστήϱια ὀφειλήσειν. Ἀκούσας δὲ ὁ Κῦϱος
τοὺς λόγους αὐτοῦ, ἐθαύμασε μὲν τὴν εὐθυμίαν, ἥγετο
δὲ τὸ λοιπὸν ὅποι καὶ αὐτὸς ποϱεύοιτο, εἴτ' ἄϱα καὶ
χϱήσιμόν τι νομίζων αὐτὸν εἶναι, εἴτε καὶ ἀσφαλέστε-
ϱον οὕτως ἡγούμενος.

CAPUT III.

Cyrus audita morte Abradatae funus ei splendidum parat: cumque Panthea prope maritum gladio incubuisset, utrique amplissimum poni iubet monumentum.

1 Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. Τῇ δ' ὑστεϱαίᾳ
καλέσας ὁ Κῦϱος τοὺς φίλους καὶ τοὺς ἡγεμόνας τοῦ
στϱατεύματος, τοὺς μὲν αὐτῶν ἔταξε τοὺς θησαυϱοὺς
παϱαλαμβάνειν, τοὺς δ' ἐκέλευσεν, ὁπόσα παϱαδοίη
Κϱοῖσος χϱήματα, πϱῶτον μὲν τοῖς θεοῖς ἐξελεῖν ὁποῖα
ἂν οἱ μάγοι ἐξηγῶνται, ἔπειτα τὰ ἄλλα χϱήματα παϱα-

§. 29. ἥγετο δέ] ἦγε δέ codd.

καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς] Non repetita verba sunt, quae suppleri poterant facillime: καὶ ἣν ἐγὼ συνεγίγνωσκον αὐτοῖς μακαριωτάτην εἶναι.

§. 28 ὥςπεϱ ἐγὼ ἣν ἐφίλουν μάλιστ' ἀνθϱώπων] ὥςπεϱ ἐγὼ κατεσκεύαζον ταύτην, ἣν ἐφίλουν μάλιστα ἀνθϱώπων, quod postremum nostrates hic quoque exprimunt, ut dixi ad II. 2, 17.

Cap. III. §. 1. ὁποῖα ἂν οἱ μάγοι ἐξηγῶνται] ὁποῖα οἱ μάγοι ἐξηγοῖντο postulabant grammaticae praecepta, sicut paulo post ὅποιπεϱ αὐτοὶ ποϱεύοιντο, sed frequentatur etiam coniunctivus ille non aliter, ac si imperativi ἐξέλετε et κομίζετε antecessissent. Matth. §. 527.

δεχομένους ἐν ζυγάστροις στήσαντας ἐφ' ἁμαξῶν ἐπι-
σκευάσαι καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν, ὅποι-
περ ἂν αὐτοὶ πορεύωνται· ἵνα, ὅπῃ καιρὸς εἴη, δια-
λαμβάνοιεν ἕκαστοι τὰ ἄξια. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν.
Ὁ δὲ Κῦρος καλέσας τινὰς τῶν παρόντων ὑπηρε- 2
τῶν, Εἴπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάταν;
Θαυμάζω γάρ, ἔφη, ὅτι πρόσθεν θαμίζων ἐφ' ἡμᾶς
νῦν οὐδαμοῦ φαίνεται. Τῶν οὖν ὑπηρετῶν τις ἀπε- 3
κρίνατο, ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ
ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ
δ' ἄλλοι πλὴν τῶν ἑταίρων αὐτοῦ ἐξέκλιναν, ὥς φασιν,
ἐπεὶ τὸ στῖφος εἶδον τὸ τῶν Αἰγυπτίων. Καὶ νῦν γε, 4
ἔφη, λέγεται αὐτοῦ ἡ γυνή, ἀνελομένη τὸν νεκρὸν
καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ἧπερ αὐτὴ ὠχεῖτο,
προςκεκομικέναι αὐτὸν ἐνθάδε ποι πρὸς τὸν Πακτωλὸν
ποταμόν. Καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θερά- 5
ποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην
τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται
χαμαὶ κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν

§. 1. *διαλαμβάνοιεν ἕκαστοι*] *διαλαμβάνοι ἕκαστος* Vat. Si quid mutandum est, sequar equidem Zonaram.

§. 2. *ἐφ' ἡμᾶς*] *ἐφ' ὑμᾶς* vitiose Popp.

ἐν ζυγάστροις] Zonar. Lex. p. 962. Ζύγαστρον· κιβωτός· κυρίως δὲ ξυλίνη σορός – Ξενοφῶν· τὰ δὲ ἄλλα χρήματα παραδεχομένους ἐν ζυγάστροις κομίζειν, ἵνα, ὅπῃ καιρὸς εἴη, διαλαμβάνοιεν ἕκαστος τὰ ἄξια. Vid. interprett. ad Soph. Trachin. 692.

ἵνα, ὅπῃ καιρὸς εἴη, διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια] Sententia, quae Schneiderum morabatur, non potest alia esse, quam haec: ut suo tempore dignum quisque praemium reciperet, uti transtulit Gabr. In *διαλαμβάνειν* et dispertiendi et accipiendi latet notio.

§. 3. *ὅτι, ὦ δέσποτα*] Supplendum *οὐδαμοῦ φαίνεται, ὅτι*.

§. 4. *προςκεκομικέναι αὐτόν*] Abundat *αὐτόν* post *τὸν νεκρόν* more Graccis pervulgato, quo de vid. Matth. §. 472. et not. ad I. 3, 15.

§. 5. *αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην*] *αὐτοῦ* adverbium est ad verba *πρὸς τὸν Πακτωλὸν ποταμὸν* trahendum, quod accuratius designant illa *ἐπὶ λόφου τινός*, cll. not. ad I. 3, 15. VII. 1, 23. Constat autem apud Persas non licuisse cadavera igni cremari, vel rogo imponi, sed moris fuisse terrae reddi humarique. Vid. Zeun. ad VIII. 7, 25. et Baehr. ad Ctes. p. 205.

τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται] Vid. Buttm. §. 151. (138.) 6. et Rost. §. 122. 8.

6 αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. Ταῦτα ἀκούσας ὁ Κῦ-
ρος ἐπαίσατο ἄρα τὸν μηρὸν, καὶ εὐθὺς ἀναπηδήσας
ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας ἤλαυνεν ἐπὶ τὸ
7 πάθος. Γαδάταν δὲ καὶ Γωβρύαν ἐκέλευσεν ὅ τι δύ-
ναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ
τετελευτηκότι μεταδιώκειν· καὶ ὅςτις εἶχε τὰς ἑπομένας
ἀγέλας, καὶ βοῦς καὶ ἵππους εἶπε τούτῳ καὶ ἄλλα
πρόβατα πολλὰ ἐλαύνειν ὅπῃ ἂν αὐτὸν πυνθάνηται
ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτᾳ.
8 Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ
τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει καὶ
εἶπε, Φεῦ, ὦ ἀγαθὴ καὶ πιστὴ ψυχὴ, οἴχῃ δὴ ἀπο-
λιπὼν ἡμᾶς; καὶ ἅμα ἐδεξιοῦτο αὐτόν, καὶ ἡ χεὶρ τοῦ
νεκροῦ ἐπηκολούθησεν· ἀπεκέκοπτο γὰρ κοπίδι ὑπὸ
9 τῶν Αἰγυπτίων. Ὁ δὲ ἰδὼν πολὺ ἔτι μᾶλλον ἤλγησε
καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη δὴ παρὰ τοῦ
Κύρου ἐφίλησέ τε τὴν χεῖρα καὶ πάλιν ὡς οἷόν τ' ἦν
10 προςήρμοσε· καὶ εἶπε, Καὶ τἄλλα τοι, ὦ Κῦρε, οὕτως

§. 7. *καὶ ἄλλα πρόβατα*] Revocavi adversantibus codicibus, quibuscum *καὶ ἅμα πρ.* P. receperat manifestam grammatici emendationem, nisi quis ortam malit statuere ex *καὶ ἄλλα ἅμα πρ.* [Fort. *καὶ ἵππους, εἶπε τ. καὶ ἄλλα καὶ πρόβατα π. ἐ.* F. I.].

§. 10. *τἄλλα τοι*] Malim *τἄλλα σοι.*

§. 6. *ἐπαίσατο ἄρα τὸν μηρόν*] Luctus hoc signum fuit tam apud mares quam apud feminas. Iliad. XII. 162. *ᾤμωξέν τε καὶ ὢ πεπλήγετο μηρὼ Ἄσιος Ὑρτακίδης.* Od. XIII. 198 Ovid. Metam. XI. 81. *Et conata femur maerenti plangere dextra.* Aliter dolent III. 1, 13. VI, 4 Sed mentem advertit etiam illud *ἄρα*, cuius ratio haud impar est ei, quam observes Apolog. §. 28. *Παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ἰσχυρῶς αὐτοῦ, ἄλλως δ' εὐήθης, εἶπεν ἄρα.* Platon. Sympos. p. 37. Stallb. *Ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέφασαν.* Lucian. Tox. c. XII. Iacob. *ὁ δὲ Δεινίας ἐπλούτει ἄρα εἰς ὑπερβολήν.* Cyrop. I. 4, 10.

§. 7. *καλὸν κόσμημα*] Graeci *ἐντάφιον* vocare consuerant. Alcestis moritura in Eurip. Alc. 161. *ὕδασι ποταμίοις λευκὸν χρόα ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων ἐσθῆτα κόσμον τ', εὐπρεπῶς ἠσκήσατο.* Alia ibidem comparantur a Monkio et Wuestem.

καὶ ἄλλα πρόβατα] et alia animalia, quae sunt pecudes, vel et praeterea pecudes. Vid. ad VI. 3, 11.

§. 8 *ἀπεκέκοπτο γὰρ κοπίδι*] Plutarch. Artax. c. 13. de Cyro min. in proelio occiso tradit: *κατὰ δή τινα νόμον Περσῶν ἡ δεξιὰ χεὶρ ἀπεκόπη καὶ ἡ κεφαλὴ τοῦ σώματος.* Philostr. Imag. p. 67. 27. *τὸ γὰρ κατακόπτειν πρὸς*

ἔχει· ἀλλὰ τί δεῖ σε ὁρᾶν; Καὶ ταῦτ', ἔφη, οἶδ' ὅτι δι' ἐμὲ οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σέ, ὦ Κῦρε, οὐδὲν ἧττον. Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη· αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει, τί πείσοιτο, ἀλλὰ τί ἂν ποιήσας σοι χαρίσαιτο. Καὶ γὰρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη ζῶσα παρακάθημαι. Καὶ ὁ 11
Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο· Ἀλλ' οὗτος μὲν δή, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε· σὺ δὲ λαβοῦσα τοῖσδε ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ· παρῆν δὲ ὁ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν καὶ καλὸν κόσμον φέροντες· ἔπειτα δ', ἔφη, ἴσθι, ὡς οὐδὲ τὰ ἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ἡμῶν, καὶ ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. Καὶ 12

§. 11. **ἴσθι, ὡς οὐδέ**] Sic G. Pariss. al. pro ἴσθι, ὅτι οὐδέ.

τρόπου τῇ τοιαύτῃ μάχῃ. Supplicii genus hoc ceteris honestius a Persis habitum fuisse suspicio est Baehrii ad Ctes. p. 208.

§. 10. τί δεῖ] quid iuvat. Sic etiam III. 1, 12. et alibi saepissime.

Καὶ ταῦτ', ἔφη, οἶδ' ὅτι] Leve est nec indignum tamen, de quo tirones facili errore in talibus labentes admoneantur, ut ne ταῦτα cum οἶδα copulent. Paulo post pronomina αὐτὸς οὗτος, ipse hic, eadem formula intercedente diremta sunt.

παρακελευομένη] Aoristum poscit Schneiderus, iniuria, ut arbitror. Participium est imperfecti, quod lectori tempus in mentem revocat, quo maritum exhortabatur mulier. Cf. Schaef. Apparat. Demosth. III. p. 524.

§. 11. ἴσθι, ὡς οὐδέ] V. 4, 42. οἶδα, ὡς ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν πάλιν ἀπαρασκευαστότατα τὰ ἑαυτοῦ φανεῖται. III. 3, 39. εὖ δ' ἐπίστασθε, ὡς — καὶ τούτους καὶ ἄλλους πολλοὺς οὐ λόγῳ ἀλλ' ἔργῳ θαρσεῖν διδάξετε. Conviv. VIII. 3. Ἑρμογένη γε μὴν τίς ἡμῶν οὐκ οἶδεν, ὡς — ἔρωτι κατατήκεται. Ibid. IV. 2. διὰ τὸ εἰδέναι, ὡς ἔστιν ὅτου πριάμενοι τὰ ἐπιτήδεια ἕξουσιν. Ut toties dicatur δῆλον, ὅτι, tamen non inauditum est δῆλον, ὡς, quae formula inter alia occurrit supra I. 5, 11. δῆλον ὡς τῶν μεγίστων παιδευμάτων ἀπείρως ἔχουσιν. Conviv. IV. 47. ὡς μὲν καὶ Ἕλληνες καὶ βάρβαροι τοὺς θεοὺς ἡγοῦνται πάντα εἰδέναι — εὔδηλον. Soph. Philoct. 162. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ στίβον ὀγμεύει τόνδε πέλας που. Demosth. Coron. p. 203. 10. Bekk. δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο. Aliud exemplum habet, sed dubium, Schaefer ad Gregor. Cor. p. 531.

σὺ δέ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ σε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἄλλα τιμήσω, καὶ συστήσω, ὅςτις ἀποκομίσει σε ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον δ', ἔφη, δήλωσον πρὸς ἐμὲ, πρὸς ὅντινα χρῄζεις κομισθῆναι. Καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θάῤῥει, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω, πρὸς ὅντινα
13 βούλομαι ἀφικέσθαι. Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῄει, κατοικτείρων τήν τε γυναῖκα, οἵου ἀνδρὸς στέροιτο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι, ἕως ἄν, ἔφη, τόνδε ἐγὼ ὀδύρωμαι, ὡς βούλομαι· τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα
14 ἐν ἑνὶ ἱματίῳ. Ἡ δὲ τροφὸς πολλὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε καὶ χαλεπαίνουσαν ἑώρα,

§. 12. ἀποκομίσει] Optimi quique tenent libri pro ἀποκομιεῖ. Vid. ad II. 3, 22. Sequens μόνον δ', ἔφη debetur Vat. μόνον, ἔφη edd.

§. 12. καὶ τἄλλα τιμήσω, καὶ συστήσω] cum aliis (imo ceteris, quibus decet) te honoribus afficiam, tum cuipiam commendabo. Gabr. Cf. ad pag. 31.

οὐ μή σε κρύψω] Soph. Oed. Col. 174. Herm. οὔ τοι μή ποτέ σ' ἐκ τῶνδ' ἑδράνων, ὦ γέρον, ἄκοντά τις ἄξει. Matth. §. 517. §. 609. annot. ad I. 3. exeunt.

§. 13. οἵου ἀνδρὸς στέροιτο] Platon. Sympos. p. 123. ed. Stallb. τοὺς ἄλλους ποιητὰς τοὺς ἀγαθοὺς ζηλῶν, οἷα ἔκγονα ἑαυτῶν καταλείπουσιν. Soph. Oed. R. 694. Herm. Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει. Matth. §. 480. Scripsi autem στέροιτο pro στεροῖτο, quia Buttmanno teste in gram. max. T. II. p. 230, cui Matthiae in Addend. p. 535. assentiri videtur, στεροῦμαι, privor, dubiae est fidei, στέρομαι vero, privatus sum, huic loco melius convenit.

τῇ δὲ τροφῷ] Barbaris Graecorum mores tribui ait Weiskius, ut qui mulieres nutricibus s. educatricibus commiserint, quae illas tuerentur neque unquam ab iis discederent. Ac sane Plato Alcib. I. c. 36. τρέφεται ὁ παῖς οὐχ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ' ὑπ' εὐνούχων, οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι, sed idem tamen in Legg. III. 12. p. 695. quae tradidit de Cyro maiore, περιεῖδεν ὑπὸ γυναικῶν τε καὶ εὐνούχων παιδευθέντας αὐτοῦ τοὺς υἱέας, cll. Herodt. I. 136., ex his elucere videtur, ut maribus per plures annos, ita feminis per totam vitam adfuisse nutrices.

ἐκάθητο κλαίουσα. Ἡ δὲ ἀκινάκην πάλαι παρεσκευα-
σμένη σφάττει ἑαυτήν, καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ
ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν ἀπέθνησκεν. Ἡ δὲ τρο-
φὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ
ἡ Πάνθεια ἐπέστειλεν. Ὁ δὲ Κῦρος ὡς ᾔσθετο τὸ 15
ἔργον τῆς γυναικός, ἐκπλαγεὶς ἵεται, εἴ τι δύναιτο
βοηθῆσαι. Οἱ δὲ εὐνοῦχοι, ἰδόντες τὸ γεγενημένον,
τρεῖς ὄντες, σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας ἀπο-
σφάττονται, οὗπερ ἔταξεν αὐτούς, ἑστηκότες. Καὶ 16
νῦν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν εὐνούχων κεχῶσθαι
λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ τοῦ ἀνδρὸς καὶ τῆς
γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια γράμ-

§. 14. παρεσκευασμένη] παρασκευασαμένη alii praeferunt.
§. 16. Καὶ νῦν τὸ μνῆμα] Invertunt fere omnes inde a Weiskii aetate §. 16. et 17. contra quam libri iusserunt atque ipse statui Epilog. p. 28. cl. not. ad II. 2, 13. Anab. V. 8, 18. Cyr. VII. 5, 11. Totam hanc sectionem negavit Xenophontis esse Dind., sed vid. VII. 5, 64.

§. 14. ἀκινάκην πάλαι παρεσκευασμένη] i. e. ἀκινάκην πάλαι παρεσκευασμένον ἔχουσα αὐτῷ σφάττει ἑαυτήν. Vid. ad I. 5 fin. et Matth. §. 493.

§. 15. κἀκεῖνοι] Non sine gravitate iterato pronomine, quamvis eximius ceteroquin codex ignoret, quis textum audeat privare? Minime Matth. §. 472. b. p. 877. cl. not. ad I. 4, 19.

οὗπερ ἔταξεν αὐτούς] sc. ἑστηκέναι, quanquam quidquam subaudiatur nihil opus est. Simile fidei documentum exhibuit Artapates Anab. I. 8, 28. Ἀρταπάτης δ' ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεράπων λέγεται, ἐπειδὴ πεπτωκότα εἶδε Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν αὐτῷ. Καὶ οἱ μὲν βασιλέα φασὶ κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν Κύρῳ· οἱ δὲ ἑαυτὸν ἐπισφάξασθαι σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν. Adi etiam locum infra cap. 5, 64.

§. 16. Καὶ νῦν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν εὐνούχων κεχῶσθαι λέγεται] Turbata hic plura videntur interpretibus quum in singulis verbis tum in ipsa narratione. Nam nec sanae orationis speciem prae se ferunt verba καὶ νῦν – μέχρι τοῦ νῦν, quibus defendendis vix sufficiunt vel apud Thucyd. VIII. 73. scripta καὶ Σάμον – δι' ἣν μόνον μέχρι νῦν ἡ ἀρχὴ αὐτοῖς ἐς τοῦτο ξυνέμεινεν, iam a Wassio in dubitationem vocata, vel quae minorem etiam similitudinem habent, locutiones νῦν ἐν τῷ παρόντι, μέχρι τούτου μέχρι τοῦ, et coniecturae quum ceterae, quas viri docti excogitarunt, displicent, tum καὶ τοίνυν τὸ μνῆμα, hoc ut sit et vero sepulcrum. Ad rem quod attinet, quum veteres notas suas soleant ipsis textis inserere, sententiarum nexum, quem interpellarint, postea receptari, non inepte poterunt omnia haec Οἱ δὲ εὐνοῦχοι §. 15. usque ad §. 17. Ὁ δὲ Κῦρος parentheseos signis circumdari.

ματα· κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας, καὶ ἐπιγε-
17 γράφθαι, ΣΚΗΠΤΟΥΧΩΝ. Ὁ δὲ Κῦρος ὡς ἐπλησίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος ἀπῄει· καὶ τούτων μὲν ᾗ εἰκὸς ἐπεμελήθη, ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασι.

CAPUT IV.

Carum controversias callide componit Adusius.

1 Ἐκ δὲ τούτου στασιάζοντες οἱ Κᾶρες καὶ πολεμοῦντες πρὸς ἀλλήλους, ἅτε τὰς οἰκήσεις ἔχοντες ἐν ἐχυροῖς χωρίοις, ἑκάτεροι ἐπεκαλοῦντο τὸν Κῦρον. Ὁ δὲ Κῦρος αὐτὸς μὲν μένων ἐν Σάρδεσι μηχανὰς ἐποιεῖτο καὶ κριούς, ὡς τῶν μὴ πειθομένων ἐρείψων τὰ τείχη, Ἀδούσιον δέ, ἄνδρα Πέρσην, καὶ τἆλλα οὐκ ἄφρονα οὐδ' ἀπόλεμον, καὶ πάνυ δὴ εὔχαριν, πέμπει ἐπὶ τὴν Καρίαν, στράτευμα δούς· καὶ Κίλικες δὲ καὶ Κύπριοι πάνυ προθύμως αὐτῷ συνεστράτευ-
2 σαν. Ὧν ἕνεκα οὐδ' ἔπεμψε πώποτε Πέρσην σατρά-

§. 2. *οὐδ' ἔπεμψε πώποτε*] *οὐδ' ἔπεμπέ ποτε* Vat. Sed reperiuntur etiam alii loci, in quibus illud *πώ* aut nullam aut exiguam vim habet.

§. 17. *τούτων μὲν*] Refer ad Pantheam simul eiusque maritum et ad eunuchos. Minus aptum pronomen, ubi hae sectiones transponuntur. Zonaras: *Καὶ οἱ εὐνοῦχοι γνόντες τὸ γεγενημένον, τρεῖς ὄντες, σπασάμενοι τοὺς ἀκινάκας σφάττονται. Ὁ δὲ Κῦρος ὡς ᾔσθετο τὸ ἔργον τῆς γυναικὸς ηγάσθη τε αὐτὴν καὶ κατωλοφύρατο, καὶ μνῆμα αὐτοῖς ἔχωσεν ὑπερμέγεθες, θάψας αὐτοὺς μεγαλοπρεπῶς.* Picturam Panthene morientis habet Philostr. Imag. II. 10. p. 67. 450 sqq. edit. Iacobs.; neque amorem eius ignoravit Max. Tyr. XXVIII. 5. ubi vid. Davis.

Cap. IV. §. 1. *ἐρείψων τὰ τείχη*] Eustathius ad Homer. Iliad. p. 1019. v. 64: *Καιρία δὲ λέξις*, inquit, *ποιηταῖς τὸ ἐρείπειν, ὅ ἐστι καταβάλλειν.* Hinc *κατερείψων τὰ τείχη* ex codd. deterioribus recepit Schneid. Sed usus est verbo simplici praeter seriores scriptores etiam Herodt. I. 164. IX. 70. Eustathium refellente Lennepio ad Phalar. Epp. p. 22. ed. Schaef.

Κίλικες δὲ καὶ Κύπριοι] Sequuti fuerant Croesum VI. 2, 10., quo victo excitati haud dubie a Cyro arma cum Persis contulerunt, vid. VIII. 6, 8.

πην οὔτε Κιλίκων οὔτε Κυπρίων, ἀλλ' ἦρχουν αὐτῷ ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες· δασμὸν μέντοι ἐλάμβανε, καὶ στρατιᾶς, ὁπότε δέοιτο ἐπήγγελλεν αὐτοῖς. 3
Ὁ δὲ Ἀδούσιος ἄγων τὸ στράτευμα ἐπὶ τὴν Καρίαν ἦλθε, καὶ ἀπ' ἀμφοτέρων τῶν Καρῶν παρῆσαν πρὸς αὐτὸν ἕτοιμοι ὄντες δέχεσθαι εἰς τὰ τείχη ἐπὶ κακῷ τῶν ἀντιστασιαζόντων. Ὁ δὲ Ἀδούσιος πρὸς ἀμφοτέρους ταὐτὰ ἐποίει· δικαιότερά τε ἔφη λέγειν τούτους, ὁποτέροις διαλέγοιτο, λαθεῖν τε ἔφη δεῖν τοὺς ἐναντίους φίλους σφᾶς γενομένους, ὡς δὴ οὕτως ἂν μᾶλλον ἐπιπεσὼν ἀπαρασκεύοις τοῖς ἐναντίοις. Πιστὰ δ' ἠξίου γενέσθαι, καὶ τοὺς μὲν Κᾶρας ὀμόσαι ἀδόλως τε δέξασθαι εἰς τὰ τείχη σφᾶς καὶ ἐπ' ἀγαθῷ τοῦ Κύρου καὶ Περσῶν· αὐτὸς δὲ ὀμόσαι θέλειν ἀδόλως εἰςιέναι εἰς τὰ τείχη καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. Ταῦτα 4
δὲ ποιήσας ἀμφοτέροις λάθρα ἑκατέρων νύκτα συνέθετο τὴν αὐτήν, καὶ ἐν ταύτῃ εἰςήλατο εἰς τὰ τείχη, καὶ παρέλαβε τὰ ἐρύματα ἀμφοτέρων. Ἅμα δὲ τῇ

στρατιᾶς] στρατείας vulgo legitur.

§. 3. θέλειν ἀδόλως εἰςιέναι] θέλων Vat. εἰςιέναι Alt. et Paris. pro ἰέναι.

§. 2. ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες] Vid. ad c. 1. §. 1.

καὶ στρατιᾶς ὁπότε δέοιτο ἐπήγγελλεν αὐτοῖς] et exercitu quoties opus haberet, imperavit iis (exercitum). Thucyd. VII, 17. στρατιάν τε ἐπαγγέλλων ἐς τοὺς ξυμμάχους.

§. 3. ὡς δὴ οὕτως ἂν μᾶλλον ἐπιπεσών] i. e. ὡς δὴ εἰ οὕτως ἂν μᾶλλον ἐπιπέσοι, quasi vero hoc pacto facilius posset adoriri. Ex eodem genere locus est Thucyd. III. 37. ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην, quem acceptum refero industriae Matth. §. 598. b. p. 1197. Anab. I. 1, 10. αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους, καὶ τριῶν μηνῶν μισθόν, ὡς οὕτως περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν.

αὐτὸς δὲ ὀμόσαι θέλειν] Non ἠξίου repetendum cogitatione arbitror, sed ἔφη, quod latet in ἠξίου. Cf. quae de eius modi ellipsi observavi ad II. 4, 23. Hanc explicandi rationem qui probaverit, duce Vat. cod. legat αὐτὸς ὀμόσαι θέλων non necesse erit.

§. 4. εἰςήλατο] Formam probam iniuria spreverat Schneider. praeferendo interpretamento εἰςῆλθεν. Aeschyl. Pers. 310. Blomf. ἀφήλατο. Aristoph. Av. 1383. Dind. ἁλάμενος. Anab. VII. 3, 33. ἐξήλατο. Minus solutae orationis scriptorum ἡλόμην videtur proprium esse, si sequimur Buttmannum gr. max. II. p. 73. Cf. mea ad Anab. IV. 2, 17.

ἡμέρᾳ καθεζόμενος εἰς τὸ μέσον σὺν τῇ στρατιᾷ, ἐκά-
λεσεν ἑκατέρων τοὺς ἐπικαιρίους. Οἱ δὲ ἰδόντες ἀλ-
λήλους ἠχθέσθησαν, νομίζοντες ἐξηπατῆσθαι ἀμφότε-
5 ροι. Ὁ μέντοι Ἀδούσιος ἔλεξε τοιάδε· Ἐγὼ ὑμῖν, ὦ
ἄνδρες, ὤμοσα ἀδόλως εἰςιέναι εἰς τὰ τείχη καὶ ἐπ' ἀγα-
θῷ τῶν δεχομένων. Εἴπερ οὖν ἀπολῶ ὁποτέρους ὑμῶν,
νομίζω ἐπὶ κακῷ εἰςεληλυθέναι Καρῶν· ἢν δὲ εἰρήνην
ὑμῖν ποιήσω καὶ ἀσφάλειαν ἐργάζεσθαι ἀμφοτέροις
τὴν γῆν, νομίζω ὑμῖν ἐπ' ἀγαθῷ παρεῖναι. Νῦν οὖν
χρὴ ἀπὸ τῆςδε τῆς ἡμέρας ἐπιμίγνυσθαί τε ἀλλήλοις
φιλικῶς, ἐργάζεσθαί τε τὴν γῆν ἀδεῶς, διδόναι τε
τέκνα καὶ λαμβάνειν παρ' ἀλλήλων· ἢν δὲ παρὰ ταῦτα
ἀδικεῖν τις ἐπιχειρῇ, τούτοις Κῦρός τε καὶ ἡμεῖς ἐσό-
6 μεθα πολέμιοι. Ἐκ τούτου πύλαι μὲν ἀνεῳγμέναι ἦσαν
τῶν τειχῶν, μεσταὶ δὲ αἱ ὁδοὶ πορευομένων παρ' ἀλ-
λήλους, μεστοὶ δὲ οἱ χῶροι ἐργαζομένων· ἑορτὰς δὲ
κοινῇ ἦγον, εἰρήνης δὲ καὶ εὐφροσύνης πάντα πλέα
7 ἦν. Ἐν δὲ τούτῳ ἧκον οἱ παρὰ Κύρου ἐρωτῶντες,
εἴ τι στρατιᾶς προςδέοιτο ἢ μηχανημάτων· ὁ δὲ Ἀδού-
σιος ἀπεκρίνατο, ὅτι καὶ τῇ παρούσῃ ἔχειν ἀλλαχόσε
χρῆσθαι στρατιᾷ· καὶ ἅμα ταῦτα λέγων ἀπῆγε τὸ στρά-
τευμα, φρουροὺς ἐν ταῖς ἄκραις καταλιπών. Οἱ δὲ
Κᾶρες ἱκέτευον μένειν αὐτόν· ἐπεὶ δ' οὐκ ἤθελε, προς-
έπεμψαν πρὸς τὸν Κῦρον, δεόμενοι πέμψαι Ἀδούσιον
σφίσι σατράπην.

§. 7. προςέπεμψαν] συνέπεμψαν verius esse videtur.

εἰς τὸ μέσον] in locum aliquem, qui medius erat inter ambo castella, igitur in agros, sed relictis tamen in utroque castello necessariis praesidiis.

§. 5. ὁποτέρους ὑμῶν] Sine causa Poppo οὖν interseruerat a me deletum ob ea, quae notata sunt ad III. 2, 22.

διδόναι τε τέκνα καὶ λαμβάνειν] videlicet in matrimonium. Haec est ἐπιγαμία illa, quae Persis et Medis crimini vertebatur I. 5, 3.

τούτοις] Dictum de plurali numero hoc ad I. 2, 2.

§. 7. ὅτι καὶ – ἔχειν] Si qui scriptum habent ὅτι καὶ – ἔχει vel ἔχοι, falluntur corrigendo quae sanissima sunt. Vid. Matth. §. 539. et not. ad V. 4, 1.

δεόμενοι πέμψαι Ἀδούσιον σφίσι σατράπην] Quid sibi vult πέμψαι? Nonne rectius delebitur ut otiosum? Imo quem habet locum constanter retineat; neque enim Graecum esse videtur δεῖσθαί τινός τινα, tametsi recte dicitur δεῖσθαί τινός τι. Cf. Matth. §. 355. not. 2. p. 669 sq.

Phrygiam minorem donat Hystaspas.

Ὁ δὲ Κῦρος ἐν τούτῳ ἀπεστάλκει Ὑστάσπην, 8
στράτευμα ἄγοντα ἐπὶ Φρυγίαν τὴν περὶ Ἑλλήσπον-
τον. Ἐπεὶ δ' ἧκεν ὁ Ἀδούσιος, μετάγειν αὐτὸν ἐκέ-
λευσεν ᾗπερ ὁ Ὑστάσπης προῴχετο, ὅπως μᾶλλον πεί-
θοιντο τῷ Ὑστάσπῃ, ἀκούσαντες ἄλλο στράτευμα
προσιόν. Οἱ μὲν οὖν Ἕλληνες οἱ ἐπὶ θαλάττῃ οἰ- 9
κοῦντες πολλὰ δόντες δῶρα διεπράξαντο, ὥστε εἰς μὲν
τὰ τείχη βαρβάρους μὴ δέχεσθαι, δασμὸν δὲ ἀποφέ-
ρειν καὶ στρατεύειν ὅποι Κῦρος ἐπαγγέλλοι. Ὁ δὲ 10
τῶν Φρυγῶν βασιλεὺς παρεσκευάζετο μὲν ὡς καθέξων
τὰ ἐρυμνὰ καὶ οὐ πεισόμενος, καὶ παρήγγειλεν οὕτως·
ἐπεὶ δὲ ἀφίσταντο αὐτοῦ οἱ ὕπαρχοι καὶ ἔρημος ἐγί-
γνετο, τελευτῶν εἰς χεῖρας ἦλθεν Ὑστάσπῃ ἐπὶ τῇ
Κύρου δίκῃ. Καὶ ὁ Ὑστάσπης, καταλιπὼν ἐν ταῖς
ἄκραις ἰσχυρὰς Περσῶν φρουράς, ἀπῄει ἄγων σὺν
τοῖς ἑαυτοῦ καὶ Φρυγῶν πολλοὺς ἱππέας καὶ πελταστάς.
Ὁ δὲ Κῦρος ἐπέστελλεν Ἀδουσίῳ συμμίξαντα πρὸς 11
Ὑστάσπην τοὺς μὲν ἑλομένους Φρυγῶν τὰ σφέτερα σὺν
τοῖς ὅπλοις ἄγειν, τοὺς δ' ἐπιθυμήσαντας πολεμεῖν,

§. 10. παρήγγειλεν] Cum libris praetuli vulgato παρήγγελλεν.

§. 11. σὺν τοῖς ὅπλοις] Exstat etiam scriptura σὺν αὐτοῖς ὅπλοις, ex qua facili negotio comminiscaris αὐτοῖς τοῖς ὅπλοις.

§. 8. Φρυγίαν τὴν περὶ Ἑλλήσποντον] Phrygiam, quam II. 1, 5. diximus, minorem.

Ἐπεὶ δ' ἧκεν ὁ Ἀδούσιος] Quum autem rediisset Adusius, ad Cyri castra. Vid. §. 12. et Matth. §. 504. 2. Rost. §. 117. n. 3.

§. 9. Οἱ μὲν οὖν Ἕλληνες] VI. 2, 10. καὶ Ἴωνας δὲ καὶ Αἰολέας καὶ σχεδὸν πάντας τοὺς Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ κατοικοῦντας, σὺν Κροίσῳ ἠναγκάσθαι ἕπεσθαι. Male Zonaras de Phrygibus accepit.

§. 10. καὶ παρήγγειλεν οὕτως] atque ita ut facerent imperaverat castellorum suorum praefectis. Contra Gabr. minus recte: itaque sibi constitutum esse edixerat.

ἐπὶ τῇ Κύρου δίκῃ] ea conditione, ut Cyrus arbiter causae esset. Matth. §. 585. β. III. 1, 6. ἔξεστι γάρ σοι ἐπὶ δίκην καταβαίνειν.

πολλοὺς ἱππέας καὶ πελταστάς] nempe qui sponte cum Cyro stipendia mereri voluerant.

§. 11. συμμίξαντα] Ad infinitivum quam ad dativum maluit trahi; qui transitus ad accusativum apud Graecos longe frequentissimus. vid. not. ad V. 4, 20.

τοὺς δ' ἐπιθυμήσαντας πολεμεῖν] sed qui belligerare voluissent cum Gabaedo Phry-

τούτων ἀφελομένους τοὺς ἵππους καὶ τὰ ὅπλα, σφενδόνας ἔχοντας πάντας κελεύειν ἕπεσθαι.

Cyrus cum Croeso eiusque thesauris profectus Sardibus, in itinere Phrygibus, Cappadocibus Arabibusque bello subactis, petit Babylonem.

12 Οὗτοι μὲν δὴ ταῦτ' ἐποίουν. Κῦρος δὲ ὡρμᾶτο ἐκ Σάρδεων, φρουρὰν μὲν πεζὴν καταλιπὼν πολλὴν ἐν Σάρδεσι, Κροῖσον δὲ ἔχων, ἄγων δὲ πολλὰς ἁμάξας πολλῶν καὶ παντοδαπῶν χρημάτων. Ἧκε δὲ καὶ ὁ Κροῖσος γεγραμμένα ἔχων ἀκριβῶς ὅσα ἐν ἑκάστῃ ἦν τῇ ἁμάξῃ· καὶ διδοὺς τῷ Κύρῳ τὰ γράμματα εἶπε, Ταῦτα, ἔφη, ἔχων, ὦ Κῦρε, ἴσθι τόν τέ σοι ὀρθῶς ἀποδιδόν-
13 τα ἃ ἄγει, καὶ τὸν μή. Καὶ ὁ Κῦρος ἔλεξεν, Ἀλλὰ σὺ μὲν καλῶς ἐποίεις, ὦ Κροῖσε, προνοῶν· ἔμοιγε μέντοι ἄξουσι τὰ χρήματα οἵπερ καὶ ἔχειν αὐτὰ ἄξιοί εἰσιν· ὥστε, ἤν τι καὶ κλέψωσι, τῶν ἑαυτῶν κλέψονται. Καὶ ἅμα ταῦτα λέγων ἔδωκε τὰ γράμματα τοῖς φίλοις καὶ τοῖς ἄρχουσιν, ὅπως εἰδεῖεν τῶν ἐπιτρόπων οἵ τε σῶα αὐτοῖς
14 ἀποδιδοῖεν, οἵ τε μή. Ἦγε δὲ καὶ Λυδῶν οὓς μὲν ἑώρα

§. 12. Κροῖσον δὲ ἔχων, ἄγων δὲ πολλάς] Optime coni. Weiskius Κροῖσον δὲ ἄγων πολλάς.
ἴσθι] Praestat, opinor, εἴσῃ.
§. 13. ἐποίεις] Codd. ποιεῖς edd. Tu quidem recte faciebas, quod providebas.

gum rege, contra Persas. Male Zeun. cupidos rebellandi, novarum rerum cupidos, quasi scriptum legisset τοὺς δ' ἐπιθυμοῦντας πολεμεῖν.
τούτων ἀφελομένους] Quot verba, tot structurae anomaliae. Nimirum noluit τούτους, ut ambiguitatem quamvis et duritiem evitaret; noluit ἀφελόμενον, quo ne Hystaspam ab hoc negotio excluderet. Nihili igitur faciendum est ἀφελομένων i. e. ἀφελόμενον, e Vat. depromtum.
§. 12. φρουρὰν μὲν πεζήν] Quia maiorem numerum peditum habebat quam equitum, quorum opera opus erat in obsidenda et expugnanda Babylone. Ita bene defendit πεζήν Fischerus prae altera Περσικήν.
ἁμάξας πολλῶν καὶ παντοδαπῶν χρημάτων] ἁμάξας σίτου habes II. 4, 18. ἁμάξαι πετρῶν Anabas. IV. 7, 10. ἁρμαμάξας γυναικῶν Cyr. IV. 3, 1. Matth. §. 355. p. 670.
Ἧκε δὲ καί] Advenerat vero etiam Croesus ad Cyrum haud dubie ante profectionem.
§. 13. τῶν ἑαυτῶν κλέψονται] de suis sibi surripient. Luciani verborum Pseudosophist. c. 4. καὶ μὴν εἰ ταῦτα ἀγνοήσομεν, οὐδὲν γνωσόμεθα

καλλωπιζομένους καὶ ὅπλοις καὶ ἵπποις καὶ ἅρμασι, καὶ πάντα πειρωμένους ποιεῖν, ὅ τι ᾤοντο αὐτῷ χαριεῖσθαι, τούτους μὲν σὺν τοῖς ὅπλοις· οὓς δὲ ἑώρα ἀχαρίστως ἑπομένους, τοὺς μὲν ἵππους αὐτῶν παρέδωκε Πέρσαις τοῖς πρώτοις συστρατευομένοις, τὰ δὲ ὅπλα κατέκαυσε· σφενδόνας δὲ καὶ τούτους ἠνάγκασεν ἔχοντας ἕπεσθαι. 15 *Καὶ πάντας δὲ τοὺς ἀόπλους τῶν ὑποχειρίων γενομένων σφενδονᾶν ἠνάγκαζε μελετᾶν, νομίζων τοῦτο τὸ ὅπλον δουλικώτατον εἶναι· σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἔστιν ἔνθα ἰσχυρῶς ὠφελοῦσι σφενδονῆται παρόντες, αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας σὺν ὅπλοις ἀγχεμάχοις.*

16 *Προϊὼν δὲ τὴν ἐπὶ Βαβυλῶνος κατεστρέψατο μὲν Φρύγας τοὺς ἐν τῇ μεγάλῃ Φρυγίᾳ, κατεστρέψατο δὲ Καππαδόκας, ὑποχειρίους δ' ἐποιήσατο Ἀραβίους·*

τῶν ἑαυτῶν patrocinium suscepit Fritsch. Lucian. Alex. p. 156. Thucyd. I. 53. *εἰ δὲ ἐπὶ Κέρκυραν πλευσεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίων.* His suppleta volui quae ad VI. 1, 15. notantur.

§. 14. *πάντα – ὅ τι*] Cave corrigendum putes, atque consule nos ad V. 3, 50.

τοὺς μὲν ἵππους αὐτῶν] Equitatu imprimis excelluerunt Lydi: *ἡ δὲ μάχη σφέων ἦν ἀπ' ἵππων, δούρατά τε ἐφόρεον μεγάλα, καὶ αὐτοὶ ἦσαν ἱππεύεσθαι ἀγαθοί.* Herodt. I. 79.

τοῖς πρώτοις συστρατευομένοις] V. 4, 32. *τὸ τῶν Περσῶν ἱππικὸν θᾶττον ἐκπληρώσω εἰς τοὺς μυρίους ἱππέας.* VI. 2, 7. *οἱ Πέρσαι ἱππεῖς ἔκπλεῳ ἤδη ἦσαν εἰς τοὺς μυρίους.* Triginta autem millia Persarum et mille homotimi I. 5, 5. una cum Cyro patria egressi erant. Nescio igitur, quomodo Schneiderus scribere potuerit: »priores illi Persae, Cyri exeuntis comites, omnes equitum ornamenta iam diu acceperant et munia fungebantur a prima inde expeditione.« Imo consentaneum erat ante omnia eos, qui primi cum Cyro militatum exibant, equos accipere, deinde ceteros Persas, qui nuper demum ad Cyrum e Perside arcessiti fuerant, denique socios, qui equis adhuc destituti erant. Hoc certe facit Cyrus §. 16.

§. 15. *μάλα ἔστιν ἔνθα ἰσχυρῶς*] Observa diremtum ab adverbio adverbium, qualia exempla dedi ad I. 6, 39. De *ἔστιν ἔνθα* similibusque formulis scripserunt Matth. §. 482. not. 2. Viger. p. 235 sq. Buttm. §. 150. p. 439 sq. Latini pariter est ubi dixerunt docente Ramshorn. gr. §. 184. p. 550. et Ruddimann. Institut. II. p. 349. Ceterum fundarum vim usumque in levibus armis gravissimum fuisse discas ex Onosandri Strateg. c. 19.

§. 16. *Ἀραβίους*] Tum hos tum ceteros populos commemoraveram ad I. 1, 4. I. 5, 2. II. 1, 5.

ἐξέπλησε δὲ ἀπὸ πάντων τούτων Περσῶν μὲν ἱππέας οὐ μεῖον ἢ τετρακισμυρίους, πολλοὺς δὲ ἵππους τῶν αἰχμαλώτων καὶ πᾶσι τοῖς συμμάχοις διέδωκε· καὶ πρὸς Βαβυλῶνα ἀφίκετο παμπόλλους μὲν ἱππέας ἔχων, παμπόλλους δὲ τοξότας καὶ ἀκοντιστάς, σφενδονήτας δὲ ἀναριθμήτους.

CAPUT V.

Babylonem corona cingit et inde se caute recipit.

1 Ἐπεὶ δὲ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιέστησε μὲν πᾶν τὸ στράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς περιήλαυνε τὴν πόλιν σὺν τοῖς φίλοις τε καὶ ἐπικαιρίοις
2 τῶν συμμάχων. Ἐπεὶ δὲ κατεθεάσατο τὰ τείχη, ἀπάγειν παρεσκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πόλεως· ἐξελθὼν δέ τις αὐτόμολος εἶπεν, ὅτι ἐπιτίθεσθαι μέλλοιεν αὐτῷ, ὁπότε ἀπάγοι τὸ στράτευμα· καταθεωμένοις γάρ, ἔφη, αὐτοῖς ἀπὸ τοῦ τείχους ἀσθενὴς ἐδόκει ἡ φάλαγξ.

§. 16. ἐξέπλησε] ἐξώπλισε alii codd. armavit etiam Gabr. Vid. VI. 2, 16. Ad finem sectionis ἀναριθμήτους receptum probavit Lobeck. ad Phrynich. p. 711. ἀναρίθμους Schn.

καὶ πᾶσι τοῖς συμμάχοις] i. e. et Persis et omnis generis sociis, quos habebat. Similiter Latini omnes socii ut dicere potuerunt, ita dixerunt saepissime.

Cap. V. §. 1. περιέστησε μὲν πᾶν] Liber Gabr. haud dubie daturus erat περιέστησε μὲν πρῶτον πᾶν, quia scilicet ἔπειτα vocibus μὲν πρῶτον s. πρῶτον μὲν alias respondet. Recte quidem hoc, sed nec vulgata plane improbanda est. Ita II. 3, 22. legimus ἐξάγει μὲν ὁ οὐραγός – ἔπειτα ὁ δεύτερος. VI. 2, 19. Κροῖσος μὲν ἤρηται – Ἔπειτα διαγγέλλεται. VII. 3, 11. χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο. Anab. IV. 1, 7. Καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος, – ἔπειτα δὲ ὑφηγεῖτο.

§. 2. ἀσθενὴς ἐδόκει ἡ φάλαγξ] sc. εἶναι, quod a libris quibusdam additur. Deest item Anab. VII. 2, 16. δήλη μᾶλλον ἐδόκει ἡ ἐπιβουλή. Eurip. Med. 745. γενναῖος ἀνήρ, Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι, ubi vid. Elmsleius; et praegresso πυνθάνεσθαι Demosth. Phil. I. p. 51. καὶ ὑμεῖς, ἐὰν ἐν Χεῤῥονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε. Vid. ad I. 6, 14.

Καὶ οὐδὲν θαυμαστὸν ἦν οὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλουμένους ἀνάγκη ἦν ἐπ' ὀλίγον τὸ βάθος γενέσθαι τὴν φάλαγγα.
3 *Ἀκούσας οὖν ὁ Κῦρος ταῦτα, στὰς κατὰ μέσον τῆς αὐτοῦ στρατιᾶς σὺν τοῖς περὶ αὐτὸν παρήγγειλεν ἀπὸ τοῦ ἄκρου ἑκατέρωθεν τοὺς ὁπλίτας ἀναπτύσσοντας τὴν φάλαγγα ἀπιέναι παρὰ τὸ ἑστηκὸς τοῦ στρατεύματος, ἕως γένοιτο ἑκατέρωθεν τὸ ἄκρον καθ' ἑαυτὸν καὶ κατὰ τὸ μέσον.*
4 *Οὕτως οὖν ποιούντων, οἵ τε μένοντες εὐθὺς θαῤῥαλεώτεροι ἐγίγνοντο, ἐπὶ διπλάσιον τὸ βάθος γιγνόμενοι· οἵ τ' ἀπιόντες ὡσαύτως*

§. 2. *οὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλ. ἀνάγκη ἦν*] Duriusculam esse coniunctionem accusativorum *κυκλουμένους* et *τὴν φάλαγγα* non nego, sed temerarium tamen fuerit scribi *οὕτως ἔχειν περὶ πολὺ τεῖχος κυκλουμένους· ἀνάγκη γαρ ἦν.*

περὶ γὰρ πολὺ τεῖχος] De Babylonis magnitudine moeniumque ambitu plena sunt omnia tam apud veteres quam apud recentiores. Ex Ctesia Diodor. Sic. tradidit: *Ἀπολαβοῦσα* (Semiramis) *δὲ τὸν Εὐφράτην ποταμὸν εἰς μέσον περιεβάλετο τεῖχος ἐν πόλει σταδίων τριακοσίων ἑξήκοντα, διειλημμένον πύργοις πυκνοῖς καὶ μεγάλοις — ὥς φησι Κτησίας ὁ Κνίδιος· ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς τὴν Ἀσίαν τινὲς ἀνέγραψαν, τριακοσίων ἑξήκοντα καὶ πέντε σταδίων κ. τ. λ.* quae uberius illustravit Baehr. ad Ctes. p. 397 sqq. Praeter quem consulendi sunt Tzschuckius ad Pomp. Mel. I. 11, 2. Rosenmueller. Bibl. Alterthumskunde T. I. P. II. p. 9 sqq. 55 sqq. Heeren Ideen T. I. P. II. p. 159 sqq. edit. 4.

κυκλουμένους — γενέσθαι τὴν φάλαγγα] Quum *κυκλουμένους* daret, cogitavit de *ἔχειν τὴν φάλαγγα* similive verbo; nunc mutata structura accusativum absolutum admisit. In utroque casu quemadmodum idem inest subiectum, ita Thucyd. IV. 118. *ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ τοὺς πρυτάνεις πρῶτον περὶ τῆς εἰρήνης βουλεύσασθαι Ἀθηναίους* scribi potuit *ἐκκλησίαν δὲ ποιησάντων τῶν στρατηγῶν καὶ πρυτάνεων βουλεύσασθαι Ἀθηναίους.* Numeri autem generisque diversitas, quae inter *κυκλουμένους* et *τὴν φάλαγγα* locum habet, eo minus potest offendere, quod *ἡ φάλαγξ* nomen est collectivum, milites complectens. Vid. Matth. §. 434. §. 436. 2. et not. ad V. 1, 14.

§. 3. *στὰς κατὰ μέσον κ. τ. λ.*] quum in media acie sua cum iis, quos apud se habuit, constitisset, imperavit, ut gravis armaturae milites utrimque ab extremitatibus phalange replicata ad eam exercitus partem abirent, quae stabat, donec utroque ex latere ab extrema acie ad mediam, ubi ipse erat, pervenissent. Cf. Anab. I. 10, 9.

§. 4. *ἐπὶ διπλάσιον τὸ βάθος γιγνόμενοι*] Post tergum enim habebant plures milites altitudine aciei duplicata.

θαῤῥαλεώτεροι· εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν πρὸς τοῖς
πολεμίοις ἐγίγνοντο. Ἐπεὶ δὲ πορευόμενοι ἑκατέρωθεν
συνῆψαν τὰ ἄκρα, ἔστησαν ἰσχυρότεροι γεγενημένοι,
οἵ τε ἀπεληλυθότες διὰ τοὺς ἔμπροσθεν, οἵ τε ἔμπροσθεν
5 διὰ τοὺς ὄπισθεν προςγεγενημένους. Ἀναπτυχθείσης
δ' οὕτω τῆς φάλαγγος ἀνάγκη τοὺς πρώτους ἀρίστους
εἶναι καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς κακίστους
τετάχθαι· ἡ δ' οὕτως ἔχουσα τάξις καὶ πρὸς τὸ μάχεσθαι
ἐδόκει εὖ παρεσκευάσθαι καὶ πρὸς τὸ μὴ φεύγειν. Καὶ
οἱ ἱππεῖς δὲ καὶ οἱ γυμνῆτες οἱ ἀπὸ τῶν κεράτων ἀεὶ
ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος τοσούτῳ, ὅσῳ ἡ
6 φάλαγξ βραχυτέρα ἐγίγνετο ἀναδιπλουμένη. Ἐπεὶ δὲ
οὕτω συνεσπειράθησαν, ἀπῄεσαν, ἕως μὲν ἐξικνεῖτο τὰ
βέλη ἀπὸ τοῦ τείχους, ἐπὶ πόδα· ἐπεὶ δὲ ἔξω βελῶν ἐγέ-

§. 4. *εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν*] **Memini amico scribendum videri** – *οἱ μένοντες ἀντ' αὐτῶν.* **Equidem nihil nisi** *ἀεὶ* **desidero, quod ante** *οἱ* **exciderit.**

§. 5. *οἱ ἀπὸ τῶν κεράτων*] *ὅσῳ ἀπὸ τῶν κεράτων ἀεὶ ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος, τοσούτῳ ἡ φάλαγξ βαθυτέρα ἐγίγνετο ἀναδ.* **Schn. ex Altorf.**

εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν πρὸς τοῖς πολεμίοις ἐγίγνοντο] **statim enim** (post eorum abitum) **qui ex ipsis manebant, hostibus oppositi erant,** abeuntes autem tuti ab hostium impetu, cui qui restiterant expositi erant.

Ἐπεὶ δὲ πορευόμενοι – τὰ ἄκρα] **Quum vero eundo utrimque sese contigissent extremae aciei partes,** post tergum scil. aciei hostibus oppositae. Hoc enim erat Cyri imperium §. 3.

§. 5. *τοὺς πρώτους ἀρίστους εἶναι καὶ τοὺς τελευταίους*] *οἱ πρῶτοι* et *οἱ τελευταῖοι* vocantur gravis armaturae milites, qui in prima stabant et ultima acie. Hi solent esse fortissimi et navissimi, quia hostibus etiam cominus resistere possunt; in media acie erant iaculatores et sagittarii, qui solent esse timidiores et ignaviores, quia non possunt repugnare cominus. Vide **Fischer.** Res nullam obscuritatem habet, modo tibi persuadeas, quotquot versibus acies constiterit, primum versum et tenuisse hoplitas, et abeuntes constituisse versum extremum, eumque ab hostibus remotissimum. Quo facto fieri non poterat, quin ab graviter armatis iaculatores et sagittarii undique cingerentur. Equites vero et velites (funditores), qui in extremis cornibus dispositi erant, statim dicuntur imperatori tanto magis appropinquasse, quanto phalanx duplicata brevior fiebat.

νοντο, στραφέντες καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες μετεβάλλοντο ἐπ' ἀσπίδα, καὶ ἵσταντο πρὸς τὸ τεῖχος βλέποντες· ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῷδε μανότερον μετεβάλλοντο. Ἐπεὶ δ' ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, ξυνεῖρον ἀπιόντες, ἔςτε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο.

Quasi ad obsidendam urbem fossa lata profundaque circumducitur.

7 Ἐπεὶ δὲ κατεστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἐπικαιρίους καὶ ἔλεξεν· Ἄνδρες ξύμμαχοι, τεθεάμεθα μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δὲ ὅπως μὲν ἄν τις τείχη οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ προςμαχόμενος ἕλοι οὐκ ἐνορᾶν μοι δοκῶ· ὅσῳ δὲ πλέονες ἄνθρωποι ἐν τῇ πόλει εἰσίν, ἐπείπερ οὐ μάχονται ἐξιόντες, τοσούτῳ ἂν θᾶττον λιμῷ αὐτοὺς ἡγοῦμαι ἁλῶναι. Εἰ μή τινα οὖν ἄλλον τρόπον ἔχετε λέγειν, τούτῳ πολιορκητέους φημὶ εἶναι τοὺς ἄνδρας. Καὶ ὁ Χρυσάντας εἶπεν· Ὁ δὲ ποτα- 8
μός, ἔφη, οὗτος οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ, πλάτος ἔχων πλεῖον ἢ ἐπὶ δύο στάδια; Ναὶ μὰ Δί', ἔφη ὁ Γω-

§. 6. τὸ μὲν πρῶτον] His respondet ὅσῳ δέ, ut nesciam, qui τὸ πρῶτον praeferre potuerit Schn. Cf. not. exeg. ad I. 2, 13. VI. 4, 18.

§. 6. ἐπὶ πόδα – ἐπ' ἀσπίδα] Illustravit Viger. p. 626 sq. ambas formulas, priorem etiam Matth. §. 586. c.

μανότερον] μανός non magis quemquam corripuisse quam δανός credit Dindorf. Praemon. ad Gaisford. Poet. min. Graec. Vol. I. p. VI. Sic etiam Alt. I. 4, 4. ubi Fischer. erravit.

§. 7. ὅπως μὲν ἄν τις – ἕλοι] Bene habet optativus, licet in re praesenti collocatus. Exempla dedi ad I. 2, 6. II. 4, 1. IV. 2, 34. Matth. §. 520. n. 2. De murorum altitudine diversas diversorum scriptorum sententias inter se comparare et conciliare studuit Baehr. ad Ctes. p. 402 sq. et cf. not. ad §. 2.

§. 8. ἐπὶ δύο στάδια] Diodor. Sic. II. 8. αὐτὴ δὲ (Semiramis) κατὰ τὸ στενότατον μέρος τοῦ ποταμοῦ γέφυραν σταδίων πέντε τὸ μῆκος κατεσκεύασεν, εἰς βυθὸν φιλοτέχνως καθίσασα τοὺς κίονας. Tanta pontis longitudine nescio an opus fuerit propter paludosam regionem, quam in fluvii urbisque vicinia fuisse scriptores memoriae prodiderunt. Cf. Heeren. Ideen. Vol. I. P. II. p. 141 sqq.

βρύας, καὶ βάθος γε, ὡς οὐδ᾽ ἂν δύο ἄνδρες, ὁ ἕτερος
ἐπὶ τοῦ ἑτέρου ἑστηκώς, τοῦ ὕδατος ὑπερέχοιεν·
ὥςτε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα ἐστὶν ἡ πόλις ἢ τοῖς
9 τείχεσι. Καὶ ὁ Κῦρος, Ταῦτα μέν, ἔφη, ὦ Χρυσάν-
τα, ἐῶμεν, ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως·
διαμετρησαμένους δὲ χρὴ ὡς τάχιστα τὸ μέρος ἑκάστου
ἡμῶν ὀρύττειν τάφρον ὡς πλατυτάτην καὶ βαθυτάτην,
10 ὅπως ὅ τι ἐλαχίστων ἡμῖν τῶν φυλάκων δέῃ. Οὕτω δὴ
κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρ-
σεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ, ὤρυσσεν ἔνθεν καὶ
ἔνθεν τοῦ τείχους τάφρον ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέ-
11 βαλλον πρὸς ἑαυτούς. Καὶ πρῶτον μὲν πύργους ἐπὶ
τῷ ποταμῷ ᾠκοδόμει, φοίνιξι θεμελιώσας οὐ μεῖον ἢ
πλεθριαίοις· εἰσὶ γὰρ καὶ μείζονες ἢ τοσοῦτοι τὸ μῆκος
πεφυκότες· καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βά-

§. 11. *ᾠκοδόμει*] Violenter Schneidero praeeunte nec Poppone dissentiente huic verbo annecti vult Weckherlinus: *ὅπως ὅτι μάλιστα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ, φοίνιξι θεμελιώσας οὐ μεῖον ἢ πλεθριαίοις· εἰσὶ γὰρ καὶ μείζονες ἢ τοσοῦτοι τὸ μῆκος πεφυκότες· τούτους δ᾽ ὑπετίθει τούτου ἕνεκα, ὡς, εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι τοὺς πύργους· καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βάρους ἄνω κυρτοῦνται, ὥςπερ οἱ ὄνοι οἱ κανθήλιοι.* Sed vid. ad c. 3, 16.

§. 9. *διαμετρησαμένους δὲ χρὴ ὡς τάχιστα τὸ μέρος ἑκάστου ἡμῶν*] sed oportet nos quam primum iustam cuiusque nostrum partem dimetiri atque. Illa *τὸ μέρος ἑκάστου* comparabis cum iis, quae ad IV. 5, 53. adscripsi, nec quid inter *διαμετρεῖσθαι* et *διαμετρεῖν* §. 10. discriminis intersit, inobservatum relinques cll. cap. 4, 13. I. 3, 9. p. 32. Matth. §. 491. Buttm. §. 135. 2. 4.

§. 10. *ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ*] tanto a flumine spatio relicto, quantum esset magnis turribus satis. Gabr. Anab. VII. 8, 19. *διασώζονται – πρόβατα ὅσον θύματα.* Sed de usu hoc elliptico adverbii *ὅσον* disseruerunt ad Bos. Ellips. p. 489 sq. Buttmann. §. 150. p. 436 sq. et Matth. §. 479. b. qui p. 1102. ad *ἐπισχών* etiam *ἀπολιπών* addere poterat.

ὤρυσσεν] effodiendum curavit, ut *περιῆγεν* I. 3, 3. Hinc statim transitur ad pluralem *ἀνέβαλλον.*

§. 11. *εἰσὶ γὰρ καὶ μείζονες*] Haec verba causam explicant, qui fieri potuerit, ut tam altas adhiberet arbores. Atque rem confirmant Herodt. I. 193. Strabo XVI. p. 253. Tzsch. ubi dicit *διὰ δὲ τὴν τῆς ὕλης σπάνιν ἐκ φοινικίνων ξύλων αἱ οἰκοδομαὶ συντελοῦνται καὶ δοκοῖς καὶ στύλοις*, aliique, de quibus Baehr. ad Ctes. p. 305 sq.

καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες] Quare palmas potissimum

ρους ἄνω κυρτοῦνται, ὥςπερ οἱ ὄνοι οἱ κανθήλιοι· τού- 12
τους δὲ ὑπετίθει τούτου ἕνεκα, ὅπως ὅ τι μάλιστα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ, ὡς, εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι τοὺς πύργους. Ἀνίστη δὲ καὶ ἄλλους πολλοὺς πύργους ἐπὶ τῆς ἀμβολά-
δος γῆς, ὅπως ὅ τι πλεῖστα φυλακτήρια εἴη. Οἱ μὲν 13
δὴ ταῦτ' ἐποίουν· οἱ δὲ ἐν τῷ τείχει κατεγέλων τῆς πολιορκίας, ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον ἢ εἴκοσιν ἐτῶν.

§. 12. τούτους δὲ] τούτους δή Vat. minime male.

neque alia arborum genera in usum suum converterit, quum quaeri a quopiam possit, hanc palmarum proprietatem copiosius describere putandus est, commemoratam illam praeter alios, quos laudavit Schneid. ad Theophrast. h. pl. V. 6. et Ind. p. 539., etiam a Gellio III. 6. *Si super palmae arboris*, inquit, *lignum magna pondera imponas, ac tam graviter urgeas oneresque, ut magnitudo oneris sustineri non queat; non deorsum palma cedit nec intra flectitur, sed adversus pondus resurgit et sursum nititur recurvaturque.*

οἱ ὄνοι οἱ κανθήλιοι] De dorsis asinorum, quae convexa sint, alii accipiunt, de clitellis asinorum alii ad Aristoph. Vesp. v. 170.

§. 12. τούτους] τοὺς φοίνικας τοὺς πλεθριαίους.

ὅπως ὅ τι μάλιστα—παρασκευαζομένῳ] Sensus est: ut quam maxime probabile fieret se non de derivando fluvio, sed de turribus duntaxat quam firmissime superstruendis ac de obsidenda urbe cogitare. Adhuc enim Cyrus in obsidionibus nihil nisi scalis, arietibus aliisque machinis usus fuerat, nunc vero etiam turres adhibet nec vulgares eas, sed fundamento solidissimo firmatas. Itaque hostes facile fefellit, quippe qui non possent non credere diuturnam Cyrum obsessionem parare. Infinitivi futuri πολιορκήσειν causa laudavit locum Matth. §. 506. VI. p. 962. Cf. etiam Bremi ad Lys. p. 371 sq.

ὡς, εἰ καὶ διαφύγοι — μὴ ἀνέλοι τοὺς πύργους] Duobus haec modis explanari simul et defendi posse arbitror, aut ut ὡς illud statuamus eo modo dictum esse, quo c. 3, 13. οἷον ἀνδρὸς στέροιτο, videlicet pro ὅτι οὕτως, Matth. §. 480. not. 3. p. 900.; aut, quod malim, vulgarem hic quoque potestatem retinet coniunctio: quo ne fluvius, etiam si in fossam erupisset (nolenti Cyro an volenti? illi notioni favet usus verbi διαφεύγειν), turres everteret. Quod si factum esset, non modo risissent Babylonii, verum etiam vidissent turres aggeresque in speciem tantum oppugnationis, revera autem fossarum causa tegendarum exstructas esse. Opportune mihi in mentem veniunt haud absimilis coloris verba Demosth. Or. pro Coron. p. 279. v. 9. πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν, ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιΐδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν

Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, τὸ στράτευμα κατένειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον τὸ μέρος
14 φυλάξον. Οἱ δ' αὖ Βαβυλώνιοι ἀκούσαντες ταῦτα πολὺ ἔτι μᾶλλον τούτων κατεγέλων, ἐννοούμενοι, εἰ σφᾶς Φρύγες καὶ Λυδοὶ καὶ Ἀράβιοι καὶ Καππαδόκαι φυλάξοιεν, οὓς σφίσιν ἐνόμιζον πάντας εὐμενεστέρους εἶναι ἢ Πέρσαις.

Urbs tandem, Euphrate in fossas derivato, vino somnoque sepulta capitur.

15 Καὶ αἱ μὲν τάφροι ἤδη ὀρωρυγμέναι ἦσαν. Ὁ δὲ Κῦρος, ἐπειδὴ ἑορτὴν ἐν τῇ Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν ᾗ πάντες Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν, ἐν ταύτῃ, ἐπειδὴ τάχιστα συνεσκότασε, λαβὼν πολλοὺς ἀνθρώπους ἀνεστόμωσε τὰς τάφρους
16 τὰς πρὸς τὸν ποταμόν. Ὡς δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ

§. 13. ἕκαστον τὸ μέρος] Abest τό codd. fortasse recte, ut I. 2, 6. significavimus.

§. 14. τούτων κατεγέλων] Errare qui τούτων omittant, apparebit comparantibus not. ad IV. 2, 26. V. 5, 4. VI. 3, 6.

§. 15. ἐν τῇ Βαβυλῶνι] Fort. ἐν τῇ Βαβυλῶνι τοιαύτῃν.

θεὸν πλημμελούμενον, quorum integritatem tuetur Schaef. Apparat. II. p. 223.

§. 13. τὸ στράτευμα κατένειμε δώδεκα μέρη] Vid. ad I. 2, 4. et Matth. § 419. i.

ὡς – ἕκαστον τὸ μέρος φυλάξον] constructione satis nota ex Matth. §. 568. 3. et annot. ad VI. 1, 10.

§. 14. ἐννοούμενοι, εἰ] VI. 1, 17 Ὁ δὲ ἴσως ἄν τινες ὑμῶν φοβηθεῖεν, εἰ δεήσει πόῤῥω τῆς ἑαυτῶν φρουρεῖν. Vid. Reisig. Coniectan. Aristoph. I. p. 180. quaeque attuli l. l.

§. 15. ἑορτὴν – ἤκουσεν εἶναι] Grammaticum in Bekker. Anecdot. Gr. Vol. I. p. 373. ἀκούσας ἥκειν, οὐχ ἥκοντα, Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν ἔφη castigavit iam Matth. §. 549. not. 2. Cf. nos ad I. 3, 1. Festum illud Sacaeam vel Sacaeorum appellatam fuisse existimant comparatis Romanorum Bacchanalibus; Baehrius tamen ad Ctes. p. 451. exprompsit I. de Hammeri sententiam ex Annall. Viennenss. T. IX. p. 18. cll. X. p. 249., ex qua Persicum festum Saturnalium, cui nomen sit Churremrus, quodque ineunte hieme celebretur, Athenaeus XIV. p. 639. confuderit cum Sacaeorum festo, cuius mentio apud Strabonem XI. 8. p. 482. Tzsch., quo Saturnalium die Persarum reges a solio descendere, vesteque alba indutos equis albis vehi consuevisse.

κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί· ἡ δὲ διὰ τῆς πό-
λεως τοῦ ποταμοῦ ὁδὸς πορεύσιμος ἀνθρώποις ἐγίγνετο.
Ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο, παρηγγύησεν 17
ὁ Κῦρος Πέρσαις χιλιάρχοις καὶ πεζῶν καὶ ἱππέων εἰς
δύο ἄγοντας τὴν χιλιοστὺν παρεῖναι πρὸς αὐτόν, τοὺς
δ᾽ ἄλλους συμμάχους κατ᾽ οὐρὰν τούτων ἕπεσθαι ᾗπερ
πρόσθεν τεταγμένους. Οἱ μὲν δὴ παρῆσαν· ὁ δέ, κα- 18
ταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας καὶ
πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι, εἰ πορεύσιμον
εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. Ἐπεὶ δὲ ἀπήγγειλαν, ὅτι 19
πορεύσιμον εἴη, ἐνταῦθα δὴ συγκαλέσας τοὺς ἡγεμόνας
τῶν πεζῶν καὶ τῶν ἱππέων ἔλεξε τοιάδε·

Ἄνδρες, ἔφη, φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παρακε- 20
χώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ· ἡμεῖς δὲ θαῤῥοῦντες
εἰςίωμεν δὴ [μηδὲν φοβούμενοι] εἴσω, ἐννοούμενοι, ὅτι
οὗτοι, ἐφ᾽ οὓς νῦν συμπορευσόμεθα, ἐκεῖνοί εἰσιν,
οὓς ἡμεῖς καὶ συμμάχους πρὸς ἑαυτοῖς ἔχοντας, καὶ
ἐγρηγορότας ἅπαντας καὶ νήφοντας, καὶ ἐξωπλισμένους
καὶ συντεταγμένους ἐνικῶμεν· νῦν δ᾽ ἐπ᾽ αὐτοὺς ἴμεν, ἐν ᾧ 21

§. 17. Ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο] Ὡς δὲ τοῦ ποταμοῦ ὄντος ἐπορεύετο Vat. Sed vereor, ne non scribendum sit Ὡς δὲ τοῦ ποταμοῦ οὕτως ὄντος ἐπορσύνετο.

§. 20. εἰςίωμεν δὴ [μηδὲν φοβούμενοι] εἴσω, ἐννοούμενοι] Delevit illa μηδὲν φοβ. non sine codd. Schn. quo nihil est probabilius. Cf. §. 14. §. 22.

§. 16. ἡ δὲ διὰ τῆς πόλεως τοῦ ποταμοῦ ὁδός] fluvii alveus, quo ibatur in urbem, das Flussbett durch die Stadt.

§. 17. Ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο] Ut vero alveus fluvii hoc modo permeabilis erat. Hanc interpretationem commendant Lexicographi veteres. Photius: Πορσύνεται· ὁδεύεται· ἀπὸ τοῦ πόρου. Σοφοκλῆς, cuius in Philoct. v. 780. Neoptolemus dicit: γένοιτο δὲ Πλοῦς οὔριός τε κεὐσταλής, ὅποι ποτὲ Θεὸς δικαιοῖ χὠ στόλος πορσύνεται. Praeter eandem glossam Hesychius habet etiam Πορσῦναι· παρασκευάσαι, πορίσαι, εὐτρεπίσαι.

εἰς δύο ἄγοντας] Dictum, quid sit, ad V. 3, 41., ut seq. τοὺς δ᾽ ἄλλους ad VII. 3, 7.

§. 20. Ἄνδρες, ἔφη, φίλοι] II. 2, 27. ὦ ἄνδρες, ἔφη, φίλοι. III. 1, 30. Ὦ 'γαθέ, ἔφη, Κῦρε. Schaef. Ind. Hom. Od. p. 179.

εἰςίωμεν — εἴσω] Simillimae verbositatis exemplum posuit Matth. §. 636. ἔξω ἐκφέρειν ἐκ τόπου. Cf. not. ad II. 2, 7.

πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ δ' αὐτῶν με-
θύουσι, πάντες δὲ ἀσύντακτοί εἰσιν· ὅταν δὲ καὶ αἴ-
σθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἂν ἔτι μᾶλλον ἢ νῦν
22 ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. Εἰ δέ τις τοῦτο
ἐννοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν εἰς-
ιοῦσι, μὴ ἐπὶ τὰ τέγη ἀναβάντες βάλλωσιν ἔνθεν καὶ
ἔνθεν, τοῦτο μάλιστα θαῤῥεῖτε· ἢν γὰρ ἀναβῶσί τινες
ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον. Εὔ-
φλεκτα δὲ τὰ πρόθυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι
πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκκαύματι κεχρισμέναι.
23 Ἡμεῖς δ' αὖ πολλὴν μὲν δᾷδα ἔχομεν, ἣ ταχὺ πολὺ πῦρ
τέξεται, πολλὴν δὲ πίτταν καὶ στυππεῖον, ἃ ταχὺ παρα-
καλεῖ πολλὴν φλόγα· ὥςτε ἀνάγκην εἶναι ἢ φεύγειν ταχὺ
24 τοὺς ἀπὸ τῶν οἰκιῶν, ἢ ταχὺ κατακεκαῦσθαι. Ἀλλ' ἄγετε,
λαμβάνετε τὰ ὅπλα· ἡγήσομαι δ' ἐγὼ σὺν τοῖς θεοῖς. Ὑμεῖς
δ', ἔφη, ὦ Γαδάτα καὶ Γωβρύα, δείκνυτε τὰς ὁδούς· ἴστε
γάρ· ὅταν δὲ ἐντὸς γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ
25 βασίλεια. Καὶ μήν, ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, οὐδὲν
ἂν εἴη θαυμαστόν, εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασι-
λείου εἶεν· ὡς ἐν κώμῳ δοκεῖ γὰρ ἡ πόλις πᾶσα εἶναι τῇδε
τῇ νυκτί. Φυλακῇ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα·

§. 21. πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ δ' αὐτῶν μεθ.] καθεύδουσιν αὐτῶν G. Proinde vide ne aliquando lectum fuerit πολλοὶ μὲν καθεύδουσιν αὐτῶν, πολλοὶ δὲ μεθ.

§. 25. βασιλείου εἶεν· ὡς ἐν κώμῳ δοκεῖ γὰρ ἡ πόλις] βασιλείου εἶεν, ὡς ἐν κώμῳ· δοκεῖ γὰρ ἡ πόλις Fisch. sed receptam tuetur

πολὺ ἂν ἔτι μᾶλλον – ἔσονται] Hoc augeri poterunt tum a me allata ad VI. 1, 45. tum a Stallbaum. ad Plat. Crit. p. 142.

§. 22. τοῦτο μάλιστα θαῤῥεῖτε] I. 5, 14. Ἀλλὰ μὴν κἀκεῖνο οἴομαι ὑμᾶς θαρσεῖν, ubi vid. not.

ἀσφάλτῳ δὲ ὑπεκκαύματι] Strabo in eo loco, quem §. 11. excitavi, pergit: περὶ δὲ τοὺς στύλους στρέφοντες ἐκ τῆς καλάμης σχοινία περιτιθέασιν, εἶτ' ἐπαλείφοντες χρώμασι καταγράφουσι· τὰς δὲ θύρας ἀσφάλτῳ. Ibid. p. 272. φασὶ δὲ καὶ πλοῖα πλέκεσθαι, ἐμπλασθέντα δ' ἀσφάλτῳ πυκνοῦσθαι. Τὴν δ' ὑγράν, ἣν νάφθαν καλοῦσι, παράδοξον ἔχειν συμβαίνει τὴν φύσιν· προςαφθεὶς γὰρ ὁ νάφθας πυρὶ πλησίον ἀναρπάζει τὸ πῦρ, κἂν ἐπιχρίσας αὐτῷ σῶμα προςαγάγῃς, φλέγεται· σβέσαι δ' ὕδατι οὐχ οἷόν τε· ἐκκαίεται γὰρ μᾶλλον, πλὴν εἰ πάνυ πολλῷ, ἀλλὰ πηλῷ, καὶ ὄξει, καὶ στυπτηρίᾳ, καὶ ἰξῷ πνιγέντα σβέννυται. Idem hodie faciunt qui illas regiones incolunt populi teste Rosenmueller. l. l. p. 7. 48 sq.

§. 25. ὡς ἐν κώμῳ δοκεῖ γὰρ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί] nam velut in baccha-

ἔστι γὰρ ἀεὶ τεταγμένη. Οὐκ ἂν ἀμελεῖν δέοι, ἔφη ὁ Κῦρος, ἀλλ' ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα [ἂν] λάβωμεν τοὺς ἄνδρας.

26 Ἐπεὶ δὲ ταῦτα ἐῤῥήθη, ἐπορεύοντο· τῶν δὲ ἀπαντώντων οἱ μὲν ἀπέθνησκον παιόμενοι, οἱ δ' ἔφευγον πάλιν εἴσω, οἱ δ' ἐβόων. Οἱ δ' ἀμφὶ τὸν Γωβρύαν συνεβόων αὐτοῖς, ὡς κωμασταὶ ὄντες καὶ αὐτοί· καὶ ἰόντες ᾗ ἐδύναντο ὡς τάχιστα ἐπὶ τοῖς βασιλείοις ἐγένοντο. 27 Καὶ οἱ μὲν σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ τεταγμένοι κεκλεισμένας εὑρίσκουσι τὰς πύλας τοῦ βασιλείου· οἱ δ' ἐπὶ τοὺς φύλακας ταχθέντες ἐπεισπίπτουσιν αὐτοῖς πίνουσι πρὸς φῶς πολύ, καὶ εὐθὺς ὡς πολεμίοις ἐχρῶντο. 28 Ὡς δὲ

Hemsterhus. ad Lucian. T. II. p. 630. Lehm. Fort. *βασ. εἶεν, ὡς ἐν κώμῳ· κῶμος γὰρ δοκεῖ ἡ πόλις*, vel cum Dind. – *ὡς ἐν κώμῳ γε δοκεῖ ἡ π.* aut omisso *γέ*.

nalibus hac nocte videtur universa urbs versari. Rara quidem est haec voculae *γάρ* positio, neque tamen plane insolita. Vid. Hemsterhus. l. l. Fritsch. Quaest. Lucian. p. 100. et ex poeticis scriptis Meinek. ad Menandr. p. 7. Dobree ad Aristoph. Vesp. 741.

Οὐκ ἂν ἀμελεῖν δέοι] »Quum copula desiderari videatur, legendum *οὐκ ἂν οὖν ἀμελεῖν δέοι*· non enim opus esse arbitror cum Mureto *μέλλειν* emendari, quum *ἀμελεῖν* pro *ῥαθυμεῖν* passim occurrat. Conf. Hellen. VII. 4, 16. et 26. Etiam in Cyrop. VII. 5, 76. verius est, quod libri quidam offerunt *οὔκουν δεῖ ἀμελεῖν*.« Iacobs Addit. ad Athen. p. 352. In Hellen. l. l. *οὐκ ἠμέλλησαν, ἀλλ' εὐθὺς ἐχώρουν ἄνω* et *οὐκ ἠμέλλησαν, ἀλλ' εὐθὺς ἐμβάλλουσι* nunc scripserunt, cf. Cyr. I. 3, 15. Retineam vulgatam ne adiecta quidem *οὖν* particula, cuius de omissione in talibus propemodum legitima dubitare non sinunt quae perpauca de multis attuli ad IV. 4, 5.

ἵνα ἀπαρασκεύους – ἂν λάβωμεν τοὺς ἄνδρας] Parum aptum fuerit: ubicunque quam maxime imparatos homines offendemus. Aliam enim sententiam ex *ἵνα ἂν* seq. coniunctivo non licet extundere, si vera narrant interpretes Anab. I. 8, 22. edit. meae et a Matth. §. 520. not. 2. excitati. Itaque *ἂν* delendum erat.

§. 26. *καὶ ἰόντες ᾗ ἐδύναντο ὡς τάχιστα – ἐγένοντο*] Si *ὡς* illud genuinum est, sensu non aberravit Camerar. et pergentes qua poterant, ad regiam quam concitatissimo gradu pervenerunt.

§. 27. *οἱ δ' ἐπὶ τοὺς φύλακας ταχθέντες*] quibus vero id negotii datum fuerat, ut custodes peterent. II. 1, 9. *Τάττομεν δὲ ἡμᾶς αὐτοὺς ἐπὶ τοὺς μένοντας*. Nimirum Gobryas et Gadatas cum caterva militum recta ad regiae portas, quae tamen clausae erant, irruperant, alia eorum pars eodem fere tempore in excubitores inciderat,

κραυγὴ καὶ κτύπος ἐγίγνετο, αἰσθόμενοι οἱ ἔνδον τοῦ
θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι, τί εἴη
29 τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας. Οἱ
δ' ἀμφὶ τὸν Γαδάταν, ὡς εἶδον τὰς πύλας χαλώσας,
εἰςπίπτουσι, καὶ τοῖς πάλιν φεύγουσιν εἴσω ἑφεπόμενοι
καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βασιλέα· καὶ ἤδη
ἑστηκότα αὐτὸν καὶ ἐσπασμένον ὃν εἶχεν ἀκινάκην εὑρί-
30 σκουσι. Καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ
πολλοὶ ἐχειροῦντο· καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνησκον, ὁ
μὲν προβαλλόμενός τι, ὁ δὲ φεύγων, ὁ δέ γε καὶ ἀμυ-
31 νόμενος ὅτῳ ἐδύνατο. Ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν
ἱππέων τάξεις κατὰ τὰς ὁδούς, καὶ προεῖπεν οὓς μὲν
ἔξω λαμβάνοιεν κατακαίνειν, τοὺς δ' ἐν ταῖς οἰκίαις κη-
ρύττειν τοὺς Συριστὶ ἐπισταμένους ἔνδον μένειν· εἰ δέ
τις ἔξω ληφθείη, ὅτι θανατώσοιτο.

Res captae urbis ordinantur.

32 Οἱ μὲν δὴ ταῦτα ἐποίουν. Γαδάτας δὲ καὶ Γω-
βρύας ἧκον· καὶ θεοὺς μὲν πρῶτον προςεκύνουν, ὅτι
τετιμωρημένοι ἦσαν τὸν ἀνόσιον βασιλέα, ἔπειτα δὲ Κύ-
ρου κατεφίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύον-
33 τες ἅμα χαρᾷ καὶ εὐφραινόμενοι. Ἐπεὶ δὲ ἡμέρα ἐγέ-
νετο, καὶ ᾔσθοντο οἱ τὰς ἄκρας ἔχοντες ἑαλωκυῖάν τε

§. 31. τοὺς δ' ἐν ταῖς] τοῖς δ' ἐν ταῖς malim, ut IV. 2, 32.

qui non ad portas regiae, quas intus satellites custodiebant, sed in earum vicinia genio indulserint necesse est. Bothius nescio quid h. l. de nominativis absolutis somniat.

§. 28. αἰσθόμενοι οἱ ἔνδον – ἐκθέουσί τινες] Exspectes αἰσθομένων τῶν ἔνδον – τινές, sed iniuria, cum hoc dicendi genere vix quidquam sit frequentius. Matth. §. 319.

§. 29. πρὸς τὸν βασιλέα] Nabonnidum apud Berosum s. Labynetum Herodot. I. 188. s. Belsazarum Daniel. V. 30. qui mirum quod Xenophonti consentit regem ultimum in regia interfectum fuisse. Cf. Rosenmueller. p. 41. 88 sq.

§. 30. ἀμυνόμενος ὅτῳ ἐδύνατο] sc. ἀμύνεσθαι. Hinc lucem accipit scriptura προβάλλεσθαι ἠπιστάμην πρὸ τούτων, ὅτῳ οἰοίμην πληγήσεσθαι supra II. 3, 10.

§. 31. οὓς μὲν – τοὺς δὲ] Vid. mea ad II. 2, 27. IV. 5, 46. V. 3, 16. In his εἰ δέ τις ἔξω ληφθείη, ὅτι θανατώσοιτο ea est temporum consecutio, quae fuit I. 5, 3. p. 66 sq. III. 1, 3. IV. 2, 32. eritque statim §. 34.

τὴν πόλιν καὶ τὸν βασιλέα τεθνηκότα, παραδιδόασι καὶ
τὰς ἄκρας. Ὁ δὲ Κῦρος τὰς μὲν ἄκρας εὐθὺς παρε- 34
λάμβανε, καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύτας
ἀνέπεμπε· τοὺς δὲ τεθνηκότας θάπτειν ἐφῆκε τοῖς προς-
ήκουσι· τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν ἀποφέ-
ρειν πάντας τὰ ὅπλα Βαβυλωνίους· ὅπου δὲ ληφθεῖεν
ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν, ὡς πάντες οἱ ἔνδον ἀπο-
θανοῖντο. Οἱ μὲν δὴ ἀπέφερον, ὁ δὲ Κῦρος ταῦτα
μὲν εἰς τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα, εἴ τί ποτε
δέοι χρῆσθαι. Ἐπεὶ δὲ ταῦτ᾽ ἐπέπρακτο, πρῶτον μὲν 35
τοὺς μάγους καλέσας, ὡς δοριαλώτου τῆς πόλεως οὔ-
σης, ἀκροθίνια τοῖς θεοῖς καὶ τεμένη ἐκέλευσεν ἐξελεῖν·
ἐκ τούτου δὲ καὶ οἰκίας διεδίδου καὶ ἀρχεῖα τούτοις,
οὕσπερ κοινῶνας ἐνόμιζε τῶν καταπεπραγμένων· καὶ
οὕτω διένειμεν, ὥσπερ ἐδέδοκτο, τὰ κράτιστα τοῖς ἀρί-
στοις. Εἰ δέ τις οἴοιτο μεῖον ἔχειν, διδάσκειν προσιόν-
τας ἐκέλευε. Προεῖπε δὲ Βαβυλωνίοις μὲν τὴν γῆν ἐργά- 36
ζεσθαι, καὶ τοὺς δασμοὺς ἀποφέρειν, καὶ θεραπεύειν
τούτους, οἷς ἕκαστοι αὐτῶν ἐδόθησαν· Πέρσας δὲ τοὺς
κοινωνούς, καὶ τῶν συμμάχων ὅσοι μένειν ᾑροῦντο
παρ᾽ αὐτῷ, ὡς δεσπότας ὧν ἔλαβον προηγόρευε διαλέ-
γεσθαι.

§. 34. *ἀποθανοῖντο*] *ἀποθανοῦνται* edd. vett. Praegressum *ληφθεῖεν* ne in *ληφθείη* quidem mutari opus est cll. not. ad II. 2, 2. III. 3, 26.

§. 35. *καὶ οὕτω*] Ex codd. scriptura elicias *καὶ οὕτω δέ*.

§. 36. *Πέρσας δὲ τοὺς κοινωνούς*] Vulgo *Πέρσας δὲ καὶ τοὺς κοινωνούς*. Ut ambiguitas omnis tollatur, melius *καί* omittitur.

§. 34. *ἀποθανοῖντο*] Futuri indicativi, quem soloecum esse putavit Zeun., in apodosi post *εἰ* optativo iunctum illati exempla nonnulla composuit Matthiae §. 524. 3. p. 1018

§. 35. *τοὺς μάγους*] Vid. III. 3, 22. 34. IV. 5, 14. 51. VII. 3, 1.

κοινῶνας] Adnumeratur hoc nomen poeticis vocabulis, quibus Xenophon usus sit, a Lobeck ad Phryn. p. 89 sq. Valckenar. Digress. a Theocrit. p. 47. Heind. et ad Eurip. Phoeniss. v. 431. p. 161.

ὥσπερ ἐδέδοκτο] II. 3, 16. Ἔδοξε δ᾽ οὖν κατὰ τὴν ἀξίαν ἕκαστον τιμᾶσθαι, Κῦρον δὲ τὸν κρίνοντα εἶναι.

προσιόντας] Ut pluralis h. l. ad *εἴ τις* collectivum, ita ad *ἕκαστος* refertur Hipparch. IV. 1. *αὐτὸς γὰρ μέτρον ἕκαστος τοῦ μὴ λαθεῖν ὑπερπονοῦντας*. Cf. ad cap. 4, 5.

§. 36. *ὧν ἔλαβον*] i. e. *τούτων, οὓς ἔλαβον*. Victarum enim

Callida ratione Cyrus instituit, ut amici intelligant ipsum raro in conspectum populi venire debere.

37 Ἐκ δὲ τούτου ἐπιθυμῶν ὁ Κῦρος ἤδη κατασκευάσασθαι καὶ αὐτὸς ὡς βασιλεῖ ἡγεῖτο πρέπειν, ἔδοξεν αὐτῷ τοῦτο σὺν τῇ τῶν φίλων γνώμῃ ποιῆσαι, ὡς ὅ τι ἥκιστα ἂν ἐπιφθόνως σπάνιός τε καὶ σεμνὸς φανείη. Ὧδε οὖν ἐμηχανᾶτο τοῦτο· ἅμα τῇ ἡμέρᾳ στὰς ὅπου ἐδόκει ἐπιτήδειον εἶναι, προςεδέχετο τὸν βουλόμενον
38 λέγειν τι καὶ ἀποκρινόμενος ἀπέπεμπεν. Οἱ δ᾽ ἄνθρωποι ὡς ἔγνωσαν, ὅτι προςδέχοιτο, ἧκον ἀμήχανοι τὸ πλῆθος· καὶ ὠθουμένων περὶ τοῦ προςελθεῖν μηχανή τε πολλὴ καὶ μάχη ἦν. Οἱ δὲ ὑπηρέται ὡς ἠδύναντο
39 διακρίναντες προςίεσαν. Ὁπότε δέ τις καὶ τῶν φίλων διωσάμενος τὸν ὄχλον προφανείη, προτείνων ὁ Κῦρος τὴν χεῖρα προςήγετο αὐτούς, καὶ οὕτως ἔλεγεν, Ἄνδρες φίλοι, περιμένετε, ὡς τὸν ὄχλον διωσόμεθα· ἔπειτα δὲ καθ᾽ ἡσυχίαν συγγενησόμεθα. Οἱ μὲν δὴ φίλοι περιέμενον, ὁ δ᾽ ὄχλος πλείων καὶ πλείων ἐπέῤῥει, ἕωςπερ ἔφθασεν ἑσπέρα γενομένη, πρὶν τοῖς φίλοις αὐτὸν σχο-

§. 39. ἑσπέρα γενομένη] ἑσπέρα τε γενομ. codd. imo ἑσπέρα γε γεν. hoc ut sit: gar der Abend.

urbium incolae fiebant mancipia, et distribuebantur militibus victoribus. Vid. §. 73. Seq. διαλέγεσθαι cum casu aliquo destitutum sit, τούτοις suppleri poterit.

§. 37. ἐπιθυμῶν ὁ Κῦρος – ἔδοξεν αὐτῷ] In tam brevi oratione quod anacoluthon satis insuave culpat Schneid., huic admittendo opportunitatem dedit interiecta sententia ὡς βασιλεῖ ἡγεῖτο πρέπειν. Matth. §. 556. 3. p. 1096. §. 631. 1. Buttm. §. 151. II. 5. nos ad VI. 1, 31. IV. 2, 3.

§. 38. Οἱ δὲ ὑπηρέται – προςίεσαν] »Ministri autem partem eorum habito, ut poterant, discrimine admittebant.« Steph. 2. in nott.

§. 39. περιμένετε, ὡς τὸν ὄχλον διωσόμεθα] manete, turbam enim summovebimus iure videlicet dicundo. Vid. Reisig. Coni. Aristoph. I. p. 67. Matth. §. 628. 5. et I. 3. fin. Contra qui ἕως cum Poppon. retinere maluerit, huic corrigendum erit περιμένετε, ἕως τὸν ὄχλον διωσάμεθα potius quam tolerandum ἕως τὸν ὄχλον διωσώμεθα cl. Matth. §. 522. p. 1012.

ἕωςπερ ἔφθασεν] Ad. Soph. Oed. Col. 1363. Hermann: »Addit Elmsleius, inquit, prorsus inauditum esse ἕωςπερ. Id ego quidem mirabor, ni attendentes secus esse reperient.« Atque in contrariam sententiam quaedam a Guil. Dindorf. Praefat. Demosth. p. XIII. et Goeller. ad Thuc. T. II. p. 253 sq. disputantur.

λάσαι καὶ συγγενέσθαι. Οὕτω δὴ ὁ Κῦρος λέγει, Ἆρα, 40
ἔφη, ὦ ἄνδρες, νῦν μὲν καιρὸς διαλυθῆναι; αὔριον
δὲ πρωῒ ἔλθετε· καὶ γὰρ ἐγὼ βούλομαι ὑμῖν τι διαλε-
χθῆναι. Ἀκούσαντες ταῦτα οἱ φίλοι, ἄσμενοι ᾤχοντο
ἀποθέοντες, δίκην δεδωκότες ὑπὸ πάντων τῶν ἀναγκαίων.
Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν.

Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Κῦρος παρῆν εἰς τὸ αὐτὸ 41
χωρίον, ἀνθρώπων δὲ πολὺ πλεῖον πλῆθος περιεστήκει
βουλομένων προσιέναι, καὶ πολὺ πρότερον ἢ οἱ φίλοι
παρῆσαν. Ὁ οὖν Κῦρος περιστησάμενος τῶν ξυστοφό-
ρων Περσῶν κύκλον μέγαν, εἶπε μηδένα παριέναι ἢ
τοὺς φίλους τε καὶ ἄρχοντας τῶν Περσῶν τε καὶ τῶν
συμμάχων. Ἐπεὶ δὲ συνῆλθον αὐτοί, ἔλεξεν ὁ Κῦρος 42
αὐτοῖς τοιαῦτα· Ἄνδρες φίλοι καὶ ξύμμαχοι, τοῖς μὲν
θεοῖς οὐδὲν ἂν ἔχοιμεν μέμψασθαι τὸ μὴ οὐχὶ μέχρι τοῦδε
πάντα ὅσα ηὐχόμεθα καταπεπραχέναι· εἰ μέντοι τοιοῦ-
τον ἔσται τὸ μεγάλα πράσσειν, ὥστε μὴ οἷόν τε εἶναι
μήτε ἀμφ' αὑτὸν σχολὴν ἔχειν, μήτε μετὰ τῶν φίλων
εὐφρανθῆναι, ἐγὼ μὲν χαίρειν ταύτην τὴν εὐδαιμονίαν
κελεύω. Ἐνενοήσατε γάρ, ἔφη, καὶ χθὲς δήπου, ὅτι 43
ἕωθεν ἀρξάμενοι ἀκούειν τῶν προσιόντων οὐκ ἐλήξαμεν
πρόσθεν ἑσπέρας· καὶ νῦν ὁρᾶτε τούτους καὶ ἄλλους
πλείονας τῶν χθὲς παρόντων, ὡς πράγματα ἡμῖν παρέ-

§. 42. *ηὐχόμεθα*] Vat. ambiguitati evitandae melius consulit quam vulg. *εὐχόμεθα*. Cf. §. 80.

§. 40. *Ἆρα – νῦν μὲν καιρὸς διαλυθῆναι;*] nonne nunc tempus est discedendi? Verba sunt Hermanni ad Soph. Antig. v. 628. quibus accedant Matth. §. 614.

ὑπὸ πάντων τῶν ἀναγκαίων] quatenus coacti erant abstinere cibo et potu, urinam et alvum continere. Exonerare enim alvum coram aliis Persam hominem quam maxime dedecebat. Cf. I. 6, 45. III. 1, 22. Matth. §. 502.

§. 41. *μηδένα παριέναι*] *ἄλλον* iniuria in textu Schn. reliquit; deest enim locis innumeris, quorum partem indicavi ad II. 3, 10.

τοὺς φίλους τε καὶ ἄρχοντας] Statim dicit articulo iterato *τῶν Περσῶν τε καὶ τῶν συμμάχων*, ut neutrum falsum esse intelligas. Matth. p. 1277. ne commemorem annott. ad Conviv. p. 86.

§. 42. *τὸ μὴ οὐχὶ – καταπεπραχέναι*] Cf. not. ad I. 4, 2. IV. 3, 8. Matth. §. 534. 7. §. 609. p. 1228 sq. De forma *καταπεπραχέναι* vid. Buttm. gr. max. II. p. 222.

44 ξοντας. Εἰ οὖν τις τούτοις ὑφέξει ἑαυτόν, λογίζομαι
μικρὸν μέν τι ὑμῖν μέρος ἐμοῦ μετεσόμενον, μικρὸν
δέ τι ἐμοὶ ὑμῶν· ἐμαυτοῦ μέντοι σαφῶς οἶδ' ὅτι
45 οὐδ' ὁτιοῦν μοι μετέσται. Ἔτι δ', ἔφη, καὶ ἄλλο
ὁρῶ γελοῖον πρᾶγμα. Ἐγὼ γὰρ δήπου ὑμῖν μὲν ὥσ-
περ εἰκὸς διάκειμαι· τούτων δὲ τῶν περιεστηκότων ἤ
τινα ἢ οὐδένα οἶδα, καὶ οὗτοι πάντες οὕτω παρε-
σκευασμένοι εἰσίν, ὡς, ἢν νικῶσιν ὑμᾶς ὠθοῦντες,
πρότεροι ἃ βούλονται ὑμῶν παρ' ἐμοῦ διαπραξόμενοι.
Ἐγὼ δὲ ἠξίουν τοὺς τοιούτους, εἴ τίς τι ἐμοῦ δέοιτο,
θεραπεύειν ὑμᾶς τοὺς ἐμοὺς φίλους δεομένους προσ-
46 αγωγῆς. Ἴσως ἂν οὖν εἴποι τις, τί δῆτα οὐχ οὕτως
ἐξ ἀρχῆς παρεσκευασάμην, ἀλλὰ παρεῖχον ἐν τῷ μέσῳ
ἐμαυτόν. Ὅτι τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνωσκον
ὄντα, ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα μήτε τὸ εἰ-
δέναι ἃ δεῖ, μήτε τὸ πράττειν ἃ ἂν καιρὸς ᾖ· τοὺς δὲ
σπανίους ἰδεῖν στρατηγοὺς πολλὰ ἐνόμιζον ὧν δεῖ πρα-
47 χθῆναι παριέναι. Νῦν δ' ἐπειδὴ καὶ ὁ φιλοπονώτατος
πόλεμος ἀναπέπαυται, δοκεῖ μοι καὶ ἡ ἐμὴ ψυχὴ ἀνα-
παύσεώς τινος ἀξιοῦν τυγχάνειν. Ὡς οὖν ἐμοῦ ἀπο-
ροῦντος, ὅ τι ἂν τύχοιμι ποιῶν, ὥστε καλῶς ἔχειν τά
τε ἡμέτερα καὶ τὰ τῶν ἄλλων, ὧν ἡμᾶς δεῖ ἐπιμελεῖσθαι,
συμβουλευέτω ὅ τι τις ὁρᾷ συμφορώτατον.

§. 44. *λογίζομαι μικρόν*] *λογίζομαι ὅτι μικρόν* marg. Vict. recte, ut arbitror, commendavique ad V. 5, 21.

§. 45. *ἤ τινα ἢ οὐδένα οἶδα*] Matth. §. 487. 8., Stallb. ad Plat. Apol. p. 9. Illud *οἶδα* i. q. *γιγνώσκω*. Vid. ad Conviv. p. 132 sq.

Ἐγὼ δὲ ἠξίουν – προσαγωγῆς] Ego autem aequum esse existimabam, ut tales homines, quales hi sunt, si quid ipsi a me opus haberent, vos, meos amicos, adirent admissionem rogando.

§. 46. *μήτε τὸ εἰδέναι*] De Venat. I. 12. ipse dedit scriptor *ὑστέρους εἶναι τὰ εἰς τὸν πόλεμον ἐκεῖνον*, atque ad servandum accusativum, cui etiam infra *τοῦ* substitui voluerunt, alio sponsore nihil opus est, quam Matth. §. 543. p. 1067.

τοὺς σπανίους ἰδεῖν στρατηγούς] praetores, qui raro se in conspectum dant. Matth. §. 535.

§. 47. *Ὡς οὖν ἐμοῦ ἀποροῦντος*] Vid. ad IV. 5, 53. V. 2. exeunt.

Artabazus dum exponit, quibus de rebus ipse adhuc Cyri consuetudine frui non potuerit, summam rerum a Cyro gestarum repetit.

Κῦρος μὲν οὕτως εἶπεν· ἀνίσταται δ' ἐπ' αὐτῷ 48
Ἀρτάβαζος, ὁ συγγενής ποτε φήσας εἶναι, καὶ εἶπεν,
Ἠ καλῶς, ἔφη, ἐποίησας, ὦ Κῦρε, ἄρξας τοῦδε τοῦ
λόγου. Ἐγὼ γὰρ ἔτι νέου μὲν ὄντος σοῦ πάνυ ἀρξάμε-
νος ἐπεθύμουν φίλος γενέσθαι, ὁρῶν δέ σε οὐδὲν δεό-
μενον ἐμοῦ κατώκνουν σοι προσιέναι. Ἐπεὶ δὲ ἐτυχές 49
ποτε καὶ ἐμοῦ δεηθεὶς προθύμως ἐξαγγεῖλαι πρὸς Μή-
δους τὰ παρὰ τοῦ Κυαξάρου, ἐλογιζόμην, εἰ ταῦτα
πρόθυμός σοι συλλάβοιμι, ὡς οἰκεῖός τέ σοι ἐσοίμην,
καὶ ἐξέσοιτό μοι διαλέγεσθαί σοι ὁπόσον ἂν χρόνον βου-
λοίμην. Καὶ ἐκεῖνα μὲν δὴ ἐπράχθη, ὥςτε σε ἐπαινεῖν. 50
Μετὰ δὲ τοῦτο Ὑρκάνιοι μὲν πρῶτοι φίλοι ἡμῖν ἐγένοντο,
καὶ μάλα πεινῶσι συμμάχων· ὥςτε μόνον οὐκ ἐν ταῖς ἀγκά-
λαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες. Μετὰ δὲ τοῦτο,
ἐπεὶ ἑάλω τὸ πολέμιον στρατόπεδον, οὐκ, οἶμαι, σχολή
σοι ἦν ἀμφ' ἐμὲ ἔχειν· καὶ ἐγώ σοι συνεγίγνωσκον. Ἐκ 51
δὲ τούτου Γωβρύας ἡμῖν φίλος ἐγένετο, καὶ ἐγὼ ἔχαι-
ρον· καὶ αὖθις Γαδάτας· καὶ δὴ ἔργον σου ἦν μεταλα-
βεῖν. Ἐπεί γε μέντοι καὶ Σάκαι καὶ Καδούσιοι σύμ-
μαχοι ἐγεγένηντο, θεραπεύειν εἰκότως ἔδει τούτους· καὶ
γὰρ οὗτοι σὲ ἐθεράπευον. Ὡς δ' ἤλθομεν πάλιν ἔνθεν 52
ὡρμήθημεν, ὁρῶν σε ἀμφ' ἵππους ἔχοντα, ἀμφ' ἅρματα,

§. 48. *τοῦδε τοῦ λόγου*] M. et m. Vict. siquidem ambo differunt. *τοῦ λόγου* edd. Vid. Iacobs. ad Achill. Tat. p. 728 sq.
§. 50. *σχολή σοι ἦν*] *σχολήν σοι εἶναι* al.

§. 48. *ὁ συγγενής ποτε φήσας εἶναι*] I. 4, 27. V. 1, 24.

§. 49. *ὡς οἰκεῖος*] Similiter post membrum in conditione collocatum *ὅτι* traiectum vidimus VI. 2, 1. De re vid. IV. 1, 23.

§. 52. *ἔνθεν ὡρμήθημεν*] h. e. *ἐκεῖσε ἔνθεν ὡρμ.* Anab. II. 3, 6. *ἄξουσιν ἔνθεν ἕξουσι τὰ ἐπιτήδεια.* Ibid. I. 3, 17. *μὴ ἡμᾶς ἀγάγοι ὅθεν οὐχ οἷόν τε ἔσται ἐξελθεῖν.* Ad Eurip. Iphig. Taur. v. 940. *μεταδρομαῖς Ἐρινύων ἠλαυνόμεσθα φυγάδες ἔνθεν μοι πόδα εἰς τὰς Ἀθήνας δή γ' ἔπεμψε Λοξίας* exstat Elmsleii annotatio haec: »*Ἔνθεν* hic valet *ἐκεῖσε* (*εἰς Δελφούς* scilicet) *ἔνθεν.* Ita noster Herc. 260. *ἀπέῤῥων δ' ἔνθεν ἦλθες ἐνθάδε, ὕβριζ'.* El. 635. *Στείχων ὅθεν σε βουθυτῶν ἐσόψεται.*« Addendus Lobeck. ad Phryn. p. 44 sq. Loquitur autem Artabazus de iis, quae narrantur V. 4, 51.

ἀμφὶ μηχανάς, ἡγούμην, ἐπεὶ ἀπὸ τούτου σχολάσαις, τότε σε καὶ ἀμφ' ἐμὲ ἕξειν σχολήν. Ὡς γε μέντοι ἦλθεν ἡ δεινὴ ἀγγελία, τὸ πάντας ἀνθρώπους ἐφ' ἡμᾶς συλλέγεσθαι, ἐγίγνωσκον, ὅτι ταῦτα μέγιστα εἴη· εἰ δὲ ταῦτα καλῶς γένοιτο, εὖ ἤδη ἐδόκουν εἰδέναι, ὅτι πολλὴ ἔσοιτο ἀφθονία τῆς ἐμῆς καὶ τῆς σῆς συνουσίας.
53 *Καὶ νῦν δὴ νενικήκαμέν τε τὴν μεγάλην μάχην, καὶ Σάρδεις καὶ Κροῖσον ὑποχείριον ἔχομεν, καὶ Βαβυλῶνα ᾑρήκαμεν, καὶ πάντα κατεστράμμεθα· καί, μὰ τὸν Μίθρην, ἐγώ τοι ἐχθές, εἰ μὴ πολλοῖς διεπύκτευσα, οὐκ ἂν ἐδυνάμην σοι προσελθεῖν. Ἐπεί γε μέντοι ἐδεξιώσω με, καὶ παρὰ σοὶ ἐκέλευσας μένειν, ἤδη περίβλεπτος*
54 *ἦν, ὅτι μετὰ σοῦ ἄσιτος καὶ ἄποτος διημέρευον. Νῦν*

§. 53. *διεπύκτευσα*] *διεπρώκτευσα* Vat. mira sane diversitate, quae Aristophanica plura in memoriam revocat. [Horat. II. Sat. VI. 28. luctandum in turba. Cf. ib. II. 5, 94.]

Ὡς γε μέντοι ἦλθεν] Particulae *γὲ μέντοι* etiam iis voculis adhaerere solent, quarum vim postposita *γέ* leviter duntaxat afficit. II. 1, 9. *οἵγε μεντἂν αὐτῶν φεύγωσι.* §. 19. *τάς γε μέντοι ψυχὰς αὐτῶν θήγειν.* III. 3, 20. *τό γε μέντοι ἰέναι εἰς τὴν πολεμίαν.* V. 5, 25. *εὖ γε μέντοι, ἔφη, ἴσθι.* cap. nostri §. 51. 53. *Ἐπεί γε μέντοι.* VIII. 2, 21. *τῇδέ γε μέντοι διαφέρειν μοι δοκῶ.* De re equestr. XI. 13. *Ἢν γε μέντοι τις καλῶς ἱππωνήσῃ.* Anab. I. 9, 14. *Τούς γε μέντοι ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο διαφερόντως τιμᾶν.* Quae quid sibi velint, docet ad Viger. p. 842. Hermann. Intelligit Artabazus nuntium Indorum VI. 2, 9.

§. 53. *μὰ τὸν Μίθρην*] *μά* dixit, non *νή*, quia negat se ad Cyrum accedere potuisse, nisi pugnis cum multis certasset. Matth. §. 605. Buttm. §. 149. p. 433. Viger. p. 450. Mithrae nomine Solem Persas veneratos esse vulgo existimant. Vid. Brisson. de regno Pers. p. 342 sq. Creuzer. Symbol. et Mythol. I. p. 728 sq. Contra Rosenmueller Vol. I. P. II. p. 217 sq. *Miher oder Mihter*, inquit, *woraus Mithra, bedeutet nicht, wie gewöhnlich gesagt wird, die Sonne, sondern es ist in der Religionslehre der Parsen der Name eines Izeds, oder himmlischen Genius, des Königs aller Könige in Ansehung dieser Welt, der moralisch und physisch auf dieselbe einwirkt* etc. Cf. Baehr. Ctes. p. 200. et Wesseling. ad Herodt. I. 131. Equidem distinguendum arbitror, quid Graeci ea de re statuerint, quidque Persae ipsi crediderint, atque facile nos quidem acquiescimus in verbis Strabonis XV. p. 221. Tzsch. *τιμῶσι δὲ καὶ Ἥλιον, ὃν καλοῦσι Μίθρην.*

ἤδη περίβλεπτος ἦν, ὅτι μετὰ σοῦ – διημέρευον] Hoc dicit: iam ter felicem me esse putabam, quod tua in vi-

οὖν, εἰ μὲν ἔσται πῃ ὅπως οἱ πλείστου ἄξιοι γεγενημένοι πλεῖστόν σου μέρος μεθέξομεν· εἰ δὲ μή, πάλιν αὖ ἐγὼ ἐθέλω παρὰ σοῦ ἐξαγγέλλειν ἀπιέναι πάντας ἀπὸ σοῦ πλὴν ἡμῶν τῶν ἐξ ἀρχῆς φίλων.

Chrysantas exsistit suasor eorum, quae Cyrus maxime expetebat.

Ἐπὶ τούτῳ ἐγέλασε μὲν ὁ Κῦρος καὶ ἄλλοι πολλοί. 55
Χρυσάντας δὲ ἀνέστη ὁ Πέρσης, καὶ ἔλεξεν ὧδε· Ἀλλὰ τὸ μὲν πρόσθεν, ὦ Κῦρε, εἰκότως ἐν τῷ φανερῷ σαυτὸν παρεῖχες, δι' ἅ τε αὐτὸς εἶπες, καὶ ὅτι οὐχ ἡμᾶς σοι μάλιστα ἦν θεραπευτέον. Ἡμεῖς μὲν γὰρ καὶ ἡμῶν αὐτῶν ἕνεκα παρῆμεν· τὸ δὲ πλῆθος ἔδει ἀνακτᾶσθαι ἐκ παντὸς τρόπου, ὅπως ὅ τι ἥδιστα συμπονεῖν καὶ συγκινδυνεύειν ἡμῖν ἐθέλοιεν. Νῦν δ' ἐπειδὴ οὐχ οὕ- 56
τω τρόπου μόνον ἔχεις, ἀλλὰ καὶ ἄλλως ἀνακτᾶσθαι

§. 54. *εἰ δὲ μή*] *εἰ δέ*, cum Vat. praeferam fretus praeceptis Matth. p. 1249.

§. 56. *οὐχ οὕτω τρόπου μόνον ἔχεις*] In A. B. G. *οὖν τρόπῳ μόνῳ ἔχεις* subesse suspiceris *οὐ τούτῳ τῷ τρόπῳ μόνον ἔχεις* sc. *τὸ πλῆθος*, aut etiam *οὐχ οὕτω τρόπου μόνον ἔχεις.*

καὶ ἄλλως ἀνακτᾶσθαι] Coniectura est Hermanni in Observatt. critt. p. 23., in defendendo optativo *καιρὸς εἴη* occupati. Libri habent *καὶ ἄλλους ἀνακτᾶσθαι.*

cinia esuriendo et sitiendo totum per diem transigebam. Nostrates: *ich war schon über alle Maassen geehrt und glücklich, weil ich in deiner Gesellschaft den ganzen Tag mit Hungern und Dursten hinbrachte.* Paulum ab his discrepat Fischeri interpretatio, cui non assentior.

§. 54. *ἔσται πῃ ὅπως*] Ex eodem genere haec est loquutio, quo fuit *ἔστιν ἔνθα* cap. 4, 15.

μεθέξομεν] *εὖ ἔχει* ex interpretatione adiungit Steph. a Graecis fere suppressum. Vid. II. 3, 2. IV. 5, 10. Matth. §. 617. a. Buttm. §. 151. IV. 4. p. 452. ed. 12. Rost. §. 139. 8.

§. 55. *οὐχ ἡμᾶς σοι μάλιστα ἦν θεραπευτέον*] Structurae causa vide quae laudavi ad II. 2, 15.

§. 56. *Νῦν δ' ἐπειδὴ οὐχ οὕτω τρόπου μόνον ἔχεις*] Variis huius loci interpretationibus accedat etiam Gabrielii, quae haud procul abest a Zeuniana: »Nunc autem quando non id solum consequutus es, sed potes etiam alios, quos tibi commodum sit, conciliare et adiungere.« Nam ipse sequor explicationem, quam praeivit Matth. §. 337: quoniam non solum eo es ingenio, ut putes omnibus modis (*ἐκ παντὸς τρόπου*) multitudinem conciliandam esse, sed alia etiam ratione id efficere

δύνασαι οὓς καιρὸς εἴη, ἤδη καὶ οἰκίας σε τυχεῖν ἄξιον· ἢ τί ἀπολαύσαις ἂν τῆς ἀρχῆς, εἰ μόνος ἄμοιρος εἴης ἑστίας, οὗ οὔτε ὁσιώτερον χωρίον ἐν ἀνθρώποις, οὔτε ἥδιον, οὔτε οἰκειότερόν ἐστιν οὐδέν; Ἔπειτα δ', ἔφη, οὐκ ἂν οἴει καὶ ἡμᾶς αἰσχύνεσθαι, εἰ σὲ μὲν ὁρῷμεν ἔξω καρτεροῦντα, αὐτοὶ δ' ἐν οἰ-
57 κίαις εἴημεν καὶ σοῦ δοκοίημεν πλεονεκτεῖν; Ἐπεὶ δὲ Χρυσάντας ταῦτα ἔλεξε, συνηγόρευον αὐτῷ κατὰ ταὐτὰ πολλοί. Ἐκ τούτου δὴ εἰςέρχεται εἰς τὰ βασίλεια, καὶ τὰ ἐκ Σάρδεων χρήματα ἐνταῦθ' οἱ ἄγοντες ἀπέδοσαν. Ἐπεὶ δὲ εἰςῆλθεν ὁ Κῦρος, πρῶτον μὲν Ἑστίᾳ ἔθυσεν, ἔπειτα Διῒ βασιλεῖ, καὶ εἴ τινι ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦντο.

Corporis custodes elegit Cyrus eunuchos.

58 Ποιήσας δὲ ταῦτα, τὰ ἄλλα ἤδη ἤρχετο διοικεῖν. Ἐννοῶν δὲ τὸ αὑτοῦ πρᾶγμα, ὅτι ἐπιχειροίη μὲν ἄρχειν πολλῶν ἀνθρώπων, παρασκευάζοιτο δὲ οἰκεῖν ἐν τῇ πόλει τῇ μεγίστῃ τῶν φανερῶν, αὕτη δ' οὕτως ἔχοι αὐτῷ, ὡς ἂν πολεμιωτάτη γένοιτο ἀνδρὶ πόλις, ταῦτα δὴ λογιζόμενος, φυλακῆς περὶ τὸ σῶμα

§. 57. κατὰ ταὐτὰ] κατὰ ταῦτα al. Vid. ad II. 2, 21.
§. 58. ἀνδρὶ πόλις] Absunt a bonis codd.

potes. Ita οὕτω τρόπου idem valebit quod οὕτω γνώμης, quam formulam cum ἔχειν iunctam exemplis comprobavit **Schneider.** ad Anab. p. 450. edit. meae. Tum vero etiam **Hesychius** T. II. p. 1425. Τρόπος· ἦθος, γνώμη. Alia ista ratio quae sit, cognosci potest ex VIII. 2, 2. §. 10.

οὓς καιρὸς εἴη] οὓς ἀνακτᾶσθαι καιρὸν εἶναι ἡγῇ interprete **Matth.** p. 1025. Cf. ad I. 6, 19. II. 4, 10. III. 3, 67.

οὗ οὔτε] ἧς οὐδέν ex Alt. protractum ex glossemate ortum iudicat **Schaefer.** Epimetr. ad Aristoph. Plut. p. XCV sq. Anab. I. 2, 20. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν ᾧ Κῦρος ἀπέκτεινεν ἄνδρα Πέρσην possis cum nostris comparare verbis. Cf. **Rost.** §. 99. not. 10. **Buttm.** §. 143. exeunt.

§. 57. Ἑστίᾳ] Vid. ad I. 6, 1.

καὶ εἴ τινι ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦντο] et si cuipiam alii deo sacra facienda esse magi edicebant. Intelligi enim debent θύειν δεῖν. Cf. ad VI. 4, 5.

§. 58. ὡς ἂν πολεμιωτάτη γένοιτο] De re equest. IX. 3. Ἔπειτα δ' ἐκ τοῦ βραδυτάτου ἀρχόμενον οὕτως αὖ εἰς τὸ θᾶττον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι αὐτὸν ὁ ἵππος εἰς τὸ τα

ἡγήσατο δεῖσθαι. Γνοὺς δ', ὅτι οὐδαμοῦ ἄνθρωποι 59
εὐχειρότεροί εἰσιν ἢ ἐν σίτοις καὶ ποτοῖς καὶ λουτροῖς
καὶ κοίτῃ καὶ ὕπνῳ, ἐσκόπει, τίνας ἂν ἐν τούτοις
περὶ ἑαυτὸν πιστοτάτους ἔχοι. Ἐνόμισε δὲ μὴ ἂν γε-
νέσθαι ποτὲ πιστὸν ἄνθρωπον, ὅςτις ἄλλον μᾶλλον
φιλήσοι τοῦ τῆς φυλακῆς δεομένου. Τοὺς μὲν οὖν 60
ἔχοντας παῖδας ἢ γυναῖκας συναρμοζούσας ἢ παιδικὰ
ἔγνω φύσει ἠναγκάσθαι ταῦτα μάλιστα φιλεῖν· τοὺς
δὲ εὐνούχους ὁρῶν πάντων τούτων στερομένους, ἡγή-
σατο τούτους ἂν περὶ πλείστου ποιεῖσθαι, οἵτινες δύ-
νανται πλουτίζειν μάλιστα αὐτούς, καὶ βοηθεῖν, εἴ τι
ἀδικοῖντο, καὶ τιμὰς περιάπτειν αὐτοῖς· τούτους δὲ
εὐεργετοῦντα ὑπερβάλλειν αὐτὸν οὐδένα ἂν ἡγεῖτο δύ-
νασθαι. Πρὸς δὲ τούτοις, ἄδοξοι ὄντες οἱ εὐνοῦχοι 61
παρὰ τοῖς ἄλλοις ἀνθρώποις, καὶ διὰ τοῦτο δεσπότου

§. 59. εὐχειρότεροι] Ita Pariss. εὐχειρώτεροι Vat. εὐχειρωτότεροι edd. Dictum de his ad I. 6, 36.

χὺ ἀφικνούμενος. Supra V. 4, 44. προςάγουσι μὲν γὰρ πάντες οὕτω ταξάμενοι, ὡς ἂν ἄριστοι εἶεν μάχεσθαι· καὶ παράγουσι δὲ οἱ σώφρονες, ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν τάχιστα ἀπέλθοιεν. In eiusdem libri cap. 3, 21. διατίθει αὐτὸ οὕτως, ὡς ἂν τῷ ὑμετέρῳ φύλῳ πλείστου ἄξιον ᾖ dubito an εἴη pro ᾖ restituendum sit, quia ut usu stabilitur etiam coniunctivus, ita sensu nonnihil ab optativo discrepat. Optativus tamen erat etiam I. 3, 8. p. 30. et apud Aeschinem a Matth. §. 461. p. 860. laudatum. Cf. ad VII. 1, 22.

§. 60. γυναῖκας συναρμοζούσας] Participium soli nomini γυναῖκας adiunctum male habuit Schneider., non recordatum lepidi colloquii VIII. 4, 18 sqq. nec perpendentem, maritum, ut Xanthippen uxorem amet, non aeque natura impelli, atque vel liberorum amore pater vel amasiorum duci solet amator.

τούτους δὲ εὐεργετουντα ὑπερβάλλειν αὐτόν] Scribebatur αὑτόν, quod Graecitatis leges repudiant; sic enim construendum: ἡγεῖτο δὲ οὐδένα ἂν δύνασθαι αὐτὸν ὑπερβάλλειν εὐεργετοῦντα τούτους τοὺς εὐνούχους. Accusativum, non nominativum cur posuerit, ratio in promtu est; regitur enim ab infinitivo ὑπερβάλλειν. Sed ἑαυτόν s. αὑτόν postulat oppositio, ut huc quoque referas velim, quae docuit Matth. §. 536. p. 1054. cl. not. ad VI. 1, 14. Obiter addo ὑπερβάλλειν nec hoc loco nec aliis permultis vi intransitiva vel media forma usurpari, corrigique debere observationem Blomfieldi Aeschyl. Pers. Gloss. 296.

§. 61. καὶ διὰ τοῦτο] Participio postposita haec non maiorem habent offensionem quam III. 1, 39. et Anab. VII. 1, 9. οἱ δὲ στρατιῶται, ἐπισιτισμοῦ δεόμενοι, διὰ τοῦτο ἀθυμοῦσι πρὸς τὴν ἔξοδον, vel ἐκ τούτου infra §. 75.

ἐπικούρου προςδέονται· οὐδεὶς γὰρ ἂν ἦν, ὅςτις οὐκ ἂν ἀξιώσειεν εὐνούχου πλέον ἔχειν ἐν παντί, εἰ μή τι ἄλλο κρεῖττον ἀπείργοι· δεσπότῃ δὲ πιστὸν ὄντα οὐδὲν
62 κωλύει πρωτεύειν καὶ τὸν εὐνοῦχον. Ὃ δ' ἂν μάλιστά τις οἰηθείη ἀνάλκιδας τοὺς εὐνούχους γίγνεσθαι, οὐδὲ τοῦτο ἐφαίνετο αὐτῷ. Ἐτεκμαίρετο δὲ καὶ ἐκ τῶν ἄλλων ζώων, ὅτι οἵ τε ὑβρισταὶ ἵπποι ἐκτεμνόμενοι τοῦ μὲν δάκνειν καὶ ὑβρίζειν ἀποπαύονται, πολεμικοὶ δὲ οὐδὲν ἧττον γίγνονται· οἵ τε ταῦροι ἐκτεμνόμενοι τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν ὑφίενται, τοῦ δ' ἰσχύειν καὶ ἐργάζεσθαι οὐ στερίσκονται· καὶ οἱ κύνες δὲ ὡςαύτως τοῦ μὲν ἀπολείπειν τοὺς δεσπότας ἀποπαύονται ἐκτεμνόμενοι, φυλάττειν δὲ καὶ εἰς θή-
63 ραν οὐδὲν κακίους γίγνονται. Καὶ οἵ γε ἄνθρωποι ὡςαύτως ἠρεμέστεροι γίγνονται, στερισκόμενοι ταύτης τῆς ἐπιθυμίας, οὐ μέντοι ἀμελέστεροί γε τῶν προς-

§. 61. γὰρ ἂν ἦν] ἂν deest in G. Velis etiam ἦν deesse, quod incommodum sensum praebet: nemo esset, si quaereres, omisso ἂν: nemo erat, qui. Etenim conditio addita εἰ μή τι – ἀπείργοι quomodo priora illa afficiat?

§. 62. εἰς θήραν] θηρᾶν retinuit cum Zeun. Schneid.

οὐδεὶς γὰρ ἂν ἦν, ὅςτις οὐκ ἂν ἀξιώσειεν] Deleto ἂν priore in grammaticam recepit Matth. §. 306. p. 607. aliis locis congestis §. 483. p. 906. ab eodem et a me ad Conviv. p. 53. Prae ceteris dignus est, quem hac de loquutione exponentem audias, Elmsleius ad Eurip. Med. 775. una cum Hermanni annotationibus p. 373 sq. edit. Lips. Reliquum est, ut optativi οὐκ ἂν ἀξιώσειεν rationem perspicere cupientem remittam ad Matth. gr. § 528. aut eius rei causa subscribam Isocrat. Evag. p. 223. 50. Bekk. καὶ τούτων ἁπάντων οὐδεὶς ὅςτις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι προςομολογήσειεν.

§. 62. Ἐτεκμαίρετο δὲ καί] sc. τοῦτο, quod quam crebro huic verbo ademtum sit, post Heindorf. ad Platon. Phaedon. p. 221 sq. ostendit Stallbaum. Platon. Vol. I. Sect. I. p. 107.

καὶ οἱ κύνες δέ] Antecedunt οἵ τε ὑβρισταὶ – οἵ τε ταῦροι, idque sine ulla corruptelae suspicione, quae Schneiderum fefellerat ad V. 3, 43.

φυλάττειν δὲ καὶ εἰς θήραν] Sive consulto quidam scriptores hoc genus variatae orationis interdum quaesiverunt, sive casu iis excidit, apte Hutchinson. apposuit VIII. 3, 41. πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι, πολλοὶ δὲ πιεῖν, πολλοὶ δὲ ἱμάτια. Thucyd. VI. p. 399. Oxon. VII. p. 466. Alia reperientur ad Apol. p. 34. apud Popp. de elocut. Thucyd. p. 277. e Latinis autem scriptis p. 375. Cf. supra ad I. 5, 12.

ταττομένων, οὐδ᾽ ἧττόν τι ἱππικοί, οὐδὲ ἧττόν τι ἀκοντιστικοί, οὐδὲ ἧττόν τι φιλότιμοι. Κατάδηλοι δὲ 64 γίγνονται καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς θήραις, ὅτι ἔσωζον τὸ φιλόνεικον ἐν ταῖς ψυχαῖς. Τοῦ δὲ πιστοὶ εἶναι ἐν τῇ φθορᾷ τῶν δεσποτῶν μάλιστα βάσανον ἐδίδοσαν· οὐδένες γὰρ πιστότερα ἔργα ἀπεδείκνυντο ἐν ταῖς δεσποτικαῖς συμφοραῖς τῶν εὐνούχων. Εἰ δέ τι 65 ἄρα τῆς τοῦ σώματος ἰσχύος μειοῦσθαι δοκοῦσιν, ὁ σίδηρος ἀνισοῖ τοὺς ἀσθενεῖς τοῖς ἰσχυροῖς ἐν τῷ πολέμῳ. Ταῦτα δὴ γιγνώσκων, ἀρξάμενος ἀπὸ τῶν θυρωρῶν, πάντας τοὺς περὶ τὸ ἑαυτοῦ σῶμα θεραπευτῆρας ἐποιήσατο εὐνούχους.

Satellites regiae et praesidium urbicum instituit.

Ἡγησάμενος δὲ οὐχ ἱκανὴν εἶναι τὴν φυλακὴν 66 ταύτην πρὸς τὸ πλῆθος τῶν δυςμενῶς ἐχόντων, ἐσκόπει, τίνας τῶν ἄλλων ἂν πιστοτάτους περὶ τὸ βασίλειον φύλακας λάβοι. Εἰδὼς οὖν Πέρσας τοὺς οἴκοι 67 κακοβιωτάτους μὲν ὄντας διὰ πενίαν, ἐπιπονώτατα δὲ ζῶντας διὰ τὴν τῆς χώρας τραχύτητα, καὶ διὰ τὸ αὐτουργοὺς εἶναι, τούτους ἐνόμιζε μάλιστ᾽ ἂν ἀγαπᾶν τὴν παρ᾽ ἑαυτῷ δίαιταν. Λαμβάνει οὖν τούτων μυ- 68 ρίους δορυφόρους, οἳ κύκλῳ μὲν νυκτὸς καὶ ἡμέρας ἐφύλαττον περὶ τὰ βασίλεια, ὁπότε ἔσω ῥαΐσειεν· ὁπότε

§. 64. *γίγνονται καὶ ἐν τοῖς*] Ne illud *καί* intersertum mireris, exciderat ex edit. Weisk. indeque ex reliquis.

§. 66. *ἂν πιστοτάτους*] *αὖ πιστοτάτους ἂν* Alt. neutiquam negligendum arbitror.

§. 67. *παρ᾽ ἑαυτῷ δίαιταν*] *παρ᾽ ἑαυτῶν δ.* Vat. i. e. *παρ᾽ ἑαυτὸν δίαιταν*, recte, vid. I. 4, 18. not.

§. 68. *ὁπότε ἔσω ῥαΐσειεν*] *ὁπότε ἐπὶ χώρας εἴη* alii, *ὁπότε ἔσω δεήσειεν* Vat. Minus fortasse aptum fuerit *ὁπότε ἐπιχωριάσειεν* quam *ὁπότε ἐπιδημήσειεν*, nam quod verum sit, nondum legimus.

§. 64. *Τοῦ δὲ πιστοὶ εἶναι*] Vides igitur, quod eunuchi c. 3. exeunt. fecerant, non temere a Xenophonte esse confictum.

§. 68. *ὁπότε ἔσω ῥαΐσειεν*] Defenditur haec scriptura redditurque quoties domi requiesceret, otiosus esset, neque tamen ubi *ῥαΐζειν* eam, quam verbo assignant, vim habeat, ullus locus affertur. Alius quippe generis sunt quae ad h. l. Zeunius, ad Aeschinem Fischerus atque in Ep. crit. p.

δὲ ἐξίοι που, ἔνθεν καὶ ἔνθεν τεταγμένοι ἐπορεύοντο.
69 Νομίσας δὲ καὶ Βαβυλῶνος ὅλης φύλακας δεῖν εἶναι ἱκανούς, εἴτ' ἐπιδημῶν αὐτὸς τυγχάνοι, εἴτε καὶ ἀποδημῶν, κατέστησε καὶ ἐν Βαβυλῶνι φρουροὺς ἱκανούς· μισθὸν δὲ καὶ τούτοις Βαβυλωνίους ἔταξε παρέχειν, βουλόμενος αὐτοὺς ὡς ἀμηχανωτάτους εἶναι, ὅπως ὅ τι ταπεινότατοι καὶ εὐκαθεκτότατοι εἶεν.

Cyri oratio ad amicos de disciplina procerum constituenda.

70 Αὕτη μὲν δὴ ἡ περὶ αὐτόν τε φυλακὴ καὶ ἡ ἐν Βαβυλῶνι τότε κατασταθεῖσα, καὶ νῦν οὕτως ἔχουσα διαμένει. Σκοπῶν δ' αὖ, ὅπως ἂν καὶ ἡ πᾶσα ἀρχὴ κατέχοιτο, καὶ ἄλλη ἔτι προσγίγνοιτο, ἡγήσατο τοὺς μὲν μισθοφόρους τούτους οὐ τοσοῦτον βελτίονας τῶν ὑπηκόων εἶναι, ὅσον ἐλάττονας· τοὺς δ' ἀγαθοὺς ἄνδρας ἐγίγνωσκε συνεκτέον εἶναι, οἵπερ σὺν τοῖς θεοῖς τὸ κρατεῖν παρέσχον, καὶ ἐπιμελητέον, ὅπως μὴ ἀνήσουσι
71 τὴν τῆς ἀρετῆς ἄσκησιν. Ὅπως δὲ μὴ ἐπιτάσσειν αὐτοῖς δοκοίη, ἀλλὰ γνόντες καὶ αὐτοὶ ταῦτα ἄριστα εἶναι, οὕτω συμμένοιέν τε καὶ ἐπιμελοῖντο τῆς ἀρετῆς, συνέλεξε τούς τε ὁμοτίμους καὶ πάντας, ὁπόσοι ἐπικαίριοι ἦσαν, καὶ ἀξιοχρεώτατοι ἐδόκουν αὐτῷ κοινωνοὶ εἶναι καὶ πόνων καὶ ἀγαθῶν. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε·

§. 70. δὴ ἡ περί] ἡ intulit Pop. sine codd. auctoritate, quibuscum κατασχεθεῖσα pro κατασταθεῖσα idem nescio quo sensu receperat.

§. 71. ἐπιτάσσειν] codd. et edd. vett. ἐπιτάττειν Steph.

218. Bastius commemorarunt. – ὁπότε δὲ ἐξίοι που est nostrum: *so oft er aber etwa ausging* vel *ausritt*.

§. 70. μισθοφόρους τούτους] Persas in satellitium et custodiam Babylonis adscitos. Quae subsequuntur οὐ τοσ. – ἐλάττονας, bene vertit Gabr. non tanto esse his, quos in sua potestate et ditione tenebat, virtute superiores, quanto erant numero inferiores.

§. 71. οὕτω συμμένοιεν] Admonet lectores οὕτω praegressi participii, more illud pervulgato additum, quem Engelhard. copiose tractavit positoque inter οὕτω et ἔπειτα discrimine ad Platon. Lach. p. 50 sqq. Cf. Matth. §. 610. p. 1235.

Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς μεγίστη χάρις, ὅτι ἔδοσαν ἡμῖν τυχεῖν ὧν ἐνομίζομεν ἄξιοι εἶναι. Νῦν μὲν γὰρ δὴ ἔχομεν καὶ γῆν πολλὴν καὶ ἀγαθὴν καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς· ἔχομεν δὲ καὶ οἰκίας καὶ ἐν ταύταις κατασκευάς. 72
Καὶ μηδείς γε ὑμῶν ἔχων ταῦτα νομισάτω ἀλλότρια ἔχειν· νόμος γὰρ ἐν πᾶσιν ἀνθρώποις ἀΐδιός ἐστιν, ὅταν πολεμούντων πόλις ἁλῷ, τῶν ἑλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα. Οὔκουν ἀδικίᾳ γε ἕξετε ὅ τι ἂν ἔχητε, ἀλλὰ φιλανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε, ἤν τι ἐᾶτε ἔχειν αὐτούς. 73
Τὸ μέντοι ἐκ τοῦδε οὕτως ἐγὼ γιγνώσκω, ὅτι, εἰ μὲν τρεψόμεθα ἐπὶ ῥᾳδιουργίαν καὶ τὴν τῶν κακῶν ἀνθρώπων ἡδυπάθειαν, οἳ νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἀπόνως βιοτεύειν ἡδυπάθειαν, ταχὺ ἡμᾶς φημι ὀλίγου ἀξίους ἡμῖν αὐτοῖς ἔσεσθαι, καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσεσθαι. 74
Οὐ γάρ τοι τὸ ἀγαθοὺς ἄνδρας γενέσθαι τοῦτο ἀρκεῖ, ὥςτε καὶ διατελεῖν ὄντας ἀγαθούς, ἢν μή τις αὐτοῦ διὰ τέλους ἐπιμελῆται· 75

§. 72. *ταύτην ἐργαζόμενοι*] Melius Vat. *ταῦτα ἐργαζόμενοι*.

§. 75. *ὄντας ἀγαθούς*] Possunt abesse, quae a codd. ignorantur.

§. 72. *τοῖς μὲν θεοῖς*] Cum *μέν* cohaeret illud *μέντοι* statim ab initio §. 74. collocatum.

§. 73. *Καὶ μηδείς γε ὑμῶν — νομισάτω*] Quid? *μηδείς*, quod vetantis est et prohibentis, quo iure aoristi reget imperativum? Imo huiusmodi negatio vel praesentis imperativum vel coniunctivum aoristi secum habeat necesse est. Atqui huic regulae non videntur obtemperare, quae tertia persona proponuntur; cuiusmodi sunt nonnulla apud Herm. ad Viger. p. 809. Matth. §. 511. 3. Cf. not. crit. VII. 1, 17.

πολεμούντων] sc. *ἀνθρώπων* vel *τινῶν*. Male Fischerus *τῶν πολεμούντων* postulat. Vid. Matth. §. 563.

οὐκ ἀφαιρήσεσθε, ἤν τι ἐᾶτε ἔχειν αὐτούς] Eius causa, qui *ἐᾶτε* putavit imperfecti loco coniunctivi esse, moneo sensum esse hunc: neque in posterum auferetis Babyloniis, si quid vel quidquid eos nunc ipsum possidere sinitis, i. e. quidquid permittentibus vobis nunc possident.

§. 74. *Τὸ μέντοι ἐκ τοῦδε οὕτως ἐγὼ γιγνώσκω, ὅτι — φημί*] Quasi quis Latine diceret: quod vero ad futurum tempus attinet, in eam ego adducor sententiam, ut — censeam. Haesit in his etiam Fischerus.

§. 75. *αὐτοῦ*] *τοῦ διατελεῖν ὄντα ἀγαθόν*. Sententiam candem persequitur Socrates Memor. I. 2, 19 sq.

ἀλλὰ ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι μείονος ἄξιαι γίγνονται, καὶ τὰ σώματά γ' αὖ τὰ εὖ ἔχοντα, ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονήρως πάλιν ἔχει· οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἀλκή, ὁπόταν τις αὐτῶν ἀνῇ τὴν ἄσκησιν, ἐκ τούτου
76 *εἰς τὴν πονηρίαν πάλιν τρέπεται. Οὔκουν δεῖ ἀμελεῖν, οὐδ' ἐπὶ τὸ αὐτίκα ἡδὺ προϊέναι αὐτούς. Μέγα μὲν γάρ, οἶμαι, ἔργον καὶ τὸ ἀρχὴν καταπρᾶξαι, πολὺ δ' ἔτι μεῖζον τὸ λαβόντα διασώσασθαι. Τὸ μὲν γὰρ λαβεῖν πολλάκις τῷ τόλμαν μόνον παρασχομένῳ ἐγένετο, τὸ δὲ λαβόντα κατέχειν οὐκέτι τοῦτο ἄνευ σωφροσύνης, οὐδ' ἄνευ ἐγκρατείας, οὐδ' ἄνευ πολλῆς ἐπιμε-*
77 *λείας γίγνεται. Ἃ χρὴ γιγνώσκοντας νῦν πολὺ μᾶλλον ἀσκεῖν τὴν ἀρετὴν ἢ πρὶν τάδε τἀγαθὰ κτήσασθαι, εὖ εἰδότας, ὅτι, ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι τούτῳ καὶ φθονοῦσι καὶ ἐπιβουλεύουσι καὶ πολέμιοι γίγνονται, ἄλλως τε κἂν παρ' ἀκόντων τά τε κτήματα καὶ τὴν θεραπείαν ὥσπερ ἡμεῖς ἔχῃ. Τοὺς μὲν οὖν θεοὺς οἴεσθαι χρὴ σὺν ἡμῖν ἔσεσθαι· οὐ γὰρ ἐπιβουλεύσαντες ἀδίκως ἔχομεν, ἀλλ' ἐπιβουλευθέντες ἐτιμωρησά-*
78 *μεθα. Τὸ μέντοι μετὰ τοῦτο κράτιστον ἡμῖν αὐτοῖς παρασκευαστέον· τοῦτο δέ ἐστι τὸ βελτίονας ὄντας τῶν ἀρχομένων ἄρχειν ἀξιοῦν. Θάλπους μὲν οὖν καὶ ψύχους καὶ σίτων καὶ ποτῶν καὶ πόνων καὶ ὕπνου ἀνάγκη καὶ τοῖς δούλοις μεταδιδόναι· μεταδιδόντας γε μέντοι πειρᾶσθαι δεῖ ἐν τούτοις πρῶτον βελτίονας αὐ-*

τὰ σώματά γ' αὖ τὰ εὖ ἔχοντα] **Acquiesci poterit in cod. Alt.** *τὰ σώματά γε τὰ εὖ ἔχοντα.* **Cf. tamen I. 6, 45.**

§. 76. *προϊέναι αὐτούς*] *προΐεσθαι αὐτούς* **coni. Schn.** *αὐτούς* **om. G. Tum marg. Vill.** *εἶναι καὶ τὸ ἔχειν κατ.*, **unde elicias** *καὶ τὸ ἔχειν ἀρχὴν καταπ.*

§. 76. *ἀμελεῖν*] **Vid. ad §. 25. Hoc** *καταπρᾶξαι* **VIII. 1, 3. eodem sensu, quo hic, usurpatum est. Cf. ad IV. 5, 14. 6, 9.**

οὐκέτι] **non iam, quae eadem significatio I. 6, 27. locum habuit. Stobaeus Vol. II. p. 271. Lips. 46.** *Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι πάντα πέφυκεν.* **Locus is est Demosth. Orat. Olynth. p. 25. v. 23. qui simili sententia utitur ibid. p. 16, 3.** *πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι.*

τῶν φαίνεσθαι. Πολεμικῆς δ᾽ ἐπιστήμης καὶ μελέτης 79
παντάπασιν οὐ μεταδοτέον τούτοις, οὕςτινας ἐργάτας
ἡμετέρους καὶ δασμοφόρους βουλόμεθα καταστήσασθαι,
ἀλλ᾽ αὐτοὺς δεῖ τούτοις τοῖς ἀσκήμασι πλεονεκτεῖν,
γιγνώσκοντας, ὅτι ἐλευθερίας ταῦτα ὄργανα καὶ εὐδαι-
μονίας οἱ θεοὶ τοῖς ἀνθρώποις ἀπέδειξαν· καὶ ὥςπερ
γε ἐκείνους τὰ ὅπλα ἀφῃρήμεθα, οὕτως ἡμᾶς αὐτοὺς
δεῖ μήποτ᾽ ἐρήμους ὅπλων γίγνεσθαι, εὖ εἰδότας, ὅτι
τοῖς ἀεὶ ἐγγυτάτω τῶν ὅπλων οὖσι τούτοις καὶ οἰκειό-
τατά ἐστιν ἃ ἂν βούλωνται. Εἰ δέ τις τοιαῦτα ἐννοεῖ- 80
ται, τί δῆτα ἡμῖν ὄφελος καταπρᾶξαι ἃ ἐπεθυμοῦ-
μεν, εἰ ἔτι δεήσει καρτερεῖν καὶ πεινῶντας καὶ διψῶν-
τας καὶ πονοῦντας καὶ ἐπιμελουμένους, ἐκεῖνο δεῖ κα-
ταμαθεῖν, ὅτι τοσούτῳ τἀγαθὰ μᾶλλον εὐφραίνει, ὅσῳ
ἂν μᾶλλον προπονήσας τις ἐπ᾽ αὐτὰ ἀπίῃ· οἱ γὰρ πό-
νοι ὄψον τοῖς ἀγαθοῖς· ἄνευ δὲ τοῦ δεόμενον τυγχά-
νειν τινὸς οὐδὲν οὕτω πολυτελῶς παρασκευασθείη ἄν,
ὥςθ᾽ ἡδὺ εἶναι. Εἰ δὲ, ὧν μὲν μάλιστα ἄνθρωποι 81
ἐπιθυμοῦσιν, ὁ δαίμων ἡμῖν ταῦτα συμπαρεσκεύακεν,
ὡς δ᾽ ἂν ἥδιστα ταῦτα φαίνοιτο, αὐτός τις αὑτῷ ταῦτα
παρασκευάσει, ὁ τοιοῦτος ἀνὴρ τοσούτῳ πλεονεκτήσει
τῶν ἐνδεεστέρων βίου, ὡς πεινήσας τῶν ἡδίστων σί-

§. 79. ἐργάτας ἡμετέρους] ἐργάτας ἡμέρους Vat. et marg. Vill. quod praestat. Demosth. p. 530. ἥμεροι ἄνθρωποι καὶ φιλάνθρωποι.

καταστήσασθαι] Lege κατακτήσασθαι, quod est I. 6, 45. cl. not. ad Anab. VII. 3, 31.

§. 79. Πολεμικῆς δ᾽ ἐπιστήμης] Quatenus Lacedaemonii servos, perioecos aliosque potestati ipsorum subiectos ab armorum usu disciplinaque militari cohibuerint, Zeunio ad h. l. et Schneidero ad libellum De rep. Laced. VII. 1. accuratius docet O. Mueller. Dor. II. p. 25 sqq.

τοῖς ἀεὶ ἐγγυτάτω – οἰκειότατα] Compara not. ad IV. 1, 14.

§. 80. τοιαῦτα] haec et his similia, ut saepe.

§. 81. ὡς δ᾽ ἂν – φαίνοιτο] Vid. nostra ad §. 58. et Matth. §. 520. not. 2.

ὡς πεινήσας] Vulgariorem constructionem reposito ὅσῳ π. introducere iam veteres magistri studuerunt, tractatam a Matth. §. 455. not. 7. et §. 480. p. 899. Sed ὡς illud valet etiam ὅτι οὕτως quum alibi, tum Eurip. Orest. 130. Porson. θεοί σε μισήσειαν, ὥς μ᾽ ἀπώλεσας. Stallbaum. Plat. Vol. I. Sect. I. p. 103. II. p. 126. Obiter hunc usum attigi ad §. 12.

των τεύξεται, καὶ διψήσας τῶν ἡδίστων ποτῶν ἀπο-
λαύσεται, καὶ δεηθεὶς ἀναπαύσεως ἥδιστον ἀναπαύ-
82 σεται. Ὧν ἕνεκα φημὶ χρῆναι νῦν ἐπιταθῆναι ἡμᾶς
εἰς ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν ᾗ ἄριστον καὶ
ἥδιστον ἀπολαύσωμεν, καὶ ὅπως τοῦ πάντων χαλεπω-
τάτου ἄπειροι γενώμεθα. Οὐ γὰρ τὸ μὴ λαβεῖν τὰ
ἀγαθὰ οὕτω γε χαλεπόν, ὥςπερ τὸ λαβόντα στερηθῆ-
83 ναι λυπηρόν. Ἐννοήσατε δὲ κἀκεῖνο, τίνα πρόφασιν
ἔχοντες ἂν προςιέμεθα κακίονες ἢ πρόσθεν γενέσθαι.
Πότερον ὅτι ἄρχομεν; Ἀλλ' οὐ δήπου τὸν ἄρχοντα
τῶν ἀρχομένων πονηρότερον προςήκει εἶναι. Ἀλλ' ὅτι
εὐδαιμονέστεροι δοκοῦμεν νῦν ἢ πρότερον εἶναι; Ἔπει-
τα τῇ εὐδαιμονίᾳ φήσει τις τὴν κακίαν ἐπιπρέπειν;
Ἀλλ' ὅτι, ἐπεὶ κεκτήμεθα δούλους, τούτους κολάσο-
μεν, ἢν πονηροὶ ὦσι; Καὶ τί προςήκει αὐτὸν ὄντα
πονηρὸν πονηρίας ἕνεκεν ἢ βλακείας ἄλλους κολάζειν;
84 Ἐννοεῖτε δὲ ἔτι καὶ τοῦτο, ὅτι τρέφειν μὲν παρεσκευά-
σμεθα πολλοὺς καὶ τῶν ἡμετέρων οἴκων φύλακας καὶ
τῶν σωμάτων· αἴσχιον δὲ πῶς οὐκ ἂν εἴη, εἰ δι' ἄλ-

§. 82. *ἀπολαύσωμεν*] Fischerus putavit reponi debere *ἀπολαύσομεν*, verum »*quis*, inquit Heindorf. ad Plat. Protag. p. 476., *substituat soloccum ἀπολαύσομεν pro ἀπολαυσόμεθα?*« De soloecismo tamen in *ἀπολαύσεις* Luciani Dial. Mort. exeunt. ne verbum quidem Voigtlaender. p. 146. et Lehm. p. 664.

οὕτω γε χαλεπόν, ὥςπερ] Stobaeus T. I. p. 293. ut ex libro octavo excerpsit *Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι.* Confirmat ergo *ὡς*, quod ex Alt. se suscepisse ait Reisig. Coniect. Arist. I. p. 94. in eo occupatus, ut vocularum *οὕτω γε* iuncturam tueretur.

§. 83. *τίνα πρόφασιν ἔχοντες ἂν προςιέμεθα*] Hermannum suspicor haec ita explicaturum esse: *τίνα πρόφασιν ἂν ἔχοιμεν προςίεσθαι.* Similiter certe statuit de Soph. verbis in Philoct. 568. *πρὸς ποῖον ἂν τόνδ' αὐτὸς ὁὐδυσσεὺς ἔπλει;* Minus raro cum aoristi indicativo iunctum *ἄν* in quaestione, quae nostro loco rectae par habenda est, deprehendas. Diodor. Sic. XI. 11. *τίς γὰρ ἂν τῶν βαρβάρων ὑπέλαβε τὸ γεγενημένον; τίς δ' ἂν προςεδόκησεν, ὅτι πεντακόσιοι τὸν ἀριθμὸν ὄντες ἐτόλμησαν ἐπιθέσθαι ταῖς ἑκατὸν μυριάσι;* Thiersch. §. 352. 2.

Ἔπειτα] Viger. p. 783 sq. Matth. p. 1211. Buttm. p. 432. nos ad II. 2, 31. Futuri forma *κολάσω* alibi quoque non abstinuit Xen. auctore Buttm. gr. max. II. p. 170.

§. 84. *αἴσχιον*] Comparativum talem vulgo positivi loco esse existimant, tametsi in hunc quoque cadit, quod V. 1, 12. de *βέλτιον* dictum est.

λους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δὲ ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν; Καὶ μὴν εὖ γε δεῖ εἰδέναι, ὅτι οὐκ ἔστιν ἄλλη φυλακὴ τοιαύτη, οἵα αὐτόν τινα καλὸν κἀγαθὸν ὑπάρχειν· τοῦτο γὰρ δεῖ συμπαρομαρτεῖν· τῷ δ' ἀρετῆς ἐρήμῳ οὐδὲ ἄλλο καλῶς ἔχειν οὐδὲν προςήκει. Τί 85
οὖν φημι χρῆναι ποιεῖν, καὶ ποῦ τὴν ἀρετὴν ἀσκεῖν, καὶ ποῦ τὴν μελέτην ποιεῖσθαι; Οὐδὲν καινόν, ὦ ἄνδρες, ἐρῶ· ἀλλ' ὥςπερ ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, οὕτω καὶ ἡμᾶς φημι χρῆναι ἐνθάδε ὄντας τοὺς ἐντίμους πάντας ἅπερ καὶ ἐκεῖ ἐπιτηδεύειν, καὶ ὑμᾶς γε ἐμὲ ὁρῶντας κατανοεῖν παρόντας, εἰ ἐπιμελόμενος ὧν δεῖ διάξω· ἐγώ τε ὑμᾶς κατανοῶν θεάσομαι, καὶ οὓς ἂν ὁρῶ τὰ καλὰ καὶ τἀγαθὰ ἐπιτηδεύοντας, τούτους τιμήσω. Καὶ τοὺς παῖδας δέ, οἳς 86
ἂν ἡμῶν γίγνωνται, ἐνθάδε παιδεύωμεν· αὐτοί τε γὰρ βελτίονες ἐσόμεθα, βουλόμενοι τοῖς παισὶν ὡς βέλτιστα παραδείγματα ἡμᾶς αὐτοὺς παρέχειν· οἵ τε παῖδες, οὐδ' ἂν εἰ βούλοιντο, ῥᾳδίως πονηροὶ γίγνοιντο, αἰσχρὸν μὲν μηδὲν μήτε ὁρῶντες μήτε ἀκούοντες, ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες.

§. 84. ἀρετῆς] ἀρετῶν Vat. bene.

§. 85. ποῦ - ποῦ] qua in re? ἅπερ καὶ ἐκεῖ] sc. ἐπετηδεύομεν vel etiam ἐπιτηδεύουσιν. Sic statim ὧν δεῖ dicitur pro ὧν δεῖ ἐπιμέλεσθαι atque ad ἐγώ τε ὑμᾶς κατανοῶν θεάσομαι supplendum εἰ ἐπιμελόμενοι ὧν δεῖ διάξετε. Nam talia infinita sunt.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Η'.

CAPUT I.

Chrysantas assentitur Cyro, et persuadet aliis observantiam cultumque regis.

1 Κῦρος μὲν οὖν οὕτως εἶπεν· ἀνέστη δ' ἐπ' αὐτῷ Χρυσάντας, καὶ εἶπεν ὧδε· Ἀλλὰ πολλάκις μὲν δή, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ· οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει, Κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν ἀφ' ὧν μάλιστ' ἂν εὐδαιμονοῦντες διατελοῖμεν· ὃ δέ μοι δοκεῖ ἐνδεέστερον ἢ ὡς ἐχρῆν δηλῶσαι, τοῦτο ἐγὼ
2 πειράσομαι τοὺς μὴ εἰδότας διδάξαι. Ἐννοήσατε γὰρ

§. 2. Ἐννοήσατε γὰρ δή] Ἐννοήσατε γάρ, ἔφη Alt. Scribendum potius Ἐννοήσατε γὰρ δή, ἔφη.

Cap. I. §. 1. Πολλάκις μὲν δή — καὶ ἄλλοτε κατενόησα] Constructione excidit Chrysantas: pro eo enim, quod in animo habebat πολλάκις μὲν δὴ — καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ, καὶ ἐξ ὧν ποιεῖ ὁ Κῦρος, extremam hanc sententiam verbis involvit: Κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν κ. τ. λ. Legitimam construendi rationem habes VII. 1, 30. Πολλαχοῦ μὲν οὖν καὶ ἄλλοθι δῆλον, ὡς οὐκ ἔστιν ἰσχυροτέρα φάλαγξ, ἢ ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ, καὶ ἐν τούτῳ δὲ ἐδήλωσεν. Ad rem quod attinet, Diodor. Sic. Fragm. libr. IX. p. 47. Bip. Κῦρος, inquit, ὥς φασιν, οὐ μόνον ἦν κατὰ τὸν πόλεμον ἀνδρεῖος, ἀλλὰ καὶ πρὸς τοὺς ὑποτεταγμένους εὐγνώμων καὶ φιλάνθρωπος· διόπερ αὐτὸν οἱ Πέρσαι προσηγόρευσαν πατέρα. Vid. Wesseling. ad Diodor. IV. 30. et nos ad c. 2, 9. Cic. de rep. lib. I. 41. *Non heros nec dominos appellabant eos, quibus iuste paruerunt, denique ne reges quidem, sed patriae custodes, sed patres et deos.*

δή, τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη; τίς δ' ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη; ποῖον δ' ἂν ἀπειθούντων στράτευμα νίκης τύχοι; πῶς δ' ἂν μᾶλλον ἐν μάχαις ἡττῷντο ἄνθρωποι, ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς αὑτοῦ σωτηρίας βουλεύεσθαι; τί δ' ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ μὴ πειθομένων τοῖς κρείττοσι; ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν, ἢ ποῖοι οἶκοι σωθείησαν; πῶς δ' ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο; Ἡμεῖς δ' ἃ νῦν ἔχομεν ἀγαθὰ διὰ τί ἄλλο 3
μᾶλλον κατεπράξαμεν ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι; Διὰ τοῦτο γὰρ καὶ νυκτὸς καὶ ἡμέρας ταχὺ μὲν ὅποι ἔδει παρεγιγνόμεθα, ἀθρόοι τε τῷ ἄρχοντι ἑπόμενοι ἀνυπόστατοι ἦμεν, τῶν δ' ἐπιταχθέντων οὐδὲν ἡμιτελὲς κατελείπομεν. Εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τὰ ἀγαθά, οὕτως εὖ ἴστε,

πῶς δ' ἂν μᾶλλον ἐν μάχαις] In libris quibusdam olim exhibitum fuisse videtur πῶς δ' ἄλλως ἂν μᾶλλον s. πῶς δ' ἂν ἄλλως μᾶλλον ἐν μάχαις.

§. 2. οἰκήσειαν] οἰκηθεῖεν, quod Stephano probatum est, vulgatae interpretamentum esset. Memor. I. 2, 64. ἀρετῆς, ᾗ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι. Plat. legg. III. 16. p. 124. Ast. πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη; Plura collegit in Animadverss. p. 15. Astius.

σωθείησαν] Praegressa ἄν vocula hunc quoque optativum afficit. Memor. IV. 4, 17. τῷ δ' ἄν τις ἧττον πολεμήσειεν ἢ ᾧ ἂν μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δὲ ἐχθρός, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι; Anab. I. 6, 2. εἶπεν, — ὅτι τοὺς προκατακαίοντας ἱππέας ἢ κατακάνοι ἂν ἐνεδρεύσας, ἢ ζῶντας πολλοὺς αὐτῶν ἕλοι καὶ κωλύσειε τοῦ καίειν ἐπιόντας, καὶ ποιήσειεν. Nec desunt alia eiusdem generis innumera, quorum partem duntaxat ad Anab. II. 3, 23. composui, confisus praeceptis Hermanni ad Viger. p. 944 sq.

§. 3. ταχὺ μὲν — ἀθρόοι τε — τῶν δ'] Illud τέ iungit membrum integrum antecedenti, a quo tertium membrum interserto δέ disiungitur. Fit hoc quum alias saepe, tum Eurip. Alcest. 606. ed. Monk. et Herm. Soph. Oed. Col. 368. Herm. atque in iis, quae laudavi ad VI. 1, 23.

τὸ πειθαρχεῖν] Aeschyl. Sept. contra Theb. 210. Blomf. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γύναι, σωτῆρος. Soph. Antig. 671. τῶν δ' ὀρθουμένων σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία. Vid. Blomf. Glossar. l. l. et Erfurdt. ad locum illum Sophoclis.

οὕτως εὖ ἴστε] Iniuria affirmavit Fischerus οὕτως in apodosi nonnisi post ἐπεί et ὡς poni posse. Infra §. 30. in protasi est ὅταν, IV. 5, 49. κἂν μὲν δοκῶμεν, Vectigal. IV. 30. εἰ δέ itemque alibi alia coniunctio. Apparebit hoc inspicientibus annot. ad Conviv. II. 26. p. 84. Epictet.

ὅτι αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν ἃ δεῖ μέγιστον ἀγα-
4 θόν ἐστι. Καὶ πρόσθεν μὲν δὴ πολλοὶ ἡμῶν ἦρχον, οὐδενὸς δ' ἤρχομεν· νῦν δὲ κατεσκεύασθε οὕτω πάντες οἱ παρόντες, ὥςτε ἄρχετε οἱ μὲν πλειόνων, οἱ δὲ μειόνων. Ὥςπερ τοίνυν αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ' ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα οἷς ἂν ἡμᾶς καθήκῃ. Τοσοῦτον δὲ διαφέρειν ἡμᾶς δεῖ τῶν δούλων, ὅσον οἱ μὲν δοῦλοι ἄκοντες τοῖς δεσπόταις ὑπηρετοῦσιν· ἡμᾶς δέ, εἴπερ ἀξιοῦμεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν ὃ πλείστου ἄξιον φαίνεται εἶναι. Εὑρήσετε δέ, ἔφη, καὶ ἔνθα ἄνευ μοναρχίας πόλις οἰκεῖται, τὴν μάλιστα τοῖς ἄρχουσιν ἐθέλουσαν πείθεσθαι, ταύτην ἥκιστα τῶν πο-
5 λεμίων ἀναγκαζομένην ὑπακούειν. Παρῶμέν τε οὖν, ὥςπερ Κῦρος κελεύει, ἐπὶ τόδε τὸ ἀρχεῖον, ἀσκῶμέν τε δι' ὧν μάλιστα δυνησόμεθα κατέχειν ἃ δεῖ, παρέχωμέν τε ἡμᾶς αὐτοὺς χρῆσθαι Κύρῳ ὅ τι ἂν δέῃ. Καὶ τοῦτο γὰρ εὖ εἰδέναι χρή, ὅτι οὐ μὴ δυνήσεται Κῦρος

§. 3. *αὐτὸ τοῦτο*] *τὸ αὐτὸ τοῦτο* Schn. ex Stob. cuius tamen cod. A. habet *καὶ αὐτὸ τοῦτο* Vol. II. p. 158. ed. Lips.

§. 4. *πολλοὶ ἡμῶν ἦρχον, οὐδενὸς δ' ἤρχομεν*] *πολλοὶ ἡμῶν ἦρχον μὲν οὐδενός, ἤρχοντο δέ* Schn. e codd. Post *διαφέρειν* etiam in Vat. deest *ἡμᾶς*, recte.

§. 5. *δυνήσεται*] Sic etiam Vat. pro *δύνηται*.

Dissert. II. 22, 21. Schweigh. Matth. §. 610. 7. p. 1235.

§. 4. *πολλοὶ ἡμῶν ἦρχον, οὐδενὸς δ' ἤρχομεν*] Oppositio melius haberet, si in altero membro scriptum esset *ἡμεῖς δ' οὐδενὸς ἤρχομεν*: hoc enim sibi vult Chrysantas: multi nobis imperabant, nos nemini imperabamus. Quod sive de homotimis acceperis senioribus morem gerentibus, sive de Persis, Armeniis ceterisque sociis vel Medorum vel Assyriorum regi subiectis, incommodiorem a sensu interpretationem habet quam ab neglecto pronomine, quippe quod, licet videatur quam maxime necessarium, hic illic tamen a Graecis omitti ad IV, 5, 2. vidimus. Praetulerim igitur alteram scripturam, quam sequutus est Gabr. Et quidem antea plerique (i. e. *οἱ πολλοί*, Medi soli possunt intelligi, quibus Persae Armeniique parebant) nostrum nemini imperabant, sed alterius imperio erant subiecti.

ταύτην ἥκιστα τῶν πολεμίων ἀναγκ. ὑπακούειν] Illati post articulum pronominis demonstrativi exempla ut ad II. 1, 13. V. 1, 21. conspicua sunt, ita si quis nesciat verbo *ὑπακούειν* genitivum quoque adiungi, eum docebit Matth. §. 362.

§. 5. *οὐ μὴ δυνήσεται*] Elmsleii sententiam ad Oed. Col. 1024. si sequimur, rarissima reperiuntur exempla, in quibus *οὐ μή*

εὑρεῖν ὅ τι αὐτῷ μὲν ἐπ' ἀγαθῷ χρήσεται, ἡμῖν δὲ οὔ, ἐπείπερ τά γε αὐτὰ ἡμῖν συμφέρει, καὶ οἱ αὐτοί εἰσιν ἡμῖν πολέμιοι.

Ἐπεὶ δὲ ταῦτα εἶπε Χρυσάντας, οὕτω δὴ καὶ ἄλλοι ἀνίσταντο πολλοὶ καὶ Περσῶν καὶ τῶν ἄλλων συμμάχων συνεροῦντες· καὶ ἔδοξε τοὺς ἐντίμους ἀεὶ παρεῖναι ἐπὶ θύρας καὶ παρέχειν αὑτοὺς χρῆσθαι ὅ τι ἂν βούληται, ἕως ἂν ἀφίῃ Κῦρος. Ὡς δὲ τότε ἔδοξεν, οὕτω καὶ νῦν ἔτι ποιοῦσιν οἱ κατὰ τὴν Ἀσίαν ὑπὸ βασιλεῖ ὄντες· θεραπεύουσι τὰς τῶν ἀρχόντων θύρας. Ὡς 7
δ' ἐν τῷ λόγῳ δεδήλωται Κῦρος καταστησάμενος εἰς τὸ διαφυλάττειν ἑαυτῷ τε καὶ Πέρσαις τὴν ἀρχήν, τὰ αὐτὰ καὶ οἱ μετ' ἐκεῖνον βασιλεῖς νόμιμα ἔτι καὶ νῦν διατελοῦσι ποιοῦντες. Οὕτω δ' ἔχει καὶ ταῦτα, ὥσπερ καὶ τἄλλα: 8
ὅταν μὲν ὁ ἐπιστάτης βελτίων γένηται, καθαρώτερον τὰ νόμιμα πράττεται, ὅταν δὲ χείρων, φαυλότερον. Ἐφοίτων μὲν οὖν ἐπὶ τὰς θύρας Κύρου οἱ ἔντιμοι σὺν τοῖς ἵπποις καὶ ταῖς αἰχμαῖς, συνδόξαν πᾶσι τοῖς ἀρίστοις τῶν συγκαταστρεψαμένων τὴν ἀρχήν.

(6 in margin at "Ἐπεὶ δὲ ταῦτα")

negationes cum coniunctivo praesentis, cui imperfecti nomen ille tribuit, copulentur. Sed Hermanno teste Annot. ad Elmsl. Eurip. Med. 1120. fieri potest, ut etiam de re praesente deliberetur, quum quidem quaerimus, quale esse iam nunc debeat id, quod nondum compertum, quale sit, habemus. H. l. quoniam omnia ad tempus futurum referuntur, non dubitavi hoc codicibus assentientibus praeferre. Vid. ad Anab. II. 2, 12. Cyr. VII. 3, 12. Matth. §. 517.

ὅ τι αὐτῷ μὲν ἐπ' ἀγαθῷ χρήσεται, ἡμῖν δὲ οὔ] qua in re nobis ad ipsius commodum utatur, quin eadem nostram itidem spectet utilitatem. Gabr. Exspectasses αὐτοῦ μὲν ἐπ' ἀγαθῷ, nec tamen est necessarium. Vid. Buttm. §. 133. not. 2. 3. Matth. §. 389. 3. h.

§. 6. τοὺς ἐντίμους] Non Persarum modo optimates ὁμοτίμους, verum etiam consociatarum civitatum principes, quos ἐντίμους vocavit etiam III. 1, 8. VII. 5, 85. In accentu coniunctivi ἀφίῃ ne haereas, vid. Buttm. gr. max. I. p. 543. et Matth. §. 210. exeunt.

θεραπεύουσι] Postposita τέ vocula librarii quidam cum antecedentibus iuncturi erant, quae Graeci verbis οὕτω ποιοῦσιν explicationis causa addere malunt sine coniunctione; cf. VI. 2, 27. VII. 5, 37. et statim §. 8. §. 20. VIII. 3, 40.

§. 7. ἐν τῷ λόγῳ] Intellige orationem illam, quae est de disciplina instituenda VII. 5, 72.

§. 8. σὺν τοῖς ἵπποις καὶ ταῖς αἰχμαῖς] Equis et hastis carebant, qui in Perside viri I. 2, 13. instituebantur.

Munera palatina instituuntur a Cyro.

9 Κῦρος δ' ἐπὶ μὲν τἆλλα καθίστη ἄλλους ἐπιμελητάς, καὶ ἦσαν αὐτῷ καὶ προσόδων ἀποδεκτῆρες, καὶ δαπανημάτων δοτῆρες, καὶ ἔργων ἐπιστάται, καὶ κτημάτων φύλακες, καὶ τῶν εἰς τὴν δίαιταν ἐπιτηδείων ἐπιμεληταί· καὶ ἵππων δὲ καὶ κυνῶν ἐπιμελητὰς καθίστη, οὓς ἐνόμιζε καὶ ταῦτα τὰ βοσκήματα βέλτιστ' ἂν παρέ-
10 χειν αὐτῷ χρῆσθαι. Οὓς δὲ συμφύλακας τῆς εὐδαιμονίας οἱ ᾤετο χρῆναι ἔχειν, τούτους, ὅπως ὡς βέλτιστοι ἔσοιντο, αὐτὸς ἐσκόπει, καὶ οὐκέτι τούτου τὴν ἐπιμέλειαν ἄλλοις προσέταττεν, ἀλλ' αὐτοῦ ἐνόμιζε τοῦτο ἔργον εἶναι. Ἤιδει γάρ, ὅτι, εἴ τι μάχης ποτὲ δεήσοι, ἐκ τούτων αὐτῷ καὶ παραστάτας καὶ ἐπιστάτας ληπτέον εἴη, σὺν οἷσπερ οἱ μέγιστοι κίνδυνοι· καὶ ταξιάρχους δὲ καὶ πεζῶν καὶ ἱππέων ἐγίγνωσκεν ἐκ τούτων καταστατέον εἶ-
11 ναι. Εἰ δέοι δὲ καὶ στρατηγῶν που ἄνευ αὐτοῦ, ᾔδει, ὅτι ἐκ τούτων πεμπτέον εἴη· καὶ πόλεων δὲ καὶ ὅλων ἐθνῶν φύλαξι καὶ σατράπαις ᾔδει ὅτι τούτων τισὶν εἴη χρηστέον, καὶ πρέσβεις γε τούτων τινὰς πεμπτέον· ὅπερ

§. 10. ἔσοιντο, αὐτὸς ἐσκόπει, καὶ οὐκέτι] Syllabas ται in antiqua scriptura ἔσονται et καί in causa fuisse arbitror, quare verba αὐτὸς ἐσκόπει καί tam multis codicibus exciderent. Etenim doctiora sunt, quam ut a librariis profecta putem, nec plane similia, quae leguntur II. 1, 5. IV. 3, 19. Buttm. §. 131. I. 4. Matth. §. 474.

§. 9. καὶ ἵππων δέ] Illatis particulis καὶ – δέ ea sententia proponitur, quam illud μέν in his ἐπὶ μὲν τἆλλα postulaverat. Eaedem inter se referuntur VI. 3, 27. VII. 1, 30. Schneiderus seq. βέλτιστα pro adverbio habens cum χρῆσθαι censuit iungendum esse. At non agitur de eo, bonum an malum usum Cyrus ex his animalibus ceperit, sed voluit ille potius quam optimis uti animalibus, si quem inde in venatione vel alio tempore usum facturus esset. Recte adeo diceretur τὰ βοσκήματά ἐστι βέλτιστα χρῆσθαι, die Thiere sind sehr gut zum Gebrauch.

§. 10. Ἤιδει γάρ, ὅτι – ληπτέον εἴη] Optativi εἴη hic et in seqq. ut alterius cogitationem exprimentis legitimam rationem esse, cum docuerint Reisig. Comment. crit. ad Soph. Oed. Col. p. 320. et Matth. §. 529., non est quod alios testes circumspicias.

§. 11. πεμπτέον εἴη] sc. τοὺς στρατηγούς. §. 10. ταξιάρχους – καταστατέον εἶναι et paulo post πρέσβεις τινὰς πεμπτέον. Vid. ad II. 2, 15. VII. 5, 55.

ὅπερ] i. e. τὸ τοὺς πρέσβεις πέμπειν.

ἐν τοῖς μεγίστοις ἡγεῖτο εἶναι εἰς τὸ ἄνευ πολέμου τυγ-
χάνειν ὧν δέοιτο. Μὴ ὄντων μὲν οὖν οἵων δεῖ, δι' ὧν 12
αἱ μέγισται καὶ πλεῖσται πράξεις ἔμελλον εἶναι, κακῶς
ἡγεῖτο τὰ αὐτοῦ ἕξειν· εἰ δ' οὗτοι εἶεν οἵους δέοι, πάντα
ἐνόμιζε καλῶς ἔσεσθαι. Ἐνέδυ μὲν οὖν οὕτω γνοὺς εἰς
ταύτην τὴν ἐπιμέλειαν· ἐνόμιζε δὲ τὴν αὐτὴν καὶ αὐτῷ
ἄσκησιν εἶναι τῆς ἀρετῆς. Οὐ γὰρ ᾤετο οἷόν τε εἶναι
μὴ αὐτόν τινα ὄντα οἷον δεῖ ἄλλους παρορμᾶν ἐπὶ τὰ
καλὰ καὶ ἀγαθὰ ἔργα. Ὡς δὲ ταῦτα διενοήθη, ἡγήσατο 13
σχολῆς πρῶτον δεῖν, εἰ μέλλοι δυνήσεσθαι τῶν κρατί-
στων ἐπιμελεῖσθαι. Τὸ μὲν οὖν προσόδων ἀμελεῖν οὐχ
οἷόν τε ἐνόμιζεν εἶναι, προνοῶν, ὅτι πολλὰ καὶ τελεῖν
ἀνάγκη ἔσοιτο εἰς μεγάλην ἀρχήν· τὸ δ' αὖ, πολλῶν κτη-
μάτων ὄντων, ἀμφὶ ταῦτα αὐτὸν ἀεὶ ἔχειν ᾔδει ὅτι
ἀσχολίαν παρέξοι τῆς τῶν ὅλων σωτηρίας ἐπιμελεῖσθαι.
Οὕτω δὴ σκοπῶν, ὅπως ἂν τά τε οἰκονομικὰ καλῶς ἔχοι 14
καὶ ἡ σχολὴ γένοιτο, κατενόησέ πως τὴν στρατιωτικὴν
σύνταξιν. Ὡς γὰρ τὰ πολλὰ δεκάδαρχοι μὲν δεκάδων
ἐπιμέλονται, λοχαγοὶ δὲ δεκαδάρχων, χιλίαρχοι δὲ λο-

§. 12. ἔμελλον] G. V. ἤμελλον.

§. 12. καλῶς ἔσεσθαι] Locum verbi ἕξειν sustinet ἔσεσθαι, quo sensu recte adverbium est appositum. Dictum hac de re a Zeunio ad Viger. p. 376. Stallbaum. ad Plat. Euthyphr. p. 10. sq. et a nobis ad IV. 4, 11.

ἄσκησιν εἶναι] »Legendum esse dico εἶναι δεῖν: alioqui εἶναι interpretandum esset impositam esse, ut dicimus aliquod munus alicui esse impositum, vel simili quopiam modo.« Stephanus, quem falli liquet ex not. ad IV. 2, 43. Vulgatam defendit etiam Heindorf. ad Plat. Protag. p. 595 sq., ad quem provocavit Lobeck. Parerg. ad Phryn. p. 753 sqq.

§. 13. καὶ τελεῖν] Fuit quum excidisse ante καί putabam παντοδαπά vel aliud simile adiectivum; sed sana sunt omnia, modo cogitatione suppleas πολλὰ καὶ λαμβάνειν (χρήματα) καὶ τελεῖν. Cf. ad IV. 3, 1. 6, 8. VIII. 5, 19.

ἀσχολίαν παρέξοι — ἐπιμελεῖσθαι] Infinitivum simplicem ad ἀσχολίαν παρέχειν habes etiam Oecon. VI. 9. ταῖς ψυχαῖς ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεων συνεπιμελεῖσθαι, illustratum a Matth. §. 542. not. b. et Schneider. ad Cyrop. VIII. 7, 12.

§. 14. λοχαγοὶ δὲ δεκαδάρχων] Ubinam commemorantur οἱ ταξίαρχοι, quorum munus in Cyri exercitu tam grave tamque frequens erat? Scholiastam ad Eurip. Phoeniss. v. 123. ed. Matth. si audimus, λοχαγὸς λέγεται ὁ ταξίαρχος, εἷς τῶν ἑπτὰ λοχαγῶν, sed hoc quidem de Soph. Antig. v. 141. valere potest, minime vero de Cyropaedia, in qua

χαγῶν, μυρίαρχοι δὲ χιλιάρχων· καὶ οὕτως οὐδεὶς ἀτημέλητος γίγνεται, οὐδ' ἢν πάνυ πολλαὶ μυριάδες ἀνθρώπων ὦσι· καὶ ὁ στρατηγὸς ὅταν βούληται χρήσασθαί τι τῇ στρατιᾷ, ἀρκεῖ, ἢν τοῖς μυριάρχοις παραγγείλῃ·
15 ὥςπερ οὖν ταῦτα ἔχει, οὕτω καὶ ὁ Κῦρος συνεκεφαλαιώσατο τὰς οἰκονομικὰς πράξεις· ὥςτε καὶ τῷ Κύρῳ ἐγένετο ὀλίγοις διαλεγομένῳ μηδὲν τῶν οἰκείων ἀτημελήτως ἔχειν· καὶ ἐκ τούτου ἤδη σχολὴν ἦγε πλείω ἢ ἄλλος μιᾶς οἰκίας καὶ μιᾶς νεὼς ἐπιμελούμενος. Οὕτω δὲ καταστησάμενος τὰ αὑτοῦ ἐδίδαξε καὶ τοὺς περὶ αὑτὸν ταύτῃ τῇ καταστάσει χρῆσθαι.

Quibus artibus effecerit Cyrus, ut saepe in regiae atrio comparerent optimates.

16 Τὴν μὲν δὴ σχολὴν οὕτω κατεσκευάσατο ἑαυτῷ τε καὶ τοῖς περὶ αὑτόν, ἤρχετο δ' ἐπιστατεῖν τοῦ εἶναι οἵους δεῖ τοὺς κοινῶνας. Πρῶτον μὲν ὁπόσοι ὄντες ἱκανοὶ ἄλλων ἐργαζομένων τρέφεσθαι μὴ παρεῖεν ἐπὶ τὰς θύρας, τούτους ἐπεζήτει, νομίζων τοὺς μὲν παρόντας οὐκ ἂν ἐθέλειν οὔτε κακὸν οὔτε αἰσχρὸν οὐδὲν ἂν πράττειν, καὶ διὰ τὸ παρὰ τῷ ἄρχοντι εἶναι, καὶ διὰ τὸ εἰδέναι, ὅτι ὁρῷντ' ἄν, ὅ τι πράττοιεν, ὑπὸ τῶν βελτίστων· οἳ δὲ μὴ παρεῖεν, τούτους ἡγεῖτο ἢ ἀκρατείᾳ τινὶ
17 ἢ ἀδικίᾳ ἢ ἀμελείᾳ ἀπεῖναι. Τοῦτο οὖν πρῶτον ἡγη-

§. 14. καὶ ὁ στρατηγὸς ὅταν] Meliorem vulgato καὶ ὅταν ὁ στρατηγός ordinem exhibuit Vat.

§. 16. παρὰ τῷ ἄρχοντι] De certo accipiendum hoc principe quare nolui diutius articulum in variis lectt. Med. delitescere.

vide ne scribendum sit λοχαγοὶ δὲ δεκαδάρχων, ταξίαρχοι δὲ λοχαγῶν, χιλίαρχοι δὲ ταξιάρχων, μυρίαρχοι δὲ χιλιάρχων. Cf. II. 1, 22 sq.

§. 16. *Πρῶτον μὲν ὁπόσοι*] Aliter haec exprimuntur verbis §. 17. τοῦτο οὖν πρῶτον ἡγησάμενος προςηνάγκαζε τοὺς τοιούτους παρεῖναι. Quod quomodo instituerit, postquam enarravit, suppresso ἔπειτα §. 21. addidit τοὺς δὲ παρέχοντας ἑαυτοὺς ἐνόμιζε κ. τ. λ. Sensus est enim hic: quicunque ad regiam non comparuerunt, primum hos adesse iussit, deinde qui regiam frequentarunt hos ad virtutis studium adspirare voluit.

ἂν ἐθέλειν.— ἂν πράττειν] Geminatum ἄν ad infinitivum est etiam supra I. 6, 18. V. 2, 23 Anabas. VII. 4, 12. Thucyd. I 76. et Matth. §. 600. p. 1204.

ὅτι ὁρῷντ' ἄν, ὅ τι πράττοιεν ὑπὸ τῶν βελτίστων] quidquid agerent, conspici se posse ab optimis.

σάμενος προσηνάγκαζε τοὺς τοιούτους παρεῖναι· τῶν γὰρ παρ' ἑαυτῷ μάλιστα φίλων ἐκέλευσεν ἄν τινα λαβεῖν τὰ τοῦ μὴ φοιτῶντος, φάσκοντα λαμβάνειν τὰ ἑαυτοῦ. Ἐπεὶ οὖν τοῦτο γένοιτο, ἧκον ἂν εὐθὺς οἱ στερόμενοι ὡς ἠδικημένοι.
18 Ὁ δὲ Κῦρος πολὺν μὲν χρόνον οὐκ ἐσχόλαζε τοῖς τοιούτοις ὑπακούειν· ἐπεὶ δὲ ἀκούσειεν αὐτῶν, πολὺν χρόνον ἀνεβάλλετο τὴν διαδικασίαν. Ταῦτα δὲ ποιῶν ἡγεῖτο προσεθίζειν αὐτοὺς θεραπεύειν, ἧττον δὲ ἐχθρῶς, ἢ εἰ αὐτὸς κολάζων ἠνάγκαζε παρεῖναι.
19 Εἷς μὲν τρόπος διδασκαλίας ἦν αὐτῷ οὗτος τοῦ παρεῖναι· ἄλλος δὲ τὸ τὰ ῥᾷστα καὶ κερδαλεώτατα τοῖς παροῦσι προστάττειν· ἄλλος δὲ τὸ μηδέν ποτε τοῖς ἀποῦσι νέμειν.
20 Ὁ δὲ δὴ μέγιστος τρόπος τῆς ἀνάγκης ἦν, εἴ τις τούτων μηδενὸς ὑπακούοι, ἀφελόμενος ἂν τοῦτον ἃ ἔχοι ἄλλῳ ἐδίδου, ὃν ᾤετο δύνασθαι ἂν ἐν τῷ δέοντι

§. 17. ἡγησάμενος προσηνάγκαζε] διηγησόμεθα ὡς προς. codd. Pariss. haud dubie rectius.

§. 18. ἢ εἰ αὐτὸς κολ.] ἢ αὐτοὺς κολ. Vat. confirmat Weiskii coniecturam ἢ εἰ αὐτοὺς κολ.

§. 17. ἐκέλευσεν ἄν] Paulo post ἄν eadem vi positum in ἧκον ἄν, §. 20. ἀφελόμενος ἂν – ἐδίδου. Iacobs. Additament. ad Athen. p. 228 sq. not. ad VII. 1, 10.

τὰ τοῦ μὴ φοιτῶντος] cap. 2, 4. Εἰ δὲ καὶ θεραπεύεσθαί τινα βούλοιτο τῶν φίλων ὑπὸ πολλῶν, καὶ τούτοις ἔπεμπεν ἀπὸ τραπέζης. cf. ibid. §. 2. §. 7. et infra §. 39. cap. 1. [τὰ τοῦ μὴ φ. non acceperim de muneribus, sed de bonis absentis. Horum aliquid Cyrus praesentem sibi arrogare iubebat, inani praetextu, quasi sua sumeret. Quo facto ille statim accurrebat, de iniuria questurus. F. I.].

§. 18. θεραπεύειν] sc. τὰς θύρας. Stephano contra vero non absimile visum est scripsisse Xenophontem αὐτοὺς αὐτὸν θεραπεύειν aut αὐτοὺς ἑαυτὸν θεραπεύειν.

§. 20. τρόπος τῆς ἀνάγκης ἦν] Stephanus timiditatem suam damnavit, quod non ausus sit post τρόπος interpungere: hoc enim obstitisset, quo minus lectores cum interpretibus genit. ἀνάγκης cum τρόπος iungerent. Ad μέγιστος τρόπος subaudit e praeced. τοῦ προσεθίζειν αὐτοὺς θεραπεύειν. Quodsi intelligeret hunc necessitatis modum fuisse maximum, oporteret alios necessitatis modos praecedere, quorum hunc maximum esse censeret. Sed recte contra monuit Hutchinsonus ceteros etiam modos, licet iis vox ἀνάγκη non sit adiuncta, minorem saltem aliquem necessitatis gradum inferre, ut etiam qui ultimo loco modus commemoratus est, non incommode dici potuerit maximus.

ἦν, – ἄλλῳ ἐδίδου] Poteram coli signo post ἦν interpungere, (nam sine copula, quibus modus ille accuratius declaratur, subiiciuntur) nisi talia scirem levissima distinctione dirimi. Conviv. VIII. 5. σὺ μαστροπὲ σαυτοῦ ἀεὶ τοιαῦτα ποιεῖς, τοτὲ μὲν τὸ δαιμόνιον προφασιζόμενος οὐ

παρεῖναι· καὶ οὕτως ἐγίγνετο αὐτῷ φίλος χρήσιμος ἀντὶ ἀχρήστου. Ἐπιζητεῖ δὲ καὶ ὁ νῦν βασιλεύς, ἤν τις ἀπῇ οἷς παρεῖναι καθήκει.

Ut eosdem ad virtutis studium excitaret, ipse virtutem coluit omnem.

21 Τοῖς μὲν δὴ μὴ παροῦσιν οὕτω προςεφέρετο. Τοὺς δὲ παρέχοντας ἑαυτοὺς ἐνόμιζε μάλιστ' ἂν ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἐπαίρειν, ἐπείπερ ἄρχων αὐτῶν ἐνόμιζε δικαίως εἶναι, εἰ αὐτὸς ἑαυτὸν ἐπιδεικνύειν πειρῷτο τοῖς ἀρχομένοις πάντων μάλιστα κεκοσμημένον τῇ ἀρετῇ.
22 Αἰσθάνεσθαι μὲν γὰρ ἐδόκει καὶ διὰ τοὺς γραφομένους νόμους βελτίους γιγνομένους ἀνθρώπους· τὸν δὲ ἀγαθὸν ἄρχοντα βλέποντα νόμον ἀνθρώποις ἐνόμιζεν, ὅτι καὶ τάττειν ἱκανός ἐστι καὶ ὁρᾶν τὸν ἀτακτοῦντα καὶ κολά-
23 ζειν. Οὕτω δὴ γιγνώσκων, πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς μᾶλλον ἐκπονοῦντα ἐπεδείκνυεν ἑαυτὸν ἐν τούτῳ τῷ χρόνῳ, ἐπεὶ εὐδαιμονέστερος ἦν. Καὶ τότε πρῶτον

§. 21. ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἐπαίρειν, ἐπείπερ ἄρχων αὐτῶν ἐνόμιζε δικαίως εἶναι, εἰ] Alii praeferunt παρορμᾶν ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἔργα, quod ad similitudinem §. 12. effictum est. Quae sequuntur ἐπείπερ – εἶναι, ea ut post προςεφέρετο quidam interseruit, ita Weckherl. ceteris omissis ἄρχων αὐτῶν ante ἑαυτόν ponendum curavit.

§. 23. χρόνῳ, ἐπεὶ εὐδ.] χρόνῳ ἐπεί Vat. qui maluisse videtur χρόνῳ, ᾧ εὐδ.

διαλέγῃ μοι. Alia plura collegit exempla Matth. ad Eurip. Hecub. v. 777. p. 88. gr. Gr. §. 630. p. 1292 sq. Cf. ad §. 6.

§. 21. ἐπαίρειν] Quod Fischerus dicit, ἐπαίρειν fere in malam partem accipi, contra possunt afferri Dionys. Hal. Antiq. Rom. III. 44. καὶ πραγμάτων ἐπῆρεν ἅψασθαι γενναιοτέρων, III. 25. p. 485. Reisk. τοὺς δὲ Ῥωμαίους ἐπῆρεν εἰς εὐτολμίαν καὶ θάρσους ἐνέπλησεν ὁ λόγος. Longin. VII. 2. ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρεται ἡμῶν ἡ ψυχή.

ἐπείπερ ἄρχων αὐτῶν – εἶναι] Haec verba vereor ne nunquam tot tantasque turbas concitassent, si post εἰ αὐτός inserta fuissent hoc sensu: qui sibi morem gerebant, hos quam maxime se ad optima quaeque excitaturum existimabat, si ipse, quum semel (Viger. p. 786.) eorum ducem iusto se modo esse putaret, virtutis exemplo praeiret. Nam si quis iniuria dux creatus vel tyrannus est, neque exemplo praeire poterit, nec vero, si fecerit, quidquam bonae frugis efficiet.

§. 23. ἐν τούτῳ τῷ χρόνῳ, ἐπεὶ εὐδαιμονέστερος ἦν] Cambyses enim Cyro I. 6, 3. praeceperat,

κατεστάθησαν οἱ μάγοι, ὕμνει τε ἀεὶ ἅμα τῇ ἡμέρᾳ τοὺς θεούς, καὶ ἔθυε ἀν' ἑκάστην ἡμέραν οἷς οἱ μάγοι θεοῖς εἴποιεν. Οὕτω δὴ τὰ τότε κατασταθέντα ἔτι καὶ νῦν 24
διαμένει παρὰ τῷ ἀεὶ ὄντι βασιλεῖ. Ταῦτα οὖν πρῶτον ἐμιμοῦντο αὐτὸν καὶ οἱ ἄλλοι Πέρσαι, νομίζοντες καὶ αὐτοὶ εὐδαιμονέστεροι ἔσεσθαι, ἢν θεραπεύωσι τοὺς θεούς, ὥςπερ ὁ εὐδαιμονέστατός τε ὢν καὶ ἄρχων· καὶ Κύρῳ δ' ἂν ἡγοῦντο ταῦτα ποιοῦντες ἀρέσκειν. Ὁ δὲ 25
Κῦρος τὴν τῶν μεθ' αὐτοῦ εὐσέβειαν καὶ ἑαυτῷ ἀγαθὸν ἐνόμιζε, λογιζόμενος, ὥςπερ οἱ πλεῖν αἱρούμενοι μετὰ τῶν εὐσεβῶν μᾶλλον ἢ μετὰ τῶν ἠσεβηκέναι τι δοκούντων. Πρὸς δὲ τούτοις ἐλογίζετο, ὡς, εἰ πάντες οἱ κοινῶνες θεοσεβεῖς εἶεν, ἧττον ἂν αὐτοὺς ἐθέλειν περί τε

ὕμνει τε ἀεὶ – καὶ ἔθυε] Multi vulgatae patrocinium ὑμνεῖν τε ἀεὶ – καὶ θύειν qui susceperunt, coacti fuerunt corrigere haec οἷς οἱ μάγοι θεοῖς εἴποιεν.

ὅτι εἰκότως ἂν καὶ παρὰ θεῶν πρακτικώτερος εἴη, ὥςπερ καὶ παρὰ ἀνθρώπων, ὅςτις μή, ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ' ὅτε τὰ ἄριστα πράσσοι, τότε μάλιστα τῶν θεῶν μεμνῷτο.

Καὶ τότε πρῶτον κατεστάθησαν οἱ μάγοι, ὕμνει τε] i. e. καὶ τότε πρῶτον κατέστησε τοὺς μάγους, καὶ ἐπεὶ κατεστάθησαν, ὕμνει τε. Adhuc quidem Cyrus sacerdotes vel Persarum vel Medorum per expeditionem suam consuluerat, sed qui Medorum fuerant, magos tunc demum in civitatem recens conditam et palatium suum recepit. Sic etiam Heeren. in libro, quem excitavi ad III. 3, 34., qui tamen si infinitivos ὑμνεῖν et θύειν cum aliis retinendos putavit, veritus fortasse, ne Cyrus faceret ipse, quod magis melius congrueret, tenendum est non solum Cambysis praecepta I. 6, 2. alteri scripturae favere, verum etiam ipsius Cyri et Xenophontis pietatem postulare, ut preces et sacra non per solos magos, sed praesentibus magis per Cyrum facta fuisse statuamus. Cf. ad 5, 26. Idem imitati esse dicuntur ceteri Persae, quos improbabile est in suis quemque domibus magos habuisse, quibus praeeuntibus preces ad deos mitterent.

§. 24. καὶ ἄρχων] sc. ἐθεράπευεν. cf. §. 25.

§. 25. λογιζόμενος, ὥςπερ] sc. λογίζονται. Confidunt enim navigantes comitum probitatem sibi quoque utilem futuram esse. Aeschyl. Sept. ad Theb. 598. ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ Ναύταισι θερμοῖς καὶ πανουργίᾳ τινὶ Ὄλωλεν ἀνδρῶν ξὺν θεοπτύστῳ γένει. Eurip. Electr. exeunt. οὕτως ἀδικεῖν μηδεὶς θελέτω, μηδ' ἐπιόρκων μέτα συμπλείτω: periurorum enim νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν testante Hesiodo O. et D. v. 245. Adde Blomfield. Gloss. ad Aeschyl. l. l.

ὡς – ἧττον ἂν αὐτοὺς ἐθέλειν] i. q. ὡς – ἧττον ἂν αὐτοὶ ἐθέλοιεν. Vide quae notavi ad II. 1, 23. VI. 4, 16. VIII. 7, 27. infra §. 27.

ἀλλήλους ἀνόσιόν τι ποιεῖν καὶ περὶ ἑαυτόν, εὐεργέτης
26 νομίζων εἶναι τῶν κοινώνων. Ἐμφανίζων δὲ καὶ τοῦτο
ὅτι περὶ πολλοῦ ἐποιεῖτο, μηδένα μήτε φίλον ἀδικεῖν
μήτε σύμμαχον, ἀλλὰ τὸ δίκαιον ἰσχυρῶς ὁρῶν μᾶλλον
καὶ τοὺς ἄλλους ᾤετ' ἂν τῶν μὲν αἰσχρῶν κερδῶν ἀπέ-
27 χεσθαι, διὰ τοῦ δικαίου δ' ἐθέλειν πορίζεσθαι. Καὶ
αἰδοῦς δ' ἂν ἡγεῖτο μᾶλλον πάντας ἐμπιπλάναι, εἰ αὐτὸς
φανερὸς εἴη πάντας οὕτως αἰδούμενος, ὡς μήτ' εἰπεῖν
28 ἂν μήτε ποιῆσαι μηδὲν αἰσχρόν. Ἐτεκμαίρετο δὲ τοῦτο
οὕτως ἕξειν ἐκ τοῦδε· μὴ γὰρ ὅτι ἄρχοντα, ἀλλὰ καὶ
οὓς οὐ φοβοῦνται, μᾶλλον τοὺς αἰδουμένους αἰδοῦν-
ται τῶν ἀναιδῶν οἱ ἄνθρωποι· καὶ γυναῖκας δέ, ἃς ἂν
αἰδουμένας αἰσθάνωνται, ἀνταιδεῖσθαι μᾶλλον ἐθέλου-
29 σιν ὁρῶντες. Τὸ δ' αὖ πείθεσθαι οὕτω μάλιστ' ἂν ᾤετο
ἔμμονον εἶναι τοῖς περὶ αὐτόν, εἰ τοὺς ἀπροφασίστως
πειθομένους φανερὸς εἴη μᾶλλον τιμῶν τῶν τὰς μεγί-
στας ἀρετὰς καὶ ἐπιπονωτάτας δοκούντων παρέχεσθαι.
30 Γιγνώσκων δ' οὕτω καὶ ποιῶν διετέλει. Καὶ σωφροσύ-
νην δ' αὑτοῦ ἐπιδεικνὺς μᾶλλον ἐποίει καὶ ταύτην πάν-
τας ἀσκεῖν. Ὅταν γὰρ ὁρῶσιν, ᾧ μάλιστα ἔξεστιν ὑβρί-
ζειν, τοῦτον σωφρονοῦντα, οὕτω μᾶλλον οἵ γε ἀσθε-
νέστεροι ἐθέλουσιν οὐδὲν ὑβριστικὸν ποιοῦντες φανεροὶ

§. 26. πορίζεσθαι] πορεύεσθαι est etiam in Vat.

§. 26. πορίζεσθαι] τὰ κέρδη ex superioribus supplent, ut τὰ ἐπιτήδεια I. 6, 11. in ἀμελεῖν τοῦ πορίζεσθαι. Sed πορεύεσθαι praetulit Heindorf. ad Plat. Protag. p. 512. cuius auctoritate usus est etiam Matth. §. 580. c.

§. 27. ὡς μήτ' εἰπεῖν ἄν] sc. αὐτός, ὁ Κῦρος. Cf. ad §. 25.

§. 28. μὴ γὰρ ὅτι ἄρχοντα, ἀλλὰ καί] nam ne dicam ducem, h. e. non solum ducem, sed etiam. vid. ad III. 2, 21. et Matth. §. 624. p. 1271 sq.

οὓς οὐ φοβοῦνται, μᾶλλον τοὺς αἰδουμένους] ex iis, quos non timent, magis homines verentur verecundos quam inverecundos. φοβεῖσθαι et αἰδεῖσθαι, φόβος et αἰδώς quam saepe vel coniungantur vel opponantur, docet Wyttenbach. ad Plutarch. Apophth. Lacon. p. 1161. Anab. II. 6, 19.

ἀνταιδεῖσθαι μᾶλλον ἐθέλουσιν ὁρῶντες] vicissim verecundis oculis conspicere malunt.

§. 30. οὕτω μᾶλλον] Attigi ad §. 3.

εἶναι. Διῄρει δὲ αἰδῶ καὶ σωφροσύνην τῇδε, ὡς τοὺς 31
μὲν αἰδουμένους τὰ ἐν τῷ φανερῷ αἰσχρὰ φεύγοντας,
τοὺς δὲ σώφρονας καὶ τὰ ἐν τῷ ἀφανεῖ. Καὶ ἐγκρά- 32
τειαν δὲ οὕτω μάλιστ' ἂν ᾤετο ἀσκεῖσθαι, εἰ αὐτὸς ἐπι-
δεικνύοι ἑαυτὸν μὴ ὑπὸ τῶν παραυτίκα ἡδονῶν
ἑλκόμενον ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ προπονεῖν ἐθέλον-
τα πρῶτον σὺν τῷ καλῷ τῶν εὐφροσυνῶν. Τοι- 33
γαροῦν τοιοῦτος ὢν ἐποίησεν ἐπὶ ταῖς θύραις πολλὴν
μὲν τῶν χειρόνων εὐταξίαν, ὑπεικόντων τοῖς ἀμείνοσι,
πολλὴν δ' αἰδῶ καὶ εὐκοσμίαν πρὸς ἀλλήλους. Ἐπέ-
γνως δ' ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ, οὔτε
χαίροντα ὑβριστικῶς γέλωτι· ἀλλὰ ἰδὼν ἂν αὐτοὺς ἡγή-
σω τῷ ὄντι εἰς κάλλος ζῆν.

Se suosque exercuit venando.

Τοιαῦτα μὲν δὴ ποιοῦντες καὶ ὁρῶντες ἐπὶ θύραις 34
διῆγον. Τῆς πολεμικῆς δ' ἕνεκα ἀσκήσεως ἐπὶ θήραν
ἐξῆγεν οὕςπερ ἀσκεῖν ταῦτα ᾤετο χρῆναι· ταύτην ἡγού-

§. 31. *τοὺς μὲν αἰδουμένους*] *ἴσως* in codd. Bud. et Alt. adiectum multis modis commendavit Fischerus, oblitus tamen ostendere vel Xenophontem vel alium quempiam historicum ita usurpasse, ut sit i. q. *ὁμοίως*. Negat certe Schaefer. ad Long. Pastor. p. 357. tametsi Heindorf. ad Plat. Gorg. p. 230. unum eius generis exemplum ex Plat. legg. VII. p. 805. depromsit, ab vicino *ἴση* gravem habens excusationem.

§. 33. *ὑβριστικῶς γέλωτι*] *ὑβριστικῷ γέλωτι* ut scribatur, nescio an nihil opus sit.

§. 31. *αἰδῶ*] Sic etiam §. 33. Vat. pro *αἰδώ*, quod posthabendum putavi ad Conviv. p. 212. *Καὶ τὴν αἰδόα καὶ τὴν αἰδῶ περισπῶμεν* Theodos. Alexandr. Gramm. p. 199, 19. Goettl.

ὡς τοὺς μὲν αἰδουμένους — φεύγοντας] Vid. §. 46. Matth. §. 568. 3. et ad I. 4, 23.

§. 32. *ὑπὸ τῶν παραυτίκα ἡδονῶν*] Quae *ἡδοναί* quid sibi velint, dictum p. 68.

προπονεῖν ἐθέλοντα] i. q. *προπονοῦντα*, inquit Fischerus. Cave credas et consule Buttm. §. 150. p. 442.

§. 33. *ἰδὼν ἂν αὐτοὺς ἡγήσω*] Antea similiter dictum *Ἐπέγνως δ' ἄν*. Agesil. I. 25 sq. *ὥςτε τὴν πόλιν ὄντως ἡγήσω ἂν πολέμου ἐργαστήριον εἶναι. Ἐπεῤῥώσθη δ' ἄν τις κἀκεῖνα ἰδών.* Sed quid iuvabit augere Matth. §. 599. b. p. 1198. copias? Ibidem §. 578. p. 1146. dicendi formula *εἰς κάλλος* explicata est.

§. 34. *ἀσκεῖν ταῦτα*] sc. *τὰ πολεμικά*, quae continentur in verbis *τῆς πολεμικῆς ἀσκήσεως*, quemadmodum *ταῦτα* I. 3, 16. ad *τὴν δικαιοσύνην* respexit.

μενος καὶ ὅλως ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι, καὶ
35 ἱππικῆς δὲ ἀληθεστάτην. Καὶ γὰρ ἐπόχους ἐν παντο-
δαποῖς χωρίοις αὕτη μάλιστα ἀποδείκνυσι διὰ τὸ θηρίοις
φεύγουσιν ἐφέπεσθαι· καὶ ἀπὸ τῶν ἵππων ἐνεργοὺς αὕτη
μάλιστα ἀπεργάζεται διὰ τὴν τοῦ λαμβάνειν φιλοτιμίαν
36 καὶ ἐπιθυμίαν. Καὶ τὴν ἐγκράτειαν δὲ καὶ πόνους καὶ
ψύχη καὶ θάλπη καὶ λιμὸν καὶ δίψος δύνασθαι φέρειν
ἐνταῦθα μάλιστα προσείθιζε τοὺς κοινῶνας. Καὶ νῦν
δ' ἔτι βασιλεὺς καὶ οἱ ἄλλοι οἱ περὶ βασιλέα ταῦτα
37 ποιοῦντες διατελοῦσιν. Ὅτι μὲν οὖν οὐκ ᾤετο προς-
ήκειν οὐδενὶ ἀρχῆς, ὅςτις μὴ βελτίων εἴη τῶν ἀρχομέ-
νων, καὶ τοῖς προειρημένοις πᾶσι δῆλον, καὶ ὅτι οὕ-
τως ἀσκῶν τοὺς περὶ αὑτὸν πολὺ μάλιστα αὐτὸς ἐξεπό-
νει καὶ τὴν ἐγκράτειαν καὶ τὰς πολεμικὰς τέχνας καὶ τὰς
38 μελέτας. Καὶ γὰρ ἐπὶ θήραν τοὺς μὲν ἄλλους ἐξῆγεν,
ὁπότε μὴ μένειν ἀνάγκη τις εἴη· αὐτὸς δὲ καὶ ὁπότε ἀνάγ-
κη εἴη, οἴκοι ἐθήρα τὰ ἐν τοῖς παραδείσοις θηρία τρε-

§. 34. *καὶ ὅλως*] Notanda lectio Vat. *καὶ ἄλλως*.

§. 36. *Καὶ τὴν ἐγκράτειαν δὲ*] *Καὶ πρὸς ἐγκράτειαν δέ* cod. Camer. et *πρὸς λιμόν* Alt.

§. 35. *διὰ τὸ – ἐφέπεσθαι*] *τινά* deesse quidem neque tamen textis inserendum esse collata observatione ad VI. 1,52. non dubitabis. Cf. VIII. 8, 11.

ἀπὸ τῶν ἵππων ἐνεργούς] h. e. *τοὺς ἐπὶ τῶν ἵππων ὄντας ἐνεργοὺς ἀπ' αὐτῶν ἀπεργάζεται*, ad iaculandum videlicet et pugnandum. Nihili igitur est, quod in mentem venit Reiskio, *ἐπὶ τῶν ἵππων ἐνεργούς*.

§. 36. *Καὶ τὴν ἐγκράτειαν δὲ – τοὺς κοινῶνας*] Stephanus ad Herodt. edit. sec. p. 712. »Ex duabus, inquit, lectionibus unam faciens libenter ita scriberem: *καὶ πρὸς ἐγκράτειαν δὲ, καὶ πόνους καὶ ψύχη καὶ θάλπη, καὶ πρὸς τὸ λιμὸν καὶ δίψος*. Alioqui nostram retinendo scripturam saltem scribendum esset *καὶ τὸ ψύχη καὶ θάλπη καὶ λιμὸν καὶ δίψος δύνασθαι φέρειν*.« Praeponitur articulus de re equest. IX. 9. *Ἀγαθὸν δὲ ἐθίζειν αὐτὸν καὶ τὸ ἠρεμεῖν*, sed omittitur supra §. 18. neque male Fischerus comparari iussit Apol. §. 25. *Τούς γε μὴν νέους πῶς ἂν διαφθείροιμι, καρτερίαν καὶ εὐτέλειαν προςεθίζων*;

§. 37. *καὶ τοῖς προειρημένοις πᾶσι δῆλον, καὶ ὅτι*] quum ex omnibus, quae ante diximus, perspicuum est, tum ex eo quod. Matth. §. 396. 2. Rost. §. 106. not. 3.

§. 38. *ἐν τοῖς παραδείσοις*] »Armenicam esse vocem Pardes, non tantum eius adhuc frequens usus, sed et compositio ipsa docet, cuius voces simplices Armeniis obviae sunt; componitur enim ex Part ses i. e. ne-

φόμενα· καὶ οὔτε αὐτός ποτε πρὶν ἱδρῶσαι δεῖπνον ᾑρεῖτο, οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλλε· συμπαρεκάλει δὲ καὶ εἰς ταύτην τὴν θήραν τοὺς περὶ αὐτὸν σκηπτούχους. Τοιγαροῦν πολὺ μὲν αὐτὸς διέφερεν ἐν πᾶσι 39
τοῖς καλοῖς ἔργοις, πολὺ δὲ οἱ περὶ ἐκεῖνον διὰ τὴν ἀεὶ μελέτην. Παράδειγμα μὲν δὴ τοιόνδε ἑαυτὸν παρείχετο. Πρὸς δὲ τούτῳ καὶ τῶν ἄλλων, οὕςτινας μάλιστα ὁρῴη τὰ καλὰ διώκοντας, τούτους καὶ δώροις καὶ ἀρχαῖς καὶ ἕδραις καὶ πάσαις τιμαῖς ἐγέραιρεν· ὥςτε πολλὴν πᾶσι φιλοτιμίαν ἐνέβαλλεν, ὅπως ἕκαστος ἄριστος φανείη Κύρῳ.

Suum et amicorum cultum habitumque ad splendorem instituit.

Καταμαθεῖν δὲ τοῦ Κύρου δοκοῦμεν, ὡς οὐ τούτῳ μόνῳ ἐνόμιζε χρῆναι τοὺς ἄρχοντας τῶν ἀρχομένων 40
διαφέρειν, τῷ βελτίονας αὐτῶν εἶναι, ἀλλὰ καὶ καταγοητεύειν ᾤετο χρῆναι αὐτούς. Στολήν τε γοῦν εἵλετο τὴν Μηδικὴν αὐτός τε φορεῖν, καὶ τοὺς κοινῶνας ταύ-

§. 38. τοὺς περὶ αὐτὸν] Vat. et edd. vett. τοὺς περὶ αὐτόν edd. recentt.

§. 39. φανείη] φανήσοιτο habent omnes praeter Guelf. nec ab hac futuri forma abstinuit Xenophon teste Buttm. gr. max. II. p. 244. tamen suspicor φανοίη antiquius fuisse, vindicatum nuper Sophocl. Aiac. 306. ab Hermanno et Elmsleio post Marklandi Eurip. Suppl. Lips. p. 304 sq.

cessaria gramina vel olera. Estque Armeniis Pardes hortus domui semper proximus, graminibus, herbis, floribus, ad usum et ornatum consitus.« I. I. Schroeder. in Praefat. Thesaur. ling. Armen. p. 36. Vulgo vocabulum Persicae originis esse putant. Vivarium erat, s. septum muris et aquis irrigatum nemus, ubi ferae alebantur, venationibus destinatae. Vid. interprett. ad I. 3, 14. Rosenmueller. Handbuch der bibl. Alterth. I. p. 173 sqq. Heeren. I. p. 493.

§. 39. καὶ ἕδραις] Vid. cap. 4. §. 3 sqq.

§. 40. Καταμαθεῖν δὲ τοῦ Κύρου] Genitivi causa consule not. ad V. 2, 18. et Matth. §. 342.

Στολήν τε γοῦν εἵλετο τὴν Μηδικὴν αὐτός τε φορεῖν] Quid? in uno membro bis posita τέ particula? Nempe prior respicit ad verba §. 41. καὶ ὑποχρίεσθαι δέ, ut V. 3, 43., posteriori respondet proximum καὶ τοὺς κοινῶνας. Medicam stolam, quam sericam fuisse suspicatur Heeren. I. p. 111 sq., Diodoro Sic. II. 6. teste a Semiramide inventam Medi adsciverant indeque Persae. Vid. Wesseling. ad Diodor. l. l. T. II. p. 397 sq. Bip. Herodt. I. 135. Cyrop. I. 3, 2. Heeren.

την ἔπεισεν ἐνδύεσθαι· αὕτη γὰρ αὐτῷ συγκρύπτειν ἐδόκει, εἴ τίς τι ἐν τῷ σώματι ἐνδεὲς ἔχοι, καὶ καλλίστους
41 καὶ μεγίστους ἐπιδεικνύναι τοὺς φοροῦντας. Καὶ γὰρ τὰ ὑποδήματα τοιαῦτα ἔχουσιν, ἐν οἷς μάλιστα λαθεῖν ἔστι καὶ ὑποτιθεμένους τι, ὥςτε δοκεῖν μείζους εἶναι ἢ εἰσί. Καὶ ὑποχρίεσθαι δὲ τοὺς ὀφθαλμοὺς προςίετο, ὡς εὐοφθαλμότεροι φαίνοιντο ἢ εἰσί, καὶ ἐντρίβεσθαι, ὡς εὐ-
42 χροώτεροι ὁρῷντο ἢ πεφύκασιν. Ἐμελέτησε δὲ καί, ὡς μηδὲ πτύοντες μηδὲ ἀπομυττόμενοι φανεροὶ εἶεν, μηδὲ μεταστρεφόμενοι ἐπὶ θέαν μηδενός, ὡς οὐδὲν θαυμάζοντες. Πάντα δὲ ταῦτα ᾤετο φέρειν τι εἰς τὸ δυςκαταφρονητοτέρους φαίνεσθαι τοῖς ἀρχομένοις.

Servituti sub ipsius imperio addictos ab armorum usu et ab omni liberali exercitatione removit.

43 Οὓς μὲν δὴ ἄρχειν ᾤετο χρῆναι, δι' ἑαυτοῦ οὕτω κατεσκεύαζε καὶ μελέτῃ καὶ τῷ σεμνῶς προεστάναι αὐ-

l. l. p. 215. et, ubi Persica stola audit, Anab. I. 2, 27.

§. 41. *λαθεῖν ἔστι καὶ ὑποτιθεμένους τι*] *ὑποθεμένους* maluit Heindorf., sequutus haud dubie eam regulam, quam posuit ad Plat. Phaedon. p. 91., aoristis *λαθεῖν*, *φθάσαι* non praesentis, sed aoristi participia adiungenda esse. Probarunt praeceptum assensu suo Stallbaum. ad Platon. Phileb. p. 86. et Schaeferus ad Demosth. Orat. pro Coron. p. 244., qui adeo eo processit ardoris, ut idem de omnibus verbis valere affirmaret. At illum quidem regulae poenituit in Append. crit. ad Phileb. p. 15., quam ex parte ut ea labefactant, quae de *ἔτυχον* ad III, 1, 4. animadverti, ita sexcenties contra peccavit Xenophon. Anab. III. 4, 49. *φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους.* Cyrop. IV. 2, 11. *ἔτυχον σκηνοῦντες.* I. 5, 8. *ἀσκοῦντες διετέλεσαν.* Anab. VI. 1, 28. *ἐπαύσαντο πολεμοῦντες.* IV. 3, 2. *μαχόμενοι διετέλεσαν.* ibid. VI. 3, 22. *ἐλάνθανον αὐτοὺς ἐπὶ τῷ λόφῳ γενόμενοι.* I. 10, 3. *ἔτυχον — ὅπλα ἔχοντες.* Corrupta esse negem ibid. II. 3, 2. *τυχὼν τότε τὰς τάξεις ἐπισκοπῶν εἶπε.* Memorab. III. 5, 23. *ὅπως μὴ λάθῃς σεαυτὸν ἀγνοῶν τι.* Thucyd. VI. 97. *φθάνει ἀναβάς.* Cyrop. II. 4, 15. *τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας.*

μείζους εἶναι] Idem traditur de Cyro c. 3, 14. ubi vid. not. sed de usu verbi *ἐντρίβεσθαι* Barker. epist. crit. p. 234 sqq. VIII. 8, 20.

§. 42. *ὡς οὐδὲν θαυμάζοντες*] Cicer. Tusc. III. 14. *Et nimirum haec est illa praestans et divina sapientia, et perceptas penitus et pertractatas humanas res habere; nihil admirari, cum acciderit; nihil, antequam evenerit, non evenire posse arbitrari.* Zenoni dictum attribuitur a Diog. Laert. VII. 123. *τὸν σοφὸν οὐ-*

τῶν· οὓς δ' αὖ κατεσκεύαζεν εἰς τὸ δουλεύειν, τούτους οὔτε μελετᾶν τῶν ἐλευθερίων πόνων οὐδένα παρώρμα, οὔτε ὅπλα κεκτῆσθαι ἐπέτρεπεν· ἐπεμελεῖτο δ', ὅπως μήτε ἄσιτοι μήτε ἄποτοί ποτε ἔσοιντο ἐλευθερίων ἕνεκα μελετημάτων. Καὶ γὰρ ὁπότε ἐλαύνοιεν τὰ θηρία τοῖς 44 ἱππεῦσιν εἰς τὰ πεδία, φέρεσθαι σῖτον εἰς θήραν τούτοις ἐπέτρεπε, τῶν δὲ ἐλευθέρων οὐδενί· καὶ ὁπότε πορεία εἴη, ἦγεν αὐτοὺς εἰς τὰ ὕδατα, ὥςπερ τὰ ὑποζύγια. Καὶ ὁπότε δὲ ὥρα εἴη ἀρίστου, ἀνέμενεν αὐτούς, ἔςτ' ἐμφάγοιέν τι, ὡς μὴ βουλιμιῷεν· ὥςτε καὶ οὗτοι αὐτὸν ὥςπερ οἱ ἄριστοι πατέρα ἐκάλουν, ὅτι ἐπεμέλετο αὐτῶν, ὅπως ἀναμφιλόγως ἀεὶ ἀνδράποδα διατελοῖεν.

Principes ne quid novarum rerum molirentur, effecit amore civium, quem sibi conciliavit ita, ut magis sibi, quam inter se essent amici; et id quidem his usus artibus:

Τῇ μὲν δὴ ὅλῃ Περσῶν ἀρχῇ οὕτω τὴν ἀσφάλειαν 45 κατεσκεύαζεν· ἑαυτῷ δὲ ὅτι μὲν οὐχ ὑπὸ τῶν καταστραφέντων κίνδυνος εἴη παθεῖν τι, ἰσχυρῶς ἐθάῤῥει· καὶ γὰρ ἀνάλκιδας ἡγεῖτο εἶναι αὐτούς, καὶ ἀσυντάκτους ὄντας ἑώρα, καὶ πρὸς τούτοις οὐδὲ ἐπλησίαζε τούτων οὐδεὶς αὐτῷ οὔτε νυκτὸς οὔτε ἡμέρας. Οὓς δὲ κρατί- 46 στους τε ἡγεῖτο, καὶ ὡπλισμένους καὶ ἀθρόους ὄντας ἑώρα, καὶ τοὺς μὲν αὐτῶν ᾔδει ἱππέων ἡγεμόνας ὄν-

§. 44. ὁπότε ἐλαύνοιεν] Alt. ὁπόταν ἐλ. ceteri.

δὲν θαυμάζειν τῶν δοκούντων παραδόξων, Pythagorae autem a Plutarch. De rect. audiendi rat., ad quem plura congessit Wyttenbach. p. 381.

§. 43. ἐλευθερίων ἕνεκα μελετημάτων] quantum ad studia liberalia attinet, quibus operam non dederunt. Matth. §. 576. p. 1137. Buttm. §. 150. p. 441.

§. 44. ὁπότε ἐλαύνοιεν] ὁπόταν cum optativo tuetur cum Poppon. Matth. §. 521. not. 1. tametsi ab his discrepant verba non minus ambigua ὁπόταν ἥκοι I. 3, 11.

§. 45. ἑαυτῷ δὲ ὅτι μὲν οὐχ — ἐθάῤῥει] Bene Gabr. Sibi vero ipsi nullum instare periculum, ne quid ab eorum, quos subegerat, multitudine pateretur, magnopere confidebat.

§. 46. καὶ τοὺς μὲν αὐτῶν] Pronomina demonstrativa infert αὐτῶν, τούτων et οὗτοι, cum relativis uti debuisset. Quamvis alias breviter membra orationis constituta sint, tamen saepe

τας, τοὺς δὲ πεζῶν· πολλοὺς δὲ αὐτῶν καὶ φρονήματα ἔχοντας ᾐσθάνετο, ὡς ἱκανοὺς ὄντας ἄρχειν· καὶ τοῖς φύλαξι δὲ αὐτοῦ οὗτοι μάλιστα ἐπλησίαζον, καὶ αὐτῷ δὲ τῷ Κύρῳ τούτων πολλοὶ πολλάκις συνεμίγνυσαν· ἀνάγκη γὰρ ἦν, εἴ τι καὶ χρῆσθαι ἔμελλεν αὐτοῖς· ὑπὸ τούτων οὖν καὶ κίνδυνος ἦν αὐτὸν μάλι-
47 στα παθεῖν τι κατὰ πολλοὺς τρόπους. Σκοπῶν οὖν, ὅπως ἂν αὐτῷ καὶ τὰ ἀπὸ τούτων ἀκίνδυνα γένοιτο, τὸ μὲν περιελέσθαι αὐτῶν τὰ ὅπλα καὶ ἀπολέμους ποιῆσαι ἀπεδοκίμασε, καὶ ἄδικον ἡγούμενος, καὶ κατάλυσιν τῆς ἀρχῆς ταύτην νομίζων· τὸ δ' αὖ μὴ προςίεσθαι αὐτούς, καὶ τὸ ἀπιστοῦντα φανερὸν εἶναι, ἀρ-
48 χὴν ἡγήσατο πολέμου· ἓν δ' ἀντὶ πάντων τούτων ἔγνω καὶ κράτιστον εἶναι πρὸς τὴν αὐτοῦ ἀσφάλειαν καὶ κάλλιστον, εἰ δύναιτο ποιῆσαι τοὺς κρατίστους ἑαυτῷ μᾶλλον φίλους ἢ ἀλλήλοις. Ὡς οὖν ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι.

CAPUT II.

a) multis cibos de sua mensa mittebat.

1 Πρῶτον μὲν γὰρ διὰ παντὸς ἀεὶ τοῦ χρόνου φιλανθρωπίαν τῆς ψυχῆς ὡς ἠδύνατο μάλιστα ἐνεφά-

§. 47. *ταύτην νομίζων*] *τοῦτο νομίζων* nescio an rectius olim scriptum fuerit, quandoquidem §. 34. alius est generis.

structuram similiter ab inchoata via declinare constat. Cf. Matth. §. 472. 3. p. 881. et nos ad III. 1, 38. VIII. 5, 19.

§. 47. *περιελέσθαι αὐτῶν τὰ ὅπλα*] Genitivus *αὐτῶν* cum appositum habeat nomen, a quo pendere possit, non magis *παρελέσθαι* cum Alt. reponendum erit, quam Plat. Gorg. §. 124. p. 191. *Φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, ἄλλο τι ἢ λόγοι γίγνονται τὸ λειπόμενον;* Cf. ibi Heind. et Matth. §. 418. not.

§. 48. *ἔγνω — εἰ δύναιτο*] Parem temporum consequutionem memini me illustrare ad V. 5, 22. Cf. Matth. §. 524. 3.

Cap. II. §. 1. *διὰ παντὸς ἀεὶ τοῦ χρόνου*] Hellen. I. 4, 15. *κινδυνεύων ἀεὶ παρ' ἑκάστην ἡμέραν ἀπολέσθαι.* Demosth. Orat. de rebus Chers. p. 91. v. 19. *πάντα τὸν χρόνον συνεχῶς.*

νιζεν, ἡγούμενος, ὥςπερ οὐ ῥᾴδιόν ἐστι φιλεῖν τοὺς μισεῖν δοκοῦντας, οὐδ᾽ εὐνοεῖν τοῖς κακονόοις, οὕτω καὶ τοὺς γνωσθέντας, ὡς φιλοῦσι καὶ εὐνοοῦσιν, οὐκ ἂν δύνασθαι μισεῖσθαι ὑπὸ τῶν φιλεῖσθαι ἡγουμένων. Ἕως μὲν οὖν χρήμασιν ἀδυνατώτερος ἦν εὐ- 2
εργετεῖν, τῷ τε προνοεῖν τῶν συνόντων καὶ τῷ προπονεῖν καὶ τῷ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμενος δὲ ἐπὶ τοῖς κακοῖς, τούτοις ἐπειρᾶτο τὴν φιλίαν θηρεύειν· ἐπειδὴ δὲ ἐγένετο αὐτῷ, ὥςτε χρήμασιν εὐεργετεῖν, δοκεῖ ἡμῖν γνῶναι πρῶτον μὲν, ὡς εὐεργέτημα ἀνθρώποις πρὸς ἀλλήλους οὐδέν ἐστιν ἀπὸ τῆς αὐτῆς δαπάνης ἐπιχαριτώτερον ἢ σίτων καὶ ποτῶν μετάδοσις. Τοῦ- 3
το δ᾽ οὕτω νομίσας, πρῶτον μὲν ἐπὶ τὴν αὐτοῦ τράπεζαν συνέταξεν, ὅπως, οἷς αὐτὸς σιτοῖτο σίτοις, τούτοις ὅμοια ἀεὶ παρατίθοιτο αὐτῷ, ἱκανὰ παμπόλλοις ἀνθρώποις· ὅσα δὲ παρατεθείη, ταῦτα πάντα,

§. 1. κακονόοις] κακόνοις Vat. atque εὔνοις est c. 3, 5. Anab. II. 4, 16. sed longiori formae favent collecta Lobeckio ad Phryn. p. 141 sqq.

Leptin. p. 500. v. 17. (Apparat. III. p. 265.) διὰ παντὸς ἀεὶ τοῦ χρόνου. Alia exempla eiusdem verbositatis qui congesserunt, ad hos provocavi Annot. in Conviv. p. 186.

§. 2. τούτοις] Usus hic pronominis est idem atque in laudatis ad V. 1, 21.

ἐγένετο αὐτῷ, ὥςτε χρήμασιν εὐεργετεῖν] »Schwebelius ad v. Δύναμις sic interpretatur, ut ad ἐγένετο subaudiat δύναμις. Non opus. ἐγένετο i. q. ἐξῆν. Eurip. Hippol. v. 1337. Br. Κύπρις γὰρ ἤθελ᾽ ὥςτε γίγνεσθαι τάδε.« Schaefer. Ind. ad Lamb. Bos. p. 924. Vid. ibi Monk. ad vers. 1323. Zeun. ad Viger. p. 231. et Matth. §. 531. p. 1037 sq.

§. 3. ἐπὶ τὴν αὐτοῦ τράπεζαν συνέταξεν] de sua mensa constituit vulgo redditur, quasi ἐπί pro περί collocatum esset. Multo rectius Gabr. Quod cum ita sentiret, iussit primum, ut, qualibus ipse utebatur cibis, talium sibi in mensa tanta semper copia apponeretur, quanta posset quam plurimis hominibus ad vescendum satis esse. Nam ad παρατίθοιτο pertinere illa ἐπὶ τὴν αὐτοῦ τράπεζαν, quis non videat? Scripsit adeo Xenophon Anab. IV. 5, 3. οὐκ ἦν δ᾽ ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα ἄρνεια. Sed error videtur falsa verbi συντάσσειν interpretatione niti, quod Hesychius T. II. p. 1305. bene explicat: Συνέταξεν· ἐνετείλατο, παρήγγειλεν. p. 1312. Συντάξει· παραγγελεῖ.

πλὴν οἷς αὐτὸς καὶ οἱ σύνδειπνοι χρήσαιντο, διεδίδου οἷς ἀεὶ βούλοιτο τῶν φίλων μνήμην ἐνδείκνυσθαι ἢ φιλοφροσύνην. Διέπεμπε δὲ καὶ τούτοις, οἷς ἀγασθείη ἢ ἐν φυλακαῖς ἢ ἐν θεραπείαις ἢ ἐν αἱςτισινοῦν πράξεσιν, ἐνσημαινόμενος τοῦτο, ὅτι οὐκ ἂν
4 λανθάνοιεν χαρίζεσθαι βουλόμενοι. Ἐτίμα δὲ καὶ τῶν οἰκετῶν ἀπὸ τῆς τραπέζης ὁπότε τινὰ ἐπαινέσειε· καὶ τὸν πάντα δὲ σῖτον τῶν οἰκετῶν ἐπὶ τὴν αὐτοῦ τράπεζαν ἐπετίθετο, οἰόμενος, ὥςπερ καὶ τοῖς κυσίν, ἐμποιεῖν τινα καὶ τοῦτο εὔνοιαν. Εἰ δὲ καὶ θεραπεύεσθαί τινα βούλοιτο τῶν φίλων ὑπὸ πολλῶν, καὶ τούτοις ἔπεμπεν ἀπὸ τραπέζης· καὶ νῦν γὰρ ἔτι οἷς ἂν ὁρῶσι πεμπόμενα ἀπὸ τῆς βασιλέως τραπέζης, τούτους πάντες μᾶλλον θεραπεύουσι, νομίζοντες αὐτοὺς ἐντίμους εἶναι καὶ ἱκανοὺς διαπράττειν, ἤν τι δέωνται. Ἔτι δὲ καὶ οὐ τούτων μόνον ἕνεκα τῶν εἰρημένων εὐφραίνει τὰ πεμπόμενα παρὰ βασιλέως, ἀλλὰ τῷ ὄντι καὶ ἡδονῇ πολὺ διαφέρει τὰ ἀπὸ τῆς βασιλέως τρα-
5 πέζης. Καὶ τοῦτο μέντοι οὕτως ἔχειν οὐδέν τι θαυμαστόν· ὥςπερ γὰρ καὶ ἄλλαι τέχναι διαφερόντως ἐν ταῖς μεγάλαις πόλεσιν ἐξειργασμέναι εἰσί, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ παρὰ βασιλεῖ σῖτα πολὺ διαφερόν-

§. 3. *Διέπεμπε δὲ καὶ τούτοις, οἷς*] Melius scripsisset *Διέπεμπε δὲ καὶ οἷς.* Hinc illud *τούτοις οὓς* in codd. Postea *ὅτι οὐχὶ ἂν λανθ.* librorum suadet auctoritas.

διεδίδου οἷς ἀεὶ βούλοιτο τῶν φίλων] i. e. *διεδίδου τοῖς ἀεὶ φίλοις* s. *τῶν ἀεὶ φίλων οἷς βούλοιτο.* In sede vocis *ἀεί* quam multum sibi licere Graeci putaverint, apparebit comparantibus not. ad VII. 1, 1. §. 20. Ceterum eundem morem sequitur Cyrus minor Anab. I. 9, 25 sqq. retentum illum a pluribus Persis, cuius rei testimonia cumulavit Brisson. de regno Pers. p. 155 sqq. Adde notanda ad VIII. 4, 6.

§. 4. *ὥςπερ καὶ τοῖς κυσίν*] sc. *ἐμποιεῖ τινα εὔνοιαν τῶν δεσποτῶν, ὅταν τι παραλάβωσιν ἀπὸ τῆς τραπέζης.* Pro *κυσίν* Philelphus dedit *παισίν*; at Stephanus verum putat *κυσίν*, quum soleant canes, herilem mensam circumstantes, exspectare, dum aliquid sibi ex ea proiiciatur. Atque adeo, inquit, haec scriptura confirmatur Anab. VII. 2, 33. *εἰς τὴν ἐκείνου τράπεζαν ἀποβλέπων, ὥςπερ κύων.*

ὑπὸ πολλῶν] a multis, etiam nobilibus, nec solum a vulgo, quod esset *ὑπὸ τῶν πολλῶν.* De seq. plurali *τούτοις* vid. ad VII. 4, 5.

§. 5. *κατὰ τὸν αὐτὸν τρόπον*] Notatu digna praepositio *κατά*

τως ἐκπεπόνηται. Ἐν μὲν γὰρ ταῖς μικραῖς πόλεσιν οἱ αὐτοὶ ποιοῦσι κλίνην, θύραν, ἄροτρον, τράπεζαν· πολλάκις δ' ὁ αὐτὸς οὗτος καὶ οἰκοδομεῖ, καὶ ἀγαπᾷ, ἢν καὶ οὕτως ἱκανοὺς αὐτὸν τρέφειν ἐργοδότας λαμβάνῃ· ἀδύνατον οὖν πολλὰ τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν. Ἐν δὲ ταῖς μεγάλαις πόλεσι διὰ τὸ πολλοὺς ἑκάστου δεῖσθαι ἀρκεῖ καὶ μία ἑκάστῳ τέχνη εἰς τὸ τρέφεσθαι, πολλάκις δὲ οὐδ' ὅλη μία, ἀλλ' ὑποδήματα ποιεῖ ὁ μὲν ἀνδρεῖα, ὁ δὲ γυναικεῖα· ἔστι δὲ ἔνθα καὶ ὑποδήματα ὁ μὲν νευρορῥαφῶν μόνον τρέφεται, ὁ δὲ σχίζων, ὁ δὲ χιτῶνας μόνον συντέμνων, ὁ δέ γε τούτων οὐδὲν ποιῶν, ἀλλὰ συντιθεὶς ταῦτα. Ἀνάγκη οὖν, τὸν ἐν βραχυτάτῳ διατρίβοντα ἔργῳ, τοῦτον καὶ ἄριστα διηναγκάσθαι τοῦτο ποιεῖν. Τὸ 6

§. 5. *ἀδύνατον οὖν*] Ad sensum aptius esset *ἀδύνατον γοῦν*.

plerumque in talibus omissa, licet non ubique, quo ex genere nonnulla attulit Heindorf. ad Plat. Sophist. p. 396.

πάντα καλῶς ποιεῖν] Nam οὗτοι, inquit II. 1, 21., κράτιστοι ἕκαστα γίγνονται, οἳ ἂν, ἀφέμενοι τοῦ πολλοῖς προςέχειν τὸν νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. Praegressum illud *ἐργοδότης* reperiri negavit Phrynichus p. 344. ed. Lob.

ὑποδήματα ὁ μὲν νευρορῥαφῶν – ταῦτα] Plerique de arte sutoria omnia intelligunt, ut alii dicantur calceos nervis consuere (flicken), alii perforare et fenestrare (ausschneiden), alii obstragula et sublaminas (*χιτῶνας*) concidere (das Ober- und Unterleder zuschneiden, zurechtschneiden), alii denique his omissis concisa coria consuere et coagmentare, vel elocare (verdingen). Sed Hesychius tamen II. p. 1296. *Σύμπορπον* explicat *τὸν μὴ ῥαφαῖς συνειλημμένον κατὰ τοὺς ὤμους χιτῶνα*, Suetonius Aug. 94. loquitur de Augusti tunica lati clavi resuta ex utraque parte, quae ad pedes deciderit, Winckelmannus Opp. T. V. ed. Dresd. p. 60 sq. simulacrum Cybeles sacerdotis describit, Londini hodie asservatum, cuius tunica duobus pannis composita utrimque sit consuta, denique Ferrarius De re vestiar. III. 16. mentione facta *χιτῶνος ἀῤῥάφου* apud Iohann. Evang. c. 19. addit: »subuculas sive interulas tam apud Graecos quam apud Romanos consutas acu fuisse credendum est, nullisque fibulis constrictas, quod corpori pressae et ad frigus arcendum, velandumque corpus essent clausae.« Ex his efficitur, opinor, priora illa *νευρορῥαφῶν* et *σχίζων* de sutoribus, quae sequuntur, de sartoribus posse accipi, quorum alter vestes concidat, alter consuat. Utcunque se res habet, ad *ταῦτα* supplendum *τὰ συντετμημένα*.

Ἀνάγκη – διηναγκάσθαι] Necesse est – cogatur: es muſs genöthigt sein. Exspectasses potius *Εἰκὸς οὖν – διηναγκάσθαι*. Certe similis ver-

αὐτὸ δὲ τοῦτο πέπονθε καὶ τὰ ἀμφὶ τὴν δίαιταν. Ὧι μὲν γὰρ ὁ αὐτὸς κλίνην στρώννυσι, τράπεζαν κοσμεῖ, μάττει, ὄψα ἄλλοτε ἀλλοῖα ποιεῖ, ἀνάγκη, οἶμαι, τούτῳ, ὡς ἂν ἕκαστον προχωρῇ, οὕτως ἔχειν· ὅπου δὲ ἱκανὸν ἔργον ἑνὶ ἕψειν κρέα, ἄλλῳ ὀπτᾶν, ἄλλῳ δὲ ἰχθὺν ἕψειν, ἄλλῳ ὀπτᾶν, ἄλλῳ ἄρτους ποιεῖν, καὶ μηδὲ τούτους παντοδαπούς, ἀλλὰ ἀρκεῖ, ἂν ἓν εἶδος εὐδοκιμοῦν παράσχῃ, ἀνάγκη, οἶμαι, ταῦτα οὕτω ποιούμενα πολὺ διαφερόντως ἐξειργάσθαι ἕκαστον.

b) aliis eos ornabat donis.

7 Τῇ μὲν δὴ τῶν σίτων θεραπείᾳ τοιαῦτα ποιῶν πολὺ ὑπερεβάλλετο πάντας. Ὡς δὲ καὶ τοῖς ἄλλοις πᾶσι θεραπεύων πολὺ ἐκράτει, τοῦτο νῦν διηγήσομαι· πολὺ γὰρ δὴ διενεγκὼν ἀνθρώπων τῷ πλείστας προσόδους λαμβάνειν, πολὺ ἔτι πλέον διήνεγκε τῷ πλεῖστα ἀνθρώπων δωρεῖσθαι. Κατῆρξε μὲν οὖν τούτου Κῦρος· διαμένει δὲ ἔτι καὶ νῦν τοῖς βασιλεῦσιν ἡ πολυ-
8 δωρία. Τίνι μὲν γὰρ φίλοι πλουσιώτεροι ὄντες φανεροὶ ἢ Περσῶν βασιλεῖ; Τίς δὲ κοσμῶν κάλλιον φαίνεται στολαῖς τοὺς περὶ αὐτὸν ἢ βασιλεύς; Τίνος δὲ δῶρα γιγνώσκεται ὥσπερ ἔνια τῶν βασιλέως, ψέλλια καὶ

§. 7. πολὺ γὰρ δὴ διενεγκών] δή servaverat unus Alt.
§. 8. Τίνος δὲ δῶρα] Τὰ τίνος δὲ δῶρα placuit iam Stephano, fortasse recte. cf. ad Conviv. p. 213.

bositatis dicam an oblivionis exemplum nondum mihi succurrit, nisi quod Aristoph. Nub. 374. Herm. de nubibus scripsit κἀναγκασθῶσι φέρεσθαι κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην. Cf. varr. lectt. ad I. 6, 36.

§. 6. παντοδαπούς] Epicharmus apud Athenaeum lib. III. haec genera panum enumerat κριβανίτην, ὅμορον, σταισίτην, ἐγκρίδας, ἀλειφατίτην, ἡμιάρτιον, in quibus sunt quaedam placentarum genera, de quibus Casaub. ad Athen. p. 208. 219 sq. exposuit.

§. 7. τοῖς ἄλλοις πᾶσι] in ceteris rebus omnibus. Matth. §. 400. 6.

§. 8. φανεροί] sc. εἰσίν, ut verba conveniant his: τίνι μὲν γὰρ φανερὸν ὅτι φίλοι εἰσὶ πλουσιώτεροι ἢ Περσῶν βασιλεῖ;

δῶρα γιγνώσκεται] munera agnoscuntur sc. ut munera. Vid. Musgrav. ad Soph. Trachin. 527. ed. Erf.

στρεπτοὶ καὶ ἵπποι χρυσοχάλινοι; Οὐ γὰρ δὴ ἔξεστιν
ἐκεῖ ταῦτα ἔχειν, ᾧ ἂν μὴ βασιλεὺς δῷ. Τίς δ' ἄλλος 9
λέγεται δώρων μεγέθει ποιεῖν αἱρεῖσθαι αὐτὸν καὶ
ἀντ' ἀδελφῶν καὶ ἀντὶ πατέρων καὶ ἀντὶ παίδων; Τίς
δ' ἄλλος ἐδυνάσθη ἐχθροὺς ἀπέχοντας πολλῶν μηνῶν
ὁδὸν τιμωρεῖσθαι, ὡς Περσῶν βασιλεύς; Τίς δ' ἄλλος,
καταστρεψάμενος ἀρχήν, ὑπὸ τῶν ἀρχομένων πατὴρ
καλούμενος ἀπέθανεν ἢ Κῦρος; Τοῦτο δὲ τοὔνομα
δῆλον ὅτι εὐεργετοῦντός ἐστι μᾶλλον ἢ ἀφαιρουμένου.
Κατεμάθομεν δέ, ὡς καὶ τοὺς βασιλέως καλουμένους 10
ὀφθαλμοὺς καὶ τὰ βασιλέως ὦτα οὐκ ἄλλως ἐκτήσατο

§. 9. *καὶ ἀντὶ πατέρων καὶ ἀντὶ παίδων*] Verba *πατέρων καὶ ἀντί* typothetarum iniuria in plerisque edd. recentioribus exciderant.

ψέλλια – χρυσοχάλινοι] Schn. *ψέλια* scripsit pro *ψέλλια*, ut metro eximeret haec verba, ad quod rite constituendum praeterea *στρεπτοί τε καί* requiri monuit; sed Quinctilian. IX. 4, 52. *Et metrici quidem pedes adeo reperiuntur in oratione, ut in ea frequenter non sentientibus nobis omnium generum excidant versus; contra nihil, quod prosa scriptum, non redigi possit in quaedam versiculorum genera vel in membra.* Agit rhetor de eadem re etiam §. 72 sqq. ibique interpretes: item Dionysius Hal. De comp. verb. cap. XXV. edit. Schaef., ubi exemplorum quod satis est ex utriusque linguae scriptoribus collectorum subtexuerunt Uptonus p. 388 sq. et Bircovius p. 485 sqq. Cf. Dorvill. ad Charit. p. 420 sq. Lips. [Ad nostrum loc. respexit Dio Chr. Or. II. p. 90, 17. F. I.]

οὐ γὰρ δὴ ἔξεστιν ἐκεῖ ταῦτα ἔχειν] Confirmant aliorum testimonia scriptorum apud Brisson. p. 204. Heeren. l. p. 217.

§. 9. *πατὴρ καλούμενος*] Nobilitata verba sunt Herodoti III. 89. *λέγουσι Πέρσαι, ὡς Δαρεῖος μὲν ἦν κάπηλος, Καμβύσης δὲ δεσπότης, Κῦρος δὲ πατήρ –, ὅτι ἤπιός τε καὶ ἀγαθά σφι πάντα ἐμηχανήσατο*, quae studiose illustrarunt Wesseling. et Valckenar. Apud Pausan. VIII. 43, 3. Cyrus dicitur *πατὴρ ἀνθρώπων καλούμενος*. Vid. Annott. Siebelis. p. 335. Cyrop. VIII. 1, 44. et nos ad cap. 1, 1.

§. 10. *τοὺς βασιλέως καλουμένους ὀφθαλμοὺς καὶ τὰ βασιλέως ὦτα*] Alpistum Xerxis *πιστὸν ὀφθαλμὸν* vocat Chorus Aeschyl. Pers. 973. ubi Stanleius atque inde etiam Blomfield. Glossar. »*Ὀφθαλμός*, inquit, dictum, quod eius ope *πάντα*, ut loquitur Suidas (v. *ὀφθαλμὸς βασιλέως*), *ὁ βασιλεὺς ἐπεσκόπει*, omnia (scribit Apuleius de mundo) quae ubique gererentur discebat. Etenim Persarum reges ministros quosdam habuere, qui *ὀφθαλμοὶ βασιλέως*, imperatoris oculi (reddente Apuleio) dicebantur a munere vel officio: quidquid enim in toto regno ageretur, eorum erat ad regem deferre.« Ibidem quum permultos veterum locos de his Persicorum regum oculis auribusque (gehei-

ἢ τῷ δωρεῖσθαί τε καὶ τιμᾶν· τοὺς γὰρ ἀπαγγείλαντας
ὅσα καιρὸς αὐτῷ εἴη πεπύσθαι μεγάλως εὐεργετῶν
πολλοὺς ἐποίησεν ἀνθρώπους καὶ ὠτακουστεῖν καὶ
διοπτεύειν, τί ἂν ἀγγείλαντες ὠφελήσειαν βασιλέα.
11 Ἐκ τούτου δὴ καὶ πολλοὶ ἐνομίσθησαν βασιλέως ὀφθαλ-
μοὶ καὶ πολλὰ ὦτα. Εἰ δέ τις οἴεται ἕνα αἱρετὸν
εἶναι ὀφθαλμὸν βασιλεῖ, οὐκ ὀρθῶς οἴεται· ὀλίγα γὰρ
εἷς γ' ἂν ἴδοι καὶ εἷς ἀκούσειε· καὶ τοῖς ἄλλοις ὥςπερ
ἀμελεῖν ἂν παραγγελλόμενον εἴη, εἰ ἑνὶ τοῦτο προςτε-
ταγμένον εἴη· πρὸς δὲ καὶ ὅντινα γιγνώσκοιεν ὀφθαλ-
μὸν ὄντα, τοῦτον ἂν εἰδεῖεν ὅτι φυλάττεσθαι δεῖ.
Ἀλλ' οὐχ οὕτως ἔχει, ἀλλὰ τοῦ φάσκοντος ἀκοῦσαί τι
12 ἢ ἰδεῖν ἄξιον ἐπιμελείας παντὸς βασιλεὺς ἀκούει. Οὕ-
τω δὴ πολλὰ μὲν βασιλέως ὦτα, πολλοὶ δὲ ὀφθαλμοὶ
νομίζονται· καὶ φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμ-
φορα βασιλεῖ, ὥςπερ αὐτοῦ ἀκούοντος, καὶ ποιεῖν ἃ

§. 11. *Εἰ δέ τις οἴεται*] Fort. legendum ducibus codd. *Εἰ δέ τις οἴοιτο.*

me Polizeiaufseher hodie dixeris) attulerit, neglexit tamen Cyrum puerum teste Herodt. I. 114. ludendo iubentem *τὸν δέ κού τινα αὐτῶν* (aequalium) *ὀφθαλμὸν βασιλέως εἶναι.* Ad Deiocis, antiquissimi Medorum regis, auctoritatem hoc tyrannici imperii praesidium referendum videtur, ut qui secundum Herodt. I. 100. *εἴ τινα πυνθάνοιτο ὑβρίζοντα, τοῦτον ὅκως μεταπέμψαιτο, κατ' ἀξίην ἑκάστου ἀδικήματος ἐδικαίευ· καί οἱ κατάσκοποί τε καὶ κατήκοοι ἦσαν ἀνὰ πᾶσαν τὴν χώρην, τῆς ἦρχε.* Consulantur etiam interpretes ad Aristoph. Acharn. v. 92. Wyttenbach. ad Plutarch. I. p. 948. et Cyr. VIII. 6, 16.

§. 11. *ἕνα αἱρετὸν εἶναι ὀφθαλμὸν βασιλεῖ*] unum eligi posse oculum regi. Huic interpretationi quod quis opponat verba *ἀλλ' οὐχ οὕτως ἔχει,* haec referuntur, ut puto, ad proxime praegressa atque significant *ἀλλ' οὐκ ἴσασιν ἕνα τινά, ὃν δεῖ φυλάττεσθαι.*

καὶ τοῖς ἄλλοις ὥςπερ ἀμελεῖν ἂν παρ. εἴη] et ceteris, ut negligentes essent, quasi mandaretur. Hac vi positum *ὥςπερ* tetigit etiam Matth. p. 1288. §. 629. Cf. ad IV. 1, 13.

§. 12. *φοβοῦνται*] sc. *οἱ Πέρσαι*, quod idem subiectum deerat etiam §. 11. in *γιγνώσκοιεν* et *εἰδεῖεν*, habetque pluralis eiusmodi non minus generalem notionem, quam apud Latinos aiunt, dicunt, timent. Anab. I. 9, 5. *ἔκρινον δ' αὐτὸν (Κῦρον) – φιλομαθέστατον εἶναι.* Buttm. §. 129. 12.

μὴ σύμφορα, ὥςπερ αὐτοῦ παρόντος. Οὔκουν ὅπως μνησθῆναι ἄν τις ἐτόλμησε πρός τινα περὶ Κύρου φλαῦρόν τι, ἀλλ' ὡς ἐν ὀφθαλμοῖς πᾶσι καὶ ὠσὶ βασιλέως τοῖς ἀεὶ παροῦσιν οὕτως ἕκαστος διέκειτο. Τοῦ δὲ οὕτω διακεῖσθαι τοὺς ἀνθρώπους πρὸς αὐτὸν ἐγὼ μὲν οὐκ οἶδ' ὅ τι ἄν τις αἰτιάσαιτο μᾶλλον ἢ ὅτι μεγάλα ἤθελεν ἀντὶ μικρῶν εὐεργετεῖν.

c) omnino se benevolum et liberalem adversus eos praebebat.

Καὶ τὸ μὲν δὴ μεγέθει δώρων ὑπερβάλλειν πλου- 13
σιώτατον ὄντα οὐ θαυμαστόν· τὸ δὲ τῇ θεραπείᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγίγνεσθαι, τοῦτο ἀξιολογώτερον. Ἐκεῖνος τοίνυν λέγεται κατάδηλος εἶναι μηδενὶ ἂν οὕτως αἰσχυνθεὶς ἡττώμενος, ὡς
φίλων θεραπείᾳ· καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, 14
ὡς λέγοι παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ

Οὔκουν ὅπως μνησθῆναι ἄν τις – διέκειτο] Nemo igitur non solum commemorare quidquam sinistri apud ullum hominem de Cyro ausus esset, sed sic erat quisque animatus, quasi omnes, qui quovis tempore adessent, regis oculi auresque essent. Nam *οὔκουν ὅπως* h. l. idem esse atque non solum non, docet tum oppositio, tum Herm. ad Viger. p. 790. 253. sed *μνησθῆναι περί τινός τι* tuebitur locus I. 6, 12. et Matth. §. 347. not. 1.

§. 13. *Καὶ τὸ μὲν δὴ – ὑπερβάλλειν*] Demosth. Or. contra Aristocrat. p. 641. v. 28. *καὶ τὰ μὲν δὴ παλαιὰ ταῦτα, τὰ δ' ὕστερον.* Cf. ad §. 28. VI. 2, 23. atque de infinitivo articulum habente praefixum §. 14. et Matth. §. 540. p. 1060. Ceterum eandem humanitatem in amicos Cyro minori tribuit Anab. I. 9, 24.

Ἐκεῖνος τοίνυν λέγεται] i. e. *λέγεται τοίνυν κατάδηλον εἶναι, ὅτι ἐκεῖνος μηδενὶ ἂν οὕτως αἰσχυνθείη* (geschämt haben würde) *ἡττώμενος, ὡς φίλων θεραπείᾳ.* Verbo *αἰσχύνεσθαι* et participium addi et infinitivum liquet ex not. III. 2, 16. 3, 13.

§. 14. *καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὡς λέγοι*] Similiter Anab. I. 9, 11. *καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο τοσοῦτον χρόνον ζῆν, ἔςτε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος.*

παραπλήσια ἔργα εἶναι] Dio Chrys. Or. de Regno IV. p. 156. R. *τοῦ γὰρ ποιμένος οὐκ ἄλλο τι ἔργον ἢ πρόνοια καὶ σωτηρία καὶ φυλακὴ προβάτων.* Or. I. p. 49. *τίς μὲν γὰρ ἀγέλης βοῶν κήδεται μᾶλλον τοῦ νέμοντος; τίς δὲ ποιμνίοις ὠφελιμώτερός τε καὶ ἀμείνων ποιμένος;* Respicit idem in seqq. locum Cyrop. I. 1, 2. nec minus frequens est regis cum pastore comparatio apud Platonem teste Ast. ad Legg. p. 212. Homericum *ποιμένα λαῶν* quis ignoret ex Memor. III. 2, 1.? Denique bono

βασιλέως ἀγαθοῦ· τόν τε γὰρ νομέα χρῆναι ἔφη εὐδαί-
μονα τὰ κτήνη ποιοῦντα χρῆσθαι αὐτοῖς, ᾗ δὴ προ-
βάτων εὐδαιμονία, τόν τε βασιλέα ὡςαύτως εὐδαίμονας
πόλεις καὶ ἀνθρώπους ποιοῦντα χρῆσθαι αὐτοῖς. Οὐ-
δὲν οὖν θαυμαστόν, εἴπερ ταύτην εἶχε τὴν γνώμην,
τὸ φιλονείκως ἔχειν πάντων ἀνθρώπων θεραπείᾳ περι-
γίγνεσθαι.

15 Καλὸν δὲ ἐπίδειγμα καὶ τοῦτο λέγεται Κῦρος
ἐπιδεῖξαι Κροίσῳ, ὅτε ἐνουθέτει αὐτόν, ὡς διὰ τὸ
πολλὰ διδόναι πένης ἔσοιτο, ἐξὸν αὐτῷ θησαυροὺς
χρυσοῦ πλείστους ἐνί γε ἀνδρὶ ἐν τῷ οἴκῳ καταθέσθαι·
καὶ τὸν Κῦρον λέγεται ἐρέσθαι· Καὶ πόσα ἂν ἤδη οἴει
μοι χρήματα εἶναι, εἰ συνέλεγον χρυσίον, ὥςπερ σὺ
κελεύεις, ἐξ ὅτου ἐν τῇ ἀρχῇ εἰμί; Καὶ τὸν Κροῖσον
16 εἰπεῖν πολύν τινα ἀριθμόν. Καὶ τὸν Κῦρον πρὸς
ταῦτα, Ἄγε δή, φάναι, ὦ Κροῖσε, σύμπεμψον ἄνδρα
σὺν Ὑστάσπῃ τούτῳ, ὅτῳ σὺ πιστεύεις μάλιστα. Σὺ
δέ, ὦ Ὑστάσπα, ἔφη, περιελθὼν πρὸς τοὺς φίλους
λέγε αὐτοῖς, ὅτι δέομαι χρυσίου πρὸς πρᾶξίν τινα·
καὶ γὰρ τῷ ὄντι προςδέομαι· καὶ κέλευε αὐτούς, ὁπόσα

patre nihil bonum principem differre simili sententia dixit Xenophon supra VIII. 1, 1.

ᾗ δὴ προβάτων εὐδαιμονία] quae scilicet pecudum est felicitas, i. e. tam felices pastorem oportet reddere pecudes, quam earum fert natura, ut ne unquam apto careant pabulo. Long. Pastor. p. 19. Schaef. *οἵα δὴ κυνῶν ἐν ῥινηλασίαις περιεργία*, qualis scilicet canum est in narium indagatione sagacitas. Sic emendaverat vulgatam *οἷα – περιεργία* Schaef. ad Soph. Electr. 157.

§. 15. *πλείστους ἐνί γε ἀνδρί*] Stephanus: plurimos uni quidem certe viro, vertit dicens, »plures esse quam usquam, qui quidem unius tantum viri sint. Alioqui enim licuisse et aliis plurimos domi thesauros recondere, qui negare Xen. potuisset?« Anab. I. 9, 12. *πλεῖσται δὴ αὐτῷ ἑνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν ἐπεθύμησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν σώματα προέσθαι.* Cf. ibid. §. 22.

καὶ τὸν Κῦρον λέγεται ἐρέσθαι] Dici oportuit *τὸν γὰρ Κῦρον* vel certe *καὶ γὰρ τὸν Κῦρον λέγ. ἐρέσθαι*, quippe quod rationem reddat verborum *ἐπίδειγμα καὶ τοῦτο λέγεται Κῦρος ἐπιδεῖξαι*. Quod scripsit *καὶ τὸν Κῦρον λέγεται ἐρ.*, refertur ad id, quod in animo habuit Xenophon: *Κροῖσος ἐνουθέτει ποτὲ αὐτόν.* Verbi *λέγεται* diversa structura si quem forte lateat, dictum de hac ad VII. 2, 15.

§. 16. *δέομαι – προςδέομαι*] egeo – insuper egeo. Illud non potuit non amicorum animos gravius commovere, hoc ut Cyrum docet opibus non plane destitutum fuisse, ita factum ipsum quodammodo excusat.

ἂν ἕκαστος δύναιτο, πορίσαι μοι χρήματα, γράψαντας δὲ καὶ κατασημηναμένους δοῦναι τὴν ἐπιστολὴν τῷ Κροίσου θεράποντι φέρειν. Ταῦτα δέ, ὅσα ἔλεγε, 17
καὶ γράψας καὶ σημηνάμενος ἐδίδου τῷ Ὑστάσπῃ φέρειν πρὸς τοὺς φίλους, προσενέγραφε δὲ πρὸς πάντας καὶ Ὑστάσπην ὡς φίλον αὐτοῦ δέχεσθαι. Ἐπεὶ δὲ περιῆλθε, καὶ ἤνεγκεν ὁ Κροίσου θεράπων τὰς ἐπιστολάς, ὁ μὲν δὴ Ὑστάσπης εἶπεν· Ὦ Κῦρε βασιλεῦ, καὶ ἐμοὶ ἤδη χρὴ ὡς πλουσίῳ χρῆσθαι· πάμπολλα γὰρ ἔχων πάρειμι δῶρα διὰ τὰ σὰ γράμματα. Καὶ ὁ 18
Κῦρος εἶπεν· Εἷς μὲν τοίνυν καὶ οὗτος ἤδη θησαυρὸς ἡμῖν, ὦ Κροῖσε· τοὺς δὲ ἄλλους καταθεῶ, καὶ λογίσαι, πόσα ἐστὶν ἕτοιμα χρήματα, ἤν τι δέωμαι χρῆσθαι. Λέγεται δὲ λογιζόμενος ὁ Κροῖσος πολλαπλάσια εὑρεῖν ἢ ἔφη Κύρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς ἤδη, εἰ συνέλεγεν. Ἐπεὶ δὲ τοῦτο φανερὸν ἐγένετο, εἰπεῖν 19
λέγεται ὁ Κῦρος, Ὁρᾷς, φάναι, ὦ Κροῖσε, ὡς εἰσὶ καὶ ἐμοὶ θησαυροί; Ἀλλὰ σὺ μὲν κελεύεις με παρ' ἐμοὶ αὐτοὺς συλλέγοντα φθονεῖσθαί τε δι' αὐτοὺς καὶ μισεῖσθαι, καὶ φύλακας αὐτοῖς ἐφιστάντα μισθοφόρους, τούτοις πιστεύειν· ἐγὼ δὲ τοὺς φίλους πλουσίους ποιῶν, τούτους μοι νομίζω θησαυροὺς καὶ φύλακας ἅμα ἐμοῦ τε καὶ τῶν ἡμετέρων ἀγαθῶν πιστοτέρους εἶναι ἢ εἰ φρουροὺς μισθοφόρους ἐπεστησάμην. Καὶ ἄλλο δέ 20
σοι ἐρῶ· ἐγὼ γάρ, ὦ Κροῖσε, ὃ μὲν οἱ θεοὶ δόντες

§. 18. *λογιζόμενος*] Rectius exhibuit Alt. *λογισάμενος*.

§. 17. *διὰ τὰ σὰ γράμματα*] in quibus amicos Cyrus iusserat non modo literis significare, quantum sibi quisque pecuniae daturus esset, verum etiam Hystaspam amice excipere. Quod illi ita interpretati erant, ac si muneribus quoque ornatum voluisset amicum.

§. 19. *εἰπεῖν λέγεται – φάναι*] Abundat *φάναι*, ut I. 3, 6. ibiq. not.

μισθοφόρους, τούτοις] Melius hoc quam *μισθοφόροις τούτοις* in marg. Steph. appositum. Debebat certe esse *μισθοφόροις οὖσι τούτοις* vel, quod deterius foret, *τοῖς μισθοφόροις τούτοις*. Sed omnem dubitationem eximunt seqq. *φρουροὺς μισθοφόρους*.

§. 20. *ὃ μὲν οἱ θεοὶ δόντες – περιγενέσθαι*] qua re dii hominum animis affixa atque insita (habendi cupiditatem puta) omnes pariter inopes effecerunt, eam eiicere neque ipse potui. Gabr.

εἰς τὰς ψυχὰς τοῖς ἀνθρώποις ἐποίησαν ὁμοίως πάντας πένητας, τούτου μὲν οὐδὲ αὐτὸς δύναμαι περιγενέσθαι, ἀλλ' εἰμὶ ἄπληστος κἀγώ, ὥσπερ οἱ ἄλλοι, χρημάτων·
21 τῇδέ γε μέντοι διαφέρειν μοι δοκῶ τῶν πλείστων, ὅτι οἱ μέν, ἐπειδὰν τῶν ἀρκούντων περιττὰ κτήσωνται, τὰ μὲν αὖ κατορύττουσι, τὰ δὲ κατασήπουσι, τὰ δὲ ἀριθμοῦντες καὶ μετροῦντες καὶ ἱστάντες καὶ διαψύχοντες καὶ φυλάττοντες πράγματα ἔχουσι, καὶ ὅμως ἔνδον ἔχοντες τοσαῦτα οὔτε ἐσθίουσι πλείω ἢ δύνανται φέρειν, διαῤῥαγεῖεν γὰρ ἄν, οὔτ' ἀμφιέννυνται πλείω ἢ δύνανται φέρειν, ἀποπνιγεῖεν γὰρ ἄν, ἀλλὰ τὰ περιττὰ χρήματα πράγματα ἔχου-
22 σιν. Ἐγὼ δὲ ὑπηρετῶ μὲν τοῖς θεοῖς, καὶ ὀρέγομαι ἀεὶ πλειόνων· ἐπειδὰν δὲ κτήσωμαι ἃ ἂν εἰδῶ περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων, τούτοις τάς τ' ἐνδείας τῶν φίλων ἐξακοῦμαι, καὶ πλουτίζων καὶ εὐεργετῶν ἀνθρώπους εὔνοιαν ἐξ αὐτῶν κτῶμαι καὶ φιλίαν, καὶ ἐκ τούτων καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν· ἃ οὔτε κατασήπεται, οὔτε ὑπερπληροῦντα λυμαίνεται· ἀλλὰ ἡ εὔκλεια ὅσῳ ἂν πλείων ᾖ, τοσούτῳ καὶ μείζων καὶ καλλίων καὶ κουφοτέρα φέρειν γίγνεται, πολλάκις δὲ καὶ τοὺς φέροντας αὐτὴν κουφοτέρους παρέχεται.

§. 21. *καὶ ὅμως ἔνδον ἔχοντες τοσαῦτα οὔτε ἐσθίουσι*] et quamvis tantum apud se habeant, tamen neque comedunt. Vid. not. ad V. 1, 26. VI. 4, 6.

διαῤῥαγεῖεν γὰρ ἄν] videlicet *εἰ ἐσθίοιεν πλείω ἢ δύνανται φέρειν*. Similis conditio statim omissa in his *ἀποπνιγεῖεν γὰρ ἄν*. [Cf. Horat. I. Serm. 1, 45.]

ἀλλὰ τὰ περιττὰ χρήματα πράγματα ἔχουσιν] sed quod ad redundantes opes attinet negotia sibi facessunt, in Hinsicht der überflüssigen Güter haben sie Noth. Alii interpretantur: quae illis supersunt, cum molestiis coniuncta sunt. Hoc sensu dicta sunt Hieron. VII. 2. *τοσαῦτα πράγματα ἐχούσης, ὁπόσα λέγεις, τῆς τυραννίδος.* Nec vero est quod in plurali numero haereas, quippe haud raro post neutra pluralia posito, vid. ad VII. 4, 5. 5, 35. Quod si *ἀλλὰ περὶ τὰ χρήματα πράγματα ἔχουσιν* scripseris, licet alias *πράγματα ἔχειν περί τινος* usu venerit, accusativum tamen facile defendas cl. Matth. §. 589. p. 1178.

§. 22. *ἐξ αὐτῶν*] *τῶν περιττῶν*. Contra ad seqq. *ἐκ τούτων* suppleas *ἐξ εὐνοίας καὶ φιλίας*.

οὔτε ὑπερπληροῦντα λυμαίνεται] Recte Weiskius: neque nimium implendo nocent. Passive accepit Gabr. nec praeter modum aucta graves ullo pacto sunt. Sed participio licet cogitatione addi accusativum *τινά*.

Ὅπως δὲ καὶ τοῦτο εἰδῇς, ἔφη, ὦ Κροῖσε, ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι· οἱ γὰρ τὰ τείχη φυλάττοντες οὕτω γ᾽ ἂν εὐδαιμονέστατοι εἴησαν· πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν· ἀλλ᾽ ὃς ἂν κτᾶσθαί τε πλεῖστα δύνηται σὺν τῷ δικαίῳ, χρῆσθαί τε πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω [καὶ τὰ χρήματα]. Καὶ ταῦτα μὲν δὴ φανερὸς ἦν, ὥςπερ καὶ ἔλεγε, πράττων. 23

d) etiam medicos constituebat, qui aegrotantes curarent.

Πρὸς δὲ τούτοις κατανοήσας τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὅτι, ἢν μὲν ὑγιαίνοντες διατελῶσι, παρασκευάζονται, ὅπως ἕξουσι τὰ ἐπιτήδεια, καὶ κατατίθενται τὰ χρήσιμα εἰς τὴν τῶν ὑγιαινόντων δίαιταν· ὅπως 24

§. 23. χρῆσθαί τε] καὶ χρῆσθαί τε Vat. i. e. καὶ χρῆσθαί γε. Certe καὶ χρῆσθαι etiam aliunde confirmatur.

[καὶ τὰ χρήματα.] Totidem verba Locellae etiam in Xenoph. Ephes. I. 13. p. 23. 171. suspecta fuerunt, alio tamen in nexu alioque in loco, qui ut ad explicandum est facilior, ita ad nostrum locum nihil quadrat explanandum.

§. 23. φυλάττοντας πλεῖστα εὐδαιμονεστάτους] Non tam sermonis leges, de quibus praecepit Matth. §. 461. p. 859 sq., quam sententiae ratio postulat, ut πλεῖστα cum φυλάττοντας copuletur. De forma optativi huius εἴησαν ad I. 2, 13. dictum est.

τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω] Horat. Od. IV. 9, 45.

Non possidentem multa vocaveris
Recte beatum: rectius occupat
Nomen beati, qui Deorum
Muneribus sapienter uti,
Duramque callet pauperiem pati,
Peiusque leto flagitium timet.

Sapphonis fragm. XXIX. in Gaisf. Poet. min. Vol. III. p. 303. Lips. [in Sapph. Fragm. ed. Neue XLV. p. 67.].

πλοῦτος ἄνευ ἀρετᾶς οὐκ ἀσινὴς πάροικος·
ἁ δὲ κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον.

καὶ τὰ χρήματα] Interpretantur quasi esset καὶ κατὰ τὰ χρήματα, auch in Ansehung der Güter, Schätze. Contra cap. 1, 24. 25. εὐδαίμων vocabatur ut princeps, magno potitus imperio. Sed de diversis felicitatis generibus quum non disseratur h. l., rectius statuerunt illa verba temere ad πλεῖστα adscripta aut alio quopiam modo illata fuisse.

§. 24. κατανοήσας – ὅπως δὲ – ἑώρα· ἔδοξεν οὖν – αὐτῷ] Locus non uno nomine notabilis. Primum enim κατανοήσας non convenit cum ἔδοξεν – αὐτῷ, ut quae de gemina dicendi ratione ad VI. 1, 31. et ab Herm. ad

δέ, ἢν ἀσθενήσωσι, τὰ σύμφορα παρέσται, τούτου
οὐ πάντας ἐπιμελομένους ἑώρα· ἔδοξεν οὖν καὶ ταῦτα
ἐκπονῆσαι αὐτῷ, τούς τε ἰατροὺς τοὺς ἀρίστους συνε-
κομίσατο πρὸς αὐτὸν τῷ τελεῖν ἐθέλειν, καὶ ὁπόσα ἢ
ὄργανα χρήσιμα ἔφη τις ἂν αὐτῶν γενέσθαι ἢ φάρμακα
ἢ σῖτα ἢ ποτά, οὐδὲν τούτων ὅ τι οὐχὶ παρασκευάσας
25 ἐθησαύριζε παρ' αὐτῷ. Καὶ ὁπότε δέ τις ἀσθενήσειε τῶν
θεραπεύεσθαι ἐπικαιρίων, ἐπεσκόπει, καὶ παρεῖχε πάν-
τα, ὅτου ἔδει· καὶ τοῖς ἰατροῖς δὲ χάριν ᾔδει, ὁπότε
τις ἰάσαιτό τινα τοῖς παρ' ἐκείνου λαμβάνων.

§. 24. *οὐ πάντας*] Sic optimi quique libri pro *οὐ πάνυ*.
τούς τε ἰατροὺς – τῷ τελεῖν ἐθέλειν, καὶ] In codd. inest etiam lectio *καὶ ἰατροὺς – τῷ τε λέγειν ἐθέλειν καί* i. e. et ut dicere vellent vel et quia libenter dicebant sc. instrumenta et medicamenta, et quae quis eorum dixerat utilia futura esse. Nec haec tamen satis placent, nec quod olim conieceram *τῷ λυσιτελεῖν ἐθέλειν*.

Viger. p. 894. scripta sunt, huc quoque velim referas: deinde quum participii loco tempus finitum *ἑώρα* illatum sit, eundem verba prae se referunt colorem, qui est in V. 4, 29. et III. 3, 9.: denique haec membra *ἢν μὲν ὑγιαίνοντες διατελῶσι* et *ὅπως δέ, ἢν ἀσθενήσωσι,* melius sibi responsura fuisse, si *ἢν δὲ ἀσθενήσωσιν, ὅπως τὰ σ.* dedisset, quum vidit Altorfini libri auctor, tum particulas *μέν – δέ* liberius nonnunquam collocari V. 5, 11. observavimus.

τοὺς ἀρίστους συνεκομίσατο πρὸς αὐτὸν τῷ τελεῖν ἐθέλειν] praestantissimos ad se convocari iussit, quia sumtui parcere nolebat. Nam illa *τῷ τελεῖν ἐθέλειν* qui dicta accipiunt pro *διὰ τὸ τελεῖν ἐθέλειν*, auctoritate Matth. §. 541. uti possunt: *τελεῖν* autem ne quis dubitet significare sumtus facere, cavebit Wyttenbachii industria ad Plutarch. lib. De discern. adul. ab amico p. 478. Unum illud *συγκομίζεσθαι* a Schneidero in dubitationem vocatum est, quippe quod I. 5, 12. IV. 3, 18. diverso sensu sit adhibitum; iniuria, ut arbitror. De frumentis enim comportandis ipse usurpavit Xen. Anab. VI. 6, 37. *τὸν σῖτον, ὃν ἦσαν συγκεκομισμένοι,* neque cognata verba ad homines non retulit Thucyd. I. 89. *διεκομίζοντο εὐθὺς – παῖδας καὶ γυναῖκας*. II. 14. *ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας*.

οὐδὲν τούτων ὅ τι οὐχὶ] Vid. ad VII. 5, 61.

§. 25. *πάντα, ὅτου*] constructione saepius a me illustrata, ut II. 3, 10. III. 3, 67. VII. 4, 14. Minus expedita sunt, quae subiiciuntur, *ὁπότε – λαμβάνων*, nec sine breviloquentia prolata: *ὁπότε τις λαμβάνοι τὰ παρ' ἐκείνου (ὄργανα καὶ φάρμακα) καὶ ἰάσαιτό τινα αὐτοῖς*. Cf. ad II. 3, 17. Praestaret tamen *λαβών* pro *λαμβάνων*.

e) eodem consilio, ut non solum aemulatio, sed etiam aliquid dissensionis inter eos aleretur, certamina instituit.

Ταῦτα μὲν δὴ καὶ τοιαῦτα πολλὰ ἐμηχανᾶτο 26
πρὸς τὸ πρωτεύειν παρ' οἷς ἐβούλετο ἑαυτὸν φιλεῖσθαι. Ὧν δὲ προηγόρευέ τε ἀγῶνας καὶ ἆθλα προὐτίθει, φιλονεικίας ἐμποιεῖν βουλόμενος περὶ τῶν καλῶν καὶ ἀγαθῶν ἔργων, ταῦτα τῷ μὲν Κύρῳ ἔπαινον παρεῖχεν, ὅτι ἐπεμέλετο, ὅπως ἀσκοῖτο ἡ ἀρετή, τοῖς μέντοι ἀρίστοις οἱ ἀγῶνες οὗτοι πρὸς ἀλλήλους καὶ ἔριδας καὶ
φιλονεικίας ἐνέβαλλον. Πρὸς δὲ τούτοις ὥςπερ νόμον 27
κατεστήσατο ὁ Κῦρος, ὅσα διακρίσεως δέοιτο εἴτε δίκῃ εἴτε ἀγωνίσματι, τοὺς δεομένους διακρίσεως συντρέχειν τοῖς κριταῖς. Δῆλον οὖν, ὅτι ἐστοχάζοντο μὲν οἱ ἀνταγωνιζόμενοί τι ἀμφότεροι τῶν κρατίστων καὶ τῶν μάλιστα φίλων κριτῶν· ὁ δὲ μὴ νικῶν τοῖς μὲν νικῶσιν ἐφθόνει, τοὺς δὲ μὴ ἑαυτὸν κρίνοντας ἐμίσει· ὁ δ' αὖ νικῶν τῷ δικαίῳ προςεποιεῖτο νικᾶν, ὥςτε χάριν οὐδενὶ
ἡγεῖτο ὀφείλειν. Καὶ οἱ πρωτεύειν δὲ βουλόμενοι φιλίᾳ 28
παρὰ Κύρῳ, ὥςπερ ἄλλοι ἐν πόλεσι, καὶ οὗτοι ἐπιφθόνως πρὸς ἀλλήλους εἶχον· ὥςθ' οἱ πλέονες ἐκπο-

§. 26. πρὸς τὸ πρωτεύειν παρ' οἷς ἐβούλετο ἑαυτὸν φ.] Lucem hacc accipient comparatis VIII. 1, 48. c. 2, 7. §. 13. Omnibus enim iis, quae paulo ante enarrata sunt, nihil aliud Cyrus efficere studuit, quam quod paucis hic significatur, videlicet ut principes Persarum neminem studiosius sectarentur, quam semet ipsum, i. e. ut amore praevaleret apud eos, a quibus amari cupiebat. Confirmant idem quae subiiciuntur, ubi pergit Xenophon instituta artesque explanare, quibus factum sit, ut inter se ipsos quidem dissentirent principes, Cyrum autem unice colerent et suspicerent. §. 28.

§.27. εἴτε δίκῃ εἴτε ἀγωνίσματι] vel iure dicendo vel certamine publico ineundo. Haec συντρέχειν τοῖς κριταῖς Schneidero praeeunte vertas de iudicibus convenire.

§. 28. ἐν πόλεσι] in civitatibus, ubi liberi sunt cives, in democratiis. Non dissimile Camerarius dicit dictum Melanthii, sive serio sive ioco prolatum, quod retulerit Plutarch. in libro de aud. poetis (Wyttenbach. Animadverss. p. 210), fulciri statum civitatis Atheniensis discordia dissidioque oratorum. Ita enim distrahi mala, ne quasi in unum parietem incumbendo illum deprimant. Contra statuit Aristot. Polit. V.9. p.186. Goettl. ἡ μὲν βασιλεία σώζεται διὰ τῶν φίλων, τυραννικὸν δὲ τὸ μάλιστ' ἀπιστεῖν τοῖς φίλοις, ὡς βουλομένων μὲν πάντων, δυναμένων δὲ μάλιστα τούτων.

δῶν ἐβούλοντο ὁ ἕτερος τὸν ἕτερον γενέσθαι μᾶλλον ἢ συνέπραξαν ἄν τι ἀλλήλοις ἀγαθόν. Καὶ ταῦτα μὲν δὴ δεδήλωται, ὡς ἐμηχανᾶτο τοὺς κρατίστους αὐτὸν μᾶλλον πάντας φιλεῖν ἢ ἀλλήλους.

CAPUT III.

Pompa Cyri primum e regia prodeuntis ad loca sacra.

1 *Νῦν δὲ ἤδη διηγησόμεθα, ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων· καὶ γὰρ αὐτῆς τῆς ἐξελάσεως ἡ σεμνότης ἡμῖν δοκεῖ μία τῶν τεχνῶν εἶναι τῶν μεμηχανημένων τὴν ἀρχὴν μὴ εὐκαταφρόνητον εἶναι. Πρῶτον μὲν οὖν πρὸ τῆς ἐξελάσεως εἰςκαλέσας πρὸς αὐτὸν τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων διέδωκεν αὐτοῖς τὰς Μηδικὰς στολάς· καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνέδυσαν· διαδιδούς τε ἅμα τάδε ἔλεγεν αὐτοῖς, ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ τοῖς θεοῖς ἐξῃρημένα καὶ θῦσαι μετ' ἐκεί-*
2 *νων. Πάρεστε οὖν, ἔφη, αὔριον ἐπὶ τὰς θύρας κοσμηθέντες ταῖς στολαῖς ταύταις, πρὶν ἥλιον ἀνατέλλειν, καὶ καθίστασθε ὡς ἂν ὑμῖν Φεραύλας ὁ Πέρσης ἐξαγγείλῃ παρ' ἐμοῦ· καὶ ἐπειδάν, ἔφη, ἐγὼ ἡγῶμαι, ἕπεσθε ἐν τῇ ῥηθείσῃ χώρᾳ. Ἢν δ' ἄρα τινὶ δοκῇ*

§. 28. *Καὶ ταῦτα μὲν δὴ δεδήλωται*] *δή* ex Vat. accessit. Redi ad §. 13.

§. 1. *τῶν ἄλλων*] *συμμάχων* addunt alii, quod habes §. 10. Cf. ad VII. 3, 7. VIII. 3, 50.

ἢ συνέπραξαν ἄν τι ἀλ. ἀγαθόν] Minime *συνέπραξαν* idem est et *συνέπραττον*, sed sensus hic: quam ut se invicem in commodo aliquo parando adiuvissent.

Cap. III. §. 1. *μὴ εὐκαταφρόνητον*] haud contemnendam, i. e. longe augustissimam. Recte ita Zeunius. Vid. ad VII. 1, 17.

εἰς τὰ τεμένη] in agro Babylonio VII. 5, 35.

§. 2. *καθίστασθε ὡς ἂν ὑμῖν — παρ' ἐμοῦ*] collocate vos quomodocunque Pheraulas Persa vobis meo nomine denuntiabit. Fallitur enim Bothius *ἕως ἂν ὑμῖν* corrigendo.

ῥηθείσῃ] sc. *ὑπὸ τοῦ Φεραύλου.*

ὑμῶν ἄλλῃ κάλλιον εἶναι ἢ ὡς ἂν νῦν ἐλαύνωμεν,
ἐπειδὰν πάλιν ἔλθωμεν, διδασκέτω με· ὅπῃ γὰρ ἂν
κάλλιστον καὶ ἄριστον ὑμῖν δοκῇ εἶναι, ταύτῃ ἕκαστα
δεῖ καταστήσασθαι. Ἐπεὶ δὲ τοῖς κρατίστοις διέδωκε 3
τὰς καλλίστας στολάς, ἐξέφερε δὴ καὶ ἄλλας Μηδικὰς
στολάς, παμπόλλας γὰρ παρεσκευάσατο, οὐδὲν φειδό-
μενος οὔτε πορφυρίδων, οὔτε ὀρφνίνων, οὔτε φοινι-
κίδων, οὔτε καρυκίνων ἱματίων· νείμας δὲ τούτων τὸ
μέρος ἑκάστῳ τῶν ἡγεμόνων, ἐκέλευσεν αὐτοὺς τού-
τοις κοσμεῖν τοὺς αὐτῶν φίλους, ὥςπερ, ἔφη, ἐγὼ
ὑμᾶς κοσμῶ. Καί τις τῶν παρόντων ἐπήρετο αὐτόν, 4
Σὺ δέ, ὦ Κῦρε, ἔφη, πότε κοσμήσῃ; Ὁ δ' ἀπεκρί-
νατο, Οὐ γὰρ νῦν, ἔφη, δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι
ὑμᾶς κοσμῶν; Ἀμέλει, ἔφη, ἣν δύνωμαι ὑμᾶς τοὺς
φίλους εὖ ποιεῖν, ὁποίαν ἂν ἔχων τυγχάνω στολήν,

§. 2. ὅπῃ γὰρ ἂν κάλλιστον – δοκῇ] Nolim probare, quod paene integrum in codd. servatum est, ὅπῃ γὰρ κάλλιστον – δοκεῖ.

§. 3. οὐδὲν φειδόμενος οὔτε πορφυρίδων] Bothius vidit cohaerere haec cum ἐξέφερε δή, non cum παρεσκευάσατο, quod vulgata interpungendi ratio praetulit. Quae sequuntur stolarum genera, non dubito, quin omnes purpurei coloris fuerint, qui quam varius fuerit, post Amatium docere instituit Heeren. Ideen. I. P. II. p. 88 sqq. Cf. Iacobs. ad Philostr. p. 378. – Weiske ad h. l. »Hic maxime ὄρφνινα et καρύκινα turbant ἱμάτια. De ὀρφνίνῳ colore afferunt locum Platonis in Timaeo p. 383. Bip. (68), sed sane obscurum et ambiguum. Cum ante dictum esset de ἐρυθρῷ, μέλανι et λευκῷ, subiicitur ὄρφνινον exsistere, ὅταν τούτοις μεμιγμένοις, καυθεῖσί τε μᾶλλον (igne scilicet per universum fuso) συγκραθῇ μέλαν. E Pollucis loco VII. 69. inter ὄρφνινον et μέλαν nihil interesse statuas. Unum addam Aristot. locum de coloribus c. 2., qui purpureum in pennis quarundam avium ἁλουργὸν τὸ χρῶμα commemorat, temperatum ex rubro, nigro et albo, et addit: ἐλάττονος δὲ τοῦ φωτὸς προςβάλλοντος, ζοφερὸν (ἔχει), ὃ καλοῦσι ὄρφνινον. – Incertior habetur color καρύκινος. Sed cum veteres grammatici doceant καρύκην esse cibum e sanguine cupediisque pluribus compositum, recte statuere videmur esse colorem nigricantem, ex quo aliquid rubicundi subluceat. Fortasse hic ipse locus id magis probabile facit. Nam ut πορφυροῦν ad ὄρφνινον, ita φοινικίς ad καρύκινον habere potest.« De vocc. φοινικίς et φοινικοῦς vid. interprett. ad Anab. I. 2, 16. 20. Aristoph. Pac. 1172 sq. Baehr. ad Ctes. fragm. p. 323 sq.

§. 4. Ἀμέλει] Haud dubie, nimirum. Viger. p. 383. a. Buttm. §. 150. p. 439.

5 ἐν ταύτῃ καλὸς φανοῦμαι. Οὕτω δὴ οἱ μὲν ἀπελθόν-
τες, μεταπεμπόμενοι τοὺς φίλους, ἐκόσμουν ταῖς στολαῖς.

Ὁ δὲ Κῦρος, νομίζων Φεραύλαν τὸν ἐκ τῶν δημοτῶν καὶ συνετὸν εἶναι καὶ φιλόκαλον καὶ εὔτακτον καὶ τοῦ χαρίζεσθαι αὐτῷ οὐκ ἀμελεῖν, ὅς ποτε καὶ περὶ τοῦ τιμᾶσθαι ἕκαστον κατὰ τὴν ἀξίαν συνεῖπε· τοῦτον δὴ καλέσας συνεβουλεύετο αὐτῷ, πῶς ἂν τοῖς μὲν εὔνοις κάλλιστα ἰδεῖν ποιοῖτο τὴν ἐξέλασιν, τοῖς
6 δὲ δυσμενέσι φοβερώτατα. Ἐπεὶ δὲ σκοπούντοιν αὐ-
τοῖν τὰ αὐτὰ συνέδοξεν, ἐκέλευε τὸν Φεραύλαν ἐπιμεληθῆναι, ὅπως ἂν οὕτω γένηται αὔριον ἡ ἐξέλασις, ὥσπερ ἔδοξε καλῶς ἔχειν. Εἴρηκα δὲ ἐγώ, ἔφη, πάντας πείθεσθαί σοι περὶ τῆς ἐν τῇ ἐξελάσει τάξεως· ὅπως δ' ἂν ἥδιον παραγγέλλοντός σου ἀκούωσι, φέρε λαβών, ἔφη, χιτῶνας μὲν τουτουσὶ τοῖς τῶν δορυφόρων ἡγεμόσι, κασᾶς δὲ τούσδε τοὺς ἐφιππείους τοῖς

§. 5. ἀμελεῖν] ἀμελῇ Schn. cum multis codd.

§. 6. κασᾶς] Arcad. de Accent. p. 24. v. 12. κασῆς τὸ πιλώτιον ἱμάτιον περισπᾶται. Sic Alt. §. 7. et 8. unde vulg. κάσας ex antiquo καλέσας confictum correxi.

§. 5. οἱ μὲν ἀπελθόντες] i. e. οἱ μὲν ἀπῆλθον καὶ μετεπέμποντο τοὺς φίλους καὶ ἐκόσμουν αὐτοὺς ταῖς στολαῖς. Cf. ad IV. 5, 57.

ὅς ποτε] II. 3, 7. et seqq.

§. 6. ἐπιμεληθῆναι, ὅπως ἂν οὕτω γένηται] Cur coniunctivus positus sit, ut causam perspicias, obliqua oratio repente in rectam vertitur, quasi praecessisset ἐπιμελήθητι, veluti apud Aristophan. Ran. 1379 sqq. Dind. σὺ δ' ὦ Διὸς – Ἑκάτα, παράφηνον ἐς Γλύκης, ὅπως ἂν εἰςελθοῦσα φωράσω. Nihil igitur obstabat, quo minus scriberet Herodt. I. 20. Περίανδρον – πέμψαντα ἄγγελον κατειπεῖν, ὅπως ἄν τι προειδὼς πρὸς τὸ παρεὸν βουλεύηται. Vide praeter not. ad III. 2, 27. Matth. Miscell. phil. Vol. II. 1. p. 36 sq. cuius non meminit Poppo in Miscell. critt. Vol. I. P. I. p. 41.

κασᾶς δὲ τούσδε] Ex Agatharchide Photii Bibl. p. 445. b. v. 34. ed. Bekker. στολὰς γὰρ αὐτοῖς τε καὶ τοῖς ἵπποις ἀνέδωκε πιλητάς, ἃς οἱ κατὰ τὴν χώραν ἐκείνην προςαγορεύουσι κάσας, ὥστε πᾶν κρύπτειν τὸ σῶμα πλὴν τῶν ὀφθαλμῶν. Barkero Epist. crit. p. 268. post Arcadium est lacerna equestris ex lanis coactis facta, atque sane χιτῶνας donaverat tum satellitum ducibus, tum curruum praefectis; Fischerus tamen explicat de stragulis, quibus equi insternuntur. Priori interpretationi favet etiam Agatharchidis locus.

τῶν ἱππέων ἡγεμόσι δός, καὶ τῶν ἁρμάτων τοῖς ἡγεμόσιν ἄλλους τούςδε χιτῶνας. Ὁ μὲν δὴ ἔφερε λα- 7 βών, οἱ δὲ ἡγεμόνες, ἐπεὶ ἴδοιεν αὐτόν, ἔλεγον, Μέγας δὴ σύ γε, ὦ Φεραύλα, ὁπότε γε καὶ ἡμῖν τάξεις ἃ ἂν δέῃ ποιεῖν. Οὐ μὰ Δί', ἔφη ὁ Φεραύλας, οὐ μόνον γε, ὡς ἔοικεν, ἀλλὰ καὶ σκευοφορήσω· νῦν γοῦν φέρω τώδε δύο κασᾶ, τὸν μὲν σοί, τὸν δὲ ἄλλῳ· σὺ μέντοι τούτων λαβὲ ὁπότερον βούλει. Ἐκ τούτου δὴ 8 ὁ μὲν λαμβάνων τὸν κασᾶν τοῦ μὲν φθόνου ἐπελέληστο, εὐθὺς δὲ συνεβουλεύετο αὐτῷ, ὁπότερον λαμβάνοι. Ὁ δὲ συμβουλεύσας ἄν, ὁπότερος βελτίων εἴη, καὶ εἰπών, Ἤν μου κατηγορήσῃς, ὅτι αἵρεσίν σοι δέδωκα, εἰςαῦθις ὅταν διακονῶ, ἑτέρῳ μοι χρήσῃ διακόνῳ. Ὁ μὲν δὴ Φεραύλας οὕτω διαδούς, ᾗ ἐτάχθη,

§. 7. *Ὁ μὲν δὴ ἔφερε*] Fort. *Ὁ μὲν δὴ διέφερε*. Postea *τάξεις* pro *τάσσεις* ex optimis revocavi, praelata insuper forma *λαβέ* vulgatae *λάβε*, quam reiiciunt veteres Attici. Vid. Schaefer. ad Eurip. Orest. Pors. tert. v. 113. Buttm. gr. max. I. p. 463 sq.

§. 8. *καὶ εἰπών*] *καὶ εἶπεν* placuit Hermanno ad Viger. p. 776. *καὶ ἀπιὼν – ἔφη* mihi. [Vulgatam tuetur, distinctione mutata, Matthiae ad Hymn. Homer. II. 157. p. 29. F. 1.]

§. 7. *ὁπότε γε καὶ*] quandoquidem etiam. II. 2, 13. *ὁπότε γε νῦν*. VI. 1, 8. *ὁπότε γε οὐδὲ στρατευομένοις, ὡς ἔοικε, χωρίζεσθαι συμφέρει*. Anab. VII. 6, 11. *ὁπότε γε καὶ νῦν ὑφ' ὑμῶν αἰτίας ἔχω*. Soph. Oed. Col. 1696. Herm. *ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον*.

οὐ μόνον γε] Ex praegressis repetunt *τάξω ἃ ἂν δέῃ ποιεῖν* ellipsi longe creberrima, cuius exempla inveniuntur apud Stallb. Platon. Phaedon. p. 176., sed oppositio, ut *οὐ μόνον οὐ τάξω* suppleatur, efflagitat. Pheraulas enim vicissim iocans tantum abesse ait, ut praetoribus quidquam imperaturus sit, ut ipsorum sarcinator sit futurus. Aliquanto saepius *οὐχ ὅτι – ἀλλὰ καί* omissa altera negatione dicuntur, atque Walch. Emendat. Livian. p. 54. ostendit in formula non modo non posterius non etiam ibi reticeri, ubi nulla subiicitur negatio. Cf. Ramshorn. gr. Lat. §. 181. p. 538.

τώδε δύο κασᾶ] Differret paullum *τώδε τὼ δύο κασᾶ* a recepta, de qua Matth. §. 471. 12.

§. 8. *ἑτέρῳ μοι χρήσῃ διακόνῳ*] alio me uteris ministro. Frigere haec videntur post illa *εἰςαῦθις ὅταν διακονῶ*, sed videntur tantum, cum in *ἕτερος* insit euphemismus, atque dicat Pheraulas: malevolo me uteris ministro, optionem tibi non concedente. »Sic veteres *ἕτερον* et *ἕτερόν τι* per *εὐφημισμὸν* dicebant *τὸ κακόν*.« Valckenaer. Diatrib. p. 111. not. 12. Praeterea notandum post *διακόνῳ* deesse apodosin aut potius verbum finitum *ἔδωκε καὶ πρὸς ἄλλους ἀπῄει. Οὕτω μὲν δὴ διαδούς.* Sic enim fere continuari debuit oratio. vid. annot. ad Conviv. p. 151.

εὐθὺς ἐπεμελεῖτο τῶν εἰς τὴν ἐξέλασιν, ὅπως ὡς κάλλιστα ἕκαστα ἕξει.

9 Ἡνίκα δὲ ἡ ὑστεραία ἧκε, καθαρὰ μὲν ἦν πάντα πρὸ ἡμέρας, στίχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ, ὥσπερ καὶ νῦν ἔτι ἵστανται ᾗ ἂν βασιλεὺς μέλλῃ ἐλαύνειν· ὧν ἐντὸς οὐδενὶ ἔστιν εἰσιέναι τῶν μὴ τετιμημένων· μαστιγοφόροι δὲ καθέστασαν, οἳ ἔπαιον, εἴ τις ἐνοχλοίη. Ἕστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλίους, ἔμπροσθεν τῶν πυλῶν εἰς τέτταρας,
10 δισχίλιοι δὲ ἑκατέρωθεν τῶν πυλῶν. Καὶ οἱ ἱππεῖς δὲ πάντες παρῆσαν καταβεβηκότες ἀπὸ τῶν ἵππων, καὶ διειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων, ὥσπερ καὶ νῦν ἔτι διείρουσιν, ὅταν ὁρᾷ βασιλεύς. Ἕστασαν δὲ Πέρσαι μὲν ἐκ δεξιᾶς, οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ, καὶ τὰ ἅρματα ὡσαύτως τὰ ἡμίσεα ἑκατέρω-
11 θεν. Ἐπεὶ δὲ ἀνεπετάννυντο αἱ τοῦ βασιλείου πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διῒ ταῦροι πάγκαλοι εἰς τέσσαρας, καὶ οἷς τῶν ἄλλων θεοῖς οἱ μάγοι ἐξηγοῦντο· πολὺ γὰρ οἴονται Πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μᾶλλον
12 τεχνίταις χρῆσθαι ἢ περὶ τἄλλα. Μετὰ δὲ τοὺς βοῦς

§. 11. οἷς τῶν ἄλλων θεοῖς] τοῖς τῶν ἄλλων θεοῖς e Guelf. protractum mutandae vulgatae οἷς τῶν ἄλλων θεῶν occasionem dedit. His τοῖς περὶ τοὺς θεούς Pop. ἐν invitis libris praemiserat.

§. 9. εἰς τέτταρας] ita ut longitudo esset satellitum mille, latitudo quaternorum satellitum. Vid. §. 15.

§. 10. διειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων] Capitale enim erat apud Persas praesente rege manus non continere intra manicas, ne scilicet viderentur regi vim illaturi esse. Cyrus minor Hellen. II. 1, 8. duos regiae stirpi cognatos Persas interfici curavit, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας· ὃ ποιοῦσι βασιλεῖ μόνῳ. Κάνδυς qualis fuerit, dictum ad I. 3, 2. Cf. infra §. 13. Schneid. Hellen. l. l. Brisson. p. 32 sq. Heeren. I. p. 219.

§. 11. τῷ Διῒ ταῦροι] Herodt. de Persis I. 131. νομίζουσι, inquit, Διῒ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. Taurum cum aliis ad foedus sanciendum immolant iidem Anab. II. 2, 9. Ταῦτα δ' ὤμοσαν σφάξαντες ταῦρον καὶ λύκον καὶ κάπρον καὶ κριόν.

καὶ οἷς τῶν ἄλλων θεοῖς] καὶ τούτοις τῶν ἄλλων θεῶν, οὓς οἱ μάγοι ἐξηγοῦντο. vid. VIII. 1, 23. Matth. §. 474. a.

ἢ περὶ τἄλλα] i. e. ἢ τοῖς περὶ τἄλλα τεχνίταις. Sic Heindorf. ad Plat. Sophist. p. 311. cui adiiciendus locus IV. 6, 1. Matth. §. 453. Illud πολύ ab

ἵπποι ἤγοντο, θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο ἅρμα λευκόν, χρυσόζυγον, ἐστεμμένον, Διὸς ἱερόν· μετὰ δὲ τόδε Ἡλίου ἅρμα λευκόν, καὶ τοῦτο ἐστεμμένον, ὥσπερ τὸ πρόσθεν· μετὰ δὲ τοῦτο ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ ἐπ' ἐσχάρας μεγάλης ἄνδρες εἵποντο φέροντες. Ἐπὶ δὲ τούτοις ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προὐ- 13
φαίνετο ὁ Κῦρος ἐφ' ἅρματος, ὀρθὴν ἔχων τὴν τιάραν,

initio sententiae collocatum quo pertineat, vix est quod repetam consulentibus not. ad VII. 1, 21.

§. 12. θῦμα τῷ Ἡλίῳ] Alt. habet θύματα, quod neutiquam praestat. Memorab. I. 4, 6. ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν βλεφαρίδας ἐμφῦσαι. E contrario pluralis ad unum Hippolytum additur Eurip. Hipp. v. 11. Monk. Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα. Matth. §. 431. Equi illi Nisaei erant ex Media oriundi, quales Xerxi praeibant Sardibus proficiscenti Herodt. VII. 40. μετὰ δὲ ἱροὶ Νισαῖοι καλεύμενοι ἵπποι δέκα, κεκοσμημένοι ὡς κάλλιστα, de quibus egit Heeren. I. P. I. p. 305. Xenoph. Anab. IV. 5, 35. ἵππον, ὃν εἰλήφει, παλαίτερον δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντα καταθῦσαι, ὅτι ἤκουσεν αὐτὸν ἱερὸν εἶναι τοῦ Ἡλίου, δεδιὼς, μὴ ἀποθάνῃ, ubi vid. not.

ἅρμα λευκόν] Herodt. l. l. ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἷλκον λευκοὶ ὀκτώ· ὄπισθε δὲ εἵπετο τῶν ἵππων πεζῇ ἡνίοχος, ἐχόμενος τῶν χαλινῶν· οὐδεὶς γὰρ δὴ ἐπὶ τοῦτον τὸν θρόνον ἀνθρώπων ἀναβαίνει. Curtius III. 3, 11. *Currum deinde Iovi sacratum albentes vehebant equi.* Hinc ἅρμα λευκόν esse putant currum, quem equi albi traxerint, vereor ut recte. Certe in similis pompae descriptione, incertum Adriani Tyrii an Iamblichi manu profecta, cuius fontes in hac Cyropaedia quaerendi sunt, commemoratur ἅρμα, ἐφ' ᾧ φέρεται ὁ βασιλεύς, ἅπαν ἐλέφαντος εἰργασμένον. Passov. Parthen. p. 83.

ἐστεμμένον] Currus triumphales apud Romanos lauris redimitos fuisse constat. Augustus nocte videre visus est Sueton. c. 94. *radiatam coronam super laureatum currum.*

ἄλλο τρίτον ἅρμα] vacuum haud dubie, ut ceteri. Parum enim fidei meretur Curt. l. l. §. 16. *Utrumque currus latus deorum simulacra ex auro argentoque expressa decorabant: distinguebant internitentes gemmae iugum; ex quo eminebant duo simulacra cubitalia, quorum alterum Nini, alterum Beli gerebat effigiem. Inter haec auream aquilam pinnas extendenti similem sacraverant*, quia diserte tradidit Herodt. I. 131. Persas ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι.

καταπεπταμένοι οἱ ἵπποι] Ne casus alios desideres, adi not. ad VI. 3, 2. Ignem Persas sacrum habuisse inter alios docuit Baehr. ad Ctes. p. 103. 205.

§. 13. ὀρθὴν ἔχων τὴν τιάραν] Anab. II. 5, 23. τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν. Zonar. p. 1731. ἣν οἱ βασιλεῖς ὀρθὴν ἐφό-

καὶ χιτῶνα πορφυροῦν μεσόλευκον, ἄλλῳ δ' οὐκ ἔξεστι
μεσόλευκον ἔχειν, καὶ περὶ τοῖς σκέλεσιν ἀναξυρίδας
ὑσγινοβαφεῖς, καὶ κάνδυν ὁλοπόρφυρον. Εἶχε δὲ καὶ
διάδημα περὶ τῇ τιάρᾳ· καὶ οἱ συγγενεῖς δὲ αὐτοῦ τὸ
αὐτὸ δὴ τοῦτο σημεῖον εἶχον, καὶ νῦν τὸ αὐτὸ τοῦτο
14 ἔχουσι. Τὰς δὲ χεῖρας ἔξω τῶν χειρίδων εἶχε. Παρω-
χεῖτο δὲ αὐτῷ ἡνίοχος μέγας μέν, μείων δ' ἐκείνου, εἴτε
καὶ τῷ ὄντι, εἴτε καὶ ὁπωςοῦν· μείζων δ' ἐφάνη πολὺ
Κῦρος. Ἰδόντες δὲ πάντες προςεκύνησαν, εἴτε καὶ ἄρ-
ξαι τινὲς κεκελευσμένοι, εἴτε καὶ ἐκπλαγέντες τῇ πα-
ρασκευῇ, καὶ τῷ δόξαι μέγαν τε καὶ καλὸν φανῆ-
ναι τὸν Κῦρον. Πρόσθεν δὲ Περσῶν οὐδεὶς Κῦ-
15 ρον προςεκύνει. Ἐπεὶ δὲ προῄει τὸ τοῦ Κύρου ἅρμα,
προηγοῦντο μὲν οἱ τετρακιςχίλιοι δορυφόροι, παρείπον-

§. 15. *προηγοῦντο*] *προήγοντο*, quod Lehnero in mentem venit, non magis ferri potest, quam si vel verba *παρείποντο δὲ οἱ διςχίλιοι παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην*. Plura de voce habet Blomfield. Gloss. ad Aeschyl. Pers. 667. et qui formam tiarae negat certo definiri posse, Heeren. I. p. 216. Cf. Boettiger. Amalth. I. p. 171.

ἀναξυρίδας] Barbarorum hoc et Asiaticorum populorum gestamen adeo Paridi Troiano adscribitur ab Eurip. Cyclop. 168. *τοὺς θυλάκους τοὺς ποικίλους περὶ τοῖν σκελοῖν ἰδοῦσα*, ubi vid. interprett. et cf. Heeren. l. l. p. 223.

διάδημα περὶ τῇ τιάρᾳ] Alexander etiam Persis devictis teste Curt. VI. 6, 4. *purpureum diadema distinctum albo, quale Darius habuerat, capiti circumdedit, vestemque Persicam sumpsit*, quem item III. 3, 19. consulas. De eodem Diodor. Sic. XVII. 77. *τό τε Περσικὸν διάδημα περιέθετο, καὶ τὸν διάλευκον ἐνεδύσατο χιτῶνα, καὶ τὴν Περσικὴν ζώνην καὶ τἄλλα, πλὴν τῶν ἀναξυρίδων καὶ τοῦ κάνδυος*. Apud Iamblichum contra l. l. *ὀλίγοι δὲ καὶ στεφάνοις χρυσοῖς ἀναδέδενται, οἷς ἂν ἐκ βασιλέως δοθῇ*.

§. 14. *εἴτε καὶ τῷ ὄντι, εἴτε καὶ ὁπωςοῦν*] Cui prius illud *καί* intolerabile visum est, mirum ni eidem et sequentia displicuerunt et V. 4, 27. *εἴτε καὶ ὑπὸ τῶν ὁμοφύλων πεισθείς, εἴτε καὶ αὐτὸς βουληθείς*. VII. 2, 29. *εἴτε ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι, εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος*. Quis ignoret notissima illa *ὥςπερ καί – οὕτω καί* supra collocatis haud dissimilia?

μείζων δ' ἐφάνη πολὺ Κῦρος] Ut Cyrus hic Persis maior apparuit, sic ceteri Persarum reges in artis operibus testante Heeren. l. l. p. 235. Cf. c. 1. §. 41. et Grotefend. in Boettigeri Amalthea Vol. II. p. 97.

§. 15. *οἱ τετρακιςχίλιοι*] Qui §. 9. ante fores stabant nonnisi uno agmine idque media in via dispositi, praeibant, dum duo millia satellitum alterum mille ad

το δὲ οἱ δισχίλιοι ἑκατέρωθεν τοῦ ἅρματος· ἐφείποντο δὲ οἱ περὶ αὐτὸν σκηπτοῦχοι ἐφ' ἵππων κεκοσμημένοι σὺν τοῖς παλτοῖς ἀμφὶ τοὺς τριακοσίους. Οἱ δ' αὖ τῷ Κύ- 16
ρῳ τρεφόμενοι ἵπποι παρήγοντο χρυσοχάλινοι, ῥαβδωτοῖς ἱματίοις καταπεπταμένοι, ἀμφὶ τοὺς διακοσίους· ἐπὶ δὲ τούτοις δισχίλιοι ξυστοφόροι· ἐπὶ δὲ τούτοις ἱππεῖς οἱ πρῶτοι γενόμενοι μύριοι, εἰς ἑκατὸν πανταχῆ τεταγμένοι· ἡγεῖτο δὲ αὐτῶν Χρυσάντας. Ἐπὶ δὲ τού- 17
τοις μύριοι ἄλλοι Περσῶν ἱππεῖς τεταγμένοι ὡσαύτως, ἡγεῖτο δὲ αὐτῶν Ὑστάσπης· ἐπὶ δὲ τούτοις ἄλλοι μύριοι ὡσαύτως, ἡγεῖτο δ' αὐτῶν Δατάμας· ἐπὶ δὲ τούτοις ἄλλοι, ἡγεῖτο δ' αὐτῶν Γαδάτας· ἐπὶ δὲ τούτοις Μῆδοι 18
ἱππεῖς, ἐπὶ δὲ τούτοις Ἀρμένιοι, μετὰ δὲ τούτους Ὑρκάνιοι, μετὰ δὲ τούτους Καδούσιοι, ἐπὶ δὲ τούτοις Σάκαι. Μετὰ δὲ τοὺς ἱππέας ἅρματα ἐπὶ τεττάρων τεταγμένα· ἡγεῖτο δὲ αὐτῶν Ἀρταβάτας Πέρσης.

λιοι ἑκατέρωθεν τοῦ ἅρματος, vel §. 9. δισχίλιοι δὲ ἑκατέρωθεν τῶν πυλῶν eiusdem iussu parenthesi incluseris. Saltem προῆγον scribi oportuit.

§. 18. Ἀρταβάτας] Ἀρταβάτης edd. Ἀρταβάταν e Vat. affertur infra c. 6, 8. neque aliter ibi edd.

dextram, alterum ad laevam Cyri currum comitabatur. Pari modo apud Curtium post ignem sacrum, Solis currum et Immortales §. 15. dicuntur Doryphori currum regis anteisse, quo ipse eminens vectus fuerit. Contra §. 21. *Dextra laevaque regem ducenti fere nobilissimi propinquorum comitabantur.* Horum locum bis mille satellites hic explebant. Mirandum tamen, quod, cum VII. 5, 68. Cyrus μυρίους δορυφόρους elegerit, ne verbo quidem hic significatur, reliqui quater mille satellites quo in loco relicti fuerint, nisi forte licet refragante l. l. suspicari volumus ad custodiendam regiam eos remansisse.

§. 16. χρυσοχάλινοι] Iamblich. l. l. τῶν δὲ εἰς πομπὴν ἠσκημένων (Νισαίων ἵππων) χρυσοχαλίνων πάντων, ὥσπερ εὐδαιμόνων γυναικῶν, ζωστῆρές τε καὶ τελαμῶνες καὶ ἐφίππια, οὐδὲν οὐδὲ τούτων ἐστὶν, ὃ μὴ χρυσήλατόν ἐστιν ἢ χρυσόπαστον.

ἱππεῖς οἱ πρῶτοι γενόμενοι] Vid. ad VII. 4, 14. Dicuntur εἰς ἑκατὸν πανταχῆ τεταγμένοι, i. e. ita instructi, ut agmen esset quadratum singulique versus centenos haberent equites. Nam 100 × 100 efficiunt 10000. Cf. not. ad VI. 3, 20.

§. 17. ἐπὶ δὲ τούτοις ἄλλοι] sc. μύριοι ἱππεῖς ὡσαύτως τεταγμένοι. Etenim VII. 4, 16. ἐξέπλησε δὲ ἀπὸ πάντων τούτων Περσῶν μὲν ἱππέας οὐ μεῖον ἢ τετρακισμυρίους.

§. 18. ἅρματα ἐπὶ τεττάρων τεταγμένα] Trecentos habuit currus VI. 2, 7. 4, 34., siquidem omnes huic pompae interesse voluit.

19 Πορευομένου δὲ αὐτοῦ παρείποντο πάμπολλοι ἄνθρωποι ἔξω τῶν σημείων, δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως. Πέμψας οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινάς, οἳ παρείποντο αὐτῷ τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ τούτου ἕνεκα τοῦ διαγγέλλειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ τίς τι αὐτοῦ δέοιτο, διδάσκειν τῶν ὑπάρχων τινὰ ὅ τι τις βούλοιτο, ἐκείνους δὲ ἔφη πρὸς αὐτὸν ἐρεῖν. Οἱ μὲν δὴ ἀπιόντες εὐθὺς κατὰ τοὺς ἱππέας ἐπορεύοντο, καὶ ἐβουλεύοντο, τίνι ἕκαστος προς-
20 ίοι. Ὁ δὲ Κῦρος οὓς ἐβούλετο μάλιστα θεραπεύεσθαι τῶν φίλων ὑπὸ τῶν ἀνθρώπων, τούτους πέμπων τινὰ πρὸς αὐτὸν ἐκάλει καθ' ἕνα ἕκαστον, καὶ ἔλεγεν αὐτοῖς· Ἤν τις ὑμᾶς διδάσκῃ τι τούτων τῶν παρεπομένων, ὃς μὲν ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν· ὃς δ' ἂν δικαίων δεῖσθαι δοκῇ, εἰςαγγέλλετε πρὸς ἐμέ, ἵνα κοινῇ βουλευόμενοι διαπράττωμεν αὐτοῖς.
21 Οἱ μὲν δὴ ἄλλοι, ἐπεὶ καλέσειεν, ἀνὰ κράτος ἐλαύνοντες ὑπήκουον, συναύξοντες τὴν ἀρχὴν τῷ Κύρῳ, καὶ ἐνδεικνύμενοι, ὅτι σφόδρα πείθοιντο· Δαϊφάρνης δέ τις ἦν, σολοικότερος ἄνθρωπος τῷ τρόπῳ, ὃς ᾤετο, εἰ μὴ ταχὺ ὑπακούοι, ἐλευθερώτερος ἂν φαίνεσθαι.
22 Αἰσθόμενος οὖν ὁ Κῦρος τοῦτο, πρὶν προσελθεῖν αὐτὸν

§. 19. *τῶν ὑπάρχων*] *τῶν ἱππάρχων* Fischer. qui sane in vicinia erant.

§. 20. *διαπράττωμεν*] *διαπράττοιμεν* meliores codd., quibus h. l. non subscribam. Vid. tamen Matth. §. 518. 4. et nos ad III. 1, 11. Reisig. Coniect. in Aristoph. I. p. 212.

§. 19. *Οἱ μὲν δὴ ἀπιόντες – προςίοι*] Atque hi quidem (supplices) recedentes statim ad equites ibant, et, quem quisque ducum adiret, deliberabant cum equitibus, ut qui cognitum haberent, quis ducum Cyro imprimis carus et acceptus esset.

§. 20. *μηδὲν – λέγειν*] dicere quod nullius sit momenti. Herm. Viger. p. 731. 113. Ad finem sect. pluralis *αὐτοῖς* de more infertur Graecorum proprio, a me notato ad VII. 4, 5. 5, 35.

§. 21. *σολοικότερος ἄνθρωπος τῷ τρόπῳ*] Accusativum *τὸν τρόπον*, ex aliquot libris depromtum, quo minus praestare putes, exempla impediunt tum a me prolata ad II. 1, 11. tum a Matth. §. 424. n. 1. p. 783. et Lobeck. ad Phryn. p. 364.

καὶ διαλεχθῆναι αὐτῷ, ὑποπέμψας τινὰ τῶν σκηπτούχων, εἰπεῖν ἐκέλευσε πρὸς αὐτὸν, ὅτι οὐδὲν ἔτι δέοιτο· καὶ τὸ λοιπὸν οὐκ ἐκάλει. Ὡς δ' ὁ ὕστερον κληθεὶς αὐτοῦ πρότερος αὐτῷ προςήλασεν, ὁ Κῦρος καὶ ἵππον αὐτῷ ἔδωκε τῶν παρεπομένων, καὶ ἐκέλευσε τῶν σκηπτούχων τινὰ συναπαγαγεῖν αὐτῷ ὅπου κελεύσειε. Τοῖς δὲ ἰδοῦσιν ἔντιμόν τι ἔδοξεν εἶναι, καὶ πολὺ πλείονες ἐκ τούτου αὐτὸν ἐθεράπευον ἀνθρώπων. 23

Sacris peractis habentur ludi equestres, in quibus homo plebeius e Sacis apud Pheraulam gratiam inire studet.

Ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διῒ καὶ ὠλοκαύτωσαν τοὺς ταύρους, ἔπειτα τῷ Ἡλίῳ καὶ ὠλοκαύτωσαν τοὺς ἵππους· ἔπειτα τῇ Γῇ σφάξαντες, ὡς ἐξηγήσαντο οἱ μάγοι ἐποίησαν, ἔπειτα δὲ ἥρωσι τοῖς Συρίαν ἔχουσι. Μετὰ δὲ ταῦτα, καλοῦ ὄντος τοῦ χωρίου, ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ 24 25

§. 23. Ὡς δ' ὁ ὕστερον κληθεὶς – αὐτῷ προςήλασεν, ὁ Κῦρος καί] Ita pridem locum constituendum dixeram in lib. De gemina recens. p. 95. codicibus inter ὡς δ' ὁ ὕστερον κληθεὶς – αὐτῷ ὑπήκουσε, προςήλασεν ὁ Κῦρος, καί et ὁ δὲ ὕστερος κληθεὶς – αὐτῷ προςήλασε, καὶ ὁ Κῦρος ἵπ. fluctuantibus. Omnium maxime tamen placeret ὡς δ' ὁ – ὑπακούσας προςήλασεν, ὁ Κῦρος καί.
§. 24. τῇ Γῇ] Sic Vat. ut τῷ Διΐ et τῷ Ἡλίῳ. Editur Γῇ.

§. 23. ὅπου κελεύσειε] sc. συναπαγαγεῖν, quod verbum nisi cum abducendi notione simul commorandi notionem includit, ut sensus sit: quo abduci iussisset et ubi commoraretur, haud scio an ad ὅπου tuendum IV. 5, 36. quaeque in Actt. Monacc. II. F. II. p. 162. afferuntur, non sufficiant. Suspicionem auget Vat. scriptura ὅπως κελεύσειε.

§. 24. ὠλοκαύτωσαν] Wesseling. ad Herodt. I. 132.: »Non omnem sacris ignem negat Herodotus, sed aris; hoc postulant verba οὔτε βωμοὺς ποιεῦνται, οὔτε πῦρ ἀνακαίουσι. Caesam victimam et in partes minutatim sectam quin elixarent, nihil impediebat.« Strabo XV. p. 221 sq. ed. Tzsch. θύουσι δ' ἐν καθαρῷ τόπῳ, κατευξάμενοι καὶ παραστησάμενοι τὸ ἱερεῖον ἐστεμμένον· μελίσαντος δὲ τοῦ μάγου τὰ κρέα τοῦ ὑφηγουμένου τὴν ἱερουργίαν ἀπίασι διελόμενοι, τοῖς θεοῖς οὐδὲν ἀπονείμαντες μέρος· τῆς γὰρ ψυχῆς φασι τοῦ ἱερείου δεῖσθαι τὸν θεόν, ἄλλου δὲ οὐδενός· ὅμως δὲ τοῦ ἐπίπλου τι μικρὸν τιθέασιν, ὡς λέγουσί τινες, ἐπὶ τὸ πῦρ.

§. 25. ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου] i. e. ἔδ. τέρμα χωρίου ως ἐπὶ πέντε σταδίων, ex tota regione, quae ad cursum satis apta et spatiosa erat, locum ad

εἶπε κατὰ φῦλα ἀνὰ κράτος ἐνταῦθα ἀφεῖναι τοὺς ἵππους. Σὺν μὲν οὖν τοῖς Πέρσαις αὐτὸς ἤλασε, καὶ ἐνίκα πολύ· μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρτάβαζος ἐνίκα. Κῦρος γὰρ αὐτῷ τὸν ἵππον ἐδεδώκει· Σύρων δὲ ὁ προστατῶν· Ἀρμενίων δὲ Τιγράνης· Ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ἱππάρχου· Σακῶν δὲ ἰδιώτης ἀνὴρ ἀπέλιπεν ἄρα τῷ ἵππῳ τοὺς ἄλ-
26 λους ἵππους ἐγγὺς τῷ ἡμίσει τοῦ δρόμου. Ἔνθα δὴ λέγεται ὁ Κῦρος ἐρέσθαι τὸν νεανίσκον, εἰ δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου. Τὸν δ' ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαίμην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ
27 καταθέσθαι δεξαίμην ἄν. Καὶ ὁ Κῦρος εἶπε, Καὶ μὴν ἐγὼ δεῖξαί σοι θέλω, ἔνθα, κἂν μύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. Πάντως τοίνυν, ὁ Σάκας ἔφη, δεῖξόν μοι· ὡς βαλῶ γε ταύτῃ τῇ βώλῳ, ἔφη ἀνε-
28 λόμενος. Καὶ ὁ μὲν Κῦρος δείκνυσιν αὐτῷ, ὅπου ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων ἵησι τῇ βώλῳ, καὶ

§. 25. Ἀρτάβαζος] Ἀρταβάτης, quem alii libri habent, Persa nominabatur §. 18.

quintum fere stadium designavit metam, ad quam currerent, er bestimmte ein Ziel in einem Stück Land von ungefähr fünf Stadien. Vides cur adsit nomen χωρίου, cur deficiat articulus.

ἐνταῦθα] ἐν τούτῳ τῷ χωρίῳ.

ὁ προστατῶν] Gobryam fuisse ex c. 4, 1. coniecit Schneid.

ἀπέλιπεν ἄρα τῷ ἵππῳ] Illud ἄρα non magis equidem obscurandum esse putem, quam VIII. 4, 7. et in exemplis supra positis ad VII. 3, 6. Bothius enim maluit reponi ἀπέλιπεν ἀραιῷ (i. e. λεπτῷ) ἵππῳ, nescio an offensus etiam articulo ante ἵππῳ, qui respondet Latinis: cum equo, quem habuit.

§. 26. εἰ δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου] Propria h. l. vi adhiberi dictio videtur, quae alias proverbialis est. Conviv. III. 13. Ἀλλὰ λανθάνει σε, ὅτι οὐκ ἂν δέξαιο τὰ βασιλέως χρήματα ἀντὶ τοῦ υἱοῦ. De coniunctione vocularum εἰ – ἂν vid. praeter not. ad III. 3, 37. 55. Matth. §. 525. a. §. 526. p. 1023.

§. 27. ὁ Σάκας ἔφη] Notabile nomen verbo ἔφη praemissum, neque tamen suspectum, ut Annot. in Conviv. p. 93. ostendi.

ὡς βαλῶ γε ταύτῃ τῇ βώλῳ, ἔφη ἀνελόμενος] nam iaciam certe eum hac gleba, inquit sublata gleba. Eurip. Hecub. 345. Porson. θάρσει· – ὥς ἕψομαί γε τοῦ τ' ἀναγκαίου χάριν, θανεῖν τε χρῄζουσ', quo exemplo ut loco VIII. 4, 13. ditabis not. ad I, 3. fin. sicut de ceteris huius loci proprietatibus velim consulas not. II. 3, 17.

§. 28. ὁ δὲ καταμύων] In aliis codd. ὁ δὲ καμμύων legitur, quod Schaef. etiam §. 27. membranis duabus assentientibus infe-

παρελαύνοντος Φεραύλα τυγχάνει· ἔτυχε γὰρ ὁ Φεραύ-
λας παραγγέλλων τι τακτὸς παρὰ τοῦ Κύρου· βληθεὶς
δὲ οὐδὲ μετεστράφη, ἀλλ' ᾤχετο ἐφ' ὅπερ ἐτάχθη. Ἀνα- 29
βλέψας δὲ ὁ Σάκας ἐρωτᾷ, τίνος ἔτυχεν. Οὐ μὰ τὸν
Δί', ἔφη, οὐδενὸς τῶν παρόντων. Ἀλλ' οὐ μέντοι,
ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων. Καὶ μὰ Δί', ἔφη
ὁ Κῦρος, σύ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύ-
νοντος τὸν ἵππον. Καὶ πῶς, ἔφη, οὐ μεταστρέφεται;
Καὶ ὁ Κῦρος ἔφη, Μαινόμενος γάρ τίς ἐστιν, ὡς ἔοι- 30
κεν. Ἀκούσας ὁ νεανίσκος ᾤχετο σκεψόμενος, τίς εἴη·
καὶ εὑρίσκει τὸν Φεραύλαν γῆς τε κατάπλεων τὸ γένειον
καὶ αἵματος· ἐῤῥύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι.
Ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτόν, εἰ βληθείη. Ὁ δὲ 31
ἀπεκρίνατο, Ὡς ὁρᾷς. Δίδωμι τοίνυν σοι, ἔφη, του-
τονὶ τὸν ἵππον. Ὁ δ' ἐπήρετο, Ἀντὶ τοῦ; Ἐκ τούτου
δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα καὶ τέλος εἶπε· Καὶ
οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ. Καὶ ὁ Φε- 32
ραύλας εἶπεν, Ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ ἐσωφρό-
νεις, ἢ ἐμοὶ ἐδίδους· νῦν δὲ κἀγὼ δέξομαι. Ἐπεύχο-
μαι δέ, ἔφη, τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι
ὑπὸ σοῦ, δοῦναί μοι ποιῆσαι μὴ μεταμέλειν σοι τῆς
ἐμῆς δωρεᾶς. Καὶ νῦν μέν, ἔφη, ἄπελα, ἀναβὰς ἐπὶ

§. 28. *τακτός*] Alii *τακτόν*, P. *τακτικόν*, quod ad ordinem et instructionem pertinet, *τεταγμένον* Ald. Steph.

rendum suspicatur scribendo *κἂν καμμύων βάλῃς*. Lamb. Bos. p. 368. Probavit eandem huius verbi contractionem, seriorum fere scriptorum communem, etiam Barker. Ep. crit. p. 272. cl. Schaefer. ad Gregor. Corinth. p. 586. nec multum abest Lobeck. ad Phrynich. p. 340., quin Xenophonti eam obtrudat.

ἔτυχε – παραγγέλλων] Excitandum erat ad III. 1, 4.

§. 29. *Καὶ πῶς, ἔφη, οὐ μεταστρέφεται*] Fecit Pheraulas quod Cyrus spectaverat VIII. 1, 42. *Ἐμελέτησε δὲ καί, ὡς – φανεροὶ εἶεν, μηδὲ μεταστρεφόμενοι ἐπὶ θέαν μηδενός, ὡς οὐδὲν θαυμάζοντες*, ibique not. Eadem Lycurgi disciplina fuit, qui De rep. Lac. III. 4. *ἐν ταῖς ὁδοῖς ἐπέταξεν – σιγῇ δὲ πορεύεσθαι, περιβλέπειν δὲ μηδαμοῖ, ἀλλ' αὐτὰ τὰ πρὸ τῶν ποδῶν ὁρᾶν.*

§. 32. *τῆς ἐμῆς δωρεᾶς*] Anab. VII. 7, 29. *οὐ φιλίᾳ τῇ σῇ ἐπείσθησαν ὑπὸ σοῦ ἄρχεσθαι.* Matth. §. 466. 2. Similiter possessivis utuntur Romani, e quorum scriptis vide quae congessit Ramshorn. gr. Lat. p. 341.

ἄπελα] Matth. §. 233. et Buttm. gr. max. II. p. 126. aliud huius imperativi exemplum ignorant.

τόνδε τὸν ἐμὸν ἵππον· αὖθις δὲ ἐγὼ παρέσομαι πρός σέ. Οἱ μὲν δὴ οὕτω διηλλάξαντο. Καδουσίων δὲ ἐνίκα Ῥα-
33 δίνης. Ἀφίει δὲ καὶ τὰ ἅρματα καθ' ἕκαστον· τοῖς δὲ νικῶσι πᾶσιν ἐδίδου βοῦς τε, ὅπως ἂν θύσαντες ἑστιῷντο, καὶ ἐκπώματα. Τὸν μὲν οὖν βοῦν ἔλαβε καὶ αὐτὸς τὸ νικητήριον· τῶν δὲ ἐκπωμάτων τὸ αὑτοῦ μέρος Φεραύλᾳ ἔδωκεν, ὅτι καλῶς ἔδοξεν αὐτοῦ τὴν ἐκ τοῦ βασι-
34 λείου ἔλασιν διατάξαι. Οὕτω δὴ ἡ τότε ὑπὸ Κύρου κατασταθεῖσα ἔλασις, οὕτως ἔτι καὶ νῦν διαμένει [ἡ βασιλέως ἔλασις]· πλὴν τὰ ἱερὰ ἄπεστιν, ὅταν μὴ θύῃ. Ὡς δὲ ταῦτα τέλος εἶχεν, ἀφικνοῦνται πάλιν ἐς τὴν πόλιν, καὶ ἐσκήνησαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας· οἷς δὲ μή, ἐν τάξει.

Pheraulas cum hoc Saca colloquitur de divitiarum pretio, eique omnia bona sua donat ita, ut ipse ab eo, quantum satis sit ad victum et cultum, accipiat.

35 Καλέσας δὲ καὶ ὁ Φεραύλας τὸν Σάκαν τὸν δόντα τὸν ἵππον ἐξένιζε, καὶ τἆλλα τε παρεῖχεν ἔκπλεω, καί, ἐπεὶ ἐδεδειπνήκεσαν, τὰ ἐκπώματα αὐτῷ, ἃ ἔλαβε παρὰ
36 Κύρου, ἐμπιπλὰς προὔπινε καὶ ἐδωρεῖτο. Καὶ ὁ Σάκας ὁρῶν πολλὴν μὲν καὶ καλὴν στρωμνήν, πολλὴν δὲ καὶ καλὴν κατασκευήν, καὶ οἰκέτας δὲ πολλούς, Εἰπέ

§. 32. *ἐπὶ τόνδε τὸν ἐμόν*] Bene ita Alt. pro *ἐπὶ τὸν ἐμόν.*

§. 33. *ἔδοξεν αὐτοῦ*] *ἔδ. αὐτῷ* facilius exhibent Alt. Schn.

§. 34. *καὶ νῦν διαμένει ἡ βασιλέως ἔλασις· πλήν*] Vat. *καὶ εἰς ἐμὲ διαμένει· πλήν*, unde omissa cancellis includenda curavi.

§. 34. *Οὕτω δὴ ἡ τότε – ἡ βασιλέως ἔλασις*] Debebat esse *ὡς δὲ τότε ἡ ἔλασις ὑπὸ Κύρου κατεστάθη, οὕτως ἔτι καὶ νῦν διαμένει ἡ βασιλέως ἔλασις.* Rara est repetitio illa vocis *οὕτως*, nec plane comparanda cum cap. 6, 14. *Ταῦτα δὲ Κύρου οὕτω τότε τάξαντος, ἔτι καὶ νῦν τῷ αὐτῷ τρόπῳ πᾶσαι μὲν αἱ ὑπὸ βασιλεῖ φυλακαὶ ὁμοίως φυλάττονται.* Propius ab Xenophonteis recedunt verba Platon. Phaedon. §. 57. *ἀναγκαῖον οὕτως ὥσπερ καὶ ταῦτά ἐστιν, οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν εἶναι καὶ πρὶν γεγονέναι ἡμᾶς*, de quibus Heindorf. »nihil dubito, inquit, quin sincera sint haec atque ita bis positum *οὕτω* aliis quoque locis exstet.« Cf. Stallbaum. Bibl. Gr. Vol. XI. Sect. II. Phaedon. p. 89.

ὅταν μὴ θύῃ] sc. *ὁ βασιλεύς*, quod in textu habet Vat.

μοι, ἔφη, ὦ Φεραύλα, ἦ καὶ οἴκοι τῶν πλουσίων
ἦσθα; Καὶ ὁ Φεραύλας εἶπε, Ποίων πλουσίων; τῶν 37
μὲν οὖν σαφῶς ἀποχειροβιώτων. Ἐμὲ γάρ τοι ὁ πατὴρ
τὴν μὲν τῶν παίδων παιδείαν, γλίσχρως αὐτὸς ἐργαζό-
μενος καὶ τρέφων, ἐπαίδευεν· ἐπεὶ δὲ μειράκιον ἐγενό-
μην, οὐ δυνάμενος τρέφειν ἀργόν, εἰς ἀγρὸν ἀπαγαγὼν
ἐκέλευσεν ἐργάζεσθαι. Ἔνθα δὴ ἐγὼ ἀντέτρεφον ἐκεῖ- 38
νον, ἕως ἔζη, αὐτὸς σκάπτων καὶ σπείρων καὶ μάλα μι-
κρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δι-
καιότατον· ὅ τι γὰρ ἂν λάβοι σπέρμα, καλῶς καὶ δι-
καίως ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν· ἤδη
δέ ποτε ὑπὸ γενναιότητος καὶ διπλάσια ἀπέδωκεν ὧν
ἔλαβεν. Οἴκοι μὲν οὖν οὕτως ἔγωγε ἔζων· νῦν δὲ
ταῦτα πάντα, ἃ ὁρᾷς, Κῦρός μοι ἔδωκε. Καὶ ὁ Σά- 39
κας εἶπεν, Ὦ μακάριε σὺ τά τε ἄλλα καὶ αὐτὸ τοῦτο,
ὅτι ἐκ πένητος πλούσιος γεγένησαι· πολὺ γὰρ οἴομαί σε
διὰ τοῦτο ἥδιον πλουτεῖν, ὅτι πεινήσας χρημάτων πε-
πλούτηκας. Καὶ ὁ Φεραύλας εἶπεν· Ἦ γὰρ οὕτως, 40
ὦ Σάκα, ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ,

§. 36. *τῶν πλουσίων ἦσθα*] Genitivus est ex eo genere, quod tractarunt Matth. §. 322. Rost. §. 108. 3. p. 410. Buttm. §. 132. 6. 4) not. 8. Eodem pertinent quae sequuntur §. 37. *Ποίων πλουσίων* etc.

§. 37. *μὲν οὖν*] immo, ut cap. 4, 11. et not. ad V. 3, 8. Irrisionem, quae inest in interrogatione praegressa *Ποίων πλουσίων*, ut nos tetigimus ad III. 1, 19., ita cl. c. 4, 31. commodissime reddidit Iacobs Additam. ad Athen. p. 266. quos mihi narras divites?

οὐ δυνάμενος τρέφειν ἀργόν] in disciplina publica, quam adumbravit I. 2, 15. Verba illa *ἐμὲ – τὴν παιδείαν – ἐπαίδευεν* citat Matth. §. 421. p. 775.

§. 38. *καὶ μάλα μικρὸν γήδιον*] Cum aliis composui ad VII. 1, 24.; *καί* cum *μάλα* iunctum nihil fere discrepat sensu a *καὶ πάνυ* V. 1, 17. conversum. Ein gar kleines Ländchen Germani sine offensione dicimus.

πάντων δικαιότατον] Agrum suum describens agricola Menandr. p. 36. Mein. ait: *κριθάς τ' ἐὰν σπείρω, πάνυ δίκαιος ὢν ἀπέδωχ' ὅσας ἂν καταβάλω.* Maxima vero Persidis pars soli sterilitate laborabat *διὰ τὸ ὀρεινὴν εἶναι τὴν χώραν* I. 3, 3. Cf. Heeren. I. P. I. p. 193.

ἔγωγε ἔζων] Herodiani fragm. p. 315. Herm. *Ἁμαρτάνουσιν οἱ λέγοντες ἔζων ἐγώ, δέον λέγειν ἔζην· μόνως γὰρ οὕτως ἡ χρῆσις εὑρίσκεται· ἐπεὶ καὶ τὸ δεύτερον καὶ τὸ τρίτον πρόςωπον ἐφύλαξε τὸ η, οἷον ἔζης, ἔζη· εὑρίσκεται παρὰ τῷ Ἀριστοφάνει τὸ ω.* Vid. Commentar. Aristoph. Vol. VI. p. 142. Matth. §. 236. Buttm. gr. max. II. p. 144. 433. sq.

ὅσῳ πλείω κέκτημαι; Οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν ἥδιον νῦν ἢ τότε, ὅτε πένης ἦν. Ὅτι δὲ ταῦτα πολλά ἐστι, τοσοῦτον κερδαίνω, πλείω μὲν φυλάττειν δεῖ, πλείω δὲ ἄλλοις διανέ-
41 μειν, πλείονα δὲ ἐπιμελούμενον πράγματα ἔχειν. Νῦν γὰρ δὴ ἐμὲ πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι, πολλοὶ δὲ πιεῖν, πολλοὶ δὲ ἱμάτια, οἱ δὲ ἰατρῶν δέονται, ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων, ἢ τῶν βοῶν κατακεκρημνισμένα, ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστε μοι δοκῶ, ἔφη ὁ Φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι ἢ πρόσθεν διὰ τὸ ὀλίγα
42 ἔχειν. Καὶ ὁ Σάκας, Ἀλλὰ ναὶ μὰ Δία, ἔφη, ὅταν σῶα ᾖ, πολλὰ ὁρῶν πολλαπλάσια ἐμοῦ εὐφραίνῃ. Καὶ ὁ Φεραύλας εἶπεν, Οὔ τοι, ὦ Σάκα, οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα, ὡς ἀνιαρὸν τὸ ἀποβάλλειν. Γνώσῃ δὲ, ὅτι ἐγὼ ἀληθῆ λέγω· τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς ἀγρυπνεῖν, τῶν δὲ ἀποβαλλόντων τι ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης.

§. 40. *πλείονα δὲ ἐπιμελούμενον*] Perplacet *πλείονα δὲ πλειόνων ἐπιμελόμενον.*

§. 42. *τι ὄψει οὐδένα*] *τι οὐδένα ἂν ἴδοις* alii ex seqq. confinxerant.

§. 40. *Ὅτι δὲ ταῦτα πολλά ἐστι*] Quod attinet ad has divitias, quae mihi multae sunt. Hanc enim vim esse coniunctionis *ὅτι* nec fugit Zeunium, et dixi ipse in Epilog. p. 94 sq.

§. 41. *τῶν προβάτων λελυκωμένα — τῶν βοῶν κατακεκρημνισμένα*] Abunde talia tuebitur Graecorum usus, adeo *ἄρτων ἡμίσεα* dicentium Anab. I. 9, 26. aliaque simillimi generis apud Matth. §. 442. 4. *Τῶν προβάτων λελυκωμένα* explicat Stephanus dentibus lupi saucias, excussas oves, ut Ovidius cecinit

Non procul a stabulis audet discedere, si qua
excussa est avidi dentibus agna lupi.

§. 42. *ὄψει*] Sacas deinde, ut par est, paulo leniore formula utitur *ἂν ἴδοις*, i. e. videris, animadverteris. Fischerus quidem, »Certe qui affert rem contrariam ei, inquit, quam alter dixit, is fere utitur verbis, quibus alter usus est.« Sed ut parum est credibile scriptores unam eandemque veluti normam loquendi ubique sequutos esse, ita ubicunque res ipsa postulat, ab hac quoque consuetudine non sine causa recedi passim animadvertas. V. 4, 10. quum Cyrus Gadatam his verbis alloquutus esset *Ἐγὼ δὲ πρὸς σὲ ἦα ἐπισκεψόμενος πῶς ἔχεις*, ipse Gadatas in responsione verbo utitur, quo suam in Cyrum reverentiam ostendat, dicens *Ἐγὼ δέ γ' — σὲ ἐπαναθεασόμενος ἦα.* VII. 2, 7. Chaldaei Cyrum *ἱκέτευον παύ-*

Μὰ Δί', ἔφη ὁ Σάκας, οὐδέ γε τῶν λαμβανόντων τι 43
νυστάζοντα οὐδένα ἂν ἴδοις ὑφ' ἡδονῆς. Ἀληθῆ, ἔφη, 44
λέγεις· εἰ γάρ τοι τὸ ἔχειν οὕτως, ὥςπερ τὸ λαμβάνειν, ἡδὺ ἦν, πολὺ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων. Καὶ ἀνάγκη δέ τοί ἐστιν, ἔφη, ὦ Σάκα, τὸν πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν καὶ εἰς θεοὺς καὶ εἰς φίλους καὶ εἰς ξένους· ὅςτις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι.
Μὰ Δί', ἔφη ὁ Σάκας· ἀλλ' οὐκ ἐγὼ τούτων εἰμί, ἀλ- 45
λὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾶν. Τί οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὁ 46
Φεραύλας, οὐχὶ σύ γε αὐτίκα μάλα εὐδαίμων ἐγένου, καὶ ἐμὲ εὐδαίμονα ἐποίησας; Λαβὼν γάρ, ἔφη, ταῦτα πάντα κέκτησο, καὶ χρῶ γε, ὅπως βούλει, αὐτοῖς· ἐμὲ δὲ μηδὲν ἄλλο ἢ ὥςπερ ξένον τρέφε, καὶ ἔτι εὐτελέστερον ἢ ξένον· ἀρκέσει γάρ μοι, ὅ τι ἂν καὶ σὺ ἔχῃς, τούτων μετέχειν. Παίζεις, ἔφη ὁ Σάκας. Καὶ ὁ Φεραύ- 47
λας ὀμόσας εἶπεν ἦ μὴν σπουδῇ λέγειν. Καὶ ἄλλα γέ σοι, ὦ Σάκα, προςδιαπράξομαι παρὰ Κύρου, μήτε θύρας τὰς Κύρου θεραπεύειν, μήτε στρατεύεσθαι·

§. 44. Ἀληθῆ, ἔφη, λέγεις] Codicibus praeeuntibus legendum esse Ἀληθῆ δοκεῖς, ἔφη, λέγειν, quae sequuntur ostendunt.
§. 46. καὶ χρῶ γε] Male libri καὶ χρῶ τε vel καὶ χρῶ.

σασθαι ὀργιζόμενον, Cyrus vero ipse se dicit ἄχθεσθαι, atque Eurip. Med. 983. Elmsl.

Π. Θάρσει· κάτει τοι καὶ σὺ
πρὸς τέκνων ἔτι.
Μ. Ἄλλους κατάξω πρόσθεν ἢ
τάλαιν' ἐγώ,

Musgravius etiam, quo melius utriusque sententiam aequaret, κάτει τοι emendari voluit reposito κατάξῃ.

§. 44. ὅςτις οὖν] Stephanus neque οὖν neque γάρ probat, particulam desiderans significantem atqui hoc modo: »Quin etiam eum, qui magnas opes habet, magnos etiam in deos, in amicos et hospites facere sumtus necesse est. Atqui eum, qui valde pecuniis delectatur, valde etiam angi scito, quotiescunque sumtus facit.« Sed illud atqui habes iam in verbis Καὶ ἀνάγκη δέ τοι, a quibus obiectio exorditur.

§. 45. τούτων εἰμί] sc. οἳ δαπανῶντες ἀνιῶνται. Genitivi causa cf. §. 36.

§. 46. Τί οὖν — οὐχὶ σύ γε — ἐγένου] Explices ea qua dixi ratione II. 1, 4. et addas Stallb. ad Plat. Sympos. p. 21.
τούτων μετέχειν] Praecessit collectivum illud ὅ τι ἄν, ut VII. 5, 35. locisque ab Heindorf. ad Plat. Sophist. p. 304. laudatis.

ἀλλὰ σὺ μὲν πλουτῶν οἴκοι μένε, ἐγὼ δὲ ταῦτα ποιήσω καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἐμοῦ· καὶ ἐάν τι ἀγαθὸν προςλαμβάνω διὰ τὴν Κύρου θεραπείαν ἢ καὶ ἀπὸ στρατείας τινός, οἴσω πρὸς σέ, ἵνα ἔτι πλειόνων ἄρχῃς· μόνον, ἔφη, ἐμὲ ἀπόλυσον ταύτης τῆς ἐπιμελείας· ἣν γὰρ ἐγὼ σχολὴν ἄγω ἀπὸ τούτων, ἐμοί τέ σε οἴομαι πολλὰ καὶ
48 Κύρῳ χρήσιμον ἔσεσθαι. Τούτων οὕτω ῥηθέντων, ταῦτα συνέθεντο, καὶ ταῦτα ἐποίουν. Καὶ ὁ μὲν ἡγεῖτο εὐδαίμων γεγενῆσθαι, ὅτι πολλῶν ἦρχε χρημάτων· ὁ δ' αὖ ἐνόμιζε μακαριώτατος εἶναι, ὅτι ἐπίτροπον ἕξοι σχολὴν παρέχοντα πράττειν ὅ τι ἂν αὐτῷ ἡδὺ εἴη.

49 Ἦν δὲ τοῦ Φεραύλα ὁ τρόπος φιλέταιρός τε, καὶ θεραπεύειν οὐδὲν ἡδὺ αὐτῷ οὕτως ἐδόκει εἶναι οὐδ' ὠφέλιμον, ὡς ἀνθρώπους. Καὶ γὰρ βέλτιστον πάντων τῶν ζώων ἡγεῖτο ἄνθρωπον εἶναι καὶ εὐχαριστότατον, ὅτι ἑώρα τούς τε ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως, τοῖς τε χαριζομένοις πειρωμένους ἀντιχαρίζεσθαι· καὶ οὓς γνοῖεν εὐνοϊκῶς ἔχοντας, τούτοις ἀντευνοοῦντας· καὶ οὓς εἰδεῖεν φιλοῦντας αὐτούς, τούτους μισεῖν οὐ δυναμένους· καὶ γονέας δὲ πολὺ μᾶλλον ἀντιθεραπεύειν πάντων τῶν ζώων ἐθέλοντας καὶ ζῶντας καὶ τελευτήσαντας· τὰ δ' ἄλλα πάντα

§. 47. ἐμοί τέ σε] Soloece Bothius ἐμοί τέ με: debebat enim dici ἐμοί τε ἐγὼ – χρήσιμος. Sententia non magis esset laudabilis, quum nec §. 48. nec VII. 5, 44. doceat, quomodo sibi velit utilis esse Pheraulas.

§. 47. ταῦτα ποιήσω] θεραπεύσω τὰς θύρας καὶ στρατεύσομαι. ἀπὸ τούτων] ἀπὸ τῆς τοῦ πλούτου ἐπιμελείας. De una re ταῦτα dicebatur etiam V. 3, 19.

§. 48. Τούτων – ταῦτα – ταῦτα] Vide mihi, quantopere in usu demonstrativi pronominis luxurientur Graeci, quos alias non iniuria nimiae parsimoniae in adhibendo eo incusaveris. Cf. not. crit. ad VII. 5, 14.

§. 49. ὑπό τινος – τούτους] Ne tali quidem in loco ὑπό τινων – τούτους vel potius ὑπό τινος – τοῦτον Graecis dicere libuit. Tam late patet dicendi genus ad §. 46. commemoratum.

καὶ γονέας δέ] sc. τοὺς ἀνθρώπους. Nemo enim non videt γονέας a verbo ἀντιθεραπεύειν pendere.

καὶ ζῶντας καὶ τελευτήσαντας] »Ex legibus Atheniensium videtur dictum. Vid. Memor. II. 2, 13.« Weiske. Sed ingratos tamen homines Persae adeo puniendos censuerunt I. 2, 7. Cf. Brisson. p. 426.

ζῶα καὶ ἀγνωμονέστερα καὶ ἀχαριστότερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι. Οὕτω δὴ ὅ τε Φεραύλας ὑπερήδετο, 50
ὅτι ἐξέσοιτο αὐτῷ ἀπαλλαγέντι τῆς τῶν ἄλλων κτημάτων ἐπιμελείας ἀμφὶ τοὺς ἄλλους φίλους ἔχειν, ὅ τε Σάκας, ὅτι ἔμελλε πολλὰ ἔχων πολλοῖς χρήσεσθαι. Ἐφίλει δὲ ὁ μὲν Σάκας τὸν Φεραύλαν, ὅτι προσέφερέ τι ἀεί· ὁ δὲ τὸν Σάκαν, ὅτι παραλαμβάνειν πάντα ἤθελε, καὶ ἀεὶ πλειόνων ἐπιμελούμενος οὐδὲν μᾶλλον αὐτῷ ἀσχολίαν παρεῖχε. Καὶ οὗτοι μὲν δὴ οὕτω διῆγον.

CAPUT IV.

Amicos excipit convivio Cyrus, ubi ioci liberales non desiderantur.

Θύσας δὲ καὶ ὁ Κῦρος νικητήρια ἑστιῶν ἐκάλεσε 1
τῶν φίλων οἳ μάλιστ' αὐτὸν αὔξειν τε βουλόμενοι φανεροὶ ἦσαν καὶ τιμῶντες εὐνοϊκώτατα. Συνεκάλεσε δὲ αὐτοῖς καὶ Ἀρτάβαζον τὸν Μῆδον, καὶ Τιγράνην τὸν Ἀρμένιον, καὶ τὸν Ὑρκάνιον ἵππαρχον, καὶ Γωβρύαν.
Γαδάτας δὲ τῶν σκηπτούχων ἦρχεν αὐτῷ, καὶ ᾗ ἐκεῖνος 2
διεκόσμησεν ἡ πᾶσα ἔνδον δίαιτα καθειστήκει· καὶ ὁπότε μὲν συνδειπνοῖέν τινες, οὐδ' ἐκάθιζε Γαδάτας, ἀλλ' ἐπε-

§. 1. *καὶ ὁ Κῦρος*] Vulg. *καὶ ὁ Κ. καί.* Neutrum *καί* intactum editores reliquerunt, posterius codicibus assentientibus.

§. 50. *ἀμφὶ τοὺς ἄλλους φίλους ἔχειν*] »Satius fuerit« inquit Stephanus, »abesse *ἄλλους*, quod rationi consentaneum non sit, ut *κτήματα*, de quibus loquitur, in numero *τῶν φίλων* ponantur, et quum quaedam e nostris exemplaribus vocem illam non haberent.« Mihi quidem illud *τῶν ἄλλων* magis suspectum est, quam in quo toties librarii haeserunt *τοὺς ἄλλους*. Vid. not. ad III. 2, 18. VI. 3, 11. VIII. 3, 1.

Cap. IV. §. 1. *Θύσας δὲ καὶ ὁ Κῦρος νικητήρια ἑστιῶν ἐκάλεσε*] Sacris peractis vero etiam Cyrus victoriae causa epulas instituens invitavit amicos, non solum Pheraulas Sacam c. 3, 35. *Ἑστιᾶν γάμους* habet Aristoph. Avv. 132. *γενέθλια θυγατρὸς ἑστιῶντι* Lucian. Hermotim. p. 18. Lehm.

μελεῖτο· ὁπότε δὲ αὐτοὶ εἶεν, καὶ συνεδείπνει· ἥδετο
γὰρ αὐτῷ ξυνών· ἀντὶ δὲ τούτων πολλοῖς καὶ μεγάλοις
ἐτιμᾶτο ὑπὸ τοῦ Κύρου, διὰ δὲ Κῦρον καὶ ὑπ' ἄλλων.
3 Ὡς δ' ἦλθον οἱ κληθέντες ἐπὶ τὸ δεῖπνον, οὐχ ὅποι ἔτυ-
χεν ἕκαστον ἐκάθιζεν, ἀλλ' ὃν μὲν μάλιστα ἐτίμα παρὰ
τὴν ἀριστερὰν χεῖρα, ὡς εὐεπιβουλευτοτέρας ταύτης οὔ-
σης ἢ τῆς δεξιᾶς, τὸν δὲ δεύτερον παρὰ τὴν δεξιάν, τὸν
δὲ τρίτον πάλιν παρὰ τὴν ἀριστεράν, τὸν δὲ τέταρτον
4 παρὰ τὴν δεξιάν· καὶ ἢν πλείονες ὦσιν, ὡςαύτως. Σα-
φηνίζεσθαι δὲ, ὡς ἕκαστον ἐτίμα, τοῦτο ἐδόκει αὐτῷ
ἀγαθὸν εἶναι, ὅτι, ὅπου μὲν οἴονται οἱ ἄνθρωποι τὸν
κρατιστεύοντα μήτε κηρυχθήσεσθαι, μήτε ἆθλα λήψε-
σθαι, δῆλοί εἰσιν ἐνταῦθα οὐ φιλονείκως πρὸς ἀλλή-
λους ἔχοντες· ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κράτιστος
φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνι-
5 ζόμενοι πάντες. Καὶ ὁ Κῦρος δὲ οὕτως ἐσαφήνιζε μὲν
τοὺς κρατιστεύοντας παρ' ἑαυτῷ, εὐθὺς ἀρξάμενος ἐξ
ἕδρας καὶ παραστάσεως. Οὐ μέντοι ἀθάνατον τὴν τα-

§. 2. *ὁπότε δὲ αὐτοὶ εἶεν*] quoties vero soli essent et sine arbitris. Platon. Parmen. p. 220. Heind. *αὐτοὶ γάρ ἐσμεν.* Valckenar. ad Theocrit. II. 89. XVII. 12. Stallb. ad Plat. Phaedon. p. 44. Matth. §. 468. 5. Buttm. §. 127. 2. not. 2.

ἀντὶ δὲ τούτων] ὅτι ἐπεμελεῖτο, ὁπότε συνδειπνοῖέν τινες. Vid. ad VI. 1, 29.

§. 3. *ὅποι ἔτυχεν*] sc. *ἕκαστος καθίσας*, hoc ut sit sedere, dum *ἐκάθισεν* veteres grammatici explicant *καθίσαι ἐποίησε*. Vid. Buttm. gr. max. II. p. 46. et de formula *ὅποι ἔτυχεν* Viger. p. 302.

ὡς εὐεπιβουλευτοτέρας ταύτης οὔσης] Usus his verbis Brissonius I. 102. p. 153. addit: »Qua ratione hodieque apud plerasque orientis gentes, sive in incessu, sive in consessu, honoratior ille locus existimatur, qui sinistrae alterius subest, laevumque eius latus premit, ideo quod ensis, qui laeva accingitur, capulo imminet.« Cf. idem p. 198.

§. 5. *οὕτως ἐσαφήνιζε – εὐθὺς ἀρξάμενος*] Etsi non ignoro participium *ἀρξάμενος* hic quoque Buttm. gr. §. 150. p. 441. praeceptis convenire, tamen non poterit dubium esse, quin vulgaris loquendi ratio fuisset: *οὕτως ἐσαφήνιζε – ὥςτε εὐθὺς ἄρξασθαι.* Exempli gratia non est cur plura subtexam quam haec: I. 4, 15. *οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενὶ οὐδενός.* Memor. II. 1, 30. *οὕτω γὰρ παιδεύεις τοὺς σεαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα.* Aristoph. Av. 1112. Dind. *τότε μάλισθ' οὕτω δίκην δώσεθ' ἡμῖν, πᾶσι τοῖς ὄρνισι κατατιλώμενοι.*

χθεῖσαν ἕδραν κατεστήσατο, ἀλλὰ νόμιμον ἐποιήσατο καὶ ἀγαθοῖς ἔργοις προβῆναι εἰς τὴν τιμιωτέραν ἕδραν, καί, εἴ τις ῥᾳδιουργοίη, ἀναχωρῆσαι εἰς τὴν ἀτιμοτέραν. Τὸν δὲ πρωτεύοντα ἐν ἕδρᾳ ᾐσχύνετο μὴ οὐ πλεῖστα καὶ ἀγαθὰ ἔχοντα παρ᾽ αὐτοῦ φαίνεσθαι. Καὶ ταῦτα δὲ ἐπὶ Κύρου γενόμενα οὕτως ἔτι καὶ νῦν διαμένοντα αἰσθανόμεθα.

6 Ἐπεὶ δὲ ἐδείπνουν, ἐδόκει τῷ Γωβρύᾳ τὸ μὲν πολλὰ ἕκαστα εἶναι οὐδέν τι θαυμαστὸν παρ᾽ ἀνδρὶ πολλῶν ἄρχοντι, τὸ δὲ τὸν Κῦρον, οὕτω μεγάλα πράττοντα, εἴ τι ἡδὺ δόξειε λαβεῖν, μηδὲν τούτων μόνον καταδαπανᾶν, ἀλλὰ ἔργον ἔχειν δεόμενον τούτου κοινωνεῖν τοὺς παρόντας. Πολλάκις δὲ καὶ τῶν ἀπόντων φίλων ἔστιν οἷς ἑώρα πέμποντα ταῦτα αὐτόν, οἷς ἡσθεὶς τύχοι· ὥς- 7
τε, ἐπεὶ ἐδεδειπνήκεσαν, καὶ τὰ πάντα πολλὰ ὄντα διαπεπόμφει ὁ Κῦρος ἀπὸ τῆς τραπέζης, εἶπεν ἄρα ὁ Γω-

§. 5. εἴ τις ῥᾳδιουργοίη] εἴ τι edd. vett. Quidni εἴ τίς τι ῥᾳδ. scribatur? Postea ante πλεῖστα inserui οὐ ex codd. cum Schneid.

§. 6. ἔχειν δεόμενον] Quod meliores τόν vel τῶν interpositum habent, non statim reiiciam; certe ἔχειν αὐτὸν δεόμενον ob praegressum τὸν Κῦρον non improbabile est librariis displicuisse.

ᾐσχύνετο μὴ οὐ πλεῖστα] Quis credat alteram utram negationem temere a librariis inculcatam esse? Imo integritatem eius agnovit Heindorf. ad Plat. Protag. p. 616 sq. firmandam illam etiam ex not. ad I. 4, 2. IV. 3, 8. et Matth. p. 1229.

§. 6. ἔργον ἔχειν – παρόντας] enixe rogare praesentes, ut partem ciborum caperent. Post haec repetenda sunt τοῦτο δὴ αὐτῷ θαυμαστὸν ἐδόκει εἶναι. Praeterea manifestum est, ut supra τούτων, ita h. l. τούτου de una eademque dici re, neque id, ut arbitror, cum ulla offensione. Locus enim et omni vacat ambiguitate et ne Tragici quidem diligenter τόδε et τάδε distinxisse videntur Matth. ad Eurip. Heraclid. v. 248. T. VIII. p. 227. Erunt tamen fortasse qui affirment ad τούτων plures cogitari cibos, ad τούτου eum tantum, cuius in consortionem convivas trahere Cyrus voluerit. Dissensi etiam c. 3. §. 47.

πέμποντα ταῦτα αὐτόν] Ker Porter. itin. Pers. German. I. p. 300. »Der (persische) Prinz hatte Befehl ertheilt, mein Tisch solle täglich von seiner eignen Tafel mit Speisen versehen werden. Eine solche Auszeichnung steht bey den Persern in hohen Ehren.« Idem honor contigit Amadeo Iauberto Itin. in Armen. et Pers. Germ. p. 128. Lips. Plura dedi ad cap. 2. §. 3.

§. 7. τὰ πάντα πολλὰ ὄντα] Nostrates dixerint: das Ganze, was viel war. De seq. ἄρα exposui ad VII. 3, 6. VIII. 3, 25.

βρύας, Ἀλλ᾽ ἐγώ, ὦ Κῦρε, πρόσθεν μὲν ἡγούμην
τούτῳ σε πλεῖστον διαφέρειν ἀνθρώπων, τῷ στρατηγι-
κώτατον εἶναι· νῦν δὲ θεοὺς ὄμνυμι ἦ μὴν ἐμοὶ δοκεῖν
8 πλέον σε διαφέρειν φιλανθρωπίᾳ ἢ στρατηγίᾳ. Νὴ
Δί᾽, ἔφη ὁ Κῦρος· καὶ μὲν δὴ καὶ ἐπιδείκνυμαι τὰ ἔργα
πολὺ ἥδιον φιλανθρωπίας ἢ στρατηγίας. Πῶς δέ; ἔφη
ὁ Γωβρύας. Ὅτι, ἔφη, τὰ μὲν κακῶς ποιοῦντα ἀνθρώ-
πους δεῖ ἐπιδείκνυσθαι, τὰ δὲ εὖ.
9 Ἐκ τούτου δή, ἐπεὶ ὑπέπινον, ἤρετο ὁ Ὑστά-
σπης τὸν Κῦρον, Ἆρ᾽ ἄν, ἔφη, ὦ Κῦρε, ἀχθεσθείης
μοι, εἴ σε ἐροίμην ὃ βούλομαί σου πυθέσθαι; Ἀλλὰ
ναὶ μὰ τοὺς θεούς, ἔφη, τοὐναντίον τούτου ἀχθοίμην
ἄν σοι, εἰ αἰσθοίμην σιωπῶντα ἃ βούλοιο ἐρέσθαι.
Λέγε δή μοι, ἔφη, ἤδη πώποτε καλέσαντός σου οὐκ
ἦλθον; Εὐφήμει, ἔφη ὁ Κῦρος. Ἀλλ᾽ ὑπακούων σχο-
λῇ ὑπήκουσα; Οὐδὲ τοῦτο. Προσταχθὲν δέ τι ἤδη
σοι οὐκ ἔπραξα; Οὐκ αἰτιῶμαι, ἔφη. Ὃ δὲ πράττοιμι,
ἔστιν ὅ τι πώποτε οὐ προθύμως ἢ οὐχ ἡδομένως πράτ-
10 τοντά με κατέγνως; Τοῦτο δὴ πάντων ἥκιστα, ἔφη ὁ
Κῦρος. Τίνος μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ
Κῦρε, Χρυσάνταν ἔγραψας, ὥστε εἰς τὴν τιμιωτέραν

§. 7. *νῦν δὲ θεοὺς*] *νῦν δὲ τοὺς θεοὺς* malit quis cum codd.

§. 9. *ἢ οὐχ ἡδομένως*] *οὐδὲ ἡδέως* Vat. atque vereor sane, ne alibi illud adverbium non reperiatur.

ἦ μὴν ἐμοὶ δοκεῖν] cap. 3, 47. *ὀμόσας εἶπεν ἦ μὴν σπουδῇ λέγειν.* Vid. mea ad VI. 2, 39. et Matth. p. 1212.

§. 8. *Ὅτι, ἔφη, τὰ μὲν – τὰ δὲ εὖ*] Quia, inquit, haec eo, ut male facias hominibus, illa autem, ut bene facias, praestanda sunt.

§. 9. *ἐπεὶ ὑπέπινον*] »Primitivus verbi *ὑποπίνειν* signif. non tam esse videtur Subbibere, Aliquantum bibere, utcum H. Stephano Schn. statuit, quam Post, nempe Post coenam, potare potuique indulgere. Vide Athen. p. 34. et cf. *ὑποτρώγω.*« Schweigh. Thesaur. Steph. Londin. p. 7596. Quae si vera sunt, *ἐπεὶ ἐπέπινον* legamus, nihil opus erit.

§. 10. *Χρυσάνταν ἔγραψας*] Iocose utitur Hystaspas *γράφειν* de rege, quasi leges scribente, quibus suam cuique sedem assignet. Quam vero ob causam, obsecro, inquit Hystaspas, legem scripsisti, i. e. praecepisti, ut Chrysantas honoratiore, quam ego, in sede collocaretur? Alii contra existimant indicem convivarum a Cyro tra-

ἐμοῦ χώραν ἱδρυθῆναι; Ἢ λέγω; ἔφη ὁ Κῦρος. Πάντως, ἔφη ὁ Ὑστάσπης. Καὶ σὺ αὖ οὐκ ἀχθεσθήσῃ μοι ἀκούων τἀληθῆ; Ἡσθήσομαι μὲν οὖν, ἔφη, ἢν 11 εἰδῶ, ὅτι οὐκ ἀδικοῦμαι. Χρυσάντας τοίνυν, ἔφη, οὑτοσὶ πρῶτον μὲν οὐ κλῆσιν ἀνέμενεν, ἀλλὰ πρὶν καλεῖσθαι παρῆν τῶν ἡμετέρων ἕνεκα· ἔπειτα δὲ οὐ τὸ κελευόμενον μόνον, ἀλλὰ καὶ, ὅ τι αὐτὸς γνοίη ἄμεινον εἶναι πεπραγμένον ἡμῖν, τοῦτο ἔπραττεν. Ὁπότε δ' εἰπεῖν τι δέοι εἰς τοὺς συμμάχους, ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν· ἃ δέ με αἴσθοιτο βουλόμενον μὲν εἰδέναι τοὺς συμμάχους, αὐτὸν δέ με αἰσχυνόμενον περὶ ἐμαυτοῦ λέγειν, ταῦτα οὗτος λέγων ὡς ἑαυτοῦ γνώμην ἀπεφαίνετο· ὥστ' ἔν γε τούτοις τί κωλύει αὐτὸν καὶ ἐμοῦ ἐμοὶ κρείττονα εἶναι; Καὶ ἑαυτῷ μὲν ἀεί φησι πάντα τὰ παρόντα ἀρκεῖν, ἐμοὶ δὲ ἀεὶ φανερός ἐστι σκοπῶν τί ἂν προσγενόμενον ὀνήσειεν· ἐπί τε τοῖς ἐμοῖς καλοῖς πολὺ μᾶλλον ἐμοῦ ἀγάλλεται καὶ ἥδεται.
Πρὸς ταῦτα ὁ Ὑστάσπης εἶπε, Νὴ τὴν Ἥραν, ὦ Κῦρε, 12
ἥδομαί γε ταῦτά σε ἐρωτήσας. Τί μάλιστα; ἔφη ὁ Κῦ-

§. 10. ἱδρυθῆναι] ἱδρυνθῆναι a recentioribus male illatum eripiendum erat Lobeckio ad Phryn. p. 37. Pro verbis Χρυσάνταν ἔγραψας vitiose in aliis scriptum Χρυσάντας σὲ ἔτρεψεν: nam verbi γράφειν in Mss. admodum compendiosi ductus fuerunt.
ἀχθεσθήσῃ] ἀχθήσῃ Vat. i. e. ἀχθέσῃ, de quo vid. Thom. Mag. p. 135. et Pierson. ad Moer. p. 21.

ditum Gadatae fuisse, in quo literis consignatus ordo fuisset, quo ad mensam sederent. In sect. prima tamen mentio eius rei fit nulla, imo ex §§. 2. 3. Cyrum ipsum ista instituisse apparet.

§. 11. μὲν οὖν] Vid. notata ad cap. 3, 37.
ταῦτα οὗτος λέγων] Intelligit prae ceteris orationes Chrysantae II. 2, 17. 3, 5. IV. 3, 15. VI. 2, 21. VII. 5, 55. VIII. 1, 1.
ἐμοῦ ἐμοὶ κρείττονα εἶναι] Non desunt similes comparandi formae, quales inter alios collectas tenet Matth. §. 452.

ἐμοὶ δὲ ἀεὶ — ὀνήσειεν] i. e. ἀεὶ δὲ φανερόν ἐστιν, ὅτι σκοπεῖ, τί ἐμοὶ προσγενόμενον ὀνήσειεν ἂν ἐμέ. Mirum quod Fischerus de cibis accepit delicatioribus, quos Cyro impertiverit Chrysantas, quasi vero Cyrus lautiores cibos in summis deliciis habuisset. Imo in animo Cyrus habuit ea omnia, quae in orationibus laudatis Chrysantas suaserat et commendaverat, quibusque effectum est, ut nova sensim incrementa Cyri potentia regnumque caperet.

ρος. Ὅτι κἀγὼ πειράσομαι ταῦτα ποιεῖν· ἓν μόνον, ἔφη, ἀγνοῶ, πῶς ἂν εἴην δῆλος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, πότερον κροτεῖν δεῖ τὼ χεῖρε, ἢ γελᾶν, ἢ τί ποιεῖν. Καὶ ὁ Ἀρτάβαζος εἶπεν· Ὀρχεῖσθαι δεῖ τὸ Περσικόν. Ἐπὶ τούτοις μὲν δὴ γέλως ἐγένετο.

13 Προϊόντος δὲ τοῦ συμποσίου ὁ Κῦρος τὸν Γωβρύαν ἐπήρετο, Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν δοκοίης ἥδιον τῷδέ τῳ τὴν θυγατέρα δοῦναι ἢ ὅτε τὸ πρῶτον ἡμῖν συνεγένου; Οὐκοῦν, ἔφη ὁ Γωβρύας, κἀγὼ τἀληθῆ λέγω; Νὴ Δί', ἔφη ὁ Κῦρος, ὡς ψεύδους γε οὐδεμία ἐρώτησις δεῖται. Εὖ τοίνυν, ἔφη, ἴσθι, ὅτι νῦν ἂν πολὺ ἥδιον. Ἦ καὶ ἔχοις ἄν, ἔφη ὁ
14 Κῦρος, εἰπεῖν, διότι; Ἔγωγε. Λέγε δή. Ὅτι τότε μὲν ἑώρων τοὺς πόνους καὶ τοὺς κινδύνους εὐθύμως αὐτοὺς φέροντας, νῦν δὲ ὁρῶ αὐτοὺς τἀγαθὰ σωφρόνως φέροντας. Δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα ἢ τὰ κακά·

§. 14. τἀγαθὰ σωφρ.] Guelf. pro τὰ ἀγαθὰ σωφρ.

§. 12. ἓν μόνον, ἔφη, ἀγνοῶ] »Cum Hystaspas indignaretur sibi praelatum esse Chrysantam, cum tamen ipse videri vellet non minus gavisus esse commodis Cyri, quam Chrysantas, in stomacho vix ridebat et acerbius cavillabatur verbis πότερον — ποιεῖν. Artabazus autem, homo urbanus et commodus, qui pariter et Hystaspae et Cyro consultum vellet, ne vel ille inclusam pectore indignationem manifestius proderet, vel hic amicum severius castigaret verbis, hunc odiosum sermonem ridiculo ὀρχεῖσθαι — Περσικόν terminavit, atque ita convivium ad pristinam revocavit laetitiam. — Περσικόν, sc. ὄρχημα. Ex eo, quod interrogaverat Hystaspas πότερον — χεῖρε, Artabazo facile hoc in mentem venit: fiebat enim ista saltatio τῷ κροτεῖν τὰς πέλτας, in quo simul ad numeros modo genibus flexis se submittebant, modo exsurgebant altius. Vid. Exped. Cyri VI. 1, 10.« Weisk. ibique notata.

§. 13. ὅτε τὸ πρῶτον] IV. 6, 1. V. 2, 7 sqq. Ad haec ὅτι νῦν ἂν πολὺ ἥδιον supprimuntur verba τὴν θυγατέρα δοίην.

§. 14. τἀγαθὰ καλῶς φέροντα ἢ τὰ κακά] Hinc innumera illa apud veteres praecepta, quibus et bona et mala sapienter ferenda esse iubent. Stob. Vol. III. p. 388. (p. 572.) τὰς τῆς τύχης μεταβολὰς γενναίως πειρῶ φέρειν, καὶ μήτε εὐτυχῶν ὑπερήφανος ἔσο, μήτε ἀπορῶν ταπεινός· ἀλλὰ γίνου ταπεινὸς ἐφ' ἑκατέρας τῆς τύχης. Alexidis ibid. p. 334. Σοφοῦ γὰρ ἀνδρὸς τὰς τύχας ὀρθῶς φέρειν. Philem. p. 419. Mein. Ἐνταῦθ' ἀνὴρ γάρ ἐστιν ἀνδρὸς διάφορος, ἐν τῷ τό τε κακὸν εὖ φέρειν καὶ τἀγαθόν. In eandem sententiam plura comparantur a Mitscherl. ad Horat. Od. II. 3, 1.

τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. Καὶ ὁ Κῦρος εἶπεν, Ἤκουσας, ὦ Ὑστάσπα, 15
Γωβρύου τὸ ῥῆμα; Ναὶ μὰ Δί', ἔφη· καὶ ἐὰν πολλά τοιαῦτά γε λέγῃ, πολὺ μᾶλλόν με τῆς θυγατρὸς μνηστῆρα λήψεται, ἢ ἐὰν ἐκπώματα πολλά μοι ἐπιδεικνύῃ. Ἦ μήν, ἔφη ὁ Γωβρύας, πολλά γέ μοί ἐστι 16
τοιαῦτα συγγεγραμμένα, ὧν ἐγώ σοι οὐ φθονήσω, ἢν τὴν θυγατέρα μου γυναῖκα λαμβάνῃς· τὰ δὲ ἐκπώματα, ἔφη, ἐπειδὴ οὐκ ἀνέχεσθαί μοι φαίνῃ, οὐκ οἶδ' εἰ Χρυσάντᾳ τούτῳ δῶ, ἐπειδὴ καὶ τὴν ἕδραν σου ὑφήρπασε. Καὶ μὲν δή, ἔφη ὁ Κῦρος, ὦ Ὑστάσπα καὶ οἱ ἄλλοι δὲ 17
οἱ παρόντες, ἢν ἐμοὶ λέγητε, ὅταν τις ὑμῶν γαμεῖν ἐπιχει-

Aequam memento rebus in arduis
Servare mentem, non secus in bonis
Ab insolenti temperatam
Laetitia.

§. 15. *Ἤκουσας – τὸ ῥῆμα;*] Non tam laudem haec quaestio quam levem Hystaspae reprehensionem continere videtur, ut qui antea non satis modestiae in Cyrum ostenderit. Quo tamen animadverso dictorum poenitet Hystaspam, simul sperantem fore, ut tam sapientis patris filia bene instituta sit et educata.

§. 16. *τοιαῦτα συγγεγραμμένα*] Fuit olim Graecorum Romanorumque hominum consuetudo ex scriptis veterum utilia vitae praecepta colligendi. De Venat. XIII. 1. sophistae hoc etiam nomine notantur, quod *γράμματα οὐ παρέχονται, ἐξ ὧν χρὴ ἀγαθοὺς γίγνεσθαι*, atque Euthydemus Memor. IV. 2, 8. iactavit *πολλὰ γράμματα τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι*. Cf. Isocrat. Demonic. exeunt. p. 15. 51. Bekk. Eurip. Alcest. 983 sqq. Wuest. Secundum Suetonium Aug. c. 89. Augustus *in evolvendis utriusque linguae auctoribus nihil aeque sectabatur, quam praecepta et exempla publice vel privatim salubria: eaque ad verbum excerpta aut ad domesticos, aut ad exercituum provinciarumque rectores, aut ad urbis magistratus plerumque mittebat, prout quique monitione indigerent.*

οὐκ οἶδ' εἰ Χρυσάντᾳ τούτῳ δῶ] Germani dicunt: ich weiſs nicht, ob ich die Becher dem Chrysantas hier geben soll; Latini: pocula vereor ut huic Chrysantae tradam, i. e. non tradiderim Chrysantae, sed aut tibi una cum filia aut alii cuipiam; nam Chrysantas tibi iam etiam sedem honorificentiorem surripuit: quo minus est credibile pocula quoque te Chrysantae velle tribui. Vid. ad Conviv. p. 190. Coniunctivus *δῶ*, quem nunc sollicitare nolim, quid sibi velit, praeter vernacula a me posita verba doceat Matth. §. 516. 3.

§. 17. *καὶ οἱ ἄλλοι δὲ οἱ παρόντες*] Vix est quod annotem et ad nominativos a vocativo transire orationem, et articulum in *οἱ παρόντες* repeti. De utraque re disseruit Matth. §. 312. 1. et §. 279. cui frustra obloqui-

ρήσῃ, γνώσεσθε, ὁποῖός τις κἀγὼ συνεργὸς ὑμῖν ἔσομαι.
18 Καὶ ὁ Γωβρύας εἶπεν, Ἢν δέ τις ἐκδοῦναι βούληται θυ-
γατέρα, πρὸς τίνα δεῖ λέγειν; Πρὸς ἐμέ, ἔφη ὁ Κῦρος,
καὶ τοῦτο· πάνυ γάρ, ἔφη, δεινός εἰμι ταύτην τὴν τέ-
19 χνην. Ποίαν; ἔφη ὁ Χρυσάντας. Τὸ γνῶναι, ὁποῖος
ἂν γάμος ἑκάστῳ συναρμόσειε. Καὶ ὁ Χρυσάντας ἔφη,
Λέγε δὴ πρὸς τῶν θεῶν, ποίαν τινά μοι γυναῖκα οἴει
20 συναρμόσειν κάλλιστα. Πρῶτον μέν, ἔφη, μικράν·
μικρὸς γὰρ καὶ αὐτὸς εἶ· εἰ δὲ μεγάλην γαμεῖς, ἤν ποτε
βούλῃ αὐτὴν ὀρθὴν φιλῆσαι, προςάλλεσθαί σε δεήσει,
ὡς τὰ κυνάρια. Τοῦτο μὲν δή, ἔφη, ὀρθῶς προνοεῖς·
21 καὶ γὰρ οὐδ᾽ ὁπωςτιοῦν ἁλτικός εἰμι. Ἔπειτα δ᾽, ἔφη,
σιμὴ ἄν σοι ἰσχυρῶς συμφέροι. Πρὸς τί δὴ αὖ τοῦτο;
Ὅτι, ἔφη, σὺ γρυπὸς εἶ· πρὸς οὖν τὴν σιμότητα
σάφ᾽ ἴσθι ὅτι ἡ γρυπότης ἄριστ᾽ ἂν προσαρμόσειε. Λέ-
γεις σύ, ἔφη, ὡς καὶ τῷ εὖ δεδειπνηκότι, ὥςπερ καὶ
ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμόζοι; Ναὶ μὰ Δί᾽, ἔφη
ὁ Κῦρος· τῶν μὲν γὰρ μεστῶν γρυπὴ ἡ γαστὴρ γίγνεται,
22 τῶν δὲ ἀδείπνων σιμή. Καὶ ὁ Χρυσάντας ἔφη, Ψυ-
χρῷ δ᾽ ἂν βασιλεῖ, πρὸς τῶν θεῶν, ἔχοις ἂν εἰπεῖν ποία

§. 20. *Πρῶτον μέν, ἔφη*] *Πρῶτον μὲν γάρ, ἔφη* Alt., bene, ut arbitror, i. e. *λέξω σοι*, nam primum etc.

γαμεῖς] *γαμεῖς* futurum est, ut V. 2, 12. Ex *γαμήσειας* vulgato nescio an *γαμησείεις* extundas: *γαμεῖς* servavit Alt.

tur Engelhardt. ad Plat. Apol. §. 17. p. 190. Vid. not. ad I. 2, 2.

§. 20. *μικρὸς γὰρ καὶ αὐτὸς εἶ*] Hinc lucem accipiunt quae Chrysantas de se ipse dixit II. 3, 6.

γαμεῖς] Forma *ἐγάμησεν* Menandrum primum usum videri auctor est Lobeck. ad Phryn. p. 742.; ex Luciano alia eiusdem exempla collegit Struvius Miscell. critt. II. P. II. p. 249. cui accedant Matth. §. 228. Buttm. gr. max. II. p. 94.

§. 21. *γρυπὸς εἶ*] Ignorasse videtur Xen., quod Plutarchus tradidit Reip. Praecept. p. 821. E. indeque Apophth. p. 172 (83. Hut.) *Πέρσαι τῶν γρυπῶν ἐρῶσι καὶ καλλίστους ὑπολαμβάνουσι διὰ τὸ Κῦρον ἀγαπηθέντα μάλιστα τῶν βασιλέων γεγονέναι γρυπὸν τὸ εἶδος.*

§. 22. *Ψυχρῷ δ᾽ ἂν βασιλεῖ*] Ambigue dictum est *ψυχρός*, quo nomine appellari potest et qui iocis utitur ineptis, ut Conviv. VI. 7., et cuius animus ab amore matrimoniove alienus est. Nondum enim ipse uxorem duxerat, qui se professus erat aliis uxores daturum esse. Chrysantas igitur Cyrum respondere voluit, quod ex verbis Sophocl. Antig. 88. *θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις* elucet, *θερμὴ δηλονότι*. Hinc et ipsius Cyri risus et ceterorum convivarum.

τις συνοίσει; Ἐνταῦθα μὲν δὴ ὅ τε Κῦρος ἐξεγέλασε καὶ οἱ ἄλλοι ὁμοίως. Γελώντων δὲ ἅμα εἶπεν ὁ Ὑστάσπης, Πολύ γε, ἔφη, μάλιστα τούτου σε, ὦ Κῦρε, ζηλῶ ἐν τῇ βασιλείᾳ. Τίνος; ἔφη ὁ Κῦρος. Ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν. Καὶ ὁ Κῦρος εἶπεν· Ἔπειτα οὐκ ἂν πρίαιό γε παμπόλλου, ὥςτε σοὶ ταῦτα εἰρῆσθαι, καὶ ἀπαγγελθῆναι παρ' ᾗ εὐδοκιμεῖν βούλει, ὅτι ἀστεῖος εἶ; Καὶ ταῦτα μὲν δὴ οὕτω διεσκώπτετο. 23

Nuptiis Hystaspae cum Gobryae filia conciliatis, ceteros convivas cum muneribus dimittit.

Μετὰ δὲ ταῦτα Τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κόσμον, καὶ ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνεστρατεύετο τῷ ἀνδρί· Ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα· τῷ δὲ Ὑρκανίῳ ἵππον καὶ ἄλλα πολλὰ καὶ καλὰ 24

§. 23. ὥςτε σοὶ] Quomodo haec cunque explicabuntur, accentu pronomen nequit carere.

§. 23. Ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν] Vereor, ne in his nihil insit ambiguitatis: Hystaspas enim Chrysantae invidens miratur, quid sit quod Cyrus, quamvis frigidus, i. e. inficetus, a Chrysanta audiat, tamen ei non irascatur. Quia, inquit, quamvis sis frigidus, tamen audientium risum commovere potes. Bene observavit etiam Weiskius: »Hystaspas, opinor, hoc intelligi vult, quod satis clare dicit, non ob eximiam urbanitatem dicta Cyri risu convivantium probari, sed propter horum adulationem. Neque tamen improbaverim, si quis putet Chrysantam tangi, et eius dictum exagitari, quod audacter et inique Cyrum frigidum vocarat.« Ἔπειτα οὐκ ἂν πρίαιό γε — ἀστεῖος εἶ] Alii verba σοὶ ταῦτα εἰρῆσθαι explicant: haec (quae ego dixi) a te dicta esse, alii haec tibi (ab alio de te) dicta esse, videlicet te risum movere posse, vel urbanum esse. Poterunt etiam haec ὅτι ἀστεῖος εἶ ad ταῦτα respicere ad modum eorum locorum, qui a me laudati sunt VI. 1, 25., ut sensus sit: itane nihil plane curares, si hoc tibi ab alio dictum, aut ad eam delatum esset, apud quam bona in existimatione esse cupis, te facetum esse hominem? Sed Hystaspas tamen Cyrum ideo felicem praedicaverat, quod urbanus esset, risumque aliis commoveret, nec video, quomodo Cyrus dicere potuerit Hystaspam nihil minus quam faceti hominis laudem affectare. Imo melius haberent omnia, si obliterata negatione legeretur Ἔπειτα σὺ ἂν πρίαιό γε παμπ.

§. 24. συνεστρατεύετο τῷ ἀνδρί] Vid. III. 1, 43. ibique not.

ἐδωρήσατο. Σοὶ δέ, ἔφη, ὦ Γωβρύα, δώσω ἄνδρα
25 τῇ θυγατρί. Οὐκοῦν ἐμέ, ἔφη ὁ Ὑστάσπης, δώσεις,
ἵνα καὶ τὰ συγγράμματα λάβω. Ἦ καὶ ἔστι σοι, ἔφη
ὁ Κῦρος, οὐσία ἀξία τῶν τῆς παιδός; Νὴ Δί', ἔφη,
πολλαπλασίων μὲν οὖν χρημάτων. Καὶ ποῦ, ἔφη ὁ
Κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία; Ἐνταῦθα, ἔφη, ὅπου-
περ καὶ σὺ κάθησαι, φίλος ὢν ἐμοί. Ἀρκεῖ μοι, ἔφη
ὁ Γωβρύας· καὶ εὐθὺς ἐκτείνας τὴν δεξιάν, Δίδου,
26 ἔφη, ὦ Κῦρε· δέχομαι γάρ. Καὶ ὁ Κῦρος λαβὼν τὴν
τοῦ Ὑστάσπου δεξιὰν ἔδωκε τῷ Γωβρύᾳ, ὁ δὲ ἐδέξατο.
Ἐκ δὲ τούτου πολλὰ καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστά-
σπῃ, ὅπως τῇ παιδὶ πέμψειε· Χρυσάνταν δ' ἐφίλησε
27 προσαγαγόμενος. Καὶ ὁ Ἀρτάβαζος εἶπε, Μὰ Δί',
ἔφη, ὦ Κῦρε, οὐχ ὁμοίου γε χρυσοῦ ἐμοί τε τὸ ἔκπω-
μα δέδωκας, καὶ Χρυσάντᾳ τὸ δῶρον. Ἀλλὰ καὶ σοί,
ἔφη, δώσω. Ἐπήρετο ἐκεῖνος, Πότε; Εἰς τριακο-
στόν, ἔφη, ἔτος. Ὡς ἀναμενοῦντος, ἔφη, καὶ οὐκ
ἀποθανουμένου, οὕτω παρασκευάζου. Καὶ τότε μὲν
δὴ οὕτως ἔληξεν ἡ σκηνή· ἐξανισταμένων δ' αὐτῶν συν-
εξανέστη καὶ ὁ Κῦρος, καὶ συμπροὔπεμψεν αὐτοὺς
ἐπὶ τὰς θύρας.

§. 25. *Οὐκοῦν ἐμέ – δώσεις*] Me igitur – dabis. Verum haec quia languent, corrigendum videtur *Οὔκουν ἐμὲ – δώσεις, – λάβω*; Nonne me – dabis? Veretur enim Hystaspas, ut Cyrus se intelligat, quem antea non nominaverat.

§. 25. *πολλαπλασίων μὲν οὖν χρημάτων*] sc. *ἔστι μοι οὐσία ἢ ὅσα ἔχει ἡ παῖς*. Cyri favorem Hystaspas, quem nec ipsum pauperem fuisse ex VIII. 2, 17. coniicias, Gobryae offert sponsalium loco, de quibus inter alia Perizon. ad Aelian. V. H. IV. 1. »Modo dos, inquit, modo munera ab ipso sponso dicuntur apud varies populos darifeminis, immo aliquando etiam earum parentibus.« Eundem morem sequebantur Thraces Anab. VII. 2, 38. retinentque hodierni Persae, ut ad Anab. p. 716. docui.

§. 27. *Εἰς τριακοστόν, ἔφη, ἔτος*] Explicabis eorum ope, quae dixi ad III. 1, 42. V. 3, 6.

Ὡς ἀναμενοῦντος – οὕτω παρασκευάζου] Apparet etiam hic deesse pronomen *μοῦ*, ut in not. ad III. 1, 9. VI. 1, 30. 40. Quam omissionem in accusativis recte offendere non posse a me annotari memini I. 4, 21.

ἔληξεν ἡ σκηνή] finem habuit convivium, quod quia sine convivis cogitari nequit, statim plurali numero pergitur *ἐξανισταμένων αὐτῶν*, quae verba male reddidit Gabr. ex quo cum surgerent alii.

Cyrus socios partim domum dimittit, partim secum Babylone manere concedit, quos omnes tam duces quam milites muneribus ornat.

Τῇ δ' ὑστεραίᾳ τοὺς ἐθελουσίους συμμάχους γε- 28
νομένους ἀπέπεμπεν οἴκαδε ἑκάστους, πλὴν ὅσοι αὐτῶν οἰκεῖν ἐβούλοντο παρ' αὐτῷ· τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε, καὶ νῦν ἔτι ἔχουσιν οἱ τῶν καταμεινάντων τούτων τότε ἀπόγονοι· πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων· τοῖς δ' ἀπιοῦσι δωρησάμενος πολλὰ καὶ ἀμέμπτους ποιησάμενος καὶ ἄρχοντας καὶ στρατιώτας ἀπε-
πέμψατο. Ἐκ τούτου δὲ διέδωκε καὶ τοῖς περὶ αὐτὸν 29
στρατιώταις τὰ χρήματα, ὅσα ἐκ Σάρδεων ἔλαβε· καὶ τοῖς μὲν μυριάρχοις καὶ τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐξαίρετα ἐδίδου πρὸς τὴν ἀξίαν ἑκάστῳ, τὰ δ' ἄλλα διένειμε· καὶ τὸ μέρος ἑκάστῳ δοὺς τῶν μυριάρχων, ἐπέτρεψεν
αὐτοῖς διανέμειν, ὥςπερ αὐτὸς ἐκείνοις διένειμεν. Ἔδο- 30
σαν δὲ τὰ μὲν ἄλλα χρήματα, ἄρχων ἄρχοντας τοὺς ὑφ' ἑαυτῷ δοκιμάζων· τὰ δὲ τελευταῖα οἱ ἐξάδαρχοι, τοὺς ὑφ' ἑαυτοῖς ἰδιώτας δοκιμάσαντες, πρὸς τὴν ἀξίαν ἑκάστῳ ἔδοσαν· καὶ οὕτω πάντες εἰλήφεσαν τὸ δίκαιον
μέρος. Ἐπεὶ δὲ εἰλήφεσαν τὰ τότε δοθέντα, οἱ μέν τι- 31
νες ἔλεγον περὶ τοῦ Κυρου τοιάδε· Ἦ που αὐτός γε

§. 30. Ἔδοσαν] *Διέδοσαν* bis scriberem, si *διεδίδοσαν* alium atque Leunclavium auctorem haberet.

§. 29. *ὅσα ἐκ Σάρδεων ἔλαβε*] VII. 3, 1. c. 4, 12.
τὰ δ' ἄλλα διένειμε] reliqua divisit aequalibus, ut videtur, portionibus inter myriarchos, iisque mandavit, ut ex chiliarchis, si qui eminuissent, hos maioribus praemiis afficerent, ceteris autem aequales portiones centurionibus simili ratione distribuendas traderent etc.

§. 30. *τὰ μὲν ἄλλα*] exceptis iis, quae singuli duces, ut ceteris praestantiores, plura acceperant, minime vero iis, quae §. 29. *ἐξαίρετα* vocabantur.

ἔδοσαν] Esse ubi idem verbum aliquanto durius repetatur liquet ex not. ad I. 6, 38. Cf. *εἶχε* c. 5, 8.

§. 31. *Ἐπεὶ δὲ εἰλήφεσαν*] Ne haec quidem iteratio eiusdem formulae Graecis inaudita. Anab. II. 3, 27. *ὁπόταν μὴ παρέχωμεν ἀγοράν· ἢν δὲ παρέχωμεν ἀγοράν*. Cyrop. II. 1, 2. *Κῦρος δὲ εἰς Μήδους πρὸς Κυαξάρην ἐπορεύετο. Ἐπεὶ δὲ ἀφίκετο ὁ Κῦρος εἰς Μήδους πρὸς τὸν Κυαξάρην*. III. 3, 57. *ἐξῆγε τὸ στράτευμα. Ὡς δ' ἤρξατο ἄγειν θᾶττον*, quae omnia paucioribus comprehendi poterant.

πολλὰ ἔχει, ὅπου γε καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. Οἱ δέ τινες αὐτῶν ἔλεγον, Ποῖα πολλὰ ἔχει; οὐχ ὁ Κύρου τρόπος τοιοῦτος, οἷος χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον ἢ κτώμενος ἥδεται.

Amicis et proceribus convocatis omnes suas copias et opes ostendit.

32 Αἰσθανόμενος δὲ ὁ Κῦρος τούτους τοὺς λόγους
καὶ τὰς δόξας τὰς περὶ αὐτοῦ συνέλεξε τούς φίλους τε
καὶ τοὺς ἐπικαιρίους ἅπαντας, καὶ ἔλεξεν ὧδε·
Ἄνδρες φίλοι, ἑώρακα μὲν ἤδη ἀνθρώπους, οἳ βού-
λονται δοκεῖν πλείω κεκτῆσθαι ἢ ἔχουσιν, ἐλευθεριώτεροι
ἂν οἰόμενοι οὕτω φαίνεσθαι· ἐμοὶ δὲ δοκοῦσιν, ἔφη, οὗ-
τοι τοὔμπαλιν ὧν βούλονται ἐφέλκεσθαι· τὸ γὰρ πολλὰ
δοκοῦντα ἔχειν μὴ κατ' ἀξίαν τῆς οὐσίας φαίνεσθαι ὠφε-
λοῦντα τοὺς φίλους ἀνελευθερίαν ἔμοιγε δοκεῖ περιά-
33 πτειν. Εἰσὶ δ' αὖ, ἔφη, οἳ λεληθέναι βούλονται, ὅσα
ἂν ἔχωσι· πονηροὶ οὖν καὶ οὗτοι τοῖς φίλοις ἔμοιγε δο-
κοῦσιν εἶναι· διὰ γὰρ τὸ μὴ εἰδέναι τὰ ὄντα πολλάκις
δεόμενοι οὐκ ἀπαγγέλλουσιν οἱ φίλοι τοῖς ἑταίροις,
34 ἀλλ' ἡττῶνται. Ἁπλουστάτου δέ μοι, ἔφη, δοκεῖ εἶ-
ναι τὸ τὴν δύναμιν φανερὰν ποιήσαντα ἐκ ταύτης ἀγω-
νίζεσθαι περὶ καλοκἀγαθίας. Κἀγὼ οὖν, ἔφη, βού-

§. 32. *τοὔμπαλιν ὧν*] *ὧν* debetur Vat. *οὗ* ceteris.

τοιοῦτος, οἷος χρηματίζεσθαι] Nihil hac constructione frequentius, de qua dictum ad I. 2, 3.

§. 32. *τοὔμπαλιν ὧν βούλονται ἐφέλκεσθαι*] Cum genitivo *τοὔμπαλιν* copulatur etiam Eurip. Hipp. v. 390. Valcken. *ὥςτε τοὔμπαλιν πεσεῖν φρενῶν*. Delect. Epigr. Gr. p. 327. Iacobs. *φεῦ μούσης ἔμπαλιν ἁρμονίης*. Tritissimum est *τοὐναντίον* et *τἀναντία* eadem structura collocatum, velut De re equestr. X. 1. *πάντα γὰρ τἀναντία οὗτοί γε ποιοῦσιν ὧν βούλονται*. Hellen. VII. 5, 26. *τοὐναντίον ἐγεγένητο οὗ ἐνόμισαν πάντες οἱ ἄνθρωποι ἔσεσθαι*. Matth. §. 366. n. 2.

§. 33. *ἀλλ' ἡττῶνται*] sed succumbunt inopiae, fraudi. Sic fere interpretantur, rectene an secus, diiudicare nolo, cum genitivi *ἀπορίας* et *ἀπάτης* in codicibus adhuc excussis non reperiantur. Haud dubie igitur satius erit retinere *ἀλλ' ἀπατῶνται* i. e. sed decipiuntur ab amicis sc. paupertatem simulantibus.

§. 34. *ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκἀγαθίας*] i. e. opum auxilio de liberalitatis laude certare cum amico, videlicet uter utro sit liberalior et honestior.

λομαι ὑμῖν, ὅσα μὲν οἷόν τ' ἐστὶν ἰδεῖν τῶν ἐμοὶ ὄντων,
δεῖξαι· ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διηγήσασθαι. Ταῦτα 35
εἰπὼν τὰ μὲν ἐδείκνυε πολλὰ καὶ καλὰ κτήματα, τὰ
δὲ κείμενα, ὡς μὴ ῥᾴδιον εἶναι ἰδεῖν, διηγεῖτο. Τέ-
λος δὲ εἶπεν ὧδε· Ταῦτα, ἔφη, ὦ ἄνδρες, ἅπαντα 36
δεῖ ὑμᾶς οὐδὲν μᾶλλον ἐμὰ ἡγεῖσθαι ἢ καὶ ὑμέτε-
ρα· ἐγὼ γάρ, ἔφη, ταῦτα ἀθροίζω, οὔθ' ὅπως αὐ-
τὸς καταδαπανήσω, οὔθ' ὅπως αὐτὸς κατατρίψω· οὐ
γὰρ ἂν δυναίμην· ἀλλ' ὅπως ἔχω τῷ τε ἀεὶ ὑμῶν καλόν
τι ποιοῦντι διδόναι, καὶ ὅπως, ἤν τις ὑμῶν τινος ἐνδεῖ-
σθαι νομίσῃ, πρὸς ἐμὲ ἐλθὼν λάβῃ οὗ ἂν ἐνδεὴς τυγχά-
νῃ ὤν. Καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.

CAPUT V.

Cyri in Persidem proficiscentis agmen et castrorum ratio describitur.

Ἡνίκα δὲ ἤδη αὐτῷ ἐδόκει καλῶς ἔχειν τὰ ἐν Βα- 1
βυλῶνι, ὡς καὶ ἀποδημεῖν, συνεσκευάζετο τὴν εἰς Πέρ-

§. 1. Ἡνίκα δὲ ἤδη αὐτῷ] – δὲ τὰ ἤδη αὐτῷ quod in melioribus exhibetur libris, ducit, nisi fallor, ad – δὲ πάντα ἤδη αὐτῷ.

Cap. V. §. 1. Ἡνίκα δὲ ἤδη] Intempestive Xenophon Schneidero videtur coeptam de pacis artibus a Cyro institutis narrationem interpellare inserta demonstratione satis putida (?) de re castrensi rebusque minutis. At ut ab extremo exordiar, si quid minutiarum in hac descriptione inest, nihil tam leve in rebus bellicis civilibusque esse videtur, quin magni ducis principisque cura dignum sit; ex parvis enim et constant magna et nascuntur. Deinde cum longum satis iter esset ex Babylone in Persidem factum, non incommode Xenophon castrorum in singulis stationibus positorum rationem collocare ob oculos lectorum maluit, quam quae loca peragraverint, quibus modis iter instituerint, quidve viderint audiverintque, paucissimis atque ita exponere, uti in Anab. factum est sollemni formula adhibita Ἐντεῦθεν ἐξελαύνει κ. τ. λ. Denique vero etiam quas pacis artes nominavit Schneiderus, bellicis artibus magnam partem ita coniunctae et cognatae sunt, ut utrum bellum in pace an pacem in bello Cyrus respexerit, dubius passim haereas. Adeo futurum bellum spectant omnia, quae in hoc libro rex instituit. Huc accedit, quod de re castrensi, qualem Cyrus ordinaverat, nondum quidquam antea relatum fuit. Cf. Heeren. p. 471.

σας πορείαν, καὶ τοῖς ἄλλοις παρήγγειλεν· ἐπεὶ δὲ ἐνό-
μισεν ἱκανὰ ἔχειν ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύ-
2 γνυε. Διηγησόμεθα δὲ καὶ ταῦτα, ὡς πολὺς στόλος
ὢν εὐτάκτως μὲν κατεσκευάζετο καὶ πάλιν ἀνεσκευάζετο,
ταχὺ δὲ κατεχωρίζετο ὅπου δέοιτο. Ὅπου γὰρ ἂν στρατο-
πεδεύηται βασιλεύς, σκηνὰς μὲν δὴ ἔχοντες πάντες οἱ ἀμ-
3 φὶ βασιλέα στρατεύονται καὶ θέρους καὶ χειμῶνος· εὐ-
θὺς δὲ τοῦτο ἐνόμιζε Κῦρος, πρὸς ἕω βλέπουσαν ἵστασθαι
τὴν σκηνήν· ἔπειτα ἔταξε πρῶτον μὲν πόσον δεῖ ἀπολι-
πόντας σκηνοῦν τοὺς δορυφόρους τῆς βασιλικῆς σκη-
νῆς· ἔπειτα σιτοποιοῖς μὲν χώραν ἀπέδειξε τὴν δεξιάν,
ὀψοποιοῖς δὲ τὴν ἀριστεράν, ἵπποις δὲ τὴν δεξιάν, ὑπο-
ζυγίοις δὲ τοῖς ἄλλοις τὴν ἀριστεράν· καὶ τἆλλα δὲ διε-
τέτακτο, ὥστε εἰδέναι ἕκαστον τὴν ἑαυτοῦ χώραν καὶ
4 μέτρῳ καὶ τόπῳ. Ὅταν δὲ ἀνασκευάζωνται, συντίθησι
μὲν ἕκαστος σκεύη οἷσπερ τέτακται χρῆσθαι, ἀνατίθεν-
ται δ' αὖ ἄλλοι ἐπὶ τὰ ὑποζύγια· ὥστ' ἅμα μὲν πάντες
ἔρχονται οἱ σκευαγωγοὶ ἐπὶ τὰ τεταγμένα ἄγειν, ἅμα δὲ

§. 2. ταχὺ δὲ κατεχωρίζετο] Vat. cum aliis, κατεχωρίζετο δὲ ταχὺ vulgatur.

§. 4. ἄγειν] ἐξάγειν cum Alt. legerim: est enim tentoriis exportare.

§. 3. εὐθὺς δέ] Fischeri causa notandum δέ ad §. 2. μὲν δή respicere. Cum tabernaculis quidem omnes regis copiae militatum eunt, sed Cyrus statim ab initio hoc instituit, ut ortum solis, quem Persae venerabantur, suum conspiceret tentorium. Hoc quantopere seriore aetate a regibus exornatum fuerit, non praeteriit Brisson. p. 714. III. 52.

ἀπέδειξε] Bekker. Anecd. Gr. p. 419: ἀπέδειξεν· ἀντὶ τοῦ παρέδωκεν. Ξενοφῶν. Non aliter Suidas et Zonaras p. 259.

§. 4. συντίθησι μὲν ἕκαστος — τὰ ἑαυτοῦ ἕκαστος] Locum diversis diversorum interpretum explicationibus obscuratum, quem sanum esse arbitror, sic intelligo: in suis quique tentoriis vasa componunt, quorum usus ipsis concessus est, alii contra iumentis imponunt, ita ut simul omnes calones (certus nempe calonum numerus in singula tentoria) abeant, quae in singulis tabernaculis ordine composita sunt, petituri (v. ad I. 6, 12.), idque eo consilio, ut ad iumenta auferant, simul vero omnes suis quisque iumentis (vasa illa) imponant. Non scriptum est συντίθησι μὲν ἕκαστος τὰ ἑαυτοῦ σκεύη, quia non licuit militibus quaecunque vellent, sed quae iussi essent vasa adhibere. Illud ἄγειν, quod ab ἔρχονται pendet, Matth. §. 532. c. §. 535. c. not. 1. Elmslei. ad Eurip. Med. 1270., tam

*πάντες ἀνατιθέασιν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος. Οὕτω δὴ
ὁ αὐτὸς χρόνος ἀρκεῖ μιᾷ τε σκηνῇ καὶ πάσαις ἀνηρῆ-
σθαι. Ὡςαύτως οὕτως ἔχει καὶ περὶ κατασκευῆς. Καὶ* 5
*περὶ τοῦ πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια πάντα ἐν καιρῷ
ὡςαύτως διατέτακται ἑκάστοις τὰ ποιητέα· καὶ διὰ τοῦτο
ὁ αὐτὸς χρόνος ἀρκεῖ ἑνί τε μέρει καὶ πᾶσι πεποιῆσθαι.
Ὥςπερ δὲ οἱ περὶ τὰ ἐπιτήδεια θεράποντες χώραν εἶχον* 6
*τὴν προςήκουσαν ἕκαστοι, οὕτω καὶ οἱ ὁπλοφόροι αὐ-
τῷ ἐν τῇ στρατοπεδεύσει χώραν τε εἶχον τὴν τῇ ὁπλί-
σει ἑκάστῃ ἐπιτηδείαν, καὶ ᾔδεσαν ταύτην, ὁποία ἦν,
καὶ ἐπ' ἀναμφισβήτητον πάντες κατεχωρίζοντο. Καλὸν* 7
*μὲν γὰρ ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα
τὴν εὐθημοσύνην· ὅταν γάρ τίς του δέηται, δῆλόν ἐστιν,
ὅπου δεῖ ἐλθόντα λαβεῖν· πολὺ δὲ ἔτι κάλλιον ἐνόμιζε
τὴν τῶν στρατιωτικῶν φυλῶν εὐθημοσύνην εἶναι, ὅσῳ
τε ὀξύτεροι οἱ καιροὶ τῶν εἰς τὰ πολεμικὰ χρήσεων, καὶ
μείζω τὰ σφάλματα ἀπὸ τῶν ὑστεριζόντων ἐν αὐτοῖς·
ἀπὸ δὲ τῶν ἐν καιρῷ παραγιγνομένων πλείστου ἄξια τὰ
κτήματα ἑώρα γιγνόμενα ἐν τοῖς πολεμικοῖς· διὰ ταῦτα
οὖν καὶ ἐπεμέλετο ταύτης τῆς εὐθημοσύνης μάλιστα.
Καὶ αὐτὸς μὲν δὴ πρῶτον ἑαυτὸν ἐν μέσῳ κατετίθετο* 8

§. 6. *ἐπ' ἀναμφισβήτητον*] Sic codd. *εἰς ἀναμφισβ.* edd.

§. 7. *πλείστου ἄξια τὰ κτήματα*] *πλείστου ἄξια ταῦτα κτήματα* alii codd. Pro *κτήματα* Schn. coniec. *πλεονεκτήματα*, quod habes Hipparch. V. 11. *τὰ ἐν πολέμοις πλεονεκτήματα εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα.* Mihi *τὰ κτήματα* a glossatoris manu videntur profecta esse.

exiguam sententiae vim addit, ut propemodum abundare dici possit.

§. 5. *Ὡςαύτως οὕτως*] Iuncta inveniuntur etiam I. 1, 4. I. 6, 3. Matth. §. 610. 7. p. 1234.

περὶ τοῦ πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια] Observavit Stephanus se ab interpretibus dissentire, qui *τὰ ἐπιτήδεια* ad commeatum restringant, »praesertim quum fatendum sit Xenophontem, si de procurantdo commeatu loqui voluisset, *ποιεῖσθαι τὰ ἐπιτήδεια* minime dicturum fuisse.« Ipse igitur, ut par erat, de cibo parando intellexit, nec erat cur IV. 5, 1. *πεποιημένον σῖτον* ei opponerent.

§. 7. *κάλλιον*] Non putem *ἐπιτήδευμα* supplendum esse, quum in hunc quoque locum cadant quae praecipiuntur in Matth. §. 437. Viger. p. 63. Buttm. §. 129. 4.

§. 8. *ἑαυτὸν ἐν μέσῳ κατετίθετο*] Mediam aciem etiam in pugna tenebant Persarum duces Anab. I. 8, 22. *Καὶ πάντες δ' οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχον-*

τοῦ στρατοπέδου, ὡς ταύτης τῆς χώρας ἐχυρωτάτης οὔσης· ἔπειτα δὲ τοὺς μὲν πιστοτάτους, ὥςπερ εἰώθει, περὶ ἑαυτὸν εἶχε, τούτων δὲ ἐν κύκλῳ ἐχομένους ἱππέας
9 τ' εἶχε καὶ ἁμαρτηλάτας. Καὶ γὰρ τούτους ἐχυρᾶς ἐνόμιζε χώρας δεῖσθαι, ὅτι, οἷς μάχονται ὅπλοις, οὐδὲν πρόχειρον ἔχοντες τούτων στρατοπεδεύονται, ἀλλὰ πολλοῦ χρόνου δέονται εἰς τὴν ἐξόπλισιν, εἰ μέλλουσι χρη-
10 σίμως ἕξειν. Ἐν δεξιᾷ δὲ καὶ ἐν ἀριστερᾷ αὐτοῦ τε καὶ τῶν ἱππέων πελτασταῖς χώρα ἦν· τοξοτῶν δ' αὖ χώρα ἡ πρόσθεν ἦν καὶ ὄπισθεν αὐτοῦ τε καὶ τῶν ἱπ-
11 πέων. Ὁπλίτας δὲ καὶ τοὺς τὰ μεγάλα γέῤῥα ἔχοντας κύκλῳ πάντων εἶχεν, ὥςπερ τεῖχος, ὅπως καί, εἰ δέοι τι ἐνσκευάζεσθαι τοὺς ἱππέας, οἱ μονιμώτατοι πρόσθεν
12 ὄντες παρέχοιεν αὐτοῖς ἀσφαλῆ τὴν καθόπλισιν. Ἐκάθευδον δὲ αὐτῷ ἐν τάξει, ὥςπερ οἱ ὁπλῖται, οὕτω δὲ καὶ οἱ πελτασταὶ καὶ οἱ τοξόται· ὅπως καὶ ἐκ νυκτῶν, εἰ δέοι τι, ὥςπερ καὶ οἱ ὁπλῖται παρεσκευασμένοι εἰσὶ παίειν τὸν εἰς χεῖρας ἰόντα, οὕτω καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταί, εἴ τινες προςίοιεν, ἐξ ἑτοίμου ἀκοντίζοιεν καὶ τοξεύοιεν

§. 12. *ἐκ νυκτῶν*] *ἐκ τῶν νυκτῶν* vulgo legitur. »Equidem non memini in istis formulis loquendi articulum unquam adhiberi. Graeci dicerent *διὰ νυκτός* aut suppressa praepos. *νυκτός*, noctu, vel per noctem.« Verba sunt Valckenarii schol. in Act. Ap. T. I. p. 597. Cf. Blomfield. Gloss. ad Aeschyl. Choeph. v. 282. De certis autem noctibus hic non agitur.

τες το αὐτῶν ἡγοῦντο, νομίζοντες οὕτω καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἣν ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν ᾖ, καί, εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. Adde Cyrop. IV. 2, 27. et Brisson. p. 759 sq.

§. 9. *ὅτι, οἷς μάχονται ὅπλοις – στρατοπεδεύονται*] *ὅτι οὐδὲν τῶν ὅπλων, οἷς μάχονται, πρόχειρον ἔχοντες στρατοπεδεύονται.* vid. Matth. §. 474. c. Causam si quaeris, cur peditibus minus promtos equos et currus habeant equites aurigaeque, eius rei rationem reddet annot. ad III. 3, 26. VI. 4, 1.

§. 11. *κύκλῳ πάντων*] *κύκλῳ πάντας* in Vat. exhibitum speciosum quidem neque tamen verum esse arbitror. IV. 5, 5. *ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν.* Hellen. VII. 2, 13. *ἀπῆεσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικαράνου.*

§. 12. *οὕτω δὲ καί*] Novitatem rei in peltastis et sagittariis effecisse suspicatur Buttm. ad Demosth. Mid. p. 151 sq., ut isto *δέ* anacoluthum admitteretur. Sequens *ἐκ νυκτῶν* explicatum supra ad I. 4, 2.

ὑπὲρ τῶν ὁπλιτῶν. Εἶχον δὲ καὶ σημεῖα πάντες οἱ ἄρ- 13
χοντες ἐπὶ ταῖς σκηναῖς· οἱ δὲ ὑπηρέται, ὥςπερ καὶ ἐν
ταῖς πόλεσιν οἱ σώφρονες ἴσασι μὲν καὶ τῶν πλείστων
τὰς οἰκήσεις, μάλιστα δὲ τῶν ἐπικαιρίων, οὕτω καὶ
τῶν ἐν τοῖς στρατοπέδοις τάς τε χώρας τὰς τῶν ἡγεμό-
νων ἠπίσταντο οἱ Κύρου ὑπηρέται, καὶ τὰ σημεῖα ἐγί-
γνωσκον, ἃ ἑκάστοις ἦν· ὥςτε, ὅτου δέοιτο Κῦρος,
οὐκ ἐζήτουν, ἀλλὰ τὴν συντομωτάτην ἐφ' ἕκαστον ἔθεον.
Καὶ διὰ τὸ εἰλικρινῆ ἕκαστα εἶναι πολὺ μᾶλλον ἦν δῆ- 14
λα, καὶ ὁπότε τις εὐτακτοίη, καὶ εἴ τις μὴ πράττοι τὸ
προςταττόμενον. Οὕτω δὴ ἐχόντων ἡγεῖτο, εἴ τις καὶ
ἐπίθοιτο νυκτὸς ἢ ἡμέρας, ὥςπερ ἂν εἰς ἐνέδραν εἰς τὸ
στρατόπεδον τοὺς ἐπιτιθεμένους ἐμπίπτειν. Καὶ τὸ 15
τακτικὸν δὲ εἶναι οὐ τοῦτο μόνον ἡγεῖτο, εἴ τις ἐκτεῖναι
φάλαγγας εὐπόρως δύναιτο ἢ βαθῦναι, ἢ ἐκ κέρατος
εἰς φάλαγγα καταστῆσαι, ἢ ἐκ δεξιᾶς ἢ ἀριστερᾶς ἢ
ὄπισθεν ἐπιφανέντων πολεμίων ὀρθῶς ἐξελίξαι· ἀλλὰ
καὶ τὸ διασπᾶν ὁπότε δέοι τακτικὸν ἡγεῖτο, καὶ τὸ τι-

§. 13. *μάλιστα δὲ τῶν ἐπικαιρίων*] Mirer, ni scripserit Xenophon *μάλιστα δὲ τὰς τῶν ἐπικ.* Postea dignum quod ex Alt. in textum recipiatur *καὶ τὰ σημεῖα δὲ ἐγ.* cl. not. ad V. 3, 43.

§. 13. *οἱ Κύρου ὑπηρέται*] Frustra Fischerus Zeunio obloquitur dicenti perspicuitatis gratia post nonnulla interiecta repeti illud *ὑπηρέται*. Nihil enim tali iteratione magis est ex Graecae linguae ingenio. Testes sunto loci VII. 2, 11. V. 1, 6. V. 5, 21. Anab. VII. 2, 18 sq. *Ἐπεὶ δὲ θορύβου ᾔσθετο – ἐπεὶ δὲ ᾔσθετο.*

§. 14. *ὥςπερ ἂν εἰς ἐνέδραν – ἐμπίπτειν*] i. e. *ὅτι οἱ ἐπιτιθέμενοι εἰς τὸ στρατόπεδον ἂν ἐμπίπτοιεν ὥςπερ εἰς ἐνέδραν*, eos, qui insidias facerent (inopinatos invaderent), in castra incursuros esse velut in insidias. Cf. qui interpretati sunt Platon. Apol. p. 23. B. p. 33. Stallb.

§. 15. *ἐκτεῖναι φάλαγγας*] extendere phalanges, i. e. augere earum longitudinem, longiores facere acies; contra *ἢ βαθῦναι*, aut augere altitudinem, *ἢ ἐκ κέρατος εἰς φάλαγγα καταστῆσαι*, aut ex cornu in aciem redigere, i. e. aut maiorem in latitudinem aciem denuo ad maiorem in longitudinem reducere. Vid. Wurm. Observatt. p. 7.

ἐξελίξαι] »*ἐξελίττειν τὴν φάλαγγα* est, cum acies tota convertitur vel ex tergo ad frontem vel ex fronte ad tergum, subductis militibus et mutatis ordinibus hosti opponendis.« Schneider. ad lib. de rep. Laced. XI. 8.

διασπᾶν] distrahere in plura agmina aciem. Paulo

θέναι γε τὸ μέρος ἕκαστον ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη, καὶ τὸ ταχύνειν δὲ ὅπου φθάσαι δέοι, πάντα ταῦτα καὶ τὰ τοιαῦτα τακτικοῦ ἀνδρὸς ἐνόμιζεν εἶναι,
16 καὶ ἐπεμελεῖτο τούτων πάντων ὁμοίως. Καὶ ἐν μὲν ταῖς πορείαις πρὸς τὸ συμπῖπτον ἀεὶ διατάττων ἐπορεύετο, ἐν δὲ τῇ στρατοπεδεύσει ὡς τὰ πολλὰ ὥςπερ εἴρηται κατεχώριζεν.

Cyrus ad Cyaxarem devertitur, a quo filia et Media dotis loco ei offertur.

17 Ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικήν, τρέπεται ὁ Κῦρος πρὸς Κυαξάρην. Ἐπεὶ δὲ ἠσπάσαντο ἀλλήλους, πρῶτον μὲν δὴ ὁ Κῦρος εἶπε τῷ Κυαξάρῃ, ὅτι οἶκος αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι καὶ ἀρχεῖα, ὅπως ἔχῃ, καὶ ὅταν ἐκεῖσε ἔλθῃ, ὡς εἰς οἰκεῖα κατάγεσθαι· ἔπειτα δὲ καὶ ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολ-
18 λὰ καὶ καλά. Ὁ δὲ Κυαξάρης ταῦτα μὲν ἐδέξατο, προςέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα, στέφανόν τε χρυσοῦν καὶ ψέλλια φέρουσαν, καὶ στρεπτὸν καὶ στολὴν Μηδι-
19 κὴν ὡς δυνατὸν καλλίστην. Καὶ ἡ μὲν δὴ παῖς ἐστεφάνου τὸν Κῦρον, ὁ δὲ Κυαξάρης εἶπε, Δίδωμι δέ σοι, ἔφη, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα, ἐμὴν οὖσαν θυγατέρα· καὶ ὁ σὸς δὲ πατὴρ ἔγημε τὴν τοῦ

post voculam ἄν in his ὅπου – ἂν εἴη nolim loco moveri, abunde iam stabilitam a Matth. §. 527. 2. sqq. quem laudo etiam ad I. 6, 22.

§. 16. πρὸς τὸ συμπῖπτον ἀεὶ διατάττων] pro ratione eorum, quae quovis tempore accidebant, disponens aciem, nach den jedesmahligen Umständen das Heer ordnend. Itidem ἀεί collocatum erat VII. 1, 20. Exempla itinerum Zeunius attulit haec: II 4, 3 V. 3, 1. §. 5. §. 35 sqq. V. 4, 45. VI. 2, 36 sqq. VII. 5, 2 sqq.

§. 17. ὅπως ἔχῃ] Quidni ὅπως ἔχοι? Aut ita scribendum est, aut valet de coniunctivo quod notavi III. 2, 27. IV. 3, 22. VI. 1, 29.

§. 18. προςέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα] Oppositionis ratio melius procederet, si dedisset προςέπεμψε δὲ αὐτῷ διὰ τῆς θυγατρὸς στέφανόν τε χρυσοῦν καὶ ψέλλια καὶ στρεπτόν etc. Alio enim spectant quae de usu verbi προςπέμπειν τινί in re amatoria disputantur ab interpretibus Xenoph. Ephes. p. 216 sq. Locell.

§. 19. καὶ αὐτὴν ταύτην γυναῖκα – θυγατέρα] i. e. praeter cetera munera, quae filia affert, etiam ipsam hanc filiam meam uxoris loco. Reticebatur prius καί etiam VIII. 1, 13.

ἐμοῦ πατρὸς θυγατέρα, ἐξ ἧς σὺ ἐγένου· αὕτη δέ ἐστιν,
ἣν σὺ πολλάκις παῖς ὢν, ὅτε παρ' ἡμῖν ἦσθα, ἐτιθηνή-
σω, καὶ ὁπότε τις ἐρωτῴη αὐτὴν, τίνι γαμοῖτο, ἔλεγεν,
ὅτι Κύρῳ· ἐπιδίδωμι δὲ αὐτῇ ἐγὼ καὶ φερνὴν Μηδίαν
τὴν πᾶσαν· οὐδὲ γάρ ἐστι μοι ἄῤῥην παῖς γνήσιος. Ὁ 20
μὲν οὕτως εἶπεν· ὁ δὲ Κῦρος ἀπεκρίνατο, Ἀλλ', ὦ
Κυαξάρη, τό τε γένος ἐπαινῶ καὶ τὴν παῖδα καὶ τὰ δῶ-
ρα· βούλομαι δέ, ἔφη, σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ
τῇ τῆς μητρὸς ταῦτά σοι συναινέσαι. Εἶπε μὲν οὖν
οὕτως ὁ Κῦρος, ὅμως δὲ τῇ παιδὶ πάντα ἐδωρήσατο,
ὁπόσα ᾤετο καὶ τῷ Κυαξάρῃ χαρίζεσθαι. Ταῦτα δὲ
ποιήσας εἰς Πέρσας ἐπορεύετο.

Cambysis auctoritate pacta fiunt iurata inter Persas Cyrumque de regno Persico.

Ἐπεὶ δὲ ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμε- 21
νος, τὸ μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο, ἱερεῖα μὲν ἄγων, ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑστιᾶσθαι·

καὶ ὁπότε] Continuari oportuit καὶ ἥ, ὁπότε – ἔλεγεν, genere dicendi pertractato ad VIII. 1, 46.

§. 20. πάντα ἐδωρήσατο] quasi dubium non esset, quin parentes coniugium hoc cum Cyaxaris filia comprobarent. Contrahebantur autem matrimonia parentum voluntate certe apud Graecos et Romanos; de Persis enim praeter hunc locum nihil attulit Brisson. p. 426. neque ipse quidquam invenio; ad Graecos quod attinet, moris huius fontes ex Homericis carminibus depromsit Feithius Gronov. Thesaur. Graec. antiq. Vol. VI. p. 3767 sq. quibus adiecit Camerar. locum Eurip. Androm. 987 sq. ibique Barnes.

§. 21. εἰς τὴν πόλιν] Pasargadas ex sententia Heerenii I. P. I. p. 280 sq. et Ker Porteri Itin. German. convers. Vol. I. p. 583 sqq. qui ibidem p. 588 sqq. ruinas urbis descripsit. Pasargadae nomen secundum Tychsenium apud Heeren. I. P. II. p. 404. designat castra Persarum. Alii contra Persepolin Cyrum profectum esse existimant, nihil discernente Baehrio ad Ctes. p. 117 sq. et 149. Cf. etiam Rosenmueller. Compend. bibl. antiq. I. P. I. p. 315 sq. 365 sq. et VIII. 7, 1. Xenophon ne I. 2, 3. quidem, qua in urbe Cyrus natus educatusque fuerit, indicavit.

ὡς πᾶσι – ἑστιᾶσθαι] Traiectum in his puto adiectivum ἱκανός, ac vulgarem fuisse ordinem πᾶσι Πέρσαις ἱκανὰ (ὄντα) ὡς θύειν τε καὶ ἑστιᾶσθαι. Non diversa est ratio verborum c. 6. §. 11. II. 1, 30. ubi ὥστε similiter ante ἱκανὴν sedem suam occupaverat, qua mutata nescio an neminis admirationem istud ὡς excitaverit. Vid. Matth. §. 533. n. 1.

δῶρα δ' ἦγεν, οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἄλλοις φίλοις, οἷα δὲ ἔπρεπε ταῖς ἀρχαῖς καὶ τοῖς γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν· ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις καὶ Περσίσιν, ὅσαπερ καὶ νῦν ἔτι
22 δίδωσιν ὅτανπερ ἀφίκηται βασιλεὺς εἰς Πέρσας. Ἐκ δὲ τούτου συνέλεξε Καμβύσης τοὺς γεραιτέρους Περσῶν καὶ τὰς ἀρχάς, οἵπερ τῶν μεγίστων κύριοί εἰσι· παρεκάλεσε δὲ καὶ Κῦρον, καὶ ἔλεξε τοιάδε·

Ἄνδρες Πέρσαι καὶ σύ, ὦ Κῦρε, ἐγὼ ἀμφοτέροις ὑμῖν εἰκότως εὔνους εἰμί· ὑμῶν μὲν γὰρ βασιλεύω, σὺ δέ, ὦ Κῦρε, παῖς ἐμὸς εἶ. Δίκαιος οὖν εἰμι, ὅσα γιγνώσκειν δοκῶ ἀγαθὰ ἀμφοτέροις, ταῦτα εἰς τὸ μέσον
23 λέγειν. Τὰ μὲν γὰρ παρελθόντα ὑμεῖς μὲν Κῦρον ηὐξήσατε στράτευμα δόντες, καὶ ἄρχοντα τούτου αὐτὸν καταστήσαντες· Κῦρος δὲ ἡγούμενος τούτου σὺν θεοῖς εὐκλεεῖς μὲν ὑμᾶς, ὦ Πέρσαι, ἐν πᾶσιν ἀνθρώποις ἐποίησεν, ἐντίμους δ' ἐν τῇ Ἀσίᾳ πάσῃ· τῶν δὲ συστρατευσαμένων τοὺς μὲν ἀρίστους καὶ πεπλούτικε, τοῖς δὲ πολλοῖς μισθὸν καὶ τροφὴν παρεσκεύακεν· ἱππικὸν δὲ καταστήσας Περσῶν πεποίηκε Πέρσαις καὶ πεδίων εἶναι
24 μετουσίαν. Ἢν μὲν οὖν καὶ τὸ λοιπὸν οὕτω γιγνώσκητε, πολλῶν καὶ ἀγαθῶν αἴτιοι ἀλλήλοις ἔσεσθε· εἰ δὲ ἢ σύ, ὦ Κῦρε, ἐπαρθεὶς ταῖς παρούσαις τύχαις ἐπιχει-

§. 23. *καὶ πεπλούτικε*] *καταπεπλούτικε* mihi quoque valde arridet.

§. 22. *Δίκαιος οὖν εἰμι – λέγειν*] Notam dicendi rationem tetigi ad IV. 1, 20.

§. 23. *Τὰ μὲν γὰρ παρελθόντα*] Accusativi sunt, quos vocant, absoluti, ex mutatione structurae ita admissi, ut h. l. temporis notionem simul exprimant: superioribus temporibus. Similiores dixerim formulas *τὸν χρόνον*, *τὴν ἡμέραν*, *τρεῖς μῆνας*, quam quae larga manu exempla expromserunt ad Viger. p. 59. a. Matth. §. 427. not. 3. §. 562. 3.

πεποίηκε Πέρσαις καὶ πεδίων εἶναι μετουσίαν] Gabr. effecit, ut possent Persae planorum quoque locorum compotes ac principes esse. Imo ut – sint. Etenim prae asperitate Persis equos alere non licuit, quorum ope Cyrus campestrium terrarum imperium, ut Lydiae, Assyriae, nactus fuerat. Vid. ad IV. 3, 23. VII. 5, 67. et Wessel. ad Herodt. IX. 122.

§. 24. *τὸ λοιπόν*] Cf. Herm. ad Viger. p. 706.

ῥήσεις καὶ Περσῶν ἄρχειν ἐπὶ πλεονεξίᾳ, ὥςπερ τῶν ἄλλων, ἢ ὑμεῖς, ὦ πολῖται, φθονήσαντες τούτῳ τῆς δυνάμεως καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, εὖ ἴστε, ὅτι ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε.
25 Ὡς οὖν μὴ ταῦτα γίγνηται, ἀλλὰ τἀγαθά, ἐμοὶ δοκεῖ, ἔφη, θύσαντας ὑμᾶς κοινῇ καὶ θεοὺς ἐπιμαρτυραμένους συνθέσθαι, σὲ μέν, ὦ Κῦρε, ἤν τις ἢ ἐπιστρατεύηται χώρᾳ Περσίδι, ἢ Περσῶν νόμους διασπᾶν πειρᾶται, βοηθήσειν παντὶ σθένει, ὑμᾶς δέ, ὦ Πέρσαι, ἤν τις ἢ ἀρχῆς Κῦρον ἐπιχειρῇ καταπαύειν, ἢ ἀφίστασθαί τις τῶν ὑποχειρίων, βοηθήσειν καὶ ὑμῖν αὐτοῖς καὶ Κύρῳ, καθ' ὅ τι ἂν οὗτος ἐπαγγέλλῃ.
26 Καὶ ἕως μὲν ἂν ἐγὼ ζῶ, ἐμὴ γίγνεται ἡ ἐν Πέρσαις βασιλεία, ὅταν δ' ἐγὼ τελευτήσω, δῆλον ὅτι Κύρου, ἐὰν ζῇ. Καὶ ὅταν μὲν οὗτος ἀφίκηται εἰς Πέρσας, ὁσίως ἂν ὑμῖν

§. 25. *οὗτος ἐπαγγέλλῃ*] Pronomen accessit ex Ald. Vat. Med. Alt. Brod. m. Vill.

§. 26. *ἐμὴ γίγνεται ἡ ἐν Πέρσαις βασιλεία*] Vat. *ἐμοὶ γίγνεται ἡ ἐν Περσίδι βασιλεία.*

ὥςπερ τῶν ἄλλων] sc. *ἄρχεις ἐθνῶν.* Ceterum in his nihil deprehendo, quod ab Herodoti narratione discrepet, qui III. 97. disertis verbis refert: *ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. Οἵδε δὲ φόρον μὲν οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον.* Nihil autem obstat, quo minus ista *ἐπὶ πλεονεξίᾳ* de vectigalibus aliquando imponendis interpretemur.

§. 25. *ἤν τις ἢ ἐπιστρατεύηται χώρᾳ Περσίδι*] Libri manu exarati ad unum omnes, ut videtur, istud *ἢ* post *ἐπιστρατεύηται* reiiciunt, quod qui retinere voluerit, non sine aliqua veri specie ad Plat. Apol. cap. XVI. p. 52. Stallb. provocare poterit dicendo scribendum quidem Xenophonti fuisse *ἢ χώρᾳ Περσίδι ἢ Περσῶν νόμοις, ὥςτε διασπᾶν πειρᾶσθαι,* sed hoc ut durius cum reiecisset, anacoluthon exortum esse. Adde quod particula disiunctiva nec I. 6, 22. iusto loco collocata molestiam creavit interpretibus, et Demosth. Or. de Rhod. lib. p. 197. v. 18. *εἰ γάρ τί που κεκράτηκε τῆς πόλεως βασιλεύς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι πείσας ἢ οὐδαμῶς ἄλλως κεκράτηκεν* permira eiusdem sedes Schaefero visa est. Nihilo tamen secius, ut paucis dicam quod sentio, illud *ἢ* inepto loco inculcatum esse ab eo arbitror, qui in sequentibus etiam bis positam voculam animadverterat.

ἢ ἀφίστασθαί τις τῶν ὑποχειρίων] aut deficere aliquis subditorum conetur. Male Leunclavius: vel subditorum aliquos ad defectionem impellere aggrediatur.

ἔχοι τοῦτον θύειν τὰ ἱερὰ ὑπὲρ ὑμῶν, ἅπερ νῦν ἐγὼ θύω, ὅταν δ' οὗτος ἔκδημος ᾖ, καλῶς ἂν οἶμαι ὑμῖν ἔχειν, εἰ ἐκ τοῦ γένους ὃς ἂν δοκῇ ὑμῖν ἄριστος εἶναι,
27 οὗτος τὰ τῶν θεῶν ἀποτελοίη. Ταῦτα εἰπόντος Καμβύσου, συνέδοξε Κύρῳ τε καὶ τοῖς Περσῶν τέλεσι· καὶ συνθέμενοι ταῦτα τότε καὶ θεοὺς ἐπιμαρτυράμενοι, οὕτω καὶ νῦν ἔτι διαμένουσι ποιοῦντες πρὸς ἀλλήλους Πέρσαι τε καὶ βασιλεύς. Τούτων δὲ πραχθέντων, ἀπῄει ὁ Κῦρος.

Cyaxaris filiam ducit uxorem Cyrus.

28 Ὡς δ' ἀπιὼν ἐγένετο ἐν Μήδοις, συνδόξαν τῷ πατρὶ καὶ τῇ μητρὶ γαμεῖ τὴν Κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν λόγος ὡς παγκάλου γενομένης. Ἔνιοι δὲ τῶν λογοποιῶν λέγουσιν, ὡς τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημεν· ἀλλὰ γραῦς ἂν καὶ παντάπασιν ἦν [ἡ παῖς]. Γήμας δ' εὐθὺς ἔχων ἀνεζεύγνυεν.

§. 28. *συνδόξαν*] *συνδόξαντι* improbavit Iacobs. ad Achill. Tat. p. 537.
Ἔνιοι δὲ – ἡ παῖς] Damnant haec ut ex marg. in textum illata Schneid. Both. Brown. alii.

§. 26. *τοῦτον θύειν*] »Nam ius auspicii et sacrorum publicorum, h. e. pro salute vel civitatis vel exercitus, olim fuit ei, penes quem summa reip. esset potestas.« His Zeunii verbis non adversantur quae memoriae prodidit Herodt. I. 132. *ἄνευ γὰρ δὴ μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέεσθαι*: magorum enim in sacris faciendis quale fuerit munus, ibidem docet historicus: *μάγος ἀνὴρ παρεστεὼς ἐπαείδει θεογονίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοιδήν.* Vide etiam nostra ad VIII. 1, 23.

§. 28. *ἧς – λόγος*] Negavit intelligi debere *περὶ ἧς* Fischerus, recte. vid. not. ad VI. 3, 10. Pro seq. *παγκάλου* optimae notae liber habet *παγκάλης*, quae forma reperitur etiam Hellen. III. 2, 10. refragante tamen Schneidero, cui assensit Buttm. gr. max. II. p. 408.

ἀλλὰ γραῦς – ἡ παῖς] sed fuisset certe virgo plane vetula. Gabr. Iacobs Animadv. ad Athen. p. 327. legendum proposuit *ἦν ἡ Ἄμυτις*, quam Ctesia auctore (ed. Baehr. p. 91. 152.) Cyrus uxorem duxerat. Quidni Xenophon scripsit simplicius *ἀλλ' οὐδεμίαν εἶχεν ἀδελφήν* vel simile quid? Certe sororis mentionem, quamvis commemorandi non deesset occasio, nusquam fecit Xenophon.

CAPUT VI.

Satrapas provinciarum constituit, quibus eandem morum disciplinam commendat, quae apud ipsum in urbe obtinet.

Ἐπεὶ δ' ἐν Βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σατράπας 1
ἤδη πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη. Τοὺς μέντοι ἐν ταῖς ἄκραις φρουράρχους καὶ τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώραν φυλακῶν οὐκ ἄλλου ἢ ἑαυτοῦ ἐβούλετο ἀκούειν· ταῦτα δὲ προεωρᾶτο ἐννοῶν, ὅπως, εἴ τις τῶν σατραπῶν ὑπὸ πλούτου καὶ πλήθους ἀνθρώπων ἐξυβρίσειε, καὶ ἐπιχειρήσειε μὴ πείθεσθαι, εὐθὺς ἀντιπάλους ἔχοι ἐν τῇ χώρᾳ. Ταῦτ' οὖν βουλόμενος πρᾶξαι 2
ἔγνω συγκαλέσαι πρῶτον τοὺς ἐπικαιρίους, καὶ προειπεῖν, ὅπως εἰδεῖεν, ἐφ' οἷς ἴασιν οἱ ἰόντες· ἐνόμιζε γὰρ οὕτω ῥᾴδιον φέρειν ἂν αὐτούς. Ἐπεὶ δὲ κατασταίη τις ἄρχων, καὶ αἰσθάνοιτο ταῦτα, χαλεπῶς ἂν ἐδόκουν αὐτῷ φέρειν, νομίζοντες δι' ἑαυτῶν ἀπιστίαν ταῦτα γενέσθαι. Οὕτω δὴ συλλέξας λέγει αὐτοῖς τοιάδε· 3

Ἄνδρες φίλοι, εἰσὶν ἡμῖν ἐν ταῖς κατεστραμμέναις πόλεσι φρουροὶ καὶ φρούραρχοι, οὓς τότε κατελίπομεν· καὶ τούτοις ἐγὼ προστάξας ἀπῆλθον ἄλλο μὲν μηδὲν

§. 1. φυλακῶν] φυλάκων ex Alt. dederat Schn. etiam §. 9.
ἀντιπάλους ἔχοι ἐν τῇ χώρᾳ] Imo scrib. ἀντίπαλα ἔχοιεν ἐν τῇ πόλει.

§. 2. ῥᾴδιον] Praefero ῥᾷον cl. Heindorf. ad Plat. Phaedon. p. 66 sq.
δι' ἑαυτῶν ἀπιστίαν ταῦτα γενέσθαι] δι' αὐτὴν αὐτῶν ἀπιστίαν γίγνεσθαι Alt. deteriore scriptura: propter ipsam (solam) eorum perfidiam fieri, quasi vero de hac perfidia iam sermo fuisset, neque γίγνεσθαι locum expleret verborum ἄρχοντες καταστῆναι τοιοῦτοι.

Cap. VI. §. 1. σατράπας] De nominis origine inter viros doctos, qui a Baehr. ad Ctes. p. 122. et Rosenmueller. l. l. p. 382 sq. excitantur, ambigitur. Posterior insuper Herodoti et sacrorum scriptorum dissensionem de satrapis conciliare inter se studet, quorum rationes exposuit Heeren. Vol. I. P. I. p. 416. 489 sqq.

§. 2. ἐφ' οἷς ἴασιν οἱ ἰόντες] ἐφ' οἷς quid sit, liquet ex not. ad III. 3,36. VIII. 8,24. indicativus autem post relativum pronomen tantum abest ut quidquam habeat offensionis, ut omnium inveniatur frequentissime II. 3, 5. V. 2, 3. et statim §. 3.

πολυπραγμονεῖν, τὰ δὲ τείχη διασώζειν. Τούτους μὲν οὖν οὐ παύσω τῆς ἀρχῆς, ἐπεὶ καλῶς διαπεφυλάχασι τὰ προσταχθέντα· ἄλλους δὲ σατράπας πέμψαι μοι δοκεῖ, οἵτινες ἄρξουσι τῶν ἐνοικούντων, καὶ τὸν δασμὸν λαμβάνοντες τοῖς τε φρουροῖς δώσουσι μισθόν, καὶ ἄλλο
4 τελέσουσιν, ὅ τι ἂν δέῃ. Δοκεῖ δέ μοι καὶ τῶν ἐνθάδε μενόντων ὑμῶν, οἷς ἂν ἐγὼ πράγματα παρέχω πέμπων πράξοντάς τι ἐπὶ ταῦτα τὰ ἔθνη, χώρας γενέσθαι καὶ οἴκους ἐκεῖ, ὅπως δασμοφορῆταί τε αὐτοῖς δεῦρο, ὅταν
5 τε ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα ἔχωσι κατάγεσθαι. Ταῦτα εἶπε, καὶ ἔδωκε πολλοῖς τῶν φίλων κατὰ πάσας τὰς καταστραφείσας πόλεις οἴκους καὶ ὑπηκόους· καὶ νῦν ἔτι εἰσὶ τοῖς ἀπογόνοις τῶν τότε λαβόντων αἱ χῶραι καταμένουσαι, ἄλλαι ἐν ἄλλῃ γῇ· αὐτοὶ δὲ οἰκοῦσι παρὰ
6 βασιλεῖ. Δεῖ δέ, ἔφη, τοὺς ἰόντας σατράπας ἐπὶ ταύτας τὰς χώρας τοιούτους ἡμᾶς σκοπεῖν, οἵτινες, ὅ τι ἂν ἐν τῇ γῇ ἑκάστῃ καλὸν ἢ ἀγαθὸν ᾖ, μεμνήσονται καὶ δεῦρο ἀποπέμπειν, ὡς μετέχωμεν καὶ οἱ ἐνθάδε ὄντες τῶν πανταχοῦ γιγνομένων ἀγαθῶν· καὶ γὰρ ἤν τί που
7 δεινὸν γίγνηται, ἡμῖν ἔσται ἀμυντέον. Ταῦτ' εἰπὼν

§. 3. *διαπεφυλάχασι*] Emendari iussit Buttm. gr. Gr. max. T. II. p. 435. *διαπεφυλάκασι* vulg.

§. 4. *χώρας γενέσθαι – δασμοφορῆταί τε αὐτοῖς δεῦρο, ὅταν τε*] Rectius fortasse scripseris *χώρας τε νέμεσθαι – δασμοφορῆταί τε αὐτοῖς δεῦρο, καὶ ὅταν.* Demosthenes imprimis *νέμεσθαι* frequetavit eo sensu, ut sit: attribui, assignari.

§. 4. *Δοκεῖ δέ μοι – χώρας γενέσθαι*] Ne suppleas *δεῖν* cum interpretibus, aliter tales loci explicandi sunt, quales habes IV. 2, 43.

τῶν ἐνθάδε μενόντων ὑμῶν, οἷς – ἔθνη] iis vestrum hic Babylone remanentium, quibus ego negotium facturus sum eo, ut ad subactas gentes mittam aliquid peracturos. »Sermo est de legatis, qui extra ordinem mittuntur a rege ad res inspiciendas provinciae.« Zeun. Cf. ad §. 16.

§. 5. *καὶ ὑπηκόους*] et subditos, qui et aedes illas curarent et agros in praediis colerent.

§. 6. *Δεῖ δέ, ἔφη, – σκοπεῖν*] Italus: Sed oportet, inquit, curam nos adhibere, ut qui in has provincias proficiscentur satrapae, eiusmodi sint, qui meminerint. De bonis illis, regi Persarum undique colligendis, cons. Heeren. I. P. I. p. 478 sq. ed. 4. et infra §. 23. c. 8, 16.

καὶ γὰρ ἤν τί που – ἀμυντέον] nam etiam sicubi periculum aliquod immineat, nobis erit repellendum. Ita

τότε μὲν ἔπαυσε τὸν λόγον, ἔπειτα δέ, οὓς ἐγίγνωσκε
τῶν φίλων ἐπὶ τοῖς εἰρημένοις ἐπιθυμοῦντας ἰέναι, ἐκλε-
ξάμενος αὐτῶν τοὺς δοκοῦντας ἐπιτηδειοτάτους εἶναι
ἔπεμπε σατράπας, εἰς Ἀραβίαν μὲν Μεγάβυζον, εἰς Καπ-
παδοκίαν δὲ Ἀρταβάταν, εἰς Φρυγίαν δὲ τὴν μεγάλην
Ἀρτακάμαν, εἰς Λυδίαν δὲ καὶ Ἰωνίαν Χρυσάνταν, εἰς
Καρίαν δὲ Ἀδούσιον, ὅνπερ καὶ ᾐτοῦντο· εἰς Φρυγίαν
δὲ τὴν παρ' Ἑλλήσποντον καὶ Αἰολίδα Φαρνοῦχον. Κι- 8
λικίας δὲ καὶ Κύπρου καὶ Παφλαγόνων οὐκ ἔπεμψε
Πέρσας σατράπας, ὅτι ἑκόντες ἐδόκουν συστρατεύεσθαι
ἐπὶ Βαβυλῶνα· δασμοὺς μέντοι συνέταξεν ἀποφέρειν
καὶ τούτους. Ὡς δὲ τότε Κῦρος κατεστήσατο, οὕτως 9
ἔτι καὶ νῦν βασιλέως εἰσὶν αἱ ἐν ταῖς ἄκραις φυλακαί,
καὶ οἱ χιλίαρχοι τῶν φυλακῶν ἐκ βασιλέως εἰσὶ καθεστη-
κότες καὶ παρὰ βασιλεῖ ἀπογεγραμμένοι. Προεῖπε δὲ 10
πᾶσι τοῖς ἐκπεμπομένοις σατράπαις, ὅσα [δυνατὸν] ἑώ-
ρων ποιοῦντα ἑαυτόν, πάντα μιμεῖσθαι· πρῶτον μὲν

§. 7. *Μεγάβυζον*] *Μεγάβαζον* Vat. forma Thucydidea, de qua dixit Baehr. ad Ctes. p. 157.

§. 10. *ὅσα [δυνατὸν] ἑώρων ποιοῦντα ἑαυτόν, πάντα*] Nondum melius quidquam mihi innotuit, quam quod Epil. p. 32 sq. in mentem venerat: *ὅσα ἑώρων ποιοῦντα ἑαυτόν, ᾗ δυνατὸν πάντα μ.*

concidit Weiskii opinio, aut ante *δεινόν* aut ante *ἀμυντέον* copulam *καί* desiderantis. Vid. I. 6, 23. ad Anab. V. 8, 11. 19. Conviv. p. 241.

§. 7. *ὅνπερ καὶ ᾐτοῦντο*] Fischerus alteram scripturam *ὥσπερ ᾐτοῦντο* tuiturus »Xen., inquit, non videtur scribere potuisse *ὅνπερ ᾐτοῦντο*, quod esset, a quo, Adusio, petierant, ut fieret ipsorum praetor, non quem sibi a Cyro petierant praetorem.« Falli virum eruditissimum si non evincet Hellen. III. 1, 4. *ᾐτήσατο δ' ὁ Θίμβρων καὶ παρ' Ἀθηναίων τριακοσίους ἱππέας*, at dubitari non sinunt haec Dion. Cass. Vol. III. p. 658. v. 31. (R. p. 911.) *εἶτ' ἐπειδὴ πλείονας ᾐτήσατο* (*δούλους*), *ἀφῆκεν.* Imperfectum *ᾐτοῦντο* dubito an indicet Carum legatos VII. 4, 7. adhuc Babylone commoratos esse, nec prius urbem reliquisse, quam voti sui compotes facti essent.

§. 9. *ἀπογεγραμμένοι*] Miratur Schneiderus, quare non etiam satraparum nomina in catalogo scripta apud Persarum regem manserint. Sed arcium praefecti plures numero videntur fuisse quam satrapae, quorum nomina sex (tot enim §. 7. in provincias missi a Cyro dicuntur) quidni memoria tenere potuerit is, qui tanquam *μνημονικός* laudabatur V. 3, 46 sq.?

§. 10. *Προεῖπε – ὅσα – ἑώρων – μιμεῖσθαι*] Non transtulit illud *δυνατόν* Gabr. Quoscun-

ἱππέας καθιστάναι ἐκ τῶν συνεπισπομένων Περσῶν καὶ συμμάχων καὶ ἁρματηλάτας, ὁπόσοι δ' ἂν γῆν καὶ ἀρχεῖα λάβωσιν, ἀναγκάζειν τούτους ἐπὶ θύρας ἰέναι, καὶ σωφροσύνης ἐπιμελουμένους παρέχειν ἑαυτοὺς τῷ σατράπῃ χρῆσθαι, ἤν τι δέηται, παιδεύειν δὲ καὶ τοὺς γιγνομένους παῖδας ἐπὶ θύραις, ὥςπερ παρ' αὐτῷ, ἐξάγειν δὲ ἐπὶ τὴν θήραν τὸν σατράπην τοὺς ἀπὸ θυρῶν, καὶ ἀσκεῖν αὐτόν τε καὶ τοὺς σὺν ἑαυτῷ τὰ πολεμικά.
11 Ὃς δ' ἂν ἐμοί, ἔφη, κατὰ λόγον τῆς δυνάμεως πλεῖστα μὲν ἅρματα, πλείστους δὲ καὶ ἀρίστους ἱππέας ἀποδεικνύῃ, τοῦτον ἐγὼ ὡς ἀγαθὸν σύμμαχον καὶ ὡς ἀγαθὸν συμφύλακα Πέρσαις τε καὶ ἐμοὶ τῆς ἀρχῆς τιμήσω. Ἔστωσαν δὲ παρ' ὑμῖν καὶ ἕδραις ὥςπερ παρ' ἐμοὶ οἱ ἄριστοι προτετιμημένοι, καὶ τράπεζα, ὥςπερ ἡ ἐμή, τρέφουσα μὲν πρῶτον τοὺς οἰκέτας, ἔπειτα δὲ καὶ ὡς φίλοις μεταδιδόναι ἱκανῶς κεκοσμημένη, καὶ ὡς τὸν κα-
12 λόν τι ποιοῦντα καθ' ἡμέραν ἐπιγεραίρειν. Κτᾶσθε δὲ

συνεπισπομένων] συνεπομένων non agnoverant codd.

§. 11. Ἔστωσαν] Non tulit Atticistarum assensum, Ἔστων corrigentium invito, nisi fallor, Xenophonte, cui vulgaris forma a me vindicatur ad Anab. I. 4, 8. Cyr. V. 3, 40.

ἕδραις] ἕδραι cur in omnes irrepserit quos norim codices? Nimirum aliquando scriptum fuit ἕδρᾳ.

que vero mitteret satrapas, omnibus praecepit, ut, quae ipsum facere vidissent, eadem plane imitarentur.

ἐκ τῶν συνεπισπομένων Περσῶν] e Persis, qui Cyri expeditionibus adhuc interfuerant. Ex his enim, cum pedites antea fuissent, Cyrus quoque equitatum suum constituerat. Verbi formam probabunt Buttm. gr. max. II. p. 129. Matth. §. 234. p. 458.

ἐπὶ θύραις] Anab. I. 9, 3. *ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται.* Cyr. VIII. 8, 13. atque eiusdemmodi plura quaerenti offeret Wyttenb. ad Plutarch. de Superstit. p. 1027 sq. Sed cui libri favent omnes, *ἐπὶ θύρας*, nisi *παιδεύειν ἐπὶ θύρας* idem esse dixeris atque *πέμπειν ἐπὶ θύρας καὶ παιδεύειν ἐπ' αὐταῖς*, vix habebis, quo accusativum excuses, praesertim labefactatis exemplis ad VI. 1, 1. adscriptis.

§. 11. *Πέρσαις τε καὶ ἐμοί*] Pendent dativi a substantivis, quae cum verbis *συμμαχεῖν* et *συμφυλάττειν* cognata sunt. Matth. §. 390. ed. 2. notavit qualia huc pertinent.

ὡς φίλοις μεταδιδόναι] cap. 5. §. 21. geminus locus erat.

καὶ παραδείσους, καὶ θηρία τρέφετε, καὶ μήτε αὐτοί ποτε ἄνευ πόνου σῖτον παράθησθε, μήτε ἵπποις ἀγυμνάστοις χόρτον ἐμβάλλετε· οὐ γὰρ ἂν δυναίμην ἐγὼ εἷς ὢν ἀνθρωπίνῃ ἀρετῇ τὰ πάντων ὑμῶν ἀγαθὰ διασώζειν, ἀλλὰ δεῖ ἐμὲ μὲν ἀγαθὸν ὄντα σὺν ἀγαθοῖς τοῖς παρ' ἐμοῦ ὑμῖν ἐπίκουρον εἶναι, ὑμᾶς δὲ ὁμοίως αὐτοὺς ἀγαθοὺς ὄντας σὺν ἀγαθοῖς τοῖς μεθ' ὑμῶν ἐμοὶ συμμάχους εἶναι.
Βουλοίμην δ' ἂν ὑμᾶς καὶ τοῦτο κατανοῆσαι, ὅτι τού- 13
των, ὧν νῦν ὑμῖν παρακελεύομαι, οὐδὲν τοῖς δούλοις προστάττω· ἃ δ' ὑμᾶς φημι χρῆναι ποιεῖν, ταῦτα καὶ αὐτὸς πειρῶμαι πάντα πράττειν. Ὥςπερ δ' ἐγὼ ὑμᾶς κελεύω ἐμὲ μιμεῖσθαι, οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας μιμεῖσθαι ὑμᾶς διδάσκετε.

Ταῦτα δὲ Κύρου οὕτω τότε τάξαντος, ἔτι καὶ νῦν 14
τῷ αὐτῷ τρόπῳ πᾶσαι μὲν αἱ ὑπὸ βασιλεῖ φυλακαὶ

§. 12. παράθησθε] Sic marg. Vill. pro παραθῆσθε vel παράθεσθε. Vid. Buttm. gr. max. I. p. 538. II. p. 427. Matth. §. 213. p. 407 sq. Schaef. App. Demosth. I. p. 411. 415. III. p. 492.

§. 12. μήτε – παράθησθε] Non reprehendit coniunctivum Schaeferus ad Brunckii Gnom. poet. p. 155. quanquam Xenophontem non abhorruisse a rariore illa structura (παράθεσθε) arguat quod legitur cap. 7. §. 26. μηδεὶς – ἰδέτω. Addantur eiusdem copiae in Apparat. Demosth. III. p. 449. quaeque supra ipse dedi ad VII. 1, 17. 5, 73. Ut autem h. l. sic etiam Demosth. p. 582. v. 13. (Apparat. III. p. 486.) aoristis immiscetur praesens nullo, ut ait Schaeferus, significationis discrimine, quod a temporum diversitate pendeat: μὴ κατὰ τοὺς νόμους δικάσητε, ὦ ἄνδρες δικασταί· μὴ βοηθήσητε τῷ πεπονθότι δεινά· μὴ εὐορκεῖτε. p. 494. v. 17. (App. p. 235.) μὴ τοίνυν – ἀφαιροῦ – τοῦτ' ἀφέλῃ. Commemoravi haec non quo putem παράθησθε quoque ab ἐμβάλλετε nihil discrepare, sed ut illud doceam de re ne semel quidem admittenda dici, hoc de re, quam nolit in consuetudinem abire.

§. 13. τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας] eos, qui a vobis munera accipiunt. Dativum ὑφ' ὑμῖν requirebat Schneiderus, qui haud scio an non satis perpenderit οἱ ὑπό τινος ἀρχὰς ἔχοντες non minus cum οἱ ὑπό τινος ἀρχαῖς τιμώμενοι congruere, quam Memor. III. 4, 1. τραύματα ὑπὸ τῶν πολεμίων τοσαῦτα ἔχων cum verbis τιτρωσκόμενος ὑπὸ τῶν πολεμίων οὕτως. Itidem explicanda sunt Anab. VII. 6, 11. νῦν ὑφ' ὑμῶν αἰτίας ἔχω, quae ibidem inferius §. 33. leguntur ἔχων δὲ δι' ὑμᾶς καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν, IV. 4, 14. ὑπὸ τῆς αἰθρίας δίκην ἐδίδοσαν, alia. Cf. supra notata VI. 1, 39.

§. 14. τῷ αὐτῷ τρόπῳ – ὁμοίως] Alterutrum abesse poterat: satis enim erat dixisse eadem ratione,

τὴν πορείαν, ἀλλὰ τῷ ἡμερινῷ ἀγγέλῳ τὸν νυκτερινὸν διαδέχεσθαι. Τούτων δὴ οὕτω γιγνομένων, φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύτειν· εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ' ὅτι γε τῶν ἀνθρωπίνων πεζῇ πορειῶν αὕτη ταχίστη, τοῦτο εὔδηλον. Ἀγαθὸν δὲ ὡς τάχιστα ἕκαστον αἰσθανόμενον ὡς τάχιστα ἐπιμελεῖσθαι.

Asia inde a Syria usque ad mare rubrum Aegyptoque domita, habitare instituit modo Babylone, modo Susis, modo Ecbatanis.

19 Ἐπεὶ δὲ περιῆλθεν ὁ ἐνιαυτός, συνήγειρε στρατιὰν εἰς Βαβυλῶνα, καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν ἵππων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρε-
20 πανηφόρα, πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. Ἐπεὶ

§. 18. *Τούτων δή*] Sic G. rectius quam *Τούτων δέ.*
ἕκαστον] Stephanus *ἑκάστου* vel *ἑκάστων* neutro genere coni. Fischerus *ἕκαστον* ut accusativum iunxit cum *ἐπιμελεῖσθαι.* Ipse non dubito *ἕκαστον*, i. e. quamvis rem, ab *αἰσθανόμενον* pendere, et ad *ἐπιμελεῖσθαι* repetendum esse *ἑκάστου.* Quanquam *ἐπιμελεῖσθαι* nomine aut coniunctione destitutum legitur etiam IV. 5, 46. VIII. 4, 2. etc.

§. 18. *τῷ ἡμερ. – διαδέχεσθαι*] Laudatum vide in gr. Gr. Matth. §. 403. p. 737 sq.
ἀλλ' ὅτι γε – εὔδηλον] »Persaepe, inquit Schaefer. Demosth. Appar. II. p. 385., haec enclitica (*γε*) sequitur post *ἀλλά*, sed ita ut aliquid interseratur: id quod aliter esse nequit, quandoquidem vis eius non refertur ad *ἀλλά.* – Quid autem valeat enclitica tali in constructione, quo melius tirones intelligant, meminerint Xenophontem sic scribere potuisse: *ἀλλὰ τό γε – ταύτην ταχίστην εἶναι εὔδηλον.*« Cf. etiam Matth. §. 613. p. 1238 sq.
τῶν ἀνθρωπίνων πεζῇ πορειῶν] Hutchinsonum inspicere debebat Bothius, antequam *πεζῇ* cancellis includendum putaret. Is enim opportune haec observaverat: »Scil. ad differentiam *τῶν κατὰ θάλασσαν*: perinde atque *πεζοί* apud auctores opponi solent *τοῖς ναυμαχοῦσι* καὶ *πεζὴ δύναμις τῇ ναυτικῇ.* Similiter *pedibus ire* est *terra ire* apud Caesar. B. C. I. 2. c. 23. (imo *pedibus pervenire* lib. II. c. 21. ubi vid. Oudendorp. cl. not. ad Bell. Alex. c. 33.) et apud Cicer. in Vatin. c. 5. *pedibus iter conficere* et *navigare* opponuntur.« Tritum est illud *πεζῇ βαδίζω, νεῖν γὰρ οὐκ ἐπίσταμαι*, commemoratum a Wolfio ad Demosth. p. 174. v. 5. *πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια.* Vid. Anabas. VII. 1, 1. et Schaef. Apparat. Demosth. I. p. 711.

δὲ ταῦτα συνεσκευάσατο αὐτῷ, ὥρμα δὴ ταύτην τὴν στρατείαν, ἐν ῇ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συρίαν ἐκβάντι οἰκεῖ μέχρι ἐρυθρᾶς θαλάσσης. Μετὰ δὲ ταῦτα ἡ εἰς Αἴγυπτον στρατεία λέγεται γενέσθαι, καὶ καταστρέψασθαι Αἴγυπτον. Καὶ ἐκ τούτου τὴν ἀρ- 21
χὴν ὥριζεν αὐτῷ πρὸς ἕω μὲν ἡ ἐρυθρὰ θάλαττα, πρὸς ἄρκτον δὲ ὁ Εὔξεινος πόντος, πρὸς ἑσπέραν δὲ Κύπρος καὶ Αἴγυπτος, πρὸς μεσημβρίαν δὲ Αἰθιοπία. Τούτων δὲ τὰ πέρατα τὰ μὲν διὰ θάλπος, τὰ δὲ διὰ ψῦχος, τὰ δὲ διὰ ὕδωρ, τὰ δὲ δι' ἀνυδρίαν δυσοίκητα. Αὐτὸς δ' ἐν μέσῳ τούτων τὴν δίαιταν ποιη- 22
σάμενος τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· αὕτη γὰρ ἀλεεινὴ ἡ χώρα· τὸν δὲ ἀμφὶ τὸ ἔαρ τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ

§. 20. *συνεσκευάσατο αὐτῷ*] Marg. Vill. *συνεσκεύαστο αὐτῷ* nescio an praestet.

§. 20. *ὥρμα δὴ ταύτην τὴν στρατείαν*] Cum Anab. III. 1, 8. *μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν* comparavit iam Dorvill. ad Charit. p. 271. ed. Lips. *ὁρμᾶν* ut dictum sit sensu neutrali, velut similia apud Matth. §. 409. 4. p. 747. Transitivam vim voci tribuit Herodt. VIII. 106. *Ὡς δὲ τὸ στράτευμα τὸ Περσικὸν ὅρμα ὁ βασιλεὺς ἐπὶ τὰς Ἀθήνας*, passivo idem usus V. 76. *ἐξέλασιν ὁρμηθέντες*.

ἐκβάντι] Sub *ἐκβάντι* includi posse Stephanus putat etiam *εἰςβάντι*, ut intelligatur de eo, qui Syriam ingressus ultra eam ad mare usque rubrum pergat. *Ἐρυθρὰν θάλασσαν* totum illud mare nominat Xenophon, quod Asiae est a meridie, duosque, ut Melae verbis utar, sinus aperit, Persicum et Arabicum. Austrinum Arabiae latus impellit Strabone teste Lib. XVI. p. 379. Tzschuck. *ἡ μεγάλη θάλαττα ἡ ἔξω τῶν κόλπων ἀμφοῖν, ἣν ἅπασαν Ἐρυθρὰν καλοῦσιν*. Sic etiam Herodotus interprete Schweighaeusero ad IV. 40. et Mela III. 8, 1., quem Tzschuckio nemo doctius illustravit.

καὶ καταστρέψασθαι] Latet quidem in *στρατεία* etiam id, de quo cogitavit scriptor, *τὸ στράτευμα*, sed malim *ὁ Κῦρος* suppleas: quo facto subiectum mutari manifestum est, ut in locis ad I. 4, 23. Anab. II. 4, 2. collectis.

§. 22. *ἐν μέσῳ τούτων*] Cur hoc fecerit, quaerentibus responderi potest ex cap. 5, 8. ibique not.

ἀμφὶ τὸ ἔαρ] Anab. III. 5, 15. *ἡ δὲ πρὸς ἕω ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα φέροι, ἔνθα θερίζειν καὶ ἐαρίζειν λέγεται βασιλεύς*. Plutarch. de exil. p. 604. *Καίτοι τούς γε Περσῶν βασιλέας ἐμακάριζον, ἐν Βαβυλῶνι τὸν χειμῶνα διάγοντας, ἐν δὲ Μηδίᾳ τὸ θέρος, ἐν δὲ Σούσοις τὸ ἥδιστον τοῦ ἔαρος*. Max. Tyr. XXXVI. 5. p. 191. Reisk. *αὐτὸς δὲ βασιλέως ἀφόβου καὶ ἐλευθέ-*

θέρους δύο μῆνας ἐν Ἐκβατάνοις· οὕτω δὴ ποιοῦντα αὐτὸν λέγουσιν ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διάγειν ἀεί.
23 Οὕτω δὲ διέκειντο πρὸς αὐτὸν οἱ ἄνθρωποι, ὡς πᾶν μὲν ἔθνος μειονεκτεῖν ἐδόκει, εἰ μὴ Κύρῳ πέμψειεν ὅ τι καλὸν αὐτοῖς ἐν τῇ χώρᾳ ἢ φύοιτο ἢ τρέφοιτο ἢ τεχνῷτο, πᾶσα δὲ πόλις ὡσαύτως, πᾶς δὲ ἰδιώτης πλούσιος ἂν ᾤετο γενέσθαι, εἴ τι Κύρῳ χαρίσαιτο· καὶ γὰρ ὁ Κῦρος λαμβάνων παρ' ἑκάστων ὧν ἀφθονίαν εἶχον οἱ διδόντες, ἀντεδίδου ὧν σπανίζοντας αὐτοὺς αἰσθάνοιτο.

CAPUT VII.

Somnio admonitus se parat ad discessum ex hac vita.

1 Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας, τὸ ἕβδο-

§. 22. *οὕτω δὴ ποιοῦντα*] Deteriores libri *οὕτω δὲ ποιοῦντ'* habuerant.

ρου δίαιταν διαιτώμενος οὐκ ἐπιτρίβων ἐν χειμῶνι Βαβυλωνίους, οὐδὲ Μήδοις ἐνοχλῶν ὥρᾳ θέρους. His assentiuntur alii scriptores bene multi, quorum testimonia operi suo inseruit Brisson. p. 88 sqq., ut nesciam, quo auctore Heeren. I. P. I. p. 471. tradat verno tempore Persarum reges Ecbatanis, et per tres menses aestivos Susis commoratos esse. In Media certe, si Curtio fides est, VII. 2, 22. *deversoria magnos recessus habent amoenosque nemoribus manu consitis: ea praecipue regum satraparumque voluptas erat.*

§. 23. *ὅ τι καλὸν αὐτοῖς*] Vereor ut ea munera cogitaverit, quae tributorum loco Persarum regibus afferri solebant, de quibus egit Heeren. l. l. p. 479., aut ea, quae in Persidem proficiscentibus ab incolis offerebantur (Aelian. V. H. lib. I. cap. 31 sqq.), sed intelliguntur sine dubio quae sua sponte populi Cyro donaverunt. Cyrus enim I. 1, 5. *ἐδυνάσθη ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τοῦ πάντας αὐτῷ χαρίζεσθαι, ὥστε ἀεὶ τῇ αὐτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι.*

Cap. VII. §. 1. *μάλα δὴ πρεσβύτης ὤν*] Ctes. Pers. §. 8. *τοῖς μὲν* (male Baehr. edit. *ταῖς μὲν*) *ἐμμένουσι ταῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρξουσιν ἀδίκων. Ταῦτα εἰπὼν ἐτελεύτησε τρίτῃ ὕστερον ἀπὸ τοῦ τραύματος ἡμέρᾳ, βασιλεύσας ἔτη λ'.* Herodotus I. 214. undetriginta annos Cyrum nar-

μον ἐπὶ της αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δή, ὥςπερ εἰκός, ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἔθυσε τὰ νομιζόμενα ἱερά, καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα πᾶσι διέδωκεν, ὥςπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ 2
ὄναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προςελθὼν κρείττων τις ἢ κατὰ ἄνθρωπον εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. Εὐθὺς οὖν λαβὼν ἱερεῖα ἔθυε Διΐ τε πατρῴῳ καὶ 3
Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοί, δέχεσθε τάδε καὶ τελεστήρια πολλῶν καὶ καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις, ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ δ' ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄν-

§. 3. σημείοις] Excidit etiam in Vat. quod I. 6, 2. adiectum legitur. Antea Stephanus ἐφ' ὧν Πέρσαι, Dind. ὥςπερ Πέρσαι maluit, quibus non magis quam οἷς Πέρσαι opus esse arbitror.

rat regnasse. Cum Ctesia tamen praeter **Iustin.** I. 8. facit etiam **Dino**, qui septuaginta annos eum vixisse tradiderat, Cicer. de Divin. I. 23, 46. Decessit autem Cyrus 530. a. Chr. n. s. Olymp. 62. 3. Dissentiunt a vetustis serioris aetatis scriptores, ut Lucianus aliique, quorum de opinionibus qui perscripserunt, a **Baehr.** ad Ctes. p. 116. 435. diiudicantur.

πάλαι δή] iam pridem. Frequenter hoc sensu utramque particulam sociatam fuisse ostendit **Elmsleius** ad Eurip. Med. 1085.

§. 2. καὶ σχεδὸν ἐδόκει εἰδέναι] et propemodum videbatur persuasum habere, i. e. et certo intellexit. Litotes a rhetoribus loquendi ratio appellatur, cuius exemplum ad cap. 3, 1. occurrit. §. 6. Cyrus ipse dixit σαφῶς γιγνώσκω. Minus apte Weiskius explicat **statim**.

§. 3. ἐπὶ τῶν ἄκρων] Testimonia veterum posuit **Brisson.** p. 369 sq.

ἐν φήμαις] Intelliguntur secundum Fischerum voces deorum, quibus significatur aliquid per quietem, h. l. ipsa ea vox, quam in somnis paulo ante Cyrus audiverat. Quod si verum est, **Wyttenbachio** ad Iulian. p. 156. ed. Schaef. non erit auscultandum, neganti φήμας ita simpliciter dici, sed ut ὄναρ, ἐνύπνιον vel simile aut addatur aut ex antecedentibus subintelligatur.

θρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν, ἐμοὶ δέ, οἷόνπερ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦναι.
4 Ὁ μὲν δὴ τοιαῦτα ποιήσας καὶ οἴκαδε ἐλθὼν ἔδοξεν ἀναπαύσεσθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν, ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει,
5 καὶ ἔπιεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις· ἐκάλεσε δὲ καὶ τοὺς φίλους καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων, ἤρχετο τοιοῦδε λόγου·

Cyri morientis oratio ad filios et amicos.

6 Παῖδες ἐμοὶ καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω· ὑμᾶς δὲ χρή, ὅταν τελευτήσω, ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι, ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις, τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι, σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ᾐσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον,

§. 4. ἔδοξεν ἀναπαύσεσθαι] putavit se dormiturum esse, s. visus sibi est dormiturus. Nihil in his video, quod a Graecitate abhorreat. Nam et ἐδόκει γὰρ εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα Anab. I. 7, 1. Ἔτι δὲ ἀμφὶ δείλην ἔδοξαν πολεμίους ὁρᾶν ἱππέας II. 2, 14. scripsit Xenophon, et ἔδοξεν ἰδεῖν aliaque similia exemplis adstruxit Wyttenbach. ad Plutarch. de discern. adul. ab amico p. 511 sq.

§. 6. ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν] i. e. καὶ λέγειν περὶ ἐμοῦ ὡς εὐδαίμονος ὄντος, quod participium omissum si quis miretur, ei auctor sum, ut inspiciat Matth. §. 568. p. 1123.

ἀσθενέστερον γιγνόμενον] Cicer. Cat. Maior. c. IX. 30. *Cyrus quidem apud Xenophontem eo sermone, quem moriens habuit, cum admodum senex esset, negat se unquam sensisse senectutem suam imbecil-*

καὶ οὔτ' ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας οἶδα ὅτου ἠτύχησα. Καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας 7
γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα, πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω· ὧν τ' ἐκτησάμην οὐδὲν οἶδα ὅ τι οὐ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως, ὥςπερ εὐχόμην, φόβος δέ μοι συμπαρομαρτῶν, μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπόν, οὐκ εἴα τελέως με φρονεῖν, οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. Νῦν δ' ἢν 8
τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕςπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι, καταλείπω δὲ πα-

§. 7. *τελέως με φρονεῖν*] Sic codd. praestantissimi, *τελέως μέγα φρονεῖν* Alt. *τελέως με μέγα φρονεῖν* Schn.

liorem factam, quam adolescentia fuisset. Ex quibus verbis non recte, opinor, colligi potest Ciceronem *γενόμενον* legisse: hic enim non potuit non dicere *factam*, sed qui loquens introducitur Cyrus quidni praesentis participio aeque bene uti potuerit, atque nostrates: noch nie habe ich gemerkt, dafs mein Alter schwächer wird, als meine Jugend war.

§. 7. *ἔπραττον οὕτως, ὥςπερ εὐχόμην*] sors mea ita erat comparata, ut optabam. Cf. Viger. p. 291. a. Adverbii locum apud Plat. Crit. c. 5. pronomen *τοῦτο* explet: *καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσι.* Vid. ind. Buttmann. s. *τυγχάνειν* et Stallb. edit. p. 113.

οὐκ εἴα τελέως με φρονεῖν] animum meum non nihil deprimebat Gabr. magis ad verbum Camerarius: non sivit (sic) me prorsus magno esse animo. Sed quaeritur ante omnia, *μέγα* illud, quod ex libro manu exarato expromtum est, sitne probandum an reiiciendum. Atque quum ad Lamb. Bos. Ellips. p. 267 sq. Schaeferus monuisset *φρονεῖν* ipsum per se esse spiritus habere, Lud. Dindorf. ad Anab. VI. 3, 18. p. 274 sqq. demonstrare conatus est recentiores quidem scriptores, ut Plutarchum, *ἐπί τινι φρονεῖν* aliqua re superbire dixisse, sed apud vetustiores eiusmodi exempla frustra circumspici. Huius tamen rationibus Schaeferus ut neque Apparat. Demosth. T. I. p. 547. 744. neque T. II. p. 636 sq. cessit, ita T. IV. p. 254. se confitetur iis, quae nuper opposita legerit, de illa sententia, quam ad Bosii librum proposuerit, demoveri non potuisse. Ac sane ut corruptelam Euripidis locus Herc. Fur. v. 770. Herm. (756 Matth.) traxerit, tamen multa habere Xenophontem constat, quae ab aurea Graecarum literarum aetate alienissima fuerint.

τρίδα καὶ φίλους εὐδαιμονοῦντας, ὥστε πῶς οὐκ ἂν ἐγὼ
δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχά-
9 νοιμι; Δεῖ δὲ καὶ τὴν βασιλείαν με ἤδη σαφηνίσαντα
καταλιπεῖν, ὡς ἂν μὴ ἀμφίλογος γενομένη πράγματα
ὑμῖν παράσχῃ. Ἐγὼ δὲ νῦν φιλῶ μὲν ἀμφοτέρους
ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ
ἡγεῖσθαι ἐφ' ὅ τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προσ-
τάττω τῷ προτέρῳ γενομένῳ καὶ πλειόνων κατὰ τὸ εἰκὸς
10 ἐμπείρῳ. Ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆσδε
τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις,
οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ πολίταις, καὶ ὁδῶν καὶ θά-
κων καὶ λόγων ὑπείκειν, καὶ ὑμᾶς δέ, ὦ παῖδες, οὕ-
τως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτι-
μᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι· ὡς οὖν παλαιὰ
καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέ-
11 χεσθε. Καὶ σὺ μέν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε,

§. 9. *Ἐγὼ δὲ νῦν φιλῶ*] Revocavi, quod invitis libris Steph. obscuraverat scribendo *Ἐγὼ οὖν φ.*

§. 8. *πῶς οὐκ ἂν ἐγὼ — τυγχάνοιμι*] quidni ego iure felix praedicatus per omne tempus gratam consequar memoriam? Illud *δικαίως* non tantum cum *τυγχάνοιμι*, sed etiam cum *μακαριζόμενος* cohaerere arbitror.

§. 9. *ὡς ἂν μὴ — παράσχῃ*] Cf. mea ad Anab. VI. 1, 28. Matth. gr. §. 520. p. 1003 sq.

Ἐγὼ δὲ νῦν φιλῶ] Iam vero ego amo, nun aber liebe ich.

τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι] Quibus *προηγεῖσθαι* codicibus obtrudere libuit, hi probe perspexerunt addita praepositione sensum nonnihil adiuvari, nihil illi de more Graecorum divinantes, quo prioris verbi praepositio etiam quod sequitur verbum afficit. Demosth. Orat. c. Mid. p. 581. v. 16. *ἐξαιτήσεσθαι καὶ λιπαρήσειν παρ' ὑμῶν αὐτόν* collato Ind. ad Poet. Gnom. p. 361. Schaeferus, Est, inquit, i. q. *ἐξαιτήσεσθαι καὶ ἐκλιπαρήσειν παρ' ὑμῶν αὐτόν.* Idem mihi testis afferendus erat not. crit. ad VII. 1, 1.

§. 10. *ἐξ ἀρχῆς ἐπαίδευον*] Obiter igitur Xenophon tangit educationem, qua filios Cyrus instituerit; atque tantum abest, ut Plato Legg. III. p. 644. ab hoc dissentiat, ut Xenophontem videatur ducem sequutus esse. Vid. Boeckh. de simult. inter Xen. et Plat. p. 29.

προτιμᾶν — προτετιμῆσθαι] Neminem, opinor, infinitivorum ratio morabitur, qui contulerit II. 2, 8. VI. 1, 15. et Matth. §. 630. p. 1292 sq. Non minus frequentari ea, quae subiiciuntur, *ὡς οὖν — λέγοντος ἐμοῦ — οὕτως ἀποδ.* cognosci licet ex not. ad I. 4, 21. II. 3, 15. VIII. 4, 27.

θεῶν τε διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί, σοὶ δέ, ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων καὶ τρίτων Καδουσίων· ταῦτα δέ σοι διδοὺς νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ σοὶ ἀλυποτέραν.
12 Ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ, οὐχ ὁρῶ, ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται. Τὸ δὲ δυςκαταπρακτοτέρων τε ἐρᾶν, καὶ τὸ πολλὰ μεριμνᾶν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν· ἃ σάφ' ἴσθι τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχειν.
13 Οἶσθα μὲν οὖν καὶ σύ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥςπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνε-

§. 12. ἃ σάφ' ἴσθι τῷ εὐφραίνεσθαι – παρέχειν] Sic Vat. cum optimis quibusque membranis, ἅ, σάφ' ἴσθι, τῷ εὐφ. – παρέχει tanquam quod vulgarius esset correxi.

§. 13. ἀλλ' οἱ πιστοὶ φίλοι] ἀλλ' οἱ πολλοὶ φίλοι non magis mihi probatur quam ἀλλ' οἱ πολλοὶ καὶ πιστοὶ φίλοι.

§. 11. ὦ Ταναοξάρη] Ctes. Pers. §. 8: Κῦρος δὲ μέλλων τελευτᾶν Καμβύσην μὲν τὸν πρῶτον υἱὸν βασιλέα καθίστη, Ταννοξάρκην δὲ τὸν νεώτερον ἐπέστησε δεσπότην Βακτρίων (καὶ) τῆς χώρας καὶ Χοραμνίων καὶ Παρθίων καὶ Καρμανίων, ἀτελεῖς ἔχειν τὰς χώρας διορισάμενος. Herodotus Smerdin appellat, Merdin Aeschylus Pers. 780. Blomf., alii aliter. Vid. Baehr. ad. Ctes. p. 113. 125.

§. 12. σοῦ μᾶλλον] i. e. μᾶλλον ἢ σοί.

ἃ σάφ' ἴσθι – παρέχειν] Supra c. 3, 44. ὅςτις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι τοῦτον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι. Aeschyl. Pers. 343. Blomf. πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους ναυσὶν κρατῆσαι. v. 441. εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακόν. Haec inter alia recensuit Elmsleius ad Eurip. Med. 580. Cf. VII. 2, 22. 5, 15.

§. 13. φύσει φύεσθαι] Hieron. III. 9. ed. Frotsch. ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖν. Philem. fragm. V. p. 394. Meinek. ἢ πέφυκε τῇ φύσει. Cyrop. V. 1, 24.

ται· ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ
δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλ-
14 λον σὺν τῇ εὐεργεσίᾳ. Εἰ οὖν καὶ ἄλλους τινὰς πει-
ράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν
πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. Καὶ πο-
λῖται τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ σύσσι-
τοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες,
καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ
οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώ-
μενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα
προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι;
15 Μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελ-
φοῖς μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκο-
δομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος
ἀλλήλοις ἔσται ἡ ὑμετέρα φιλία. Ἑαυτοῦ τοι κήδεται
ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν
οὕτω καλόν, ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα
μέγα δυνάμενον οὕτως, ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί
τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος, οὕτως, ὡς τὸν ἀδελ-
16 φόν; Μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω,
μήτε προθυμότερον παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ
τούτου οὔτε ἀγαθὰ οὔτε δεινὰ ἢ σοί. Ἐννόει δὲ καὶ τάδε·

§. 15. τιμήσεται δι' ἄνδρα] Coni. Dind. pro τιμήσεται δὴ ἄνδρα.

§. 14. ἀπὸ τοῦ ὁμόθεν γενομένου] Eurip. Orest. 480. Pors. Ἑλληνικόν τοι τὸν ὁμόθεν τιμᾶν ἀεί. Dicuntur οἱ ὁμόθεν ὄντες qui eodem genere prognati sunt interprete Valckenar. Diatrib. p. 237. Euripidis locum etiam propterea laudavi, ut verum esse elucerct, quod ad Platon. Protag. p. 597. dixit Heindorf., in gnomis, qualis est in verbis Καὶ πολῖταί τοι κ. τ. λ. §. 15. §. 16, propriam quasi sedem esse τοί voculae.

§. 15. ἀλλήλοις] eo, quod alter alterum sustentabit, invicta erit vestra amicitia, ἀλλήλοις ut sit dictum pro δι' ἀλλήλων. Neque enim persuadere mihi possum tale additamentum aliunde quam ab ipso scriptore profectum esse.

τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα – ἀδελφός] quis alius propter virum multum valentem ita ab aliis honorabitur, ut frater? Sensum, quod mireris, eundem expressit etiam Gabriel. cuinam tantam auctoritatem fratris potentia affe at, quantam fratri? Vid. Buttmann. gr. max. §. 113. p. 53. not., a quo etiam disces τιμήσεται sollemniter pro τιμηθήσεται collocari. Adde not. ad II. 1, 23. V. 4, 34. VI. 1, 15. Rost. §. 114. not. 1.

τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾶν ἢ τὸν ἀδελφόν; Μόνου τοι, ὦ Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ οὐδὲ
φθόνος παρὰ τῶν ἄλλων ἐφικνεῖται. Ἀλλὰ πρὸς θεῶν 17
πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδέν εἰμι ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ', οἷς διεπράττετο, τούτοις
αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. Τὰς δὲ τῶν ἄδικα παθόν- 18
των ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν; οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύ-
ριαι ἦσαν; Οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε 19

§. 16. *Μόνου τοι, ὦ Καμβύση, – ἐφικνεῖται*] **Solum nimirum fratrem, o Cambyses, cui primas frater defert, ne invidia quidem aliorum pertingit.** Non sine causa Cyrus orationem dirigit ad Cambysem, quippe quem admonere voluerit, ut et ipse fratrem faciat maximi, magnamque praeceptorum partem etiam ad semet ipsum pertinere putet. Qui ἀφικνεῖται retinent, ne pendere verbum concedant, ἀδελφοῦ πρωτεύοντος genitivos absolutos esse existimant. Bastius Epist. crit. p. 176. »ἀφικνεῖσθαί τινος, inquit, apud seriores occurrit, sed in antiquis ubi reperitur, corrigendum in ἐφικνεῖσθαι.«

§. 17. *τοῦ ἀνθρωπίνου βίου τελευτήσω*] Genitivum abunde tuebitur Matth. §. 355. p. 668.

§. 18. *Τοῖς δὲ φθιμένοις – κύριαι ἦσαν*] Cic. Cat. mai. l. l. *Nec vero clarorum virorum post mortem honores permanerent, si nihil ipsorum animi efficerent, quo diutius memoriam sui teneremus.* Nimirum omisso δοκεῖτε scribendum fuisset *αἱ τιμαὶ οὐκ ἂν διέμενον ἔτι, εἰ – ἦσαν.* Matth. §. 598. a. cll. nott. ad II. 1, 8. V. 3, 5.

§. 19. *Οὔτοι ἔγωγε – οὐδὲ τοῦτο*] Negationem etiam alibi repeti apparebit ex not. ad V. 1, 17. Anab. I. 8, 20. Cicero praetermissis tamen verbis Ὁρῶ γὰρ – παρέχεται reddidit: *Mihi quidem nunquam persuaderi potuit animos, dum in corporibus essent mortalibus, vivere; cum exissent ex iis, emori; nec vero tum animum esse insipientem, cum ex insipienti corpore evasisset; sed cum omni admixtione corporis liberatus purus et integer esse coepisset, tum esse sapientem. Atque etiam cum hominis natura morte dissolvitur, cete-*

ἐπείσθην, ὡς ἡ ψυχή, ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. Ὁρῶ γάρ, ὅτι καὶ τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ, ἡ
20 ψυχὴ ζῶντα παρέχεται. Οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένου δὲ ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον, πλὴν τῆς ψυχῆς· αὕτη δὲ
21 μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. Ἐννοήσατε δέ, ἔφη, ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν μελλόντων προορᾷ· τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται.
22 Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα, ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως,

§. 19. *χρόνον ᾖ, ἡ ψυχή*] Vulgo distinguebatur *χρόνον ᾖ ἡ ψυχή*, –.

§. 21. *καὶ τότε τι τῶν μελλόντων*] Alt. *καὶ τότε τι καὶ τῶν μ.* nec temere puto *καί* illatum esse.

rarum rerum perspicuum est quo quacque discedant; abeunt enim illuc omnia, unde orta sunt; animus autem solus, nec cum adest, nec cum discedit, apparet.

§. 20. *ἡ ψυχή, ἐπειδὰν τοῦ – σώματος δίχα γένηται*] mens cum a corpore fuerit separata Valckenar. Diatr. p. 246. c., qui phrasin dicit Thucydideam confirmante Gottlebero ad Thuc. I. 64.

πρὸς τὸ ὁμόφυλον] »Statuit Euripides in terram redire quod esset e terra; quodque ex aethere natum divinioris esset originis in aethera reverti:

Χωρεῖ δ' ὀπίσω, τὰ μὲν ἐκ γαίας
Φύντ' ἐς γαῖαν, τὰ δ' ἀπ' αἰθερίου
Βλαστόντα γονῆς εἰς οὐράνιον
Πόλον ἦλθε πάλιν· θνήσκει δ' οὐδὲν
Τῶν γιγνομένων· διακρινόμενον δ'
Ἄλλο πρὸς ἄλλου
Μορφὴν ἰδίαν ἀπέδειξεν.«

Laudatis eiusdem argumenti permultis illustravit Valckenar. Diatr. p. 54 sqq. nec vacat repetere, quae pari consilio collecta reperies a Wyttenbach. ad Plut. Consolat. ad Apollon. p. 734. cl. p. 861. Matth. ad Eurip. Suppl. v. 533. Gernhard. ad Cic. Cat. §. 80. Meinek. Menandr. p. 166. et Schaubach. Anaxag. fragm. p. 78 sqq. 137. Cf. etiam Platon. Phaed. c. 56.

§. 22. *καὶ τὴν ἐμὴν – δέομαι*] meum quoque animum verentes ea, quae vos rogo, facite. Gabr. Sic etiam alii ab his verbis apodosin exordiun-

ἀλλὰ μένουσα ἐν τῷ σώματι ἡ ψυχὴ συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας, καὶ πάντ' ἐφορῶντας, καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀκριβῆ καὶ ἀκήρατον καὶ ἀναμάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι, μήποτ' ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε.
23 Μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις ἀναδείξει· εἰ δὲ ἐς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ πάντων ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσήκοντα.
24 Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω, οἵους χρὴ πρὸς

§. 22. ἀκριβῆ καὶ ἀκήρατον] ἀτριβῆ καὶ ἀγήρατον Schn. ex codd. idque praefero. Max Vat. κάλλους καὶ τάχους καὶ μεγέθους ἀνεκδιήγητον.

§. 23. ἐς ἀλλήλους – ἐκ πάντων ἀνθρώπων] εἰς ἀλλήλους – ἐκ πάντων τῶν ἀνθρώπων sine libris primus dederat Weiskius.

tur, idque, opinor, rectius quam si ποιεῖτε indicativum esse, et post δέομαι supplendum statueris εὖ ἕξει, ut §. 24. Etenim καί illud ante τὴν ἐμὴν ψυχήν respicit ceterorum animas mortuorum, quas nec ipsas veneratione indignas Cyrus iudicat. Tuetur hanc explicationem Cicero: *Quare, si haec ita sunt, sic me colitote, ut deum: sin una est interiturus animus cum corpore, vos tamen deos verentes, qui hanc omnem pulcritudinem tuentur et regunt, memoriam nostri pie inviolateque servabitis.* Eandem rem persequitur Cicer. de rep. Lib. VI. 24. p. 503 sq. ed. Moser.

ἀλλὰ θεούς γε] Si non mortuorum animas, at certe deos. cf. 6, 18. Similibus laudibus dii extolluntur V. 4, 31. ibique not. Memor. I. 1, 19. IV. 3, 13. Anab. II. 5, 7.

§. 23. ἀποκρύπτονται] »Media verbi forma, inquit Schneid., displicet: durum etiam in prosaica oratione ζῆν τὰ ὑμέτερα ἔργα.« Videlicet ἀποκρύπτειν scriptores fere abscondendi, ἀποκρύπτεσθαι celandi, reticendi significatione usurparunt; neque tamen nunquam ab hac regula recesserunt testante Engelhardt. ad Plat. Lach. p. 67. Ad ζῆν quod attinet, acquiescendum puto in Fischeri explicatione: »ἔργα ἐμφανῆ sunt facta clara, aperta, nota, quae dic. ἀεὶ ζῆν, quatenus celebrantur semper ore et sermonibus hominum, ita ut memoria eorum nunquam exstinguatur.« Eurip. fragm. I. Temenid. Ἀρετὴ δέ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται, Ζῇ δ' οὐκ ἔτ' ὄντος σώματος.

